20 Ὁ δὲ γενναῖος οὑτοσὶ προσελθών μοι κατ' ἰδίαν καὶ κοινωσάμενος περὶ τούτων, ὡς ἀνηκόῳ γε ὄντι τῆς φήμης, ἐδεῖτο κἀνταῦθα καὶ πράττοντας καὶ βουλευομένους ὀφθῆναι τὰ αὐτά, καθάπερ καὶ πρότερον· ἕψεσθαι γὰρ αὐτὸν ἑτοίμως ἡμῖν, καθ' ὁποτέραν ἂν ἡγώμεθα τῶν ὁδῶν, εἴτε φυγεῖν εἴτε 25 ἑλέσθαι δέοι. Αἰσθόμενος τοίνυν αὐτοῦ τῆς προθυμίας ἐγὼ καὶ ζημίαν ἡγησάμενος οἴσειν παντὶ τῷ κοινῷ τῆς Ἐκκλησίας, εἰ νέου οὕτως ἀγαθοῦ καὶ πρὸς τὴν τῶν πολλῶν ἐπιστασίαν

ἐχθρὰ καὶ ἀντίπαλός σου. Ἂν ὅμως κάμνω τὸ πᾶν διὰ νὰ διευκολύνω νὰ ζῇς κατὰ τὸν τρόπον ποὺ ἐσὺ ἐπιθυμεῖς, τότε, ἂν ὄχι τίποτε ἄλλο, ἂς σὲ κρατῇ τοὐλάχιστον κοντά μου αὐτὴ ἡ διευκόλυνσις. Ὅσον καὶ ἂν λέγῃς ὅτι σὲ ἀγαποῦν πολλοί, κανεὶς δὲν θὰ σὲ βοηθήσῃ ν' ἀπολαύσῃς τόσην ἐλευθερίαν, ὥστε νὰ ζῇς σύμφωνα μὲ τὴν ἐπιθυμίαν σου, ἐπειδὴ κανεὶς δὲν ἐνδιαφέρεται διὰ τὴν πρόοδόν σου τόσον, ὅσον ἐγώ».

6. Αὐτὰ καὶ ἄλλα περισσότερα μοῦ ἔλεγεν ἡ μητέρα μου καὶ ἐγὼ τὰ διεβίβαζα πρὸς τὸν λαμπρὸν φίλον μου. Αὐτὸς ὅμως ὄχι μόνον δὲν ἐπείθετο μὲ αὐτά, ἀλλ' ἐπέμενε περισσότερον εἰς τὴν προηγουμένην ἀπαίτησίν του. Καὶ ἐνῷ συνεχίζαμεν τὰς συζητήσεις καὶ αὐτὸς μὲν μ' ἐπαρακαλοῦσεν, ἐγὼ δὲ δὲν ἐσυμφωνοῦσα, ἔξαφνα ἔφθασε κάποια πληροφορία ποὺ μᾶς συνετάραξε καὶ τοὺς δύο· ὅτι δηλαδὴ ἐπρόκειτο νὰ προαχθοῦμεν εἰς τὸ ἐπισκοπικὸν ἀξίωμα. Ἐγώ, τότε, μόλις ἤκουσα αὐτὴν τὴν εἴδησιν κατελήφθην ταυτοχρόνως ἀπὸ φόβον καὶ ἀπὸ ἀπορίαν, ἀπὸ φόβον μέν, διότι ἀνησυχοῦσα μήπως ἀναγκασθῶ νὰ δεχθῶ τὸ ἀξίωμα διὰ τῆς βίας, ἀπὸ ἀπορίαν δέ, διότι δὲν ἠμποροῦσα νὰ καταλάβω, πῶς τοὺς ἦλθεν αὐτῶν τῶν ἀνθρώπων νὰ σκεφθοῦν τέτοιο πρᾶγμα δι' ἡμᾶς. Διότι ἐξετάζων τὸν ἑαυτόν μου, δὲν εὕρισκα ὅτι εἶχα τὰ προσόντα ποὺ ἀπαιτοῦνται διὰ τὸ τιμητικὸν αὐτὸ ἀξίωμα.

Ὁ δὲ λαμπρὸς φίλος μου μ' ἐπεσκέφθη ἰδιαιτέρως, μοῦ ἐγνωστοποίησε τὴν πληροφορίαν μὲ τὴν ἰδέαν ὅτι δὲν τὴν εἶχα ἀκούσει καὶ μὲ παρεκάλεσε νὰ τηρήσωμεν καὶ εἰς αὐτὴν τὴν περίστασιν, ὅπως καὶ προηγουμένως, κοινὴν στάσιν· προσέθεσε δὲ ὅτι ἀφήνει εἰς ἐμὲ τὴν πρωτοβουλίαν καὶ ὅτι εἶναι ἕτοιμος νὰ μὲ ἀκολουθήσῃ ὁποιανδήποτε ὁδὸν προτιμήσω, εἴτε ἀποφύγω εἴτε δεχθῶ τὴν χειροτονίαν. Ἐγὼ ὅμως ἐκατάλαβα ὅτι ἦτο πρόθυμος νὰ δεχθῇ τὴν ἐκλογὴν καὶ ἐθεώρησα ὡς ζημίαν διὰ τὸ πλήρωμα τῆς Ἐκκλησίας νὰ στερήσω ἐξ αἰτίας τῆς ἰδικῆς μου ἀνικανότητος τὴν

ἐπιτηδείου ἀποστεροίην τοῦ Χριστοῦ τὴν ἀγέλην διὰ τὴν ἀσθένειαν τὴν ἐμαυτοῦ, οὐκ ἀπεκάλυψα τὴν γνώμην ἣν εἶχον περὶ τούτων ἐκείνῳ, καίτοι γε μηδέποτε πρότερον ἀνασχόμενος λαθεῖν τι τῶν βουλευμάτων αὐτὸν τῶν ἐμῶν. Ἀλλ' εἰ- 5 *πὼν δεῖν τὴν ὑπὲρ τούτων βουλὴν εἰς ἕτερον ἀναβάλλεσθαι καιρὸν (οὐ γὰρ νῦν τοῦτο κατεπείγειν), ἔπεισά τε εὐθέως μηδὲν ὑπὲρ τούτων φροντίζειν καὶ ὑπὲρ ἐμαυτοῦ παρέσχον θαρρεῖν ὡς ὁμογνωμονήσοντος, εἴ ποτε συμβαίη τοιοῦτό τι παθεῖν.*

10 *Χρόνου δὲ παρελθόντος οὐ πολλοῦ καὶ τοῦ μέλλοντος ἡμᾶς χειροτονήσειν ἐλθόντος καὶ κρυπτομένου, αὐτὸς μηδὲν τούτων εἰδώς, ἄγεται μὲν ὡς ἀφ' ἑτέρᾳ προφάσει, δέχεται δὲ τὸν ζυγόν, ἐλπίζων, ἐξ ὧν ὑπεσχημένος ἤμην αὐτῷ, καὶ ἡμᾶς πάντως ἕψεσθαι, μᾶλλον δὲ νομίζων ἡμῖν ἀκολουθεῖν.* 15 *Καὶ γάρ τινες τῶν ἐκεῖ παρόντων, ἀσχάλλοντα πρὸς τὴν σύλληψιν ὁρῶντες, ἠπάτησαν, βοῶντες ὡς ἄτοπον εἴη τὸν μὲν θρασύτερον εἶναι δοκοῦντα παρὰ πᾶσιν (ἐμὲ λέγοντες) μετὰ πολλῆς τῆς ἐπιεικείας εἶξαι τῇ τῶν πατέρων κρίσει, ἐκεῖνον δέ, τὸν πολὺ συνετώτερον καὶ ἐπιεικέστερον, θρασύνεσθαι καὶ* 20 *κενοδοξεῖν σκιρτῶντα καὶ ἀποπηδῶντα καὶ ἀντιλέγοντα. Τούτοις εἴξας τοῖς ῥήμασιν, ἐπειδὴ ἤκουσεν ὅτι διέφυγον, εἰσελθὼν πρός με μετὰ πολλῆς τῆς κατηφείας, καθέζεται πλησίον μου· καὶ ἐβούλετο μέν τι καὶ εἰπεῖν, ὑπὸ δὲ τῆς ἀπορίας κατεχόμενος καὶ λόγῳ παραστῆσαι τὴν βίαν, ἣν ὑπέμεινεν,* 25 *οὐκ ἔχων, ἅμα τῷ χᾶναι ἐκωλύετο φθέγγεσθαι ὑπὸ τῆς ἀθυμίας, πρὶν ἢ τοὺς ὀδόντας ὑπερβῆναι διακοπτούσης τὸν λόγον. Ὁρῶν τοίνυν ἐγὼ περίδακρυν ὄντα καὶ πολλῆς πεπλη-*

---

3. Κατὰ τὴν γραφὴν αὐτὴν ὁ ἔξωθεν ἐλθὼν ἐπίσκοπος διὰ νὰ χειροτονήσῃ τοὺς νεοεκλεγέντας ἐκρύπτετο, ὥστε νὰ μὴ γίνῃ ἀντιληπτὸς ὑπὸ τῶν διωκτῶν τῆς Ἐκκλησίας καὶ τῶν δυστροπούντων νέων. Κατ' ἄλλην γραφὴν μετὰ τὸ «κρυπτομένου» προστίθενται αἱ λέξεις «μου, αὐτός», ὁπότε ἐννοεῖται ὁ Χρυσόστομος ὡς κρυπτόμενος. Εἰς ὅλην ὅμως τὴν πραγματείαν γίνεται λόγος περὶ φυγῆς καὶ οὐχὶ ἀπο-

ποίμνην τοῦ Χριστοῦ ἀπὸ τὰς ὑπηρεσίας ἑνὸς νέου τόσον καλοῦ καὶ ἐπιτηδείου εἰς τὴν διεύθυνσιν τῶν κοινῶν. Δὲν τοῦ ἐφανέρωσα λοιπὸν τὴν γνώμην ποὺ εἶχα σχηματίσει διὰ τὴν ἀντιμετώπισιν τῆς καταστάσεως, μολονότι ποτὲ προηγουμένως δὲν τοῦ εἶχα κρύψει καμμίαν σκέψιν μου. Τοῦ εἶπα μόνον ν' ἀναβάλωμεν τὴν λῆψιν τῆς ἀποφάσεως δι' ἄλλην ὥραν, ἐφ' ὅσον τὸ ζήτημα δὲν ἦτο κατεπεῖγον, τὸν ἔπεισα ἀμέσως νὰ μὴ τὸ σκέπτεται τώρα καθόλου καὶ τὸν ἄφησα νὰ πιστεύῃ ὅτι θὰ συμφωνήσω καὶ ἐγὼ μαζί του, ἂν συμβῇ νὰ χειροτονηθῇ διὰ τῆς βίας.

Ἔπειτα ἀπὸ ὀλίγον καιρὸν ἦλθε κρυφὰ[3] ὁ ἐπίσκοπος ποὺ ἐπρόκειτο νὰ μᾶς χειροτονήσῃ, ὁ δὲ φίλος μου, ποὺ δὲν τὸ εἶχε μάθει, προσεκλήθη μὲ κάποιαν ἄλλην πρόφασιν καὶ ἠναγκάσθη νὰ δεχθῇ τὸν ζυγὸν τῆς ἱερωσύνης, ἐλπίζων ὅτι σύμφωνα μὲ τὴν ὑπόσχεσίν μου θὰ τὸν ἀκολουθήσω καὶ ἐγὼ ἢ μᾶλλον νομίζων ὅτι αὐτὸς ἀκολουθεῖ ἐμέ. Διότι μερικοὶ ἀπὸ τοὺς παρισταμένους, μόλις τὸν εἶδαν νὰ δυσανασχετῇ διὰ τὴν σύλληψιν, τὸν ἐξηπάτησαν λέγοντες ὅτι εἶναι παράξενον, ὁ μὲν θρασύτερος κατὰ τὴν κοινὴν πεποίθησιν (ἐννοοῦντες ἐμὲ) νὰ ὑπακούσῃ μὲ πολλὴν εὐκολίαν εἰς τὴν ἀπόφασιν τῶν πατέρων, αὐτὸς δὲ ποὺ θεωρεῖται πολὺ φρονιμώτερος καὶ ἡμερώτερος νὰ αὐθαδιάζῃ μὲ ἔπαρσιν, νὰ προσπαθῇ νὰ ξεφύγῃ καὶ ν' ἀντιλέγῃ. Ἔπειτα ἀπὸ αὐτὰ τὰ λόγια ὑπεχώρησε. Μόλις ὅμως ἐπληροφορήθη ὅτι ἐγὼ διέφυγα, μ' ἐπεσκέφθη σπίτι μου κατηφής, ἐκάθησε δίπλα μου καὶ ἤθελε νὰ μοῦ ὁμιλήσῃ, ἀλλὰ δὲν εὕρισκε λόγους νὰ παραστήσῃ τὸν ἐκβιασμὸν ποὺ ὑπέστη· μόλις ἤνοιγε τὸ στόμα του, ἡ στενοχωρία τὸν ἠμπόδιζε νὰ ὁμιλήσῃ, τοῦ ἔκοβε τὰ λόγια προτοῦ περάσουν τὰ δόντια. Ἐγὼ τότε, καθὼς τὸν ἔβλεπα δακρυσμένον καὶ ταρα-

---

κρύψεως τοῦ Χρυσοστόμου. Διετυπώθη ἡ γνώμη ὅτι πρόκειται περὶ τοῦ Ἐπισκόπου Σαμοσάτων Εὐσεβίου, ὁ ὁποῖος ἔδειξε πολλὴν ἀνδρείαν εἰς τὴν προσπάθειαν ἀναδιοργανώσεως καὶ στερεώσεως τῶν διωκομένων ὑπὸ τοῦ Οὐάλεντος Ἐκκλησιῶν.

ρωμένον τῆς ταραχῆς καὶ τὴν αἰτίαν εἰδώς, ἐγέλων τε ὑπὸ πολλῆς τῆς ἡδονῆς καὶ τὴν δεξιὰν κατέχων ἐβιαζόμην καταφιλεῖν· καὶ τὸν Θεὸν ἐδόξαζον, ὅτι μοι τὰ τῆς μηχανῆς τέλος εἶχε καλὸν καὶ οἷον ηὐχόμην ἀεί. Ὡς δὲ εἶδε περι-
5 *χαρῆ τε ὄντα καὶ φαιδρόν, καὶ πρότερον ἠπατημένος ὑφ᾽ ἡμῶν ᾔσθετο, καὶ μᾶλλον ἐδάκνετο καὶ ἐδυσχέραινε.*

7. *Καί ποτε μικρὸν ἀπ᾽ ἐκείνου καταστὰς τοῦ θορύβου τῆς ψυχῆς·*

ΒΑΣΙΛΕΙΟΣ. Ἀλλ᾽ εἰ καὶ τὸ ἡμέτερον, φησί, μέρος
10 *διέπτυσας καὶ λόγον ἡμῶν ἔχεις οὐδένα λοιπὸν (ὡς ἔγωγε οὐκ οἶδα ἀνθ᾽ ὅτου), τῆς γοῦν ὑπολήψεως ἔδει σε φροντίσαι τῆς σῆς. Νῦν δὲ τὰ πάντων ἠνέῳξας στόματα, καὶ δόξης σε ἐρῶντα κενῆς τὴν λειτουργίαν ταύτην παρῃτῆσθαι λέγουσιν ἅπαντες, ὁ δὲ ἐξαιρησόμενός σε τῆς κατηγορίας ταύτης οὐκ*
15 *ἔστιν. Ἐμοὶ δὲ οὐδὲ εἰς ἀγορὰν ἐμβαλεῖν ἀνεκτόν· τοσοῦτοι οἱ προσιόντες ἡμῖν καὶ καθ᾽ ἑκάστην ἐγκαλοῦντες τὴν ἡμέραν. Ὅταν γὰρ ἴδωσι φανέντα που τῆς πόλεως, λαβόντες κατὰ μόνας ὅσοι πρὸς ἡμᾶς οἰκείως ἔχουσι, τῷ πλείονί με τῆς κατηγορίας ὑποβάλλουσι μέρει. Εἰδότα γὰρ αὐτοῦ τὴν γνώ-*
20 *μην, φασὶν (οὐδὲ γὰρ ἄν σε ἔλαθέ τι τῶν ἐκείνου), οὐκ ἔδει ἀποκρύψασθαι, ἀλλ᾽ ἡμῖν ἀνακοινώσασθαι ἐχρῆν, καὶ πάντως οὐκ ἂν ἠπορήσαμεν πρὸς τὴν ἄγραν μηχανῆς. Ἐγὼ δέ, ὅτι μέν σε οὐ ᾔδειν ἐκ πολλοῦ ταῦτα βουλόμενον, αἰσχύνομαι καὶ ἐρυθριῶ πρὸς ἐκείνους εἰπεῖν, μήποτε καὶ ὑπόκρισιν τὴν*
25 *ἡμετέραν εἶναι νομίσωσι φιλίαν. Εἰ γὰρ καὶ ἔστιν (ὥσπερ οὖν καὶ ἐστί· καὶ οὐδὲ ἂν αὐτὸς ἀρνηθείης, ἐξ ὧν εἰς ἡμᾶς ἔπραξας νῦν), ἀλλὰ τοὺς ἔξωθεν καὶ μετρίαν γοῦν περὶ ἡμῶν ἔχοντας δόξαν καλὸν τὰ ἡμέτερα κρύπτειν κακά. Εἰπεῖν μὲν*

---

4. Αἱ ἐκφράσεις «κατηγορία», «ἐγκαλοῦντες», «κρίνεσθαι», «γράφοντας», «δοῦναι δίκην» κλπ. δεικνύουν ὅτι ἐδόθη δικαστικὸς τόνος εἰς τὴν ὑπόθεσιν, ὁ δὲ Χρυσόστομος ἀπαγγέλλει τὴν «ἀπολογίαν» αὐτοῦ, ἐν τῇ ὁποίᾳ ἐκθέτει καὶ τὰς περὶ ἱερωσύνης γνώμας του. Ἡ κατηγορία τοῦ Βασιλείου λήγει ἐν Α´ 7. Ἔκτοτε οὗτος λαμβάνει εἰς τὸν

γμένον, καὶ φυσικὰ ἐγνώριζα διὰ ποῖον λόγον εὑρίσκεται εἰς αὐτὴν τὴν κατάστασιν, ἤρχισα νὰ γελῶ ἀπὸ τὴν χαράν μου καὶ κρατῶν τὸ δεξιόν του χέρι ἐπροσπαθοῦσα νὰ τὸν φιλήσω· καὶ ἐδόξασα τὸν Θεὸν ποὺ ἡ μηχανή μου ἐπέτυχε τὸν σκοπόν της. Ἐκεῖνος ὅμως ἐλυπεῖτο καὶ ἐστενοχωρεῖτο περισσότερον τώρα, ποὺ μὲ εἶδε χαρούμενον καὶ γελαστόν, καὶ ἐκατάλαβεν ὅτι τοῦ εἶχα προετοιμάσει ἀπάτην.

7. Καὶ ἀφοῦ κάποτε ἡσύχασεν ἀπὸ τὴν ταραχήν του, εἶπεν.

ΒΑΣΙΛΕΙΟΣ. Ἂν ἐμένα μὲ περιεφρόνησες τελείως καὶ δὲν μὲ ὑπολογίζῃς πλέον καθόλου, δὲν ξεύρω διὰ ποῖον λόγον, τοὐλάχιστον, πρέπει νὰ φροντίσῃς διὰ τὴν ἰδικήν σου ὑπόληψιν. Ἀλλ' ἐσὺ μὲ τὴν στάσιν σου ἤνοιξες ὅλου τοῦ κόσμου τὰ στόματα καὶ ὅλοι λέγουν ὅτι περιεφρόνησες τὸ ἱερὸν λειτούργημα ἀπὸ ματαιοδοξίαν, καὶ δὲν ὑπάρχει κανεὶς νὰ σὲ ἀπαλλάξῃ ἀπὸ τὴν κατηγορίαν. Ἐγὼ οὔτε εἰς τὴν ἀγορὰν δὲν τολμῶ νὰ παρουσιασθῶ, διότι πάρα πολλοὶ μὲ πλησιάζουν καθημερινῶς καὶ ἀρχίζουν τὰς κατηγορίας. Μόλις φανῶ εἰς κανὲν σημεῖον τῆς πόλεως, μὲ παίρνουν ἰδιαιτέρως οἱ φίλοι μας καὶ μοῦ ἐπιρρίπτουν τὴν μεγαλυτέραν εὐθύνην δι' ὅ,τι συνέβη[4]. Ἀφοῦ ἐγνώριζες, λέγουν, τὴν γνώμην του — διότι καμμία σκέψις του δὲν σοῦ ἦτο ἄγνωστος — δὲν ἔπρεπε νὰ τὴν κρύψῃς· ἔπρεπε νὰ μᾶς τὴν γνωστοποιήσῃς καὶ ἡμεῖς θὰ εὑρίσκαμεν τρόπον νὰ τὸν συλλάβωμεν. Καὶ ἐγὼ κοκκινίζω καὶ ἐντρέπομαι νὰ τοὺς εἰπῶ ὅτι δὲν ἤξευρα ὅτι εἶχες αὐτὴν τὴν ἀπόφασιν ἀπὸ καιρόν, διότι φοβοῦμαι μήπως νομίσουν ὅτι ἡ φιλία μας εἶναι ὑποκριτική. Ἀκόμη δὲ καὶ νὰ εἶναι ὑποκριτικὴ — ὅπως καὶ εἶναι πραγματικὰ καὶ οὔτε ἐσὺ θὰ τὸ ἀρνηθῇς ἔπειτα ἀπὸ τὴν σημερινήν σου συμπεριφορὰν ἀπέναντί μου —, νομίζω ὅτι εἶναι καλὸν νὰ τὸ κρύπτωμεν ἀπὸ τοὺς ἄλλους ποὺ μᾶς ἔχουν εἰς καλὴν ὑπόληψιν. Νὰ τοὺς εἰπῶ λοιπὸν

διάλογον ἀμυντικὴν θέσιν καὶ μάλιστα ὑποβοηθητικὴν εἰς τὴν ἔκθεσιν τῶν γνωμῶν τοῦ Χρυσοστόμου.

οὖν πρὸς αὐτοὺς τἀληθές, καὶ ὡς ἔχει τὰ καθ' ἡμᾶς, ὀκνῶ· ἀναγκάζομαι δὲ λοιπὸν σιωπᾶν καὶ κύπτειν εἰς γῆν καὶ τοὺς ἀπαντῶντας ἐκτρέπεσθαι καὶ ἀποπηδᾶν. Κἂν γὰρ τὴν προτέραν ἐκφύγω κατάγνωσιν, ψεύδους ἀνάγκη με κρίνεσθαι
5 *λοιπόν. Οὐδὲ γὰρ ἐθελήσουσι πιστεῦσαί ποτε ὅτι καὶ Βασίλειον μετὰ τῶν ἄλλων ἔταξας, οἷς οὐ θέμις εἰδέναι τὰ σά.*

Ἀλλὰ τούτων μὲν οὐ πολύς μοι λόγος, ἐπειδή σοι τοῦτο γέγονεν ἡδύ· τὴν δὲ λοιπὴν πῶς οἴσομεν αἰσχύνην; Οἱ μὲν γὰρ ἀπονοίας, οἱ δὲ φιλοδοξίας σε γράφονται· ὅσοι δέ εἰσιν
10 *ἀφειδέστεροι τῶν αἰτιωμένων, ταῦθ' ἡμῖν ἐγκαλοῦσιν ἀμφότερα ὁμοῦ καὶ προστιθέασι τὴν εἰς τοὺς τετμηκότας ὕβριν, δίκαια πεπονθέναι λέγοντες ἑαυτοὺς καὶ εἰ μείζονα τούτων ἀτιμασθέντες ἔτυχον παρ' ἡμῶν, ὅτι τοσούτους καὶ τηλικούτους ἀφέντες ἄνδρας, μειράκια χθὲς καὶ πρώην ἔτι ταῖς τοῦ*
15 *βίου μερίμναις ἐγκαλινδούμενα, ἵνα χρόνον βραχὺν τὰς ὀφρῦς συναγάγωσι καὶ φαιὰ περιβάλλωνται καὶ κατήφειαν ὑποκρίνωνται, ἐξαίφνης εἰς τοσαύτην ἤγαγον τιμήν, ὅσην οὐδὲ ὄναρ λήψεσθαι προσεδόκησαν. Καὶ οἱ μὲν ἐκ πρώτης ἡλικίας εἰς ἔσχατον γῆρας τὴν ἑαυτῶν ἐκτείναντες ἄσκησιν*
20 *ἐν τοῖς ἀρχομένοις εἰσίν· ἄρχουσι δὲ αὐτῶν οἱ παῖδες αὐτῶν καὶ μηδὲ τοὺς νόμους ἀκηκοότες, καθ' οὓς ταύτην δεῖ διοικεῖν τὴν ἀρχήν. Ταῦτα καὶ πλείονα τούτων λέγοντες συνεχῶς ἡμῖν ἐπιφύονται. Ἐγὼ δὲ ὅ,τι μὲν ἀπολογήσομαι πρὸς ταῦτα οὐκ ἔχω, δέομαι δέ σου φράσαι μοι. Οὐδὲ γὰρ ἁπλῶς,*
25 *οὐδὲ εἰκῇ ταύτην οἶμαί σε φυγεῖν τὴν φυγὴν καὶ πρὸς ἄνδρας οὕτω μεγάλους τοσαύτην ἀναδέξασθαι τὴν ἔχθραν, ἀλλὰ μετά τινος λογισμοῦ καὶ σκέψεως ἐπὶ τοῦτο ἐλθεῖν, ὅθεν καὶ*

τὴν ἀλήθειαν, διὰ τὰς μεταξύ μας σχέσεις δὲν τολμῶ καὶ ἔτσι ἀναγκάζομαι νὰ σιωπῶ καὶ νὰ σκύβω εἰς τὸ ἔδαφος, ν' ἀποφεύγω ὅσους μὲ συναντοῦν καὶ νὰ λοξοδρομῶ. Ἐὰν δὲ μὲ ἀπαλλάξουν ἀπὸ τὴν προηγουμένην κατηγορίαν τῆς ὑποκριτικῆς φιλίας, τότε θὰ μὲ κατηγορήσουν ὡς ψεύστην. Διότι ποτὲ δὲν θὰ θελήσουν νὰ πιστεύσουν ὅτι ἐσὺ κατέταξες καὶ τὸν Βασίλειον εἰς τὴν ἰδίαν μοῖραν μὲ τοὺς ἄλλους ποὺ δὲν ἠμποροῦν νὰ γνωρίσουν τὰς σκέψεις σου.

Ἀλλὰ δὲν ἠμπορῶ ν' ἀσχοληθῶ πολὺ μὲ τὴν πλευρὰν αὐτήν, ἀφοῦ ἔτσι σοῦ ἤρεσεν. Τὴν ἄλλην ἐντροπὴν ὅμως πῶς θὰ τὴν ὑποφέρωμεν; Διότι ἄλλοι σὲ κατηγοροῦν ὡς ὑπερόπτην, ἄλλοι ὡς φιλόδοξον καὶ ἄλλοι τέλος, ἀφειδέστεροι, σοῦ ἀποδίδουν καὶ τὰς δύο αὐτὰς κατηγορίας μαζί. Ἀκόμη δὲ ὑβρίζουν καὶ τοὺς ἐκλέκτορας ποὺ μᾶς ἔκαμαν αὐτὴν τὴν τιμὴν καὶ λέγουν ὅτι τοὺς ἤξιζε νὰ πάθουν καὶ μεγαλυτέραν ἀκόμη ἀτιμίαν ἀπὸ ἡμᾶς, διότι παρέβλεψαν τόσους ἄνδρας μεγάλης ἀξίας καὶ προσέφεραν ἐξαφνικὰ τὰς τιμητικὰς αὐτὰς θέσεις εἰς τὰ χθεσινὰ παιδάκια, ποὺ δὲν τὰς εἶχαν ἐλπίσει οὔτε εἰς τὸν ὕπνον των· τὰς προσέφεραν εἰς παιδάκια ποὺ πρὸ ὀλίγου καιροῦ ἀκόμη ἠσχολοῦντο μὲ τὰς φροντίδας τοῦ κόσμου, μόνον καὶ μόνον διότι τώρα τελευταῖα ἐσυμμάζευσαν τὰ φρύδια των, ἐφόρεσαν μαῦρα καὶ ὑποκρίνονται τοὺς σοβαροὺς καὶ κατηφεῖς. Ἐκεῖνοι ποὺ ἔζησαν εἰς τὴν ἄσκησιν ἀπὸ τὴν παιδικήν των ἡλικίαν ἕως τὸ βαθὺ γῆρας εὑρίσκονται μεταξὺ τῶν ἀρχομένων, ἄρχοντες δὲ αὐτῶν εἶναι τὰ παιδιά των ποὺ οὔτε κἂν ἔχουν ἀκούσει τοὺς κανόνας, σύμφωνα μὲ τοὺς ὁποίους ἀσκεῖται ἡ ἐξουσία αὐτή. Αὐτὰ καὶ ἄλλα παρόμοια ἔρχονται καὶ μοῦ λέγουν συνεχῶς. Καὶ ἐγὼ δὲν ἔχω τί νὰ τοὺς ἀπολογηθῶ καὶ σὲ παρακαλῶ νὰ μὲ διαφωτίσῃς ἐσύ. Διότι δὲν φαντάζομαι ν' ἀπέκρουσες τὴν χειροτονίαν καὶ νὰ ἐκίνησες τὴν ἔχθραν τόσων μεγάλων ἀνθρώπων χωρὶς κανένα λόγον· φαντάζομαι νὰ ἔφθασες εἰς τὴν ἀπόφασιν αὐτὴν ἔπειτα ἀπὸ ὑπολογισμὸν καὶ ὥριμον σκέψιν, διὰ τοῦτο δὲ θὰ ἔχῃς καὶ

λόγον ἕτοιμον εἶναί σοι πρὸς ἀπολογίαν στοχάζομαι. Εἰπὲ οὖν εἴ τινα πρόφασιν δικαίαν πρὸς τοὺς ἐγκαλοῦντας δυνησόμεθα λέγειν.

Ὧν γὰρ αὐτὸς ἠδίκημαι παρὰ σοῦ, οὐδένα ἀπαιτῶ λό-
5 *γον, οὐχ ὧν ἠπάτησας, οὐχ ὧν προὔδωκας, οὐχ ὧν ἀπήλαυσας παρ' ἡμῶν ἅπαντα τὸν ἔμπροσθεν χρόνον. Ἡμεῖς μὲν γὰρ καὶ τὴν ψυχὴν τὴν ἡμετέραν, ὡς εἰπεῖν, φέροντες ἐνεθήκαμέν σου ταῖς χερσί, σὺ δὲ τοσαύτῃ πρὸς ἡμᾶς ἐχρήσω τῇ πανουργίᾳ, ὅσηπερ ἂν εἰ πολεμίους σοί τινας φυλάξασθαι*
10 *προὔκειτο. Καὶ τοί γε ἐχρῆν, εἰ μὲν ὠφέλιμον ταύτην ᾔδεις οὖσαν τὴν γνώμην μηδὲ σεαυτὸν τὸ κέρδος φυγεῖν εἰ δὲ ἐπιβλαβῆ, καὶ ἡμᾶς, οὓς ἁπάντων ἀεὶ προτιμᾶν ἔλεγες, ἀπαλλάξαι τῆς ζημίας. Σὺ δὲ καὶ ὅπως ἐμπεσούμεθα, ἅπαντα ἔπράξας· καὶ δόλου σου καὶ ὑποκρίσεως ἐδέησεν οὐδὲν πρὸς*
15 *τὸν ἀδόλως καὶ ἁπλῶς ἅπαντα καὶ λέγειν καὶ πράττειν εἰωθότα πρὸς σέ.*

Ἀλλ' ὅμως, ὅπερ ἔφην, οὐδὲν τούτων ἐγκαλῶ νῦν, οὐδὲ ὀνειδίζω τὴν ἐρημίαν, εἰς ἣν κατέστησας ἡμᾶς, τὰς συνόδους διακόψας ἐκείνας, ἐξ ὧν καὶ ἡδονὴν καὶ ὠφέλειαν οὐ τὴν
20 *τυχοῦσαν ἐκαρπωσάμεθα πολλάκις. Ἀλλὰ πάντα ἀφίημι καὶ φέρω σιγῇ καὶ πράως· οὐκ ἐπειδὴ πράως εἰς ἡμᾶς ἐπλημμέλησας, ἀλλ' ἐπειδὴ τοῦτον ἔθηκα ἐμαυτῷ τὸν νόμον ἀπὸ τῆς ἡμέρας ἐκείνης, ἧς τὴν φιλίαν ἔστερξα τὴν σήν, ὑπὲρ ὧν ἂν θέλῃς ἡμᾶς λυπεῖν, μηδέποτέ σε εἰς ἀπολογίας ἀνάγκην*
25 *καθιστᾶν. Ἐπεὶ ὅτι γε οὐκ εἰς μικρὰ τὴν ζημίαν ἡμῖν ἐπήγαγες, οἶσθα καὶ αὐτός, εἴ γε μέμνησαι τῶν ῥημάτων καὶ τῶν παρὰ τῶν ἔξωθεν περὶ ἡμῶν καὶ τῶν ὑφ' ἡμῶν λεγομένων ἀεί. Ταῦτα δὲ ἦν ὅτι πολὺ κέρδος ἡμῖν ὁμοψύχως εἶναί τε καὶ φράττεσθαι τῇ πρὸς ἀλλήλους φιλίᾳ. Καὶ οἱ μὲν ἄλλοι*
30 *πάντες ἔλεγον καὶ ἑτέροις πολλοῖς οὐ μικρὰν ὠφέλειαν τὴν*

τὴν ἀπολογίαν σου ἑτοίμην. Εἰπέ μου λοιπὸν ἂν ἠμποροῦμεν νὰ προβάλωμεν εἰς τοὺς κατηγόρους καμμίαν εὔλογον πρόφασιν.

Διὰ τὴν ἀδικίαν ποὺ ἔκαμες εἰς ἐμὲ προσωπικῶς δὲν σοῦ ζητῶ τὸν λόγον· οὔτε διὰ τὴν ἀπάτην οὔτε διὰ τὴν προδοσίαν σου πρὸς ἐμὲ ποὺ πάντοτε ἔτρεφα τόσον φιλικὰ αἰσθήματα δι' ἐσέ. Ἐγὼ ἀκόμη καὶ τὴν ψυχήν μου — διὰ νὰ χρησιμοποιήσω μίαν εἰκόνα — σοῦ τὴν ἔφερα καὶ τὴν ἀπέθεσα εἰς τὰ χέρια σου, ἐνῷ ἐσὺ ἔδειξες τόσην πανουργίαν ἀπέναντί μου, σὰν νὰ ἐπρόκειτο νὰ φυλαχθῇς ἀπὸ κανένα ἐχθρόν σου. Καὶ ὅμως ἔπρεπε νὰ ἐνεργήσῃς ὡς ἑξῆς· ἐὰν μὲν ἤσουν βέβαιος ὅτι ἡ ἀπόφασις νὰ χειροτονηθοῦμεν ἦτο ὠφέλιμος, νὰ μὴ χάσῃς καὶ σὺ τὴν ὠφέλειαν, ἐὰν δὲ τὴν ἐθεωροῦσες ἐπιβλαβῆ, ν' ἀπαλλάξῃς ἀπὸ τὴν ζημίαν καὶ ἐμὲ ποὺ πάντοτε ἔλεγες ὅτι μὲ ἀγαπᾷς περισσότερον ἀπὸ ὅλους. Σὺ ὅμως ἀντίθετα ἔκαμες τὸ πᾶν διὰ νὰ πέσω εἰς τὴν παγίδα· συμπεριεφέρθης μὲ δόλον καὶ ὑποκρισίαν πρὸς ἐκεῖνον ποὺ πάντοτε συνήθιζε νὰ σοῦ ὁμιλῇ καὶ νὰ σοῦ φέρεται μὲ εἰλικρίνειαν καὶ μὲ ἁπλότητα.

Ἀλλὰ τέλος, εἶπα, δὲν σὲ κατηγορῶ τώρα δι' αὐτὰ οὔτε σοῦ ζητῶ τὸν λόγον διὰ τὴν μοναξιάν, εἰς τὴν ὁποίαν μὲ κατεδίκασες μὲ τὴν διακοπὴν ἐκείνης τῆς συχνῆς συναναστροφῆς, εἰς τὴν ὁποίαν εὕρισκα τόσην εὐχαρίστησιν καὶ ὠφέλειαν. Ἀλλὰ τὰ ἀφήνω ὅλα καὶ τὰ ὑπομένω μὲ σιωπὴν καὶ πραότητα, ὄχι διότι καὶ σὺ μὲ πραότητα μὲ προσέβαλες, ἀλλὰ διότι ἀπὸ τὴν ἡμέραν ποὺ ἐδέχθην τὴν φιλίαν σου ἔθεσα εἰς τὸν ἑαυτόν μου τὸν ὅρον νὰ μὴ σὲ φέρω ποτὲ εἰς τὴν δύσκολον θέσιν νὰ ἀπολογηθῇς διὰ τὰς πικρίας ποὺ θὰ μοῦ προξενήσῃς. Φυσικὰ γνωρίζεις καὶ ὁ ἴδιος ὅτι δὲν μοῦ ἐπροξένησες μικρὰν ζημίαν. Θυμήσου ὅσα ἔλεγαν καὶ οἱ ἄλλοι καὶ ἡμεῖς μεταξύ μας· ὅτι κερδίζομεν πολλὰ πράγματα ἀπὸ τὴν ὁμοφροσύνην καὶ τὴν φιλικὴν ἀλληλοϋποστήριξίν μας. Καὶ οἱ μὲν ἄλλοι ὅλοι ἔλεγαν ὅτι ἡ ὁμόνοιά μας θὰ ὠφελήσῃ πολὺ καὶ πολλοὺς ἄλλους, ἐγὼ ὅμως ποτὲ δὲν

ἡμετέραν οἴσειν ὁμόνοιαν, ἐγὼ δὲ ὠφέλειαν μὲν οὐδέποτε ἐνενόησα, τό γε εἰς ἐμὲ ἧκον, παρέξειν τισίν· ἔλεγον δέ, ὅτι τοῦτο γοῦν ἀπ' αὐτῆς κερδανοῦμεν κέρδος οὐ μικρόν, τὸ δυσχείρωτοι εἶναι τοῖς καταγωνίσασθαι βουλομένοις ἡμᾶς. Καὶ
5 *ταῦτά σε ὑπομιμνήσκων οὐκ ἐπαυσάμην ποτέ· χαλεπὸς ὁ καιρός, οἱ ἐπιβουλεύοντες πολλοί· τὸ τῆς ἀγάπης γνήσιον ἀπόλωλεν, ἀντεισῆκται δὲ ὁ τῆς βασκανίας ὄλεθρος· «ἐν μέσῳ παγίδων διαβαίνομεν καὶ ἐπὶ ἐπάλξεων πόλεων περιπατοῦμεν»· οἱ μὲν ἕτοιμοι τοῖς ἡμετέροις ἐφησθῆναι κακοῖς, εἴποτέ*
10 *τι συμβαίη, πολλοὶ καὶ πολλαχόθεν ἐφεστήκασιν· ὁ δὲ συναλγήσων οὐδεὶς ἢ καὶ εὐαρίθμητοι λίαν. Ὅρα μὴ διαστάντες ποτὲ πολὺν τὸν γέλωτα ὀφλήσωμεν καὶ τοῦ γέλωτος μείζονα τὴν ζημίαν. «Ἀδελφὸς ὑπὸ ἀδελφοῦ βοηθούμενος, ὡς πόλις ὀχυρὰ καὶ ὡς μεμοχλευμένη βασιλεία». Μὴ δὴ διαλύσῃς*
15 *ταύτην τὴν γνησιότητα, μηδὲ διακόψῃς τὸν μοχλόν. Ταῦτα καὶ τὰ τούτων πλείονα ἔλεγον συνεχῶς· οὐδὲν μέν ποτε ὑποπτεύων τοιοῦτον, ἀλλὰ καὶ πάνυ σε τὰ πρὸς ἡμᾶς ὑγιαίνειν νομίζων ἐκ περιουσίας δὲ καὶ ὑγιαίνοντα θεραπεύειν βουλόμενος· ἐλάνθανον δέ, ὡς ἔοικε, νοσοῦντι τὰ φάρμακα ἐ-*
20 *πιτιθείς. Καὶ οὐδὲ οὕτως ὁ δείλαιος ὤνησα, οὐδὲ γέγονέ μοί τι πλέον ἐκ ταυτησί τῆς ἄγαν προμηθείας.*

Πάντα γὰρ ἐκεῖνα ῥίψας ἀθρόως καὶ οὐδὲ εἰς νοῦν βαλόμενος, ὥσπερ ἀνερμάτιστον πλοῖον εἰς πέλαγος ἡμᾶς ἄπειρον ἀφῆκας, οὐδὲν τῶν ἀγρίων ἐκείνων ἐννοήσας κυ-
25 *μάτων, ἅπερ ἡμᾶς ὑπομένειν ἀνάγκη. Εἰ γάρ ποτε συμβαίη συκοφαντίαν ἢ χλευασίαν ἢ καὶ ἄλλην τινὰ ὕβριν καὶ ἐπήρειαν ἡμῖν ἐπενεχθῆναί ποθεν (πολλάκις δὲ συμβαίνειν τὰ τοιαῦτα ἀνάγκη), πρὸς τίνα καταφευξόμεθα; τίνι κοινωσόμεθα τὰς ἡμετέρας ἀθυμίας; τίς ἡμῖν ἀμῦναι θελήσει, καὶ*
30 *τοὺς μὲν λυποῦντας ἀνακόψει καὶ ποιήσει μηκέτι λυπεῖν, ἡμᾶς δὲ παραμυθήσεται καὶ παρασκευάσει τὰς ἑτέρων φέρειν ἀ-*

---

5. Σειρ. 9, 13.
6. Παροιμ. 18, 19.

ἐσκέφθην ὅτι θὰ ὠφελούσαμεν ἄλλους, τοὐλάχιστον ὅσον ἐξηρτᾶτο ἀπὸ ἐμέ, ἀλλὰ πάντως ἔλεγα ὅτι θὰ ἔχωμεν τὸ ἐξαιρετικὸν κέρδος νὰ μείνωμεν ἀπρόσβλητοι ἀπὸ τοὺς ἐχθρούς μας. Καὶ ποτὲ δὲν ἔπαυσα νὰ σοῦ ὑπενθυμίζω ὅτι οἱ καιροὶ εἶναι δύσκολοι, ὅτι ὑπάρχουν πολλοὶ ἐπίβουλοι καὶ ὅτι ἡ γνησία ἀγάπη ἐξηφανίσθη καὶ ἀντικατεστάθη ἀπὸ τὸν φθόνον· «διαβαίνομεν ἀνάμεσα ἀπὸ παγίδας καὶ περιπατοῦμεν ἐπάνω εἰς ἐπικινδύνους ἐπάλξεις»[5]. Εἰς ὅλα τὰ σημεῖα ὑπάρχουν πολλοὶ ἄνθρωποι ποὺ θὰ εὐχαριστηθοῦν ἂν μᾶς συμβοῦν ἀτυχίαι καὶ κανεὶς δὲν θὰ λυπηθῇ μαζί μας, ἐκτὸς ἴσως ἐλαχίστων. Πρόσεχε μήπως ἔλθωμεν ποτὲ εἰς διάστασιν καὶ εἰς μὲν τοὺς ἄλλους προκαλέσωμεν τὰ γέλοια, ἡμεῖς δὲ ὑποστοῦμεν μεγάλην ἠθικὴν ζημίαν. «Κάθε ἄνθρωπος ποὺ ὑποστηρίζεται ἀπὸ ἀδελφὸν εἶναι σὰν πόλις ὠχυρωμένη καὶ σὰν ἀνάκτορον ἀσφαλισμένον μὲ μοχλούς»[6]. Μὴ διαλύσῃς λοιπὸν αὐτὴν τὴν γνησίαν φιλίαν, μὴ καταστρέψῃς τὴν ἀσφάλειαν ποὺ μᾶς χαρίζει. Αὐτὰ καὶ ἄλλα περισσότερα σοῦ ἔλεγα συνεχῶς μὴ ὑποπτευόμενος ὅτι κάποτε θὰ πραγματοποιηθοῦν, διότι ἐπίστευα ὅτι ἤσουν εἰλικρινὴς ἀπέναντί μου. Ἤθελα ἁπλῶς νὰ σὲ θεραπεύσω προληπτικῶς ὅταν ἀκόμη ἤσουν ὑγιὴς καὶ δὲν ὑπωπτεύθην ὅτι ἔδιδα φάρμακα εἰς ἀσθενῆ, πρᾶγμα ποὺ ἀπεδείχθη τώρα. Καὶ παρ' ὅλας αὐτὰς τὰς προφυλάξεις δὲν κατώρθωσα τίποτε ὁ δυστυχής.

Διότι ἐσὺ τὰς συμβουλάς μου δὲν τὰς ἔλαβες καθόλου ὑπ' ὄψιν, ἀλλὰ τὰς περιεφρόνησες τελείως καὶ μὲ ἄφησες ἀκατατόπιστον εἰς τὸ ἄπειρον πέλαγος, σὰν πλοῖον χωρὶς σαβοῦραν, παραβλέπων ὅλα τὰ ἄγρια κύματα ποὺ θὰ μὲ κτυπήσουν. Καὶ ἂν κάποτε συμβῇ νὰ μὲ συκοφαντήσουν ἢ νὰ μὲ χλευάσουν ἢ νὰ μὲ ὑβρίσουν ἢ νὰ μὲ ἐπιβουλευθοῦν — πράγματα ποὺ συμβαίνουν συχνὰ — εἰς ποῖον θὰ καταφύγω; Εἰς ποῖον θὰ ἐκμυστηρευθῶ τὴν στενοχωρίαν μου; Ποῖος θὰ θελήσῃ νὰ μὲ ὑπερασπισθῇ; Ποῖος θὰ ἐμποδίσῃ ὅσους μὲ λυποῦν νὰ συνεχίσουν τὸ ἔργον των καὶ θὰ μὲ παρηγορήσῃ καὶ θὰ μοῦ δώσῃ θάρρος νὰ ὑπομένω μὲ γεν-

παιδευσίας; Οὐκ ἔστιν οὐδείς, σοῦ πόρρωθεν ἑστηκότος τοῦ δεινοῦ τούτου πολέμου καὶ μηδὲ κραυγὴν ἀκοῦσαι δυναμένου ποτέ. Ἆρα οἶδας ὅσον εἴργασταί σοι κακόν; ἆρα νῦν γοῦν μετὰ τὸ πλῆξαι ἐπιγινώσκεις, ὡς καιρίαν ἡμῖν ἔδωκας τὴν 5 πληγήν;

Ἀλλὰ ταῦτα μὲν ἀφείσθω· οὐδὲ γάρ ἔστι τὰ γενόμενα ἀναλῦσαι λοιπόν, οὐδὲ πόρον τοῖς ἀπόροις εὑρεῖν. Τί πρὸς τοὺς ἔξωθεν ἐροῦμεν; τί πρὸς τὰς αἰτίας ἀπολογησόμεθα τὰς ἐκείνων;

10 *8. ΧΡΥΣΟΣΤΟΜΟΣ. Θάρσει, ἔφην ἐγώ. Οὐ γὰρ τούτων εἰμὶ μόνον ἕτοιμος εὐθύνας ὑπέχειν ἀλλὰ καὶ ὧν ἀνευθύνους ἡμᾶς ἀφῆκας, καὶ τούτων πειράσομαί σοι δοῦναι λόγον, ὡς ἂν οἷός τε ὦ· καί, εἰ βούλει γε, ἀπ' αὐτῶν πρῶτον τῆς ἀπολογίας τῶν λόγων ποιήσομαι τὴν ἀρχήν. Καὶ γὰρ ἂν εἴην 15 ἄτοπος καὶ λίαν ἀγνώμων, εἰ, τῆς παρὰ τῶν ἔξωθεν δόξης, φροντίζων καὶ ὅπως παύσαιντο ἡμῖν ἐγκαλοῦντες πάντα ποιῶν, τὸν ἁπάντων μοι φίλτατον καὶ τοσαύτῃ πρὸς ἡμᾶς αἰδοῖ κεχρημένον, ὡς μηδὲ ὑπὲρ ὧν ἠδικῆσθαί φησιν ἐγκαλέσαι θελῆσαι, ἀλλὰ παρ' οὐδὲν τὰ αὑτοῦ θέμενον ἔτι τῶν ἡμετέρων 20 φροντίζειν, μὴ δυναίμην ὡς οὐκ ἀδικῶ πεῖσαι, ἀλλὰ μείζονι περὶ αὐτῶν φαινοίμην κεχρημένος ῥᾳθυμίᾳ, ἧς αὐτὸς περὶ ἡμᾶς ἐπεδείξατο σπουδῆς.*

Τί ποτ' οὖν σε ἠδικήσαμεν; Ἐπειδὴ καὶ ἐντεῦθεν ἐγνώκαμεν εἰς τὸ τῆς ἀπολογίας ἀφεῖναι πέλαγος· ἆρα ὅ-25 τι σε παρεκρουσάμεθα καὶ τὴν ἡμετέραν ἐκρύψαμεν γνώμην; Ἀλλ' ἐπὶ κέρδει καὶ τοῦ ἀπατηθέντος σοῦ καὶ οἷς ἀπατήσαντές σε προὐδώκαμεν. Εἰ μὲν γὰρ δι' ὅλου τὸ τῆς κλοπῆς κακὸν καὶ οὐκ ἔστιν εἰς δέον αὐτῷ χρήσασθαί ποτε, δοῦναι ἕτοιμοι δίκην ἡμεῖς, ἣν ἂν αὐτὸς ἐθέλῃς· μᾶλλον 30 δὲ σὺ μὲν οὐδέποτε παρ' ἡμῶν ἀνέξῃ δίκην λαβεῖν, ἡμεῖς δὲ

ναιότητα τὴν κακοήθειαν τῶν ἄλλων; Δὲν ὑπάρχει κανείς, ἀφοῦ σὺ στέκεις μακρυὰ ἀπὸ τὸν τρομερὸν πόλεμον καὶ δὲν εἶσαι εἰς θέσιν οὔτε τὴν ἀπεγνωσμένην κραυγήν μου νὰ ἀκούσῃς. Γνωρίζεις ἆρά γε τί κακὸν μοῦ ἐπροξένησες; Καταλαβαίνεις ἆρά γε τώρα πόσον βαθεῖαν πληγὴν μοῦ ἤνοιξες μὲ τὸ κτύπημά σου;

Ἀλλ' ἂς τ' ἀφήσωμεν αὐτὰ τώρα, διότι δὲν εἶναι δυνατὸν νὰ διορθώσωμεν ὅσα ἔγιναν οὔτε νὰ εὕρωμεν διέξοδον εἰς τὰ ἀδιέξοδα. Ἐκεῖνο ποὺ μ' ἐνδιαφέρει εἶναι τί θὰ εἰποῦμεν εἰς τοὺς ἄλλους, τί θ' ἀπολογηθοῦμεν εἰς τὰς κατηγορίας των.

8. ΧΡΥΣΟΣΤΟΜΟΣ. Καὶ τότε ἐγὼ τοῦ ἀπήντησα. Ἔχε θάρρος. Ἐγὼ ὄχι μόνον εἶμαι πρόθυμος ν' ἀναλάβω τὴν εὐθύνην δι' ὅσα μὲ κατηγοροῦν, ἀλλὰ θὰ προσπαθήσω ν' ἀπολογηθῶ κατὰ δύναμιν καὶ δι' ὅσα μὲ ἀπήλλαξες ἀπὸ τὴν εὐθύνην. Καί, ἂν ἐπιθυμῇς, θ' ἀρχίσω τὴν ἀπολογίαν μου ἀπὸ αὐτά. Θὰ ἤμουν παράλογος καὶ πολὺ ἀγνώμων νὰ ἐνδιαφέρωμαι μόνον διὰ τὴν ὑπόληψιν τῶν ἄλλων δι' ἐμὲ καὶ νὰ καταβάλω κάθε προσπάθειαν διὰ τὴν ἀναίρεσιν τῶν ἐναντίον μου κατηγοριῶν των, νὰ μὴ προσπαθήσω δὲ νὰ πείσω τὸν ἀγαπητότερον φίλον μου ὅτι δὲν τὸν ἠδίκησα — τὸν φίλον ποὺ μοῦ φέρεται μὲ τόσην ἐπιείκειαν, ὥστε νὰ μὴ θέλῃ νὰ μὲ κατηγορήσῃ διὰ τὰς ἀδικίας ποὺ νομίζει ὅτι τοῦ ἔκαμα, ποὺ παραμερίζει τὸν ἑαυτόν του καὶ φροντίζει ἀκόμη δι' ἐμέ· θὰ ἤμουν ἀγνώμων νὰ τοῦ δείξω ἀδιαφορίαν μεγαλυτέραν ἀπὸ τὸ ἐνδιαφέρον ποὺ ἔδειξεν αὐτὸς δι' ἐμέ.

Ποίαν ἀδικίαν λοιπὸν σοῦ ἔκαμα; Μὲ τὴν ἐξέτασιν τοῦ θέματος αὐτοῦ κρίνω καλὸν νὰ εἰσέλθω εἰς τὸ πέλαγος τῆς ἀπολογίας. Σὲ ἠδίκησα μήπως διότι σὲ ἠπάτησα καὶ σοῦ ἔκρυψα τὰς σκέψεις μου; Ἀλλ' αὐτὸ τὸ ἔκαμα διὰ νὰ ὠφελήσω καὶ ἐσὲ καὶ ἐκείνους εἰς τοὺς ὁποίους σὲ παρέδωσα δι' ἀπάτης. Ἂν ἡ ἀπάτη εἶναι πάντοτε κακὴ πρᾶξις, ἂν δὲν εἶναι δυνατὸν νὰ χρησιμοποιηθῇ ποτὲ ἐπωφελῶς, τότε ἐγὼ εἶμαι ἕτοιμος νὰ ὑποβληθῶ εἰς οἱανδήποτε τιμωρίαν θέλεις·

ἑαυτῶν καταγνωσόμεθα ταῦτα, ἃ τῶν ἀδικούντων οἱ δικάζοντες, ὅταν αὐτοὺς ἕλωσιν οἱ κατήγοροι. Εἰ δὲ οὐκ ἀεὶ τὸ πρᾶγμα ἐπιβλαβές, ἀλλὰ παρὰ τὴν τῶν χρωμένων προαίρεσιν γίνεται φαῦλον ἢ καλόν, ἀφεὶς ἐγκαλεῖν τὸ ἠπατῆσθαι, δεῖξον 5 *ἐπὶ κακῷ τοῦτο τεχνασαμένους· ὡς ἕως ἂν τοῦτο ἀπῇ, μὴ ὅτι μέμψεις καὶ αἰτίας ἐπάγειν, ἀλλὰ καὶ ἀποδέχεσθαι τὸν ἀπατῶντα δίκαιον ἂν εἴη τούς γε εὐγνωμόνως διακεῖσθαι βουλομένους.*

Τοσοῦτον γὰρ ἔχει κέρδος εὔκαιρος ἀπάτη καὶ μετὰ 10 *τῆς ὀρθῆς γινομένη διανοίας, ὡς πολλούς, ὅτι μὴ παρεκρούσαντο καὶ δίκην δοῦναι πολλάκις. Καὶ εἰ βούλει γε τῶν στρατηγῶν τοὺς ἐξ αἰῶνος εὐδοκιμήσαντας ἐξετάσαι, τὰ πλείονα αὐτῶν τρόπαια τῆς ἀπάτης εὑρήσεις ὄντα κατορθώματα· καὶ μᾶλλον τούτους ἐπαινουμένους ἢ τοὺς ἐκ τοῦ φανεροῦ κρα-* 15 *τοῦντας. Οἱ μὲν γὰρ μετὰ πλείονας τῆς δαπάνης, καὶ τῆς τῶν χρημάτων καὶ τῆς τῶν σωμάτων, κατορθοῦσι τοὺς πολέμους, ὡς μηδὲν αὐτοῖς πλέον ἀπὸ τῆς νίκης γίνεσθαι, ἀλλὰ παρ' οὐδὲν τῶν ἡττημένων τοὺς κρατοῦντας δυστυχεῖν καὶ τῶν στρατευμάτων ἀνηλωμένων καὶ τῶν ταμιείων κεκενω-* 20 *μένων. Πρὸς δὲ τούτοις οὐδὲ τῆς ἐπὶ τῇ νίκῃ δόξης αὐτοὺς ἀφιᾶσιν ἀπολαῦσαι πάσης· μέρος γὰρ αὐτῆς οὐ μικρὸν συμβαίνει καὶ τοὺς πεπτωκότας καρποῦσθαι, διὰ τὸ ταῖς ψυχαῖς νικῶντας τοῖς σώμασιν ἡττηθῆναι μόνοις· ὡς, εἴ γε ἐνῆν βαλλομένους μὴ πίπτειν, μηδὲ ὁ θάνατος ἐπελθὼν αὐτοὺς ἔπαυ-* 25 *σεν, οὐκ ἂν ἔστησαν τὰς προθυμίας ποτέ. Ὁ δὲ ἀπάτῃ κρατῆσαι δυνηθείς, οὐ συμφορᾷ μόνον, ἀλλὰ καὶ γέλωτι περιβάλλει τοὺς πολεμίους. Οὐ γὰρ ὥσπερ ἐκεῖ τοὺς ἐπαίνους ἐξ ἴσης ἀποφέρονται ἀμφότεροι τοὺς ἐπὶ τῇ ῥώμῃ, οὕτω καὶ ἐνταῦθα τοὺς ἐπὶ τῇ φρονήσει, ἀλλ' ὅλον τῶν νικώντων* 30 *ἐστὶ τὸ βραβεῖον· καί, τὸ τούτων οὐκ ἔλαττον, τὴν ἀπὸ τῆς*

---

7. Περὶ χρησιμότητος τῆς εὐκαίρου ἀπάτης βλ. ἐκ μὲν τῶν κλασικῶν Ξεν. Κύρου Παιδεία Α', στ'. 31 ἑξ. Πλάτωνος, Πολιτεία Γ' 3, ἐκ δὲ τῶν ἐκκλησιαστικῶν συγγραφέων Κλήμεντος Ἀλεξανδρέως, Στρωμ. 7, 9. Μ. Βασιλείου, εἰς τὴν ἀρχὴν τῶν Παροιμιῶν 12.

ἢ μᾶλλον ἐπειδὴ ἐσὺ ποτὲ δὲν θὰ θελήσῃς νὰ μοῦ ἐπιβάλῃς τιμωρίαν, τότε ἐγὼ θὰ ἐπιβάλω εἰς τὸν ἑαυτόν μου τὴν τιμωρίαν ποὺ ἐπιβάλλουν οἱ δικασταὶ εἰς τοὺς ἐνόχους ἐκ τῶν κατηγορουμένων. Ἂν ὅμως ἡ πρᾶξις τῆς ἀπάτης δὲν εἶναι πάντοτε κακή, ἀλλὰ γίνεται καλὴ ἢ κακὴ ἀναλόγως μὲ τὴν προαίρεσιν τῶν δραστῶν, τότε παραιτήσου τῆς κατηγορίας περὶ ἀπάτης καὶ ἀπόδειξε ὅτι ἐγὼ ἐχρησιμοποίησα τὴν ἀπάτην διὰ κακὸν σκοπόν. Ὅταν ἡ ἀπάτη χρησιμοποιῆται διὰ καλόν, ὄχι μόνον δὲν ἐπιτρέπονται αἱ μομφαὶ καὶ κατηγορίαι, ἀλλὰ εἶναι δίκαιον νὰ ἐπαινῆται ὁ ἀπατῶν ἀπὸ τοὺς ἀπατωμένους, ἂν θέλουν νὰ εἶναι εὐγνώμονες.

Τόσον δὲ κέρδος φέρει ἡ εὔκαιρος ἀπάτη[7] ποὺ προέρχεται ἀπὸ καλὴν προαίρεσιν, ὥστε πολλοὶ ἐτιμωρήθησαν, διότι δὲν ἠπάτησαν εἰς στιγμὰς ποὺ ἡ ἀπάτη ἐπεβάλλετο. Καὶ ἂν ἀσχοληθῇς μὲ τοὺς στρατηγοὺς ὅλων τῶν αἰώνων, θὰ εὕρῃς ὅτι τὰ περισσότερα τρόπαιά των κατωρθώθησαν μὲ ἀπάτην καὶ θὰ ἰδῇς ὅτι οἱ στρατηγοὶ αὐτοὶ ἐπαινοῦνται περισσότερον ἀπὸ τοὺς ἄλλους ποὺ ἐνίκησαν χωρὶς στρατηγήματα. Διότι οἱ τελευταῖοι κερδίζουν τοὺς πολέμους μὲ περισσοτέρας ἀπωλείας εἰς ἄψυχον καὶ ἔμψυχον ὑλικὸν καὶ ἔτσι καὶ οἱ ἡττημένοι, ἀφοῦ καὶ τὰ στρατεύματα τῆς πόλεώς των καταστρέφονται καὶ τὰ ταμεῖα ἀδειάζουν. Ἔπειτα οἱ ἡττημένοι δὲν τοὺς ἀφήνουν νὰ ἀπολαύσουν οὔτε τὴν νίκην ὁλόκληρον· διότι συμβαίνει ἐνίοτε οἱ ἡττημένοι νὰ καρποῦνται μέγα μέρος τῆς δόξης διὰ τὸν λόγον ὅτι ἐνικήθησαν μόνον εἰς τὰ σώματα, ἐνῷ ἐνίκησαν εἰς τὰς ψυχάς· ἔτσι ἀποδεικνύεται ὅτι, ἂν ἦτο δυνατὸν νὰ μὴ πίπτουν ὅταν βάλλωνται καὶ νὰ μὴ ἐπέρχεται ὁ θάνατος ποὺ σταματᾷ τὴν ὁρμήν των, ἡ μαχητική των διάθεσις δὲν θὰ ἐσταματοῦσε ποτέ. Ἀντιθέτως ἐκεῖνος ποὺ κατορθώνει νὰ νικήσῃ μὲ ἀπάτην ρίπτει τοὺς ἐχθροὺς ὄχι μόνον εἰς συμφοράν, ἀλλὰ καὶ εἰς γελοιοποίησιν. Εἰς περίπτωσιν νίκης διὰ τῆς ἀνδρείας ὁ ἔπαινος μοιράζεται μεταξὺ νικητῶν καὶ ἡττημένων, ἐνῷ εἰς περίπτωσιν νίκης μὲ εὐφυὲς στρατήγημα ὁ ἔπαινος δίδεται ὁλόκληρος εἰς

νίκης ἡδονὴν ἀκέραιον τῇ πόλει φυλάττουσιν. Οὐ γάρ ἐστιν ὥσπερ ὁ τῶν χρημάτων πλοῦτος καὶ τὸ τῶν σωμάτων πλῆθος ἡ τῆς ψυχῆς φρόνησις· ἀλλ' ἐκεῖνα μέν, ὅταν τις αὐτοῖς ἐν τοῖς πολέμοις χρῆται συνεχῶς, δαπανᾶσθαι συμβαίνει καὶ 5 *ἀπολείπειν τοὺς ἔχοντας, αὕτη δέ, ὅσῳ περ ἂν τις αὐτὴν ἀνακινῇ, τοσούτῳ μᾶλλον αὔξεσθαι πέφυκεν.*

Οὐκ ἐν τοῖς πολέμοις δὲ μόνον, ἀλλὰ καὶ ἐν εἰρήνῃ πολλὴν καὶ ἀναγκαίαν εὕροι τις ἂν τῆς ἀπάτης τὴν χρείαν καὶ οὐ πρὸς τὰ τῆς πόλεως πράγματα μόνον, ἀλλὰ καὶ ἐν 10 *οἰκίᾳ πρὸς γυναῖκα ἀνδρί, καὶ πρὸς ἄνδρα γυναικί, καὶ πατρὶ πρὸς υἱόν, καὶ πρὸς φίλον φίλῳ, ἤδη δὲ καὶ πρὸς πατέρα παισί. Καὶ γὰρ τῶν τοῦ Σαοὺλ χειρῶν ἡ τοῦ Σαοὺλ θυγάτηρ οὐκ ἴσχυσεν ἂν ἑτέρως ἐξελέσθαι τὸν ἄνδρα τὸν αὐτῆς, ἀλλ' ἢ μετὰ τοῦ παραλογίσασθαι τὸν πατέρα. Καὶ ὁ ταύ-* 15 *της δὲ ἀδελφὸς τὸν ὑπ' ἐκείνης διασωθέντα σῶσαι βουλόμενος κινδυνεύοντα πάλιν τοῖς αὐτοῖς ὅπλοις ἐχρήσατο, οἷς περ καὶ ἡ γυνή. Καὶ ὁ*

ΒΑΣΙΛΕΙΟΣ. Ἀλλ' οὐδὲν τούτων πρὸς ἐμέ, φησίν· οὐδὲ γὰρ ἐχθρὸς ἐγὼ καὶ πολέμιος οὔτε τῶν ἀδικεῖν ἐπιχει- 20 *ρούντων, ἀλλὰ πᾶν τοὐναντίον· τῇ γὰρ σῇ γνώμῃ τὰ ἐμαυτοῦ πάντα ἐπιτρέψας, ἀεὶ ταύτῃ εἰπόμην, ἧπερ ἂν ἐκέλευες.*

9. ΧΡΥΣΟΣΤΟΜΟΣ. Ἀλλ' ὦ θαυμάσιε καὶ ἀγαθώτατε, διὰ τοῦτο γὰρ καὶ αὐτὸς φθάσας εἶπον, ὅτι οὐκ ἐν πολέμῳ μόνον, ἀλλὰ καὶ ἐν εἰρήνῃ καὶ ἐπὶ τοὺς φιλτάτους ταύτῃ 25 *χρήσασθαι καλόν. Ὅτι γὰρ οὐ τοῖς ἀπατῶσι μόνον, ἀλλὰ καὶ τοῖς ἀπατωμένοις τοῦτο χρήσιμον, προσελθών τινι τῶν ἰατρῶν ἐρώτησον, πῶς ἀπαλλάτουσι τῆς νόσου τοὺς κάμνοντας· καὶ ἀκούσῃ παρ' αὐτῶν, ὅτι οὐκ ἀρκοῦνται τῇ τέχνῃ μόνῃ, ἀλλ' ἔστιν ὅπου καὶ τὴν ἀπάτην παραλαβόντες καὶ τὴν* 30 *παρ' αὐτῆς βοήθειαν καταμίξαντες, οὕτως ἐπὶ τὴν ὑγίειαν τοὺς ἀσθενοῦντας ἐπανήγαγον. Ὅταν γὰρ τὸ δυσάρεστον τῶν ἀρρωστούντων καὶ τῆς νόσου δὲ αὐτῆς τὸ δυστράπελον μὴ*

8. Α' Βασ. 19, 12 ἑξ.

τοὺς νικητάς. Καὶ τὸ ἐξ ἴσου σπουδαῖον εἶναι ὅτι οἱ στρατηγοὶ αὐτοὶ ἐξασφαλίζουν εἰς τὸ κράτος ἀκέραια τὰ πλεονεκτήματα τῆς νίκης. Διότι ἡ φρόνησις δὲν εἶναι σὰν τὸν πλοῦτον τῶν χρημάτων καὶ τὸ πλῆθος τῶν σωμάτων· αὐτὰ μέν, ὅταν χρησιμοποιοῦνται συχνὰ εἰς τοὺς πολέμους, ἐξαντλοῦνται καὶ χάνονται, ἐνῷ ἐκείνη ὅσον περισσότερον ἀσκεῖται, τόσον περισσότερον αὐξάνει.

Εἶναι δὲ πολὺ ἀναγκαία ἡ χρῆσις τῆς ἀπάτης ὄχι μόνον εἰς τοὺς πολέμους, ἀλλὰ καὶ εἰς τὴν εἰρήνην, ὄχι μόνον εἰς τὴν δημοσίαν, ἀλλὰ καὶ εἰς τὴν οἰκογενειακὴν ζωήν. Εἶναι ἀπαραίτητος εἰς τὰς σχέσεις τοῦ ἀνδρὸς πρὸς τὴν γυναῖκα του, τῆς γυναικὸς πρὸς τὸν ἄνδρα της, τοῦ πατρὸς πρὸς τὸν υἱόν, τοῦ φίλου πρὸς τὸν φίλον, ἀκόμη δὲ καὶ τῶν παιδιῶν πρὸς τὸν πατέρα. Ἡ θυγάτηρ τοῦ Σαοὺλ π.χ. δὲν θὰ κατώρθωνε νὰ λυτρώσῃ τὸν ἄνδρα της ἀπὸ τὰ χέρια τοῦ Σαούλ, ἂν δὲν ἀπατοῦσε τὸν πατέρα της. Καὶ ὁ ἀδελφός της δὲ διὰ νὰ σώσῃ τὸν ἄνδρα ποὺ μόλις τὸν εἶχεν ἀπαλλάξει ἐκείνη ἀπὸ τὸν κίνδυνον, ἐχρησιμοποίησε τὸ ἴδιον μέσον[8].

ΒΑΣΙΛΕΙΟΣ. Ἀλλ' αὐτὰ δὲν ἔχουν σχέσιν μὲ ἐμέ, διότι ἐγὼ δὲν εἶμαι ἐχθρὸς καὶ ἀντίπαλος, ἀλλ' ἀκριβῶς τὸ ἀντίθετον· ἐγὼ ἐξήρτησα καὶ τὸ μέλλον μου ἀκόμη ἀπὸ τὴν ἰδικήν σου θέλησιν καὶ σὲ ἀκολουθοῦσα ὅπου διέτασσες.

9. ΧΡΥΣΟΣΤΟΜΟΣ. Ἀλλά, ἀγαπητὲ καὶ θαυμάσιε φίλε μου, δι' αὐτὸ ἀκριβῶς εἶπα πρὸ ὀλίγου ὅτι πρέπει νὰ χρησιμοποιῆται ἡ ἀπάτη ὄχι μόνον εἰς τὸν πόλεμον, ἀλλὰ καὶ εἰς τὴν εἰρήνην, καὶ πρὸς τὰ ἀγαπητά μας πρόσωπα ἀκόμη. Διὰ νὰ πεισθῇς δὲ ὅτι εἶναι ὠφέλιμος ὄχι μόνον εἰς τοὺς ἀπατῶντας, ἀλλὰ καὶ εἰς τοὺς ἀπατωμένους, πήγαινε καὶ ἐρώτησε ἕνα ἰατρόν· καὶ θ' ἀκούσῃς ὅτι καὶ οἱ ἰατροὶ δὲν ἀρκοῦνται μόνον εἰς τὴν ἐπιστήμην των, ἀλλ' ἐνίοτε καταφεύγουν καὶ εἰς τὴν βοήθειαν τῆς ἀπάτης διὰ νὰ δώσουν τὴν ὑγείαν εἰς τοὺς ἀσθενεῖς. Αἱ ἰατρικαὶ συμβουλαὶ ἐνίοτε δὲν γίνονται δεκταὶ λόγῳ τῆς δυστροπίας τῶν ἀρρώστων ποὺ εἶναι ηὐξημένη εἰς ὡρισμένας ἀσθενείας. Τότε οἱ ἰατροὶ ἀναγ-

προσίηται τὰς τῶν ἰατρῶν συμβουλάς, τότε τὸ τῆς ἀπάτης ὑποδῦναι προσωπεῖον ἀνάγκη, ἵν' ὥσπερ ἐπὶ σκηνῆς τὴν τῶν γενομένων ἀλήθειαν κρύψαι δυνηθῶσιν. Εἰ δὲ βούλει καὶ ἐγώ σοι διηγήσομαι δόλον ἕνα ἐκ πολλῶν, ὧν ἤκουσα κατα-
5 *σκευάζειν ἰατρῶν παῖδας. Ἐπέπεσέ ποτέ τινι πυρετὸς ἀθρόως μετὰ πολλῆς τῆς σφοδρότητος καὶ ἡ φλὸξ ἤρετο· καὶ τὰ μὲν δυνάμενα σβέσαι τὸ πῦρ ἀπεστρέφετο ὁ νοσῶν, ἐπεθύμει δέ, καὶ πολὺς ἐνέκειτο τοὺς εἰσιόντας πρὸς αὐτὸν ἅπαντας παρακαλῶν, ἄκρατον ὀρέξαι πολὺν καὶ παρασχεῖν*
10 *ἐμφορηθῆναι τῆς ὀλεθρίου ταύτης ἐπιθυμίας. Οὐ γὰρ τὸν πυρετὸν ἐκκαύσειν μόνον ἔμελλεν, ἀλλὰ καὶ παραπληξίᾳ παραδώσειν τὸν δείλαιον, εἴς τις αὐτῷ πρὸς ταύτην εἶξε τὴν χάριν. Ἐνταῦθα τῆς τέχνης ἀπορουμένης καὶ οὐδεμίαν ἐχούσης μηχανήν, ἀλλὰ παντελῶς ἐκβεβλημένης, εἰσελθοῦσα το-*
15 *σαύτην ἐπεδείξατο τὴν αὐτῆς δύναμιν ἡ ἀπάτη, ὅσην αὐτίκα παρ' ἡμῶν ἀκούσῃ. Ὁ γὰρ ἰατρὸς ἄρτι τῆς καμίνου προελθὸν ἄγγος ὀστράκου λαβὼν καὶ βάψας οἴνῳ πολλῷ, εἶτα ἀνασπάσας κενὸν καὶ πλήσας ὕδατος, κελεύει τὸ δωμάτιον, ἔνθα κατέκειτο ὁ νοσῶν, συσκιάσαι παραπετάσμασι πολλοῖς, ἵνα μὴ*
20 *τὸ φῶς ἐλέγξῃ τὸν δόλον, καὶ δίδωσιν ἐκπιεῖν ὡς ἀκράτου πεπληρωμένον. Ὁ δὲ πρὶν εἰς τὰς χεῖρας λαβεῖν ὑπὸ τῆς ὀσμῆς προσπεσούσης εὐθέως ἀπατηθείς, οὐδὲ πολυπραγμονεῖν ἠνέσχετο τὸ δοθέν, ἀλλὰ ταύτῃ πειθόμενος καὶ τῷ σκότει κλαπείς, ὑπό τε τῆς ἐπιθυμίας ἐπειγόμενος, ἔσπασε τοῦ δο-*
25 *θέντος μετὰ πολλῆς τῆς προθυμίας καὶ ἐμφορηθεὶς ἀπετινάξατο τὸ πνῖγος εὐθέως καὶ τὸν ἐπικείμενον ἐξέφυγε κίνδυνον. Εἶδες τῆς ἀπάτης τὸ κέρδος; Καὶ εἰ πάντας βούλοιτό τις τῶν ἰατρῶν καταλέγειν τοὺς δόλους, εἰς ἄπειρον ἐκπεσεῖται μῆκος ὁ λόγος.*

30 *Οὐ μόνον δὲ τοὺς τὰ σώματα θεραπεύοντας, ἀλλὰ καὶ τοὺς τῶν ψυχικῶν νοσημάτων ἐπιμελουμένους εὕροι τις ἂν συνεχῶς τούτῳ κεχρημένος τῷ φαρμάκῳ. Οὕτω τὰς πολλὰς μυριάδας ἐκείνας τῶν Ἰουδαίων ὁ μακάριος προσηγάγετο Παῦ-*

κάζονται νὰ φορέσουν τὸ προσωπεῖον τῆς ἀπάτης, διὰ νὰ ἠμπορέσουν νὰ κρύψουν τὴν πραγματικότητα, ὅπως γίνεται εἰς τὴν θεατρικὴν σκηνήν. Καί, ἂν θέλῃς, θὰ σοῦ διηγηθῶ καὶ ἐγὼ ἕνα δόλον ποὺ ἤκουσα ὅτι χρησιμοποιοῦν οἱ ἰατροί. Κάποιος προσεβλήθη ἀποτόμως ἀπὸ ὑψηλὸν πυρετὸν ποὺ ἀνέβαινε διαρκῶς. Ὁ ἀσθενὴς αὐτὸς ὅμως ἀπεστρέφετο τὰ φάρμακα ποὺ ἠμποροῦν νὰ σβήσουν τὸν πυρετὸν καὶ ἐπιθυμοῦσεν ἀντιθέτως νὰ πιῇ ἀνέρωτο κρασί· ἐπαρακαλοῦσε μάλιστα ὅλους, ὅσοι εἰσήρχοντο εἰς τὸ δωμάτιόν μου, μ' ἐπιμονὴν νὰ τοῦ ἐπιτρέψουν νὰ ἱκανοποιήσῃ αὐτὴν τὴν καταστρεπτικὴν ἐπιθυμίαν. Καὶ ἂν κανεὶς τοῦ ἔκαμεν αὐτὴν τὴν χάριν, ὄχι μόνον θὰ ἐδυνάμωνεν ὁ πυρετός, ἀλλὰ καὶ θὰ ἐπάθαινεν ἀποπληξίαν ὁ δυστυχής. Εἰς τὸ σημεῖον αὐτό, ποὺ ἡ ἐπιστήμη εὑρίσκετο εἰς ἀμηχανίαν καὶ ἦτο συνεπῶς ἄχρηστος, ἦλθεν εἰς βοήθειαν ἡ ἐξαιρετικὴ δύναμις τῆς ἀπάτης, ὅπως θ' ἀκούσῃς ἀμέσως. Ὁ ἰατρὸς λοιπὸν ἐπῆρεν ἕνα πήλινον δοχεῖον ποὺ μόλις εἶχε βγῇ ἀπὸ τὴν κάμινον, τὸ ἐβύθισεν ὁλόκληρον εἰς τὸ κρασί, ἔπειτα τὸ ἔβγαλεν ἄδειανὸν καὶ τὸ ἐγέμισε νερό. Διέταξε κατόπιν νὰ συσκοτισθῇ τὸ δωμάτιον τοῦ ἀσθενοῦς μὲ πολλὰ παραπετάσματα, διὰ νὰ μὴ προδοθῇ ἡ ἀπάτη ἀπὸ τὸ φῶς, καὶ τοῦ ἔδωσε νὰ πιῇ τάχα κρασὶ ἀπὸ τὸ γεμᾶτον δοχεῖον. Ἐκεῖνος δέ, προτοῦ τὸ πάρῃ εἰς τὰ χέρια του, παρεσύρθη ἀμέσως ἀπὸ τὴν ὀσμὴν καὶ δὲν ἐπερίμενε νὰ καλοεξετάσῃ τί τοῦ ἔδωσαν· ἐπείσθη ἀπὸ τὴν ὄσφρησίν του, ἠπατήθη ἀπὸ τὸ σκότος καί, καθὼς ἐβιάζετο ἀπὸ τὴν ἰσχυρὰν ἐπιθυμίαν του, ἥρπασε τὸ ὑγρὸν μὲ τὴν ὑψηλὴν θερμοκρασίαν καὶ διέφυγε τὸν ἐπικείμενον κίνδυνον. Εἶδες τί κέρδος προῆλθεν ἀπὸ τὴν ἀπάτην; Εἶναι ἀναρίθμητοι οἱ δόλοι τῶν ἰατρῶν.

Θὰ παρατηρήσωμεν δὲ ὅτι τὸ χρησιμοποιοῦν συνεχῶς αὐτὸ τὸ φάρμακον ὄχι μόνον οἱ θεραπευταὶ τῶν σωμάτων, ἀλλὰ καὶ οἱ ἀσχολούμενοι μὲ τὴν θεραπείαν τῶν ψυχικῶν νοσημάτων. Μὲ τὸ φάρμακον αὐτὸ ὁ μακάριος Παῦλος προσεπάθησε νὰ διαθέσῃ εὐμενῶς τὰς πολλὰς μυριάδας τῶν Ἰ-

λος· μετὰ ταύτης τῆς προαιρέσεως τὸν Τιμόθεον περιέτεμεν ὁ Γαλάταις ἐπιστέλλων, ὅτι Χριστὸς οὐδὲν ὠφελήσει τοὺς περιτεμνομένους. Διὰ τοῦτο ὑπὸ νόμον ἐγίνετο ὁ ζημίαν ἡγούμενος μετὰ τὴν εἰς Χριστὸν πίστιν τὴν ἀπὸ τοῦ νόμου 5 *δικαιοσύνην. Πολλὴ γὰρ ἡ τῆς ἀπάτης ἰσχύς· μόνον μὴ μετὰ δολερᾶς προσαγέσθω τῆς προαιρέσευς. Μᾶλλον δὲ οὐδὲ ἀπάτην τὸ τοιοῦτο δεῖ καλεῖν, ἀλλ' οἰκονομίαν τινὰ καὶ σοφίαν καὶ τέχνην ἱκανὴν πολλοὺς πόρους ἐν τοῖς ἀπόροις εὑρεῖν καὶ πλημμελείας ἐπανορθῶσαι ψυχῆς. Οὐδὲ γὰρ τὸν Φινεὲς ἀν-* 10 *δροφόνον εἴποιμ' ἂν ἔγωγε, καίτοι γε μιᾷ πληγῇ δύο σώματα ἀνεῖλεν· ὥσπερ οὐδὲ τὸν Ἠλίαν μετὰ τοὺς ἑκατὸν στρατιώτας καὶ τοὺς τούτων ἡγεμόνας καὶ τὸν πολὺν τῶν αἱμάτων χειμάρρους, ὃν ἐκ τῆς τῶν ἱερωμένων τοῖς δαίμοσιν ἐποίησε ῥεῦσαι σφαγῆς. Εἰ γὰρ τοῦτο συγχωρήσαιμεν καὶ τὰ πρά-* 15 *γματα τῆς τῶν πεποιηκότων προαιρέσεώς τις γυμνώσας ἐξετάζοι καθ' ἑαυτὰ καὶ τὸν Ἀβραὰμ παιδοκτονίας ὁ βουλόμενος κρινεῖ καὶ τὸν ἔγγονον τὸν ἐκείνου καὶ τὸν ἀπόγονον κακουργίας καὶ δόλου γράφεται· οὕτω γὰρ ὁ μὲν τῶν τῆς φύσεως ἐκράτησε πρεσβείων, ὁ δὲ τὸν τῶν Αἰγυπτίων πλοῦτον εἰς τὸν* 20 *τῶν Ἰσραηλιτῶν μετήνεγκε στρατόν. Ἀλλ' οὐκ ἔστι ταῦτα, οὐκ ἔστιν· ἄπαγε τῆς τόλμης. Οὐ γὰρ μόνον αὐτοὺς αἰτίας ἀφίεμεν, ἀλλὰ καὶ θαυμάζομεν διὰ ταῦτα, ἐπεὶ καὶ ὁ Θεὸς αὐτοὺς διὰ ταῦτα ἐπήνεσεν.*

Καὶ γὰρ ἀπατεὼν ἐκεῖνος ἂν εἴη καλεῖσθαι δίκαιος, ὁ 25 *τῷ πράγματι κεχρημένος ἀδίκως, οὐχ ὁ μεθ' ὑγιοῦς γνώμης τοῦτο ποιῶν. Καὶ πολλάκις ἀπατῆσαι δέον καὶ τὰ μέγιστα διὰ ταύτης ὠφελῆσαι τῆς τέχνης· ὁ δὲ ἐξ εὐθείας προσενεχθεὶς κακὰ μεγάλα τὸν οὐκ ἀπατηθέντα εἰργάσατο.*

---

9. Πράξ. 21, 20.
10. Αὐτόθι 16, 3.
11. Γαλ. 5, 2.
12. Φιλιππ. 3, 7.
13. Ἀριθ. 25, 7 ἑξ.
14. Δ' Βασ. 1, 9 ἑξ. Γ' Βασ. 18, 40.
15. Γεν. 22, 3 ἑξ.
16. Αὐτόθι 27, 19 ἑξ.
17. Ἐξόδ. 11,2.

ουδαίων[9], πρὸς τὸν σκοπὸν αὐτὸν περιέταμε τὸν Τιμόθεον[10] αὐτὸς ποὺ ἔγραφε πρὸς τοὺς Γαλάτας, ὅτι οἱ περιτεμνόμενοι δὲν ἔχουν νὰ κερδίσουν τίποτε ἀπὸ τὸν Χριστόν[11]. Πρὸς τὸν σκοπὸν αὐτὸν ὑπέβαλε τὸν ἑαυτόν του εἰς τὰς διατάξεις τοῦ νόμου αὐτὸς ποὺ ἐθεωροῦσεν ὡς ζημίαν τὴν ἀπὸ τοῦ νόμου δικαίωσιν μετὰ τὴν οἰκείωσιν τῆς πίστεως εἰς Χριστόν[12]. Ἡ δύναμις τῆς ἀπάτης, ἐφ' ὅσον δὲν γίνεται μὲ δολίαν προαίρεσιν, εἶναι μεγάλη. Πρέπει δὲ τὴν πρᾶξιν αὐτὴν νὰ μὴ τὴν ὀνομάζωμεν κἂν ἀπάτην, ἀλλὰ σοφὴν ἐξοικονόμησιν καὶ τέχανσμα ἱκανὸν νὰ εὕρῃ πολλοὺς πόρους εἰς τὰ ἀδιέξοδα καὶ νὰ διορθώσῃ ψυχικὰ ἐλαττώματα. Βεβαίως δὲν θὰ ὠνόμαζα φονέα τὸν Φινεές, μολονότι ἐφόνευσε δύο μ' ἕνα κτύπημα[13], οὔτε τὸν Ἠλίαν, μολονότι προεκάλεσε τὸν φόνον τῶν ἑκατὸν στρατιωτῶν μαζὶ μὲ τοὺς ἀρχηγούς των καὶ συνετέλεσεν εἰς τὸ νὰ ρεύσῃ χείμαρρος αἵματος ἀπὸ τὴν σφαγὴν τῶν εἰδωλολατρῶν ἱερέων[14]. Ἐὰν ἐφαρμόσωμεν τὴν ἀρχὴν νὰ ἐξετάζωμεν τὰς πράξεις καθ' ἑαυτὰς καὶ ἀνεξαρτήτως ἀπὸ τὴν προαίρεσιν τῶν ἐκτελούντων αὐτάς, τότε ὅποιος θέλει ἠμπορεῖ νὰ κατακρίνῃ καὶ τὸν Ἀβραὰμ ὡς ἔνοχον παιδοκτονίας[15] καὶ τὸν ἔγγονον καὶ τὸν ἀπόγονόν του ὡς ἐνόχους πονηρίας καὶ δόλου, διότι ὁ μὲν πρῶτος ὑπεξῄρεσε τὰ φυσικὰ πρεσβεῖα[16], ὁ δὲ δεύτερος μετέφερε τὸν πλοῦτον τῶν Αἰγυπτίων εἰς τὸν στρατὸν τῶν Ἰσραηλιτῶν[17]. Ἀλλ' ἀσφαλῶς τὰ πράγματα δὲν εἶναι ἔτσι· θὰ ἦτο ἀσέβεια ἂν ἐτολμούσαμεν καὶ νὰ τὸ σκεφθοῦμεν αὐτό. Ὄχι δὲ ἁπλῶς ἀπαλλάσσομεν τοὺς ἀνωτέρω ἄνδρας ἀπὸ κάθε κατηγορίαν, ἀλλὰ καὶ τοὺς θαυμάζομεν διὰ τὰ ἔργα των αὐτά, διότι καὶ ὁ Θεὸς τοὺς ἐπῄνεσε δι' αὐτά.

Ἀπατεὼν πρέπει νὰ ὀνομάζεται μόνον ἐκεῖνος ποὺ χρησιμοποιεῖ τὴν ἀπάτην διὰ ν' ἀδικήσῃ καὶ ὄχι ἐκεῖνος ποὺ τὴν χρησιμοποιεῖ μὲ καλὰς προθέσεις. Πολὺ συχνὰ δὲ εἶναι ἀνάγκη νὰ καταφύγῃ κανεὶς εἰς τὴν ἀπάτην διὰ νὰ προσφέρῃ μὲ αὐτὴν μεγάλας ὠφελείας»· ἐνῷ ἐνίοτε ἄνθρωποι ποὺ φέρονται μὲ εὐθύτητα βλάπτουν ἀνεπανορθώτως τοὺς μὴ ἀπατωμένους.

ΛΟΓΟΣ Β΄

1. Ὅτι μὲν οὖν ἔστι καὶ ἐπὶ καλῷ τῇ τῆς ἀπάτης κεχρῆσθαι δυνάμει, μᾶλλον δὲ, ὅτι μηδὲ ἀπάτην δεῖ τὸ τοιοῦτο καλεῖν, ἀλλ' οἰκονομίαν τινὰ θαυμαστήν, ἐνῆν μὲν καὶ πλείονα 5 *λέγειν. Ἐπειδὴ δὲ καὶ τὰ εἰρημένα πρὸς ἀπόδειξιν ἱκανὰ γέγονε, φορτικὸν καὶ ἐπαχθὲς περιττὸν τῷ λόγῳ προστιθέναι μῆκος. Σὸν δὲ ἂν εἴη δεικνύναι λοιπόν, εἰ μὴ τῷ πράγματι τούτῳ πρὸς τὸ κέρδος ἐχρησάμεθα τὸ σόν.*

Καὶ ὁ ΒΑΣΙΛΕΙΟΣ. Καὶ ποῖον ἡμῖν κέρδος, φησίν, 10 *ἐκ ταύτης γέγονε τῆς οἰκονομίας ἢ σοφίας ἢ ὅπως ἂν αὐτὴν χαίρῃς καλῶν, ἵνα πεισθῶμεν, ὅτι οὐκ ἠπατήμεθα παρὰ σοῦ;*

ΧΡΥΣΟΣΤΟΜΟΣ. Καὶ τί τούτου τοῦ κέρδους, ἔφην, ἂν γένοιτο μεῖζον ἢ τὸ ταῦτα φαίνεσθαι πράττοντας, ἅπερ δείγματα τῆς εἰς τὸν Χριστὸν ἀγάπης αὐτὸς ἔφησεν εἶναι ὁ 15 *Χριστός; Πρὸς γὰρ τὸν κορυφαῖον τῶν Ἀποστόλων διαλεγόμενος, «Πέτρε, φησί, φιλεῖς με;». Τούτου δὲ ὁμολογήσαντος, ἐπιλέγει· «εἰ φιλεῖς με, ποίμαινε τὰ πρόβατά μου». Ἐρωτᾷ τὸν μαθητὴν ὁ διδάσκαλος, εἰ φιλοῖτο παρ' αὐτοῦ, οὐχ ἵνα αὐτὸς μάθῃ (πῶς γάρ, ὁ τὰς ἁπάντων ἐμβατεύων καρδίας;),* 20 *ἀλλ' ἵνα ἡμᾶς διδάξῃ ὅσον αὐτῷ μέλει τῆς τῶν ποιμνίων ἐπιστασίας τούτων. Τούτου δὲ ὄντος δήλου, κἀκεῖνο ὁμοίως ἔσται φανερόν, ὅτι πολὺς καὶ ἄφατος ἀποκείσεται μισθὸς τῷ περὶ ταῦτα πονουμένῳ, ἃ πολλοῦ τιμᾶται ὁ Χριστός. Εἰ γὰρ ἡμεῖς, ὅταν ἴδωμεν τῶν οἰκετῶν ἢ τῶν θρεμμάτων τῶν ἡμετέρων* 25 *ἐπιμελουμένους τινάς, τῆς περὶ ἡμᾶς ἀγάπης τὴν εἰς ἐκεῖνα σπουδὴν τιθέμεθα σημεῖον, καίτοι γε ταῦτα πάντα χρημάτων ἐστὶν ὠνητά, ὁ μὴ χρημάτων μηδὲ ἄλλου τινὸς τοιούτου, ἀλλ'*

---

1. Ἰω. 21, 15 ἑξ.

ΛΟΓΟΣ Β΄.

1. Θὰ ἠμποροῦσα νὰ εἰπῶ καὶ ἄλλα ἀκόμη διὰ ν' ἀποδείξω ὅτι ὑπάρχει τρόπος νὰ χρησιμοποιηθῇ ἡ δύναμις τῆς ἀγάπης καὶ πρὸς τὸ καλὸν καὶ ὅτι ἡ ἐνέργεια αὐτὴ δὲν πρέπει νὰ ὀνομάζεται ἀπάτη, ἀλλὰ μᾶλλον οἰκονομία θαυμαστή. Ἐπειδὴ ὅμως ὅσα ἐλέχθησαν εἶναι ἀρκετὰ διὰ ν' ἀποδείξουν τὴν γνώμην αὐτήν, εἶναι περιττὸν νὰ ἐπιμηκύνω τὸν λόγον κατὰ τρόπον φορτικὸν καὶ κουραστικόν. Εἶναι λοιπὸν τώρα ἡ σειρά σου ν' ἀποδείξῃς ὅτι δὲν ἐχρησιμοποίησα τὴν ἀπάτην πρὸς ὠφέλειάν σου.

Καὶ ὁ ΒΑΣΙΛΕΙΟΣ. Καὶ ποῖον κέρδος εἶχα ἀπὸ αὐτὴν τὴν οἰκονομίαν ἢ σοφίαν ἢ δὲν ξεύρω πῶς σοῦ ἀρέσει νὰ τὴν ὀνομάζῃς, διὰ νὰ πεισθῶ ὅτι δὲν μὲ ἠπάτησες;

ΧΡΥΣΟΣΤΟΜΟΣ. Καὶ ποῖον κέρδος θὰ ἠμποροῦσε νὰ θεωρηθῇ ἀνώτερον ἀπὸ τὸ νὰ ἐκτελοῦμεν αὐτὸ ποὺ ὁ Χριστὸς ὠνόμασε δεῖγμα τῆς πρὸς αὐτὸν ἀγάπης; Ὁμιλῶν πράγματι πρὸς τὸν κορυφαῖον τῶν Ἀποστόλων λέγει· «Πέτρε, μὲ ἀγαπᾶς;». Μετὰ δὲ καταφατικὴν ἀπάντησίν του προσθέτει· «ἐὰν μὲ ἀγαπᾷς, ποίμαινε τὰ πρόβατά μου»[1]. Ἐρωτᾷ ὁ διδάσκαλος τὸν μαθητὴν ἂν τὸν ἀγαπᾷ, ὄχι διὰ νὰ μάθῃ (ἀφοῦ εἰσέρχεται εἰς τὰς καρδίας ὅλων καὶ γνωρίζει τὰ μυστικά των), ἀλλὰ διὰ νὰ διδάξῃ ἡμᾶς πόσον ἐνδιαφέρεται διὰ τὴν ἐπιμέλειαν αὐτῶν τῶν προβάτων. Ἀφοῦ αὐτὸ εἶναι φανερόν, θὰ εἶναι φανερὸν καὶ τὸ ἄλλο· ὅτι δηλαδὴ περιμένει πολύς, ἀνυπολόγιστος μισθός, τὸν κοπιάζοντα διὰ τὰ πρόβατα ποὺ τόσον ἀγαπᾷ ὁ Χριστός. Ἡμεῖς θεωροῦμεν τὴν φροντίδα τῶν ἀνθρώπων ποὺ ἐνδιαφέρονται διὰ τοὺς ὑπηρέτας ἢ διὰ τὰ ζῶά μας ὡς ἔνδειξιν τῆς ἀγάπης των πρὸς ἡμᾶς, μολονότι ὅλα αὐτὰ ἀγοράζονται μὲ χρήματα. Πόσα δῶρα λοιπὸν δὲν θὰ δώσῃ ἐκεῖνος εἰς ὅσους ποιμαίνουν τὸ ποίμνιον ποὺ ἠγόρασεν αὐτὸς ὄχι

ἰδίῳ θανάτῳ τὸ ποίμνιον πριάμενος τοῦτο καὶ τιμὴν τῆς ἀγέλης τὸ αἷμα δοὺς τὸ ἑαυτοῦ, πόσῃ τοὺς ποιμαίνοντας αὐτὸ ἀμείψεται δωρεᾷ;

Διά τοι τοῦτο εἰπόντος τοῦ μαθητοῦ· «σὺ οἶδας, Κύριε, 5 *ὅτι φιλῶ σε», καὶ μάρτυρα τῆς ἀγάπης αὐτὸν τὸν ἀγαπώμενον καλέσαντος, οὐκ ἔστη μέχρι τούτων ὁ Σωτήρ, ἀλλὰ καὶ τὸ τῆς ἀγάπης προσέθηκε σημεῖον. Οὐ γὰρ ὅσον ὁ Πέτρος αὐτὸν ἐφίλει, τότε ἐπιδεῖξαι ἐβούλετο (καὶ γὰρ ἐκ πολλῶν τοῦτο ἤδη ἡμῖν γέγονε δῆλον), ἀλλ' ὅσον αὐτὸς τὴν Ἐκκλη-* 10 *σίαν ἀγαπᾷ τὴν ἑαυτοῦ, καὶ Πέτρον καὶ πάντας ἡμᾶς μαθεῖν ἠθέλησεν, ἵνα πολλὴν καὶ ἡμεῖς περὶ ταῦτα εἰσφέρωμεν τὴν σπουδήν. Διὰ τί γὰρ Υἱοῦ καὶ μονογενοῦς οὐκ ἐφείσατο ὁ Θεός, ἀλλ' ὃν μόνον εἶχεν ἐξέδωκεν; Ἵνα τοὺς ἐχθρωδῶς πρὸς αὐτὸν διακειμένους ἑαυτῷ καταλλάξῃ καὶ ποιήσῃ λα-* 15 *ὸν περιούσιον. Διὰ τί καὶ τὸ αἷμα ἐξέχεεν; ἵνα τὰ πρόβατα κτήσηται ταῦτα, ἃ τῷ Πέτρῳ καὶ τοῖς μετ' ἐκείνου ἐνεχείρισεν. Εἰκότως ἄρα ἔλεγεν ὁ Χριστός· «τίς ἄρα ὁ πιστὸς δοῦλος καὶ φρόνιμος, ὃν κατέστησεν ὁ κύριος αὐτοῦ ἐπὶ τὴν οἰκίαν αὐτοῦ;». Πάλιν τὰ μὲν ῥήματα ἀποροῦντος, ὁ δὲ φθεγ-* 20 *γόμενος αὐτὰ οὐκ ἀπορῶν ἐφθέγγετο. Ἀλλ' ὥσπερ τὸν Πέτρον ἐρωτῶν, εἰ φιλοῖτο, οὐ μαθεῖν δεόμενος τοῦ μαθητοῦ τὸν πόθον ἠρώτα, ἀλλὰ δεῖξαι βουλόμενος τῆς οἰκείας ἀγάπης τὴν ὑπερβολήν· οὕτω καὶ νῦν λέγων, «τίς ἄρα ὁ πιστὸς δοῦλος καὶ φρόνιμος;» οὐ τὸν πιστὸν καὶ φρόνιμον ἀγνοῶν* 25 *ἔλεγεν, ἀλλὰ παραστῆσαι θέλων τὸ τοῦ πράγματος σπάνιον καὶ τῆς ἀρχῆς ταύτης τὸ μέγεθος. Ὅρα οὖν καὶ τὸ ἔπαθλον ὅσον· «ἐπὶ πᾶσι τοῖς ὑπάρχουσιν αὐτοῦ καταστήσει αὐτόν», φησίν.*

---

2. Ρωμ. 8, 32.
3. Ἰω. 3, 16 καὶ Τίτ. 2, 14.
4. Προετιμήσαμεν τὴν γραφὴν «μετ' ἐκείνου» ἀντὶ τοῦ «μετ' ἐκεῖνον», πρῶτον διότι καὶ ἡ ἀρχαία λατινικὴ μετάφρασις ἔχει Petro deinceps ceterisque καὶ δεύτερον διότι ὁ Χρυσόστομος ὁμιλεῖ περὶ ἀμέσου ἀναθέσεως (ἐγχειρίσεως) τῶν προβάτων ὑπὸ τοῦ Κυρίου εἰς τοὺς μαθητάς του.

μὲ χρήματα ἢ ἄλλην ὑλικὴν τιμήν, ἀλλὰ μὲ τὸν ἴδιον τὸν θάνατόν του, ποὺ ἠγόρασε μὲ τὸ ἴδιον τὸ αἷμά του;

Διὰ τοῦτο δέ, ὅταν ὁ μαθητὴς ἀπήντησε, «σύ, Κύριε, γνωρίζεις πόσον σὲ ἀγαπῶ», καὶ ἐκάλεσεν ὡς μάρτυρα τῆς ἀγάπης αὐτὸν τὸν ἀγαπώμενον, δὲν ἐσταμάτησεν ἕως ἐδῶ ὁ Σωτήρ, ἀλλὰ προσέθεσε καὶ ποῖον εἶναι τὸ γνώρισμα τῆς ἀγάπης. Συνάγεται δὲ ἀπὸ αὐτὸ ὅτι ὁ Κύριος μὲ τὰς ἐρωτήσεις του δὲν ἤθελε νὰ δείξῃ πόσον τὸν ἀγαποῦσεν ὁ Πέτρος (πρᾶγμα ποὺ ἀπεδεικνύετο ἀπὸ πολλὰ παραδείγματα καὶ περιστατικά)· ἤθελε νὰ μάθωμεν καὶ ὁ Πέτρος καὶ ὅλοι ἡμεῖς πόσον αὐτὸς ἀγαπᾷ τὴν Ἐκκλησίαν, ὥστε νὰ δείξωμεν καὶ ἡμεῖς μεγάλην φροντίδα δι' αὐτήν. Διατί ἄρά γε δὲν ἐλυπήθη οὔτε τὸν μονογενῆ του Υἱὸν ὁ Θεός[2], ἀλλὰ τὸν παρέδωσεν, ἐνῷ τὸν εἶχε μόνον; Διὰ νὰ συμφιλιώσῃ μαζί του τοὺς ἀνθρώπους ποὺ τοῦ ἐφέροντο ἐχθρικὰ καὶ τοὺς ἀναδείξῃ εἰς λαὸν ἐκλεκτόν[3]. Καὶ διατί ὁ Χριστὸς ἔχυσε τὸ αἷμά του; Διὰ νὰ ἀποκτήσῃ αὐτὰ τὰ πρόβατα ποὺ ἐνεχείρισεν εἰς τὸν Πέτρον καὶ τοὺς συναδέλφους του[4]. Ἐπομένως εὐλόγως ἔλεγεν ὁ Χριστός· «ποῖος λοιπὸν εἶναι ὁ πιστὸς καὶ φρόνιμος δοῦλος ποὺ θὰ διορίσῃ ὁ Κύριος ἐπιστάτην εἰς τὴν οἰκίαν;[5]». Καὶ ἐδῶ πάλιν τὰ λόγια φαίνονται νὰ ἐκφράζουν ἀπορίαν, ἀλλ' ὁ Χριστὸς δὲν τὰ ἀπηύθυνε λόγῳ ἀπορίας. Ὅπως ἐρωτῶν τὸν Πέτρον ἂν τὸν ἀγαπᾷ, δὲν ἐρωτοῦσε διότι ἐχρειάζετο νὰ μάθῃ τὰ αἰσθήματα τοῦ μαθητοῦ, ἀλλὰ διότι ἤθελε νὰ δείξῃ τὸ μέγεθος τῆς ἰδικῆς του ἀγάπης· ἔτσι καὶ τώρα λέγων, «ποῖος λοιπὸν εἶναι ὁ πιστὸς καὶ φρόνιμος δοῦλος;», δὲν ἐρωτᾷ διότι ἀγνοεῖ τὸν πιστὸν καὶ φρόνιμον, ἀλλὰ διότι θέλει νὰ παραστήσῃ πόσον σπάνιοι εἶναι τέτοιοι δοῦλοι καὶ πόσον σπουδαία εἶναι αὐτὴ ἡ ἐξουσία. Κύτταξε δὲ πόσον σπουδαῖον εἶναι καὶ τὸ ἀνάλογον βραβεῖον· «θὰ τὸν διορίσῃ, λέγει, διαχειριστὴν ὁλοκλήρου τῆς περιουσίας του»[6].

---

5. Ματθ. 24, 45 καὶ Λουκᾶ 12, 42.
6. Ματθ. 24,47, Λουκᾶ 12,44.

2. Ἔτι οὖν ἀμφισβητήσεις ἡμῖν τοῦ μὴ καλῶς ἠπατῆσθαι, πᾶσι μέλλων ἐπιστήσεσθαι τοῦ Θεοῦ τοῖς ὑπάρχουσι καὶ ταῦτα πράττων, ἃ καὶ τὸν Πέτρον ποιοῦντα ἔφησε δυνήσεσθαι καὶ τῶν Ἀποστόλων ὑπερακοντίσαι τοὺς λοιπούς; «Πέτρε γάρ», 5 φησί, «φιλεῖς με πλεῖον τούτων; Ποίμαινε τὰ πρόβατά μου». Καίτοι γ' ἐνῆν εἰπεῖν πρὸς αὐτόν, εἰ φιλεῖς με, νηστείαν ἄσκει, χαμευνίαν, ἀγρυπνίας συντόνους, προΐστασο τῶν ἀδικουμένων, γίνου ὀρφανοῖς ὡς πατὴρ καὶ ἀντὶ ἀνδρὸς τῇ μητρὶ αὐτῶν. Νῦν δὲ πάντα ταῦτα ἀφείς, τί φησι; «Ποίμαινε 10 τὰ πρόβατά μου». Ἐκεῖνα μὲν γάρ, ἃ προεῖπον, καὶ τῶν ἀρχομένων πολλοὶ δύναιντ' ἂν ἐπιτελεῖν ῥαδίως, οὐκ ἄνδρες μόνον, ἀλλὰ καὶ γυναῖκες. Ὅταν δὲ Ἐκκλησίας προστῆναι δέῃ καὶ ψυχῶν ἐπιμέλειαν πιστευθῆναι τοσούτων, πᾶσα μὲν ἡ γυναικεία φύσις παραχωρείτω τῷ μεγέθει τοῦ πράγματος 15 καὶ ἀνδρῶν δὲ τὸ πλέον. Ἀγέσθωσαν δὲ εἰς μέσον οἱ πολλῷ τῷ μέτρῳ πλεονεκτοῦντες ἁπάντων καὶ τοσοῦτον ὑψηλότεροι τῶν ἄλλων κατὰ τὴν τῆς ψυχῆς ὄντες ἀρετήν, ὅσον τοῦ παντὸς ἔθνους Ἑβραίων κατὰ τὸ τοῦ σώματος μέγεθος ὁ Σαούλ, μᾶλλον δὲ καὶ πολλῷ πλέον. Μὴ γάρ μοι μόνον ὑπερω-20 μίας ἐνταῦθα ζητείσθω μέτρον· ἀλλ ὅση πρὸς τὰ ἄλογα τῶν λογικῶν ἀνθρώπων ἡ διαφορά, τοσοῦτον τοῦ ποιμένος καὶ τῶν ποιμαινομένων ἔστω τὸ μέσον, ἵνα μὴ καὶ πλέον τι εἴπω· καὶ γὰρ περὶ πολλῷ μειζόνων ὁ κίνδυνος.

Ὁ μὲν γὰρ πρόβατα ἀπολλύς, ἢ λύκων ἁρπασάντων ἢ 25 λῃστῶν ἐπιστάντων ἢ λοιμοῦ τινος ἢ καὶ ἄλλου συμπτώματος ἐπιπεσόντος, τύχοι μὲν ἂν τινος καὶ συγγνώμης παρὰ τοῦ κυρίου τῆς ποίμνης· εἰ δὲ καὶ δίκην ἀπαιτοῖτο, μέχρι τῶν χρημάτων ἡ ζημία. Ὁ δὲ ἀνθρώπους πιστευθείς, τὸ

7. Ἰω. 21, 15.
8. Ἰω. 21, 16.
9. Α' Βασ. 10, 23.

2. Θὰ ἐξακολουθῇς λοιπὸν ν' ἀμφισβητῇς ὅτι ἡ ἀπάτη μου εἶχε καλὰ ἀποτελέσματα, ἀφοῦ πρόκειται νὰ γίνῃς ἐπιστάτης τῆς περιουσίας τοῦ Θεοῦ καὶ ἀνέλαβες νὰ ἐκτελέσῃς τὸ ἔργον ποὺ ἂν ἐξετέλει ὁ Πέτρος θὰ ὑπερέβαλλε τοὺς λοιποὺς Ἀποστόλους, ὅπως εἶπεν ὁ Κύριος; «Πέτρε, μὲ ἀγαπᾷς περισσότερον ἀπὸ αὐτούς; Βόσκε τὰ πρόβατά μου»[7]. Καὶ ὅμως θὰ ἠμποροῦσε νὰ τοῦ εἰπῇ· ἂν μὲ ἀγαπᾷς, νὰ νηστεύῃς, νὰ κοιμᾶσαι κατὰ γῆς, νὰ κάμῃς συχνὰς ἀγρυπνίας, νὰ προστατεύῃς τοὺς ἀδικουμένους, νὰ ἀναλάβῃς τὴν θέσιν τοῦ πατρὸς τῶν ὀρφανῶν καὶ τῆς συζύγου τῆς μητρός των. Ἀλλ' ὅλα αὐτὰ τὰ παραλείπει, καὶ τί λέγει; «Βόσκε τὰ πρόβατά μου»[8]. Διότι ὅσα ἀνέφερα πρὸ ὀλίγου ἠμποροῦν εὔκολα νὰ τὰ ἐκτελέσουν καὶ πολλοὶ ἀπὸ τοὺς ἀρχομένους καὶ ὄχι μόνον ἄνδρες, ἀλλὰ καὶ γυναῖκες. Προκειμένου ὅμως περὶ τῆς διακυβερνήσεως τῆς Ἐκκλησίας καὶ τῆς ἐπιμελείας τόσων ψυχῶν, πρέπει νὰ παραμερίσῃ ὁλόκληρον τὸ γυναικεῖον φῦλον καὶ τὸ μεγαλύτερον μέρος ἀπὸ τὸ ἀνδρικόν. Νὰ ἔλθουν δὲ εἰς τὸ μέσον ἐκεῖνοι ποὺ ὑπερτεροῦν κατὰ πολὺ ὅλους τοὺς ἄλλους καὶ ἵστανται κατὰ τὰς ψυχικὰς ἀρετὰς τόσον ὑψηλότερα ἀπὸ τοὺς ἄλλους, ὅσον ὑψηλότερος ἦτο κατὰ τὸ ἀνάστημα ὁ Σαοὺλ ἀπὸ ὁλόκληρον τὸ Ἑβραϊκὸν ἔθνος[9]· μᾶλλον δὲ ἀκόμη περισσότερον, διότι ἐδῶ δὲν πρόκειται νὰ μετρήσωμεν πόσον ὑψηλότερος εἶναι ὁ ὦμος τοῦ ἑνὸς ἀπὸ τοῦ ἄλλου. Ἡ ἀπόστασις μεταξὺ τοῦ ποιμένος καὶ τῶν ποιμαινομένων πρέπει νὰ εἶναι τόση, ὅση εἶναι ἡ ἀπόστασις μεταξὺ λογικῶν ἀνθρώπων καὶ ἀλόγων ζώων, ἂν ὄχι μεγαλυτέρα. Καὶ τοῦτο εἶναι φυσικόν, ἐφ' ὅσον ὁ κίνδυνος ἀναφέρεται εἰς πολυτιμότατα πράγματα.

Ὁ βοσκός, ποὺ χάνει πρόβατα ἀπὸ ἐπιδρομὴν λύκων ἢ λῃστῶν ἢ ἀπὸ ἐπιδημίαν ἢ ἀπὸ ἄλλον σύμπτωμα, εἶναι δυνατὸν νὰ συγχωρηθῇ ἀπὸ τὸν ἰδιοκτήτην τοῦ ποιμνίου, ἀλλὰ καὶ ἂν ὑποχρεωθῇ εἰς ἀποζημίωσιν, ἡ ζημία θὰ εἶναι μόνον χρηματική. Ὁ ἀναλαβὼν ὅμως τὴν φύλαξιν τοῦ λο-

λογικὸν τοῦ Χριστοῦ ποίμνιον, πρῶτον μὲν οὐκ εἰς χρήματα, ἀλλ' εἰς τὴν ἑαυτοῦ ψυχὴν τὴν ζημίαν ὑφίσταται ὑπὲρ τῆς τῶν προβάτων ἀπωλείας. Ἔπειτα καὶ τὸν ἀγῶνα πολλῷ μείζονα καὶ χαλεπώτερον ἔχει. Οὐ γὰρ αὐτῷ πρὸς λύκους
5 *ἡ μάχη, οὐδὲ ὑπὲρ λῃστῶν δέδοικεν, οὐδὲ ἵνα λοιμὸν ἀπελάσῃ τῆς ποίμνης φροντίζει· ἀλλὰ πρὸς τίνας ὁ πόλεμος καὶ μετὰ τίνων ἡ πάλη; Ἄκουε τοῦ μακαρίου Παύλου λέγοντος· «οὐκ ἔστιν ἡμῖν ἡ πάλη πρὸς αἷμα καὶ σάρκα, ἀλλὰ πρὸς τὰς ἀρχάς, πρὸς τὰς ἐξουσίας, πρὸς τοὺς κοσμοκράτο-*
10 *ρας τοῦ σκότους τοῦ αἰῶνος τούτου, πρὸς τὰ πνευματικὰ τῆς πονηρίας ἐν τοῖς ἐπουρανίοις». Εἶδες πολεμίων πλῆθος δεινὸν καὶ φάλαγγας ἀγρίας, οὐ σιδήρῳ πεφραγμένας, ἀλλ' ἀντὶ πάσης πανοπλίας ἀρκουμένας τῇ φύσει; Βούλει καὶ ἕτερον στρατόπεδον ἰδεῖν ἀπηνὲς καὶ ὠμόν, ταύτῃ προσεδρεῦον τῇ*
15 *ποίμνῃ; Καὶ τοῦτο ἀπὸ τῆς αὐτῆς ὄψει περιωπῆς. Ὁ γὰρ περὶ ἐκείνων ἡμῖν διαλεχθείς, οὗτος καὶ τούτους ἡμῖν ὑποδείκνυσι τοὺς ἐχθρούς, ὧδέ πως λέγων· «φανερά ἐστι τὰ ἔργα τῆς σαρκός, ἅτινά ἐστι πορνεία, μοιχεία, ἀκαθαρσία, ἀσέλγεια, εἰδωλολατρία, φαρμακεία, ἔχθραι, ἔρεις, ζῆλοι,*
20 *θυμοί, ἐριθεῖαι, καταλαλιαί, ψιθυρισμοί, φυσιώσεις, ἀκαταστασίαι» καὶ ἕτερα τούτων πλείονα. Οὐ γὰρ πάντα κατέλεξεν, ἀλλ' ἐκ τούτων ἀφῆκεν εἰδέναι καὶ τὰ λοιπά.*

Καὶ ἐπὶ μὲν τοῦ ποιμένος τῶν ἀλόγων, οἱ βουλόμενοι διαφθεῖραι τὴν ποίμνην, ὅταν ἴδωσι τὸν ἐφεστῶτα φεύγοντα,
25 *τὴν πρὸς ἐκεῖνον μάχην ἀφέντες, ἀρκοῦνται τῇ τῶν θρεμμάτων ἁρπαγῇ· ἐνταῦθα δέ, κἂν ἅπασαν λάβωσι τὴν ποίμνην, οὐδ' οὕτω τοῦ ποιμένος ἀφίστανται, ἀλλὰ μᾶλλον ἐφεστήκασι καὶ πλέον θρασύνονται καὶ οὐ πρότερον παύονται, ἕως ἂν ἢ καταβάλωσιν ἐκεῖνον ἢ νικηθῶσιν αὐτοί. Πρὸς δὲ τούτοις,*
30 *τὰ μὲν τῶν θρεμμάτων νοσήματα καθέστηκε φανερά, κἂν λιμὸς ᾖ κἂν λοιμὸς κἂν τραῦμα κἂν ὅ,τι δηποτοῦν ἕτερον ᾖ τὸ*

---

10. Ἐφεσ. 6, 12.

γικοῦ ποιμνίου τοῦ Χριστοῦ, πρῶτον μὲν δὲν ἀποζημιώνει διὰ τὴν ἀπώλειαν τῶν προβάτων μὲ χρήματα, ἀλλὰ μὲ τὴν ψυχήν του. Ἔπειτα δὲ διεξάγει μεγαλύτερον καὶ σκληρότερον ἀγῶνα. Διότι δὲν μάχεται ἁπλῶς πρὸς λύκους, δὲν ἔχει νὰ φοβηθῇ λῃστάς, δὲν φροντίζει ν' ἀπομακρύνῃ ἀπὸ τὸ ποίμνιον ἐπιδημίαν. Διὰ νὰ μάθῃς ἐναντίον ποίων διεξάγεται αὐτὸς ὁ πόλεμος, αὐτὴ ἡ μάχη, ἄκουσε τί λέγει ὁ μακάριος Παῦλος· «δὲν πρόκειται νὰ παλαίσωμεν πρὸς ἐχθροὺς μὲ αἷμα καὶ σάρκα, ἀλλὰ πρὸς δαιμονικὰς ἀρχὰς καὶ ἐξουσίας, πρὸς τοὺς κυριάρχους τοῦ σκοτεινοῦ τούτου κόσμου, πρὸς τὰ πονηρὰ πνεύματα τῶν αἰθέρων»[10]. Βλέπεις λοιπὸν πόσον φοβερὸν εἶναι τὸ πλῆθος τῶν ἐχθρῶν, πόσον ἄγριαι αἱ φάλαγγές του ποὺ ἀντὶ σιδηρᾶς πανοπλίας ἀρκοῦνται εἰς τὴν φύσιν των; Θέλεις ν' ἀκούσῃς καὶ ἄλλο στράτευμα σκληρὸν καὶ ὠμόν, ποὺ εἶναι παρατεταγμένον κοντὰ εἰς τὴν ποίμνην; Θὰ τὸ ἴδῃς καὶ αὐτὸ ἀπὸ τὸ ἴδιον παρατηρητήριον, διότι ὁ ἴδιος ὁ Παῦλος μᾶς ὑποδεικνύει καὶ αὐτοὺς τοὺς ἐχθρούς. «Φανερὰ εἶναι τὰ ἔργα τῆς σαρκός· πορνεία, μοιχεία, ἀκάθαρτοι ἐπιθυμίαι, ἀσέλγεια, εἰδωλολατρία, μαγεία, ἔχθραι, ἔριδες, ζηλοτυπίαι, θυμοί, ἐπιδεικτικοὶ ἐρεθισμοί, καταλαλιαί, ψιθυρισμοί, ὑπερηφάνεια, ἀκαταστασίαι»[11] καὶ ἄλλα πολλά, διότι δὲν τὰ ἀπηρίθμησεν ὅλα, ἀλλ' ἄφησε νὰ κρίνωμεν ἀπὸ αὐτὰ καὶ τὰ ὑπόλοιπα.

Ἔπειτα οἱ ἐπιχειροῦντες νὰ καταστρέψουν τὸ ἄλογον ποίμνιον, ὅταν ἰδοῦν τὸν ποιμένα νὰ φεύγῃ, τὸν ἀφήνουν καὶ ἀρκοῦνται εἰς τὴν ἁρπαγὴν τῶν προβάτων· εἰς τὴν ἰδικήν μας ὅμως περίπτωσιν, οἱ ἐχθροί, καὶ ὁλόκληρον τὸ ποίμνιον νὰ συλλάβουν, δὲν ἀφήνουν ἥσυχον τὸν ποιμένα, ἀλλ' ἐπιτίθενται μὲ μεγαλυτέραν θρασύτητα καὶ δὲν παύουν προτοῦ ἢ αὐτὸν καταβάλουν ἢ αὐτοὶ νικηθοῦν. Ἐπὶ πλέον τὰ μὲν νοσήματα τῶν ζώων, ἡ πεῖνα, αἱ ἐπιδημίαι, τὰ τραύματα, εἶναι φανερά, πρᾶγμα ποὺ ἠμπορεῖ νὰ συντελέσῃ

11. Γαλ. 5, 19 ἑξ. Βλ. καὶ Β' Κορ. 12, 20.

λυπεῖν· οὐ μικρὸν δὲ τοῦτο δύναιτ' ἂν πρὸς τὴν τῶν ἐνοχλούντων ἀπαλλαγήν. Ἔστι δέ τι καὶ ἕτερον τούτου μεῖζον τὸ ποιοῦν ταχεῖαν τῆς ἀρρωστίας ἐκείνης τὴν λύσιν. Τί δὲ τοῦτό ἐστιν; Μετὰ πολλῆς τῆς ἐξουσίας καταναγκάζουσι τὰ 5 πρόβατα οἱ ποιμένες δέχεσθαι τὴν ἰατρείαν, ὅταν ἑκόντα μὴ ὑπομένῃ. Καὶ γὰρ δῆσαι εὔκολον, ὅταν καῦσαι δέῃ καὶ τεμεῖν, καὶ φυλάξαι ἔνδον ἐπὶ χρόνον πολύν, ἡνίκα ἂν τοῦτο συμφέρῃ, καὶ ἑτέραν δὲ ἀνθ' ἑτέρας προσαγαγεῖν τροφὴν καὶ ἀποκωλῦσαι ναμάτων, καὶ τὰ ἄλλα δὲ πάντα, ὅσα περ ἂν 10 δοκιμάσωσι πρὸς τὴν ἐκείνων ὑγίειαν συμβάλλεσθαι, μετὰ πολλῆς προσάγουσι τῆς εὐκολίας.

3. Τὰς δὲ τῶν ἀνθρώπων ἀρρωστίας πρῶτον μὲν οὐκ ἔστιν ἀνθρώπῳ ῥᾴδιον ἰδεῖν· «οὐδεὶς γὰρ οἶδεν ἀνθρώπων τὰ τοῦ ἀνθρώπου, εἰ μὴ τὸ πνεῦμα τοῦ ἀνθρώπου τὸ ἐν αὐτῷ». 15 Πῶς οὖν τις προσαγάγοι τῆς νόσου τὸ φάρμακον, ἧς τὸν τρόπον οὐκ οἶδε, πολλάκις δὲ μηδὲ εἰ τυγχάνοι νοσῶν δυνάμενος συνιδεῖν;

Ἐπειδὰν δὲ καὶ καταφανὴς γένηται, τότε πλείονα αὐτῷ παρέχει τὴν δυσκολίαν. Οὐ γὰρ ἔστι μετὰ τοσαύτης ἐξουσίας 20 ἅπαντας θεραπεύειν ἀνθρώπους, μεθ' ὅσης τὸ πρόβατον ὁ ποιμήν. Ἔστι μὲν γὰρ καὶ ἐνταῦθα καὶ δῆσαι καὶ τροφῆς ἀπεῖρξαι καὶ καῦσαι καὶ τεμεῖν· ἀλλ' ἡ ἐξουσία τοῦ δέξασθαι τὴν ἰατρείαν οὐκ ἐν τῷ προσάγοντι τὸ φάρμακον, ἀλλὰ ἐν τῷ κάμνοντι κεῖται. Τοῦτο γὰρ καὶ ὁ θαυμάσιος ἐκεῖνος ἀνὴρ 25 συνειδώς, Κορινθίοις ἔλεγεν· «οὐχ ὅτι κυριεύομεν ὑμῶν τῆς πίστεως, ἀλλὰ συνεργοί ἐσμεν τῆς χαρᾶς ὑμῶν». Μάλιστα μὲν γὰρ ἁπάντων Χριστιανοῖς οὐκ ἐφεῖται πρὸς βίαν ἐπανορθοῦν τὰ τῶν ἁμαρτανόντων πταίσματα. Ἀλλ' οἱ μὲν ἔξωθεν δικασταί, τοὺς κακούργους ὅταν ὑπὸ τοῖς νόμοις λάβωσι 30 πολλὴν ἐπιδείκνυνται τὴν ἐξουσίαν καὶ ἄκοντας τοῖς τρόποις

---

12. Πρβλ. καὶ Α' 9 καὶ Γρηγ. Ἀπολ. 16 ἑξ. Ὁ Χρυσόστομος ἔχει καλὴν γνῶσιν τῆς ἰατρικῆς καὶ κτηνιατρικῆς τῆς ἐποχῆς του.
13. Α' Κορ. 2, 11.
14. Β' Κορ. 1, 24.

πολὺ εἰς τὴν θεραπείαν των. Ὑπάρχει δὲ καὶ ἕνα σπουδαιότερον μέσον διὰ τὴν ταχεῖαν θεραπείαν τῆς ἀρρωστείας. Ποῖον εἶναι; Τὸ ὅτι οἱ βοσκοὶ ἀναγκάζουν τὰ πρόβατα νὰ δεχθοῦν τὴν θεραπείαν διὰ τῆς βίας[12], ὅταν δὲν τὴν δέχωνται θεληματικῶς. Ὅταν π.χ. χρειάζεται καυτηρίασις ἢ ἐγχείρισις, εἶναι εὔκολον νὰ τὰ δέσουν· ὅταν δὲ τὸ συμφέρον των ἀπαιτῇ νὰ μείνουν εἰς τὴν μάνδραν, τὰ κρατοῦν ἐκεῖ πολὺν καιρόν· τέλος τοὺς προσφέρουν ἄλλην ἀντ' ἄλλης τροφήν, τὰ ἐμποδίζουν νὰ πιοῦν μολυσμένα νερὰ καὶ ἐν γένει χρησιμοποιοῦν μὲ πολλὴν εὐκολίαν ὅλα τὰ μέσα ποὺ συντελοῦν εἰς τὴν θεραπείαν των.

3. Τὰς ἀσθενείας ὅμως τοῦ ἀνθρώπου πρῶτα πρῶτα δὲν εἶναι εὔκολον νὰ τὰς ἰδῇ ἄλλος· «τὴν ψυχὴν τοῦ ἀνθρώπου δὲν τὴν γνωρίζει κανεὶς ἄλλος ἄνθρωπος παρὰ μόνον ἡ ἰδία ἡ συνείδησίς του»[13]. Πῶς λοιπὸν ὁ πνευματικὸς ἰατρὸς θὰ εὕρῃ τὸ κατάλληλον φάρμακον ἀσθενείας ποὺ δὲν ἠμπορεῖ νὰ διαγνώσῃ καὶ μάλιστα ἀφοῦ πολὺ συχνὰ δὲν γνωρίζει κἂν ἂν εἶναι κάποιος ἀσθενής;

Ὅταν δὲ διαγνωσθῇ ἡ ἀσθένεια, τότε τοῦ παρουσιάζει περισσοτέρας δυσκολίας, διότι δὲν εἶναι δυνατὸν νὰ θεραπεύσῃ κανεὶς τοὺς ἀνθρώπους μὲ τόσην εὐκολίαν μὲ ὅσην εὐκολίαν θεραπεύει ὁ ποιμὴν τὰ πρόβατα. Εἶναι δυνατὸν καὶ ὁ πνευματικὸς ἰατρὸς νὰ δέσῃ τὸν ἄρρωστον, νὰ τοῦ ἀπαγορεύσῃ τὴν τροφήν, νὰ τὸν καυτηριάσῃ, νὰ τὸν ἐγχειρίσῃ, ἀλλ' ἡ ἐξουσία τῆς ἐπιβολῆς τῆς θεραπείας δὲν ἀνήκει εἰς τὸν ἰατρὸν παρὰ εἰς τὸν ἴδιον τὸν ἄρρωστον. Ὁ θαυμάσιος ἐκεῖνος διδάσκαλος ἐγνώριζε καλὰ αὐτὸ τὸ πρᾶγμα καὶ ἔλεγε· «δὲν εἴμεθα κυρίαρχοι τῆς πίστεώς σας, ἀλλὰ συνεργάται τῆς χαρᾶς σας»[14]. Περισσότερον ἀπὸ τοὺς ἄλλους ἀνθρώπους εἰς τοὺς Χριστιανοὺς δὲν ἁρμόζει νὰ διορθώσουν τὰ πταίσματα τῶν ἁμαρτωλῶν διὰ τῆς βίας. Οἱ μὲν κοσμικοὶ δικασταί, ὅταν θέσουν τοὺς κακούργους ὑπὸ τὴν ἐπιβολὴν τοῦ νόμου, ἐξασκοῦν ὅλην τὴν ἐξουσίαν

κωλύουσι χρῆσθαι τοῖς αὐτῶν· ἐνταῦθα δὲ οὐ βιαζόμενον, ἀλλὰ πείθοντα δεῖ ποιεῖν ἀμείνω τὸν τοιοῦτον. Οὔτε γὰρ ἡμῖν ἐξουσία τοσαύτη παρὰ τῶν νόμων δέδοται πρὸς τὸ κωλύειν τοὺς ἁμαρτάνοντας, οὔτε, εἰ καὶ ἔδωκαν, εἴχομεν ὅπου χρη-
5 *σόμεθα τῇ δυνάμει, οὐ τοὺς ἀνάγκῃ τῆς κακίας ἀπεχομένους, ἀλλὰ τοὺς προαιρέσει ταύτης ἀπεχομένους στεφανοῦντος τοῦ Θεοῦ.*

Διὰ τοῦτο πολλῆς χρεία τῆς μηχανῆς, ἵνα πεισθῶσιν ἑκόντες ἑαυτοὺς ὑπέχειν ταῖς παρὰ τῶν ἱερέων θεραπείαις
10 *οἱ κάμνοντες· καὶ οὐ τοῦτο μόνον, ἀλλ' ἵνα καὶ χάριν εἰδῶσι τῆς ἰατρείας αὐτοῖς. Ἄν τε γάρ τις σκιρτήσῃ δεθεὶς (κύριος γάρ ἐστι τούτου), χεῖρον εἰργάσατο τὸ δεινόν· ἄν τε τοὺς σιδήρου δίκην τέμνοντας λόγους παραπέμψηται, προσέθηκε διὰ τῆς καταφρονήσεως τραῦμα ἕτερον, καὶ γέγονεν ἡ τῆς*
15 *θεραπείας πρόφασις νόσου χαλεπωτέρας ὑπόθεσις. Ὁ γὰρ καταναγκάζων καὶ ἄκοντα θεραπεῦσαι δυνάμενος οὐκ ἔστιν.*

4. Τί οὖν ἄν τις ποιήσειε; Καὶ γὰρ ἐὰν πρᾳότερον προσενεχθῇς τῷ πολλῆς ἀποτομίας δεομένῳ καὶ μὴ δῷς βαθεῖαν τὴν τομὴν τῷ τοιαύτης χρείαν ἔχοντι, τὸ μὲν περιέκοψας, τὸ
20 *δὲ ἀφῆκας τοῦ τραύματος· κἂν ἀφειδῶς τὴν ὀφειλομένην ἐπανάγῃς τομήν, πολλάκις ἀπογνοὺς πρὸς τὰς ἀλγηδόνας ἐκεῖνος, ἀθρόως ἅπαντα ῥίψας, καὶ τὸ φάρμακον καὶ τὸν ἐπίδεσμον, φέρων ἑαυτὸν κατεκρήμνισε, συντρίψας τὸν ζυγὸν καὶ διαρρήξας τὸν δεσμόν. Καὶ πολλοὺς ἂν ἔχοιμι λέγειν*
25 *τοὺς εἰς ἔσχατα ἐξοκείλαντας κακά, διὰ τὸ δίκην ἀπαιτηθῆναι τῶν ἁμαρτημάτων ἀξίαν. Οὐ γὰρ ἁπλῶς πρὸς τὸ τῶν παραπτωμάτων μέτρον δεῖ καὶ τὴν ἐπιτιμίαν ἐπάγειν, ἀλλὰ καὶ τῆς τῶν ἁμαρτανόντων στοχάζεσθαι προαιρέσεως, μή ποτε*

---

15. Ἡ διαφορὰ μεταξὺ τῆς θεραπείας τῶν ψυχῶν ἀπὸ τῆς τῶν σωμάτων ἔγκειται εἰς τὸ ὅτι ἡ διάγνωσις τῶν ψυχικῶν ἀσθενειῶν εἶναι δύσκολος καὶ ἀδύνατος ἡ ἐπιβολὴ βίας ἐπὶ τοῦ ψυχικῶς ἀσθενοῦς. Ὡς λέγει ὁ Γρηγόριος Ἀπολογ. 15, «ποιμαίνει τὸ ποίμνιον ἑκουσίως, ἀλλὰ μὴ ἀναγκαστικῶς ὁ ἡμέτερος διακελεύεται νόμος καὶ νομοθέτης».

των καὶ τοὺς ἐμποδίζουν διὰ τῆς βίας νὰ συνεχίσουν τὴν δρᾶσίν των. Εἰς τὸν ἰδικόν μας ὅμως κύκλον πρέπει νὰ βελτιώνωμεν τέτοιους ἀνθρώπους ὄχι μὲ τὴν βίαν, ἀλλὰ μὲ τὴν πειθώ. Διότι οὔτε μᾶς παρέχουν οἱ νόμοι τόσην ἐξουσίαν, οὔτε, ἂν μᾶς παρεῖχαν, θὰ ἠμπορούσαμεν νὰ χρησιμοποιήσωμεν τὴν δύναμίν της, ἐφ' ὅσον ὁ Θεὸς στεφανώνει τοὺς ἀπέχοντας ἀπὸ τὴν ἁμαρτίαν ὄχι ἐξ ἀνάγκης, ἀλλὰ ἐκ διαθέσεως[15].

Διὰ τοῦτο χρειάζεται μεγάλη τέχνη, ὥστε νὰ πεισθοῦν μόνοι των οἱ ἀσθενεῖς νὰ ὑποστοῦν τὴν θεραπείαν ποὺ ἐπιβάλλουν οἱ ἱερεῖς· καὶ ὄχι μόνον αὐτό, ἀλλὰ καὶ νὰ τοὺς ἀνταποδίδουν εὐγνωμοσύνην διὰ τὴν θεραπείαν. Ἂν ὁ ἁμαρτωλὸς ποὺ ἔχει δεθῆ μὲ ἐπιτίμια ἀναπηδήσῃ (πρᾶγμα ποὺ εἶναι ἐλεύθερος νὰ κάμῃ), χειροτερεύει τὴν κατάστασίν του· καὶ ἂν ἀποκρούσῃ τοὺς παραινετικοὺς λόγους ποὺ κόβουν σὰν σιδερένιον ἐργαλεῖον, προσθέτει νέον τραῦμα μὲ τὴν περιφρόνησιν αὐτὴν καὶ ἡ προσπάθεια τῆς θεραπείας γίνεται ἀφορμὴ μεγαλυτέρας νόσου. Κανεὶς δὲν ἠμπορεῖ ἐδῶ νὰ θεραπεύσῃ τὸν ἀσθενῆ διὰ τῆς βίας, παρὰ τὴν θέλησίν του.

4. Τί νὰ κάμῃ λοιπὸν ὁ ἱερεύς; Ἐὰν συμπεριφερθῇς μαλακώτερα πρὸς ἀσθενῆ ποὺ χρειάζεται σκληρότητα καὶ δὲν ἐνεργήσῃς βαθεῖαν τομὴν εἰς τὸν ἔχοντα ἀνάγκην, θὰ καθαρίσῃς ἕνα μέρος μόνον τοῦ τραύματος καὶ θ' ἀφήσῃς τὸ ὑπόλοιπον. Καὶ ἂν ἐνεργήσῃς ὁλόκληρον τὴν ἀπαιτουμένην ἐγχείρισιν χωρὶς δισταγμόν, ὁ ἀσθενὴς συχνὰ χάνει ἀπὸ τοὺς πόνους τὸ θάρρος, ρίπτει μακρυὰ ὅλα τὰ ἀντικείμενα, καὶ τὸ φάρμακον καὶ τὸν ἐπίδεσμον, συντρίβει τὸν ζυγόν, σπᾶ τὸν δεσμὸν καὶ κρημνίζεται μὲ ὁρμὴν εἰς τὸ βάραθρον. Καὶ γνωρίζω πολλοὺς ποὺ ἐξώκειλαν εἰς τελείαν ἀνηθικότητα διότι τοὺς ἐπεβλήθη τιμωρία ἀξία τῶν ἁμαρτημάτων των. Δὲν πρέπει λοιπὸν τὸ ἐπιτίμιον νὰ εἶναι ἀνάλογον πρὸς τὸ μέγεθος τοῦ ἁμαρτήματος, ἀλλ' ἀπαιτεῖται νὰ λαμβάνεται ὑπ' ὄψιν καὶ ἡ διάθεσις τῶν ἁμαρτωλῶν·

ῥάψαι τὸ διερρωγὸς βουλόμενος χεῖρον τὸ σχίσμα ποιήσῃς καὶ ἀνορθῶσαι τὸ καταπεπτωκὸς σπουδάζων μείζονα ἐργάσῃ τὴν πτῶσιν. Οἱ γὰρ ἀσθενεῖς καὶ διακεχυμένοι καὶ τὸ πλέον τῇ τοῦ κόσμου προσδεδεμένοι τρυφῇ, ἔτι δὲ καὶ ἐπὶ γένει
5 *καὶ δυναστείᾳ μέγα φρονεῖν ἔχοντες, ἠρέμα μὲν καὶ κατὰ μικρόν, ἐν οἷς ἂν ἁμαρτάνωσιν, ἐπιστρεφόμενοι, δύναντ' ἄν, εἰ μὴ τέλεον, ἀλλὰ γοῦν ἐκ μέρους, τῶν κατεχόντων αὐτοὺς ἀπαλλαγῆναι κακῶν· ἂν δὲ ἀθρόον τις ἐπαγάγῃ τὴν παιδείαν καὶ τῆς ἐλάττονος αὐτοὺς ἀπεστέρησε διορθώσεως. Ψυχὴ*
10 *γὰρ ἐπειδὰν εἰσάπαξ ἀπερυθριάσαι βιασθῇ, εἰς ἀναλγησίαν ἐκπίπτει, καὶ οὔτε προσηνέσιν εἴκει λόγοις λοιπὸν οὔτε ἀπειλαῖς κάμπτεται οὔτε εὐεργεσίαις προτρέπεται, ἀλλὰ γίνεται πολὺ χείρων τῆς πόλεως ἐκείνης, ἣν ὁ προφήτης κακίζων ἔλεγεν· «ὄψις πόρνης ἐγένετό σοι, ἀπηναισχύντησας πρὸς*
15 *πάντας».*

Διὰ τοῦτο πολλῆς δεῖ τῆς συνέσεως τῷ ποιμένι καὶ μυρίων ὀφθαλμῶν, πρὸς τὸ περισκοπεῖν πάντοθεν τὴν τῆς ψυχῆς ἕξιν. Ὥσπερ γὰρ εἰς ἀπόνοιαν αἴρονται πολλοὶ καὶ εἰς ἀπόγνωσιν τῆς ἑαυτῶν καταπίπτουσι σωτηρίας, ἀπὸ τοῦ μὴ δυνη-
20 *θῆναι πικρῶν ἀνασχέσθαι φαρμάκων· οὕτως εἰσί τινες, οἳ διὰ τὸ μὴ δοῦναι τιμωρίαν τῶν ἁμαρτημάτων ἀντίρροπον, εἰς ὀλιγωρίαν ἐκτρέπονται καὶ πολλῷ γίνονται χείρους καὶ πρὸς τὸ μείζονα ἁμαρτάνειν προάγονται. Χρὴ τοίνυν μηδὲν τούτων ἀνεξέταστον ἀφεῖναι, ἀλλὰ πάντα διερευνησάμενον ἀκριβῶς,*
25 *καταλλήλως τὰ παρ' αὐτοῦ προσάγειν τὸν ἱερωμένον, ἵνα μὴ μάταιος αὐτῷ γίνηται ἡ σπουδή.*

Οὐκ ἐν τούτῳ δὲ μόνῳ, ἀλλὰ καὶ ἐν τῷ τὰ ἀπερρηγμένα τῆς Ἐκκλησίας μέλη συνάπτειν, πολλὰ ἴδοι τις ἂν αὐτὸν ἔχοντα πράγματα. Ὁ μὲν γὰρ τῶν προβάτων ποιμὴν ἔχει τὸ

15α. Ἰερ. 3, 3.

καὶ τοῦτο εἶναι ἀπαραίτητον διὰ νὰ μὴ κάμῃ ὁ ἱερεὺς μεγαλυτέραν τὴν ρωγμήν, ἐνῷ θέλει νὰ ράψῃ τὴν διεσπασμένην διαγωγήν, διὰ νὰ μὴ προκαλέσῃ μεγαλυτέραν πτῶσιν, ἐνῷ θέλει ν' ἀνορθώσῃ τὸν πεσόντα. Οἱ ἀσθενεῖς καὶ ρᾴθυμοι, οἱ προσκολλημένοι εἰς τὰς ἀπολαύσεις τοῦ κόσμου καὶ οἱ ἐπηρμένοι διὰ τὴν καταγωγὴν καὶ τὴν δύναμίν των ἠμποροῦν ν' ἀπαλλαγοῦν ἀπὸ τὰ ἐλαττώματά των, ἂν ὄχι τελείως, τοὐλάχιστον μερικῶς, ὅταν οἱ ἱερεῖς τοὺς ἀπομακρύνουν βαθμιαίως καὶ μὲ σύστημα ἀπὸ τὰς ἁμαρτωλὰς πράξεις των· ἂν ὅμως ἐπιχειρήσουν νὰ τοὺς διαπαιδαγωγήσουν μονομιᾶς, τοὺς στεροῦν καὶ τῆς μικροτέρας διορθώσεως. Ὅταν ἡ ψυχὴ ἀναγκασθῇ νὰ χάσῃ τὴν ἐντροπὴν διὰ μίαν καὶ μόνην φοράν, περιπίπτει εἰς πόρωσιν καὶ ἔκτοτε οὔτε εἰς λόγους γλυκεῖς ὑπακούει οὔτε μὲ ἀπειλὰς κάμπτεται οὔτε μὲ εὐεργεσίας συγκινεῖται· γίνεται χειροτέρα ἀπὸ τὴν πόλιν ποὺ κακίζει ὁ προφήτης μὲ τὰ λόγια του αὐτά· «ἐπῆρες τὴν ὄψιν πόρνης, ἐχάθη ἡ ἐντροπή σου»[15α].

Διὰ τοῦτο ὁ ποιμὴν χρειάζεται μεγάλην φρόνησιν καὶ μυρίους ὀφθαλμούς, ὥστε νὰ βλέπῃ ἀπὸ παντοῦ τὴν διάθεσιν τῆς ψυχῆς. Διότι ὅπως ὑπάρχουν ἄνθρωποι ποὺ ὁδηγοῦνται εἰς αὐθαιρεσίαν καὶ χάνουν κάθε ἐλπίδα διὰ τὴν σωτηρίαν των, ἐπειδὴ δὲν ἠμπόρεσαν νὰ ὑποφέρουν τὰ δυσάρεστα φάρμακα, ἔτσι ὑπάρχουν καὶ ἄλλοι ποὺ γίνονται χειρότεροι, καταντοῦν ἀδιάφοροι καὶ ὁδηγοῦνται εἰς πράξεις περισσότερον ἁμαρτωλάς, ἐπειδὴ δὲν τοὺς ἐπεβλήθη τιμωρία ἀνάλογος μὲ τὰ ἁμαρτήματά των. Δὲν πρέπει λοιπὸν ν' ἀφήνῃ ὁ ἱερεὺς ἀνεξετάστους ὅλας αὐτὰς τὰς περιπτώσεις· πρέπει νὰ τὰς ἐρευνᾷ ὅλας μὲ ἀκρίβειαν καὶ ἀναλόγως νὰ ρυθμίζῃ τὴν συμπεριφοράν του πρὸς τοὺς ἀσθενεῖς, ὥστε νὰ μὴ ἀποβαίνῃ ματαία ἡ προσπάθειά του.

Καὶ ἡ μεγάλη δυσκολία δὲν περιορίζεται μόνον ἐδῶ, ἀλλ' ἐπεκτείνεται καὶ εἰς τὴν προσπάθειαν νὰ ἐπαναφέρῃ εἰς τὴν Ἐκκλησίαν τὰ ἀπομακρυσμένα μέλη της. Τὸν μὲν ποιμένα τῶν προβάτων ἀκολουθεῖ τὸ ποίμνιον ὁπουδήποτε

ποίμνιον ἑπόμενον, ᾗπερ ἂν ἡγῆται· εἰ δὲ καὶ ἐκτρέποιτό τινα τῆς ὁδοῦ καὶ τὴν ἀγαθὴν ἀφιέντα νομὴν λεπτόγεα καὶ ἀπόκρημνα βόσκοιτο χωρία, ἀρκεῖ βοήσαντα σφοδρότερον συνελάσαι πάλιν καὶ εἰς τὴν ποίμνην ἐπαναγαγεῖν τὸ χωρισθέν.
5 *Εἰ δὲ τῆς εὐθείας ἄνθρωπος ἀποπλανηθείη πίστεως, πολλῆς δεῖ τῷ ποιμένι τῆς πραγματείας, τῆς καρτερίας, τῆς ὑπομονῆς. Οὐ γὰρ ἑλκύσαι πρὸς βίαν ἔστιν, οὐδὲ ἀναγκάσαι φόβῳ· πείσαντα δὲ δεῖ πάλιν πρὸς τὴν ἀλήθειαν ἀγαγεῖν, ὅθεν ἐξέπεσε τὴν ἀρχήν.*

10 *Γενναίας οὖν δεῖ ψυχῆς, ἵνα μὴ περικακῇ, ἵνα μὴ ἀπογινώσκῃ τὴν τῶν πλανωμένων σωτηρίαν, ἵνα συνεχῶς ἐκεῖνο καὶ λογίζηται καὶ λέγῃ· «μήποτε δῷ αὐτοῖς ὁ Θεὸς μετάνοιαν εἰς ἐπίγνωσιν ἀληθείας καὶ ἀνανήψωσιν ἐκ τῆς τοῦ διαβόλου παγίδος». Διὰ ταῦτα τοῖς μαθηταῖς ὁ Κύριος διαλεγόμενος*
15 *ἔφη· «τίς ἄρα ὁ πιστὸς δοῦλος καὶ φρόνιμος»; Ὁ μὲν γὰρ ἑαυτὸν ἀσκῶν, εἰς ἑαυτὸν μόνον περιίστησι τὴν ὠφέλειαν· τὸ δὲ τῆς ποιμαντικῆς κέρδος εἰς ἅπαντα διαβαίνει τὸν λαόν. Καὶ ὁ μὲν χρήματα διανέμων τοῖς δεομένοις, ἢ καὶ ἑτέρως πως ἀδικουμένοις ἀμύνων, ὀνησι μέν τινι καὶ οὗτος*
20 *τοὺς πλησίον· τοσούτῳ δὲ ἔλαττον τοῦ ἱερέως, ὅσον τὸ μέσον σώματος πρὸς ψυχήν. Εἰκότως ἄρα τῆς εἰς αὐτὸν ἀγάπης τὴν περὶ τὰ ποίμνια σπουδὴν ὁ Κύριος ἔφησεν εἶναι σημεῖον.*

ΒΑΣΙΛΕΙΟΣ. Σὺ δέ, φησίν, οὐ φιλεῖς τὸν Χριστόν;

ΧΡΥΣΟΣΤΟΜΟΣ. Καὶ φιλῶ καὶ φιλῶν οὐ παύσομαί
25 *ποτε· δέδοικα δὲ μὴ παροξύνω τὸν φιλούμενον ὑπ' ἐμοῦ.*

ΒΑΣΙΛΕΙΟΣ. Καὶ τί τούτου γένοιτ' ἂν αἴνιγμα, φησίν, ἀσαφέστερον, εἰ ὁ μὲν Χριστὸς τὸν φιλοῦντα αὐτὸν ποιμαίνειν προσέταξεν αὐτοῦ τὰ πρόβατα, σὺ δὲ διὰ τοῦτο φῇς

---

16. Β' Τιμ. 2, 25.
17. Ματθ. 24, 45.
18. Κατὰ τὴν ἐποχὴν αὐτὴν ἐδόθη εἰς τὸ ὄνομα ποιμαντικὴ ἡ τεχνική του σημασία. Βλ. καὶ Γρηγορίου Ἀπολογ. 7 (35, 825), Λόγος εἰς τὸ Ἅγ. Πάσχα (36, 649). Μ. Βασιλείου. Εἰς τὸ πρόσεχε σεαυτῷ (31, 208). Ἔκτοτε ἡ ποιμαντικὴ θεωρεῖται ὡς ἐπιστήμη καὶ ὡς τέχνη.

τὸ ὁδηγήσῃ· καὶ ἂν μερικὰ πρόβατα ἐκτραποῦν ἀπὸ τὸν σωστὸν δρόμον, ἀφήσουν τὴν πλουσίαν βοσκὴν καὶ μεταβοῦν εἰς τόπους ἀγόνους καὶ ἀποκρήμνους, ἀρκεῖ νὰ φωνάξῃ δυνατώτερα διὰ νὰ τὰ ξανασυγκεντρώσῃ καὶ νὰ τὰ ξαναφέρῃ εἰς τὴν ποίμνην. Ἂν ὅμως ἀποπλανηθῇ ὁ ἄνθρωπος ἀπὸ τὴν πίστιν, ὁ ἱερεὺς χρειάζεται νὰ καταβάλῃ μεγάλην προσπάθειαν μὲ καρτερίαν καὶ ὑπομονήν. Διότι δὲν εἶναι δυνατὸν νὰ τὸν προσελκύσῃ μὲ τὴν βίαν ἢ νὰ τὸν ἀναγκάσῃ μὲ τὸν φόβον· πρέπει νὰ τὸν ξαναφέρῃ εἰς τὴν ἀλήθειαν, ἀπὸ τὴν ὁποίαν ἐξέπεσε, μὲ τὴν πειθώ.

Ἀπαιτεῖται λοιπὸν γενναία ψυχὴ ποὺ νὰ μὴ ἀποθαρρύνεται καὶ ἀπελπίζεται διὰ τὴν σωτηρίαν τῶν πλανωμένων, ποὺ πάντοτε νὰ σκέπτεται καὶ νὰ λέγῃ τοῦτο· «ἴσως κάποτε τοὺς δώσῃ ὁ Θεὸς διάθεσιν πρὸς μετάνοιαν, ὥστε νὰ γνωρίσουν τὴν ἀλήθειαν καὶ ἀπαλλαγοῦν ἀπὸ τὴν παγίδα τοῦ διαβόλου[16]. Διὰ τοῦτο ὁ Κύριος εἶπε πρὸς τοὺς μαθητάς του· «ποῖος λοιπὸν εἶναι ὁ πιστὸς καὶ φρόνιμος δοῦλος;»[17]. Ὁ φροντίζων διὰ τὴν προσωπικήν του ἠθικὴν κατάρτισιν ὠφελεῖ μόνον τὸν ἑαυτόν του, τὸ κέρδος ὅμως τοῦ ποιμαντικοῦ ἔργου[18] προσφέρεται εἰς ὅλον τὸν λαόν. Καὶ ὅποιος μοιράζει χρήματα εἰς τοὺς πτωχοὺς ἢ βοηθεῖ τοὺς ἀδικουμένους μὲ ὁποιονδήποτε τρόπον ὠφελεῖ βεβαίως καὶ αὐτὸς τοὺς συνανθρώπους του, ἀλλὰ τόσον ὀλιγώτερον ἀπὸ τὸν ἱερέα, ὅσον διαφέρει τὸ σῶμα ἀπὸ τὴν ψυχήν. Εὐλόγως λοιπὸν ὁ Κύριος καθώρισεν ὅτι ἐκδήλωσις τῆς πρὸς αὐτὸν ἀγάπης εἶναι ἡ φροντὶς διὰ τὰ πρόβατα.

ΒΑΣΙΛΕΙΟΣ. Ἐσὺ λοιπὸν δὲν ἀγαπᾷς τὸν Χριστόν;

ΧΡΥΣΟΣΤΟΜΟΣ. Καὶ τὸν ἀγαπῶ καὶ ποτὲ δὲν θὰ παύσω νὰ τὸν ἀγαπῶ, ἀλλὰ φοβοῦμαι μήπως παρὰ τὴν ἀγάπην μου τὸν ἐξοργίσω.

ΒΑΣΙΛΕΙΟΣ. Δὲν ἠμπορεῖ νὰ ὑπάρξῃ αἴνιγμα ἀσαφέστερον ἀπὸ αὐτό· ὁ μὲν Χριστὸς παρήγγειλεν ὅποιος τὸν ἀγαπᾷ νὰ ποιμαίνῃ τὰ πρόβατά του, ἐσὺ δὲ ἰσχυρίζεσαι ὅτι

οὐ ποιμαίνειν, ἐπειδὴ τὸν τοῦτο προστάξαντα φιλεῖς;

ΧΡΥΣΟΣΤΟΜΟΣ. Οὐκ ἔστιν αἴνιγμα, ἔφην, ὁ λόγος, ἀλλὰ καὶ λίαν σαφὴς καὶ ἁπλοῦς. Εἰ μὲν γὰρ ἱκανῶς ἔχων διοικῆσαι τὴν ἀρχὴν ταύτην, καθὼς ὁ Χριστὸς ἤθελεν, εἶτα 5 ἀπέφυγον, ἔδει πρὸς τὸ παρ' ἐμοῦ λεγόμενον ἀπορεῖν· ἐπειδὴ δὲ ἄχρηστόν με πρὸς τὴν διακονίαν ταύτην ἡ τῆς ψυχῆς ἀσθένεια καθίστησι, ποῦ ζητήσεως ἄξιον τὸ λεγόμενον; Καὶ γὰρ δέδοικα, μὴ τὴν ἀγέλην τοῦ Χριστοῦ σφριγῶσαν καὶ εὐτραφῆ παραλαβών, εἶτα αὐτὴν ἐξ ἀπροσεξίας λυμηνάμενος, 10 παροξύνω κατ' ἐμαυτοῦ τὸν οὕτως αὐτὴν ἀγαπήσαντα Θεόν, ὡς ἑαυτὸν ἐκδοῦναι διὰ τὴν ταύτης σωτηρίαν τε καὶ τιμήν.

ΒΑΣΙΛΕΙΟΣ. Παίζων λέγεις ταῦτα, φησίν· εἰ γὰρ σπουδάζων, οὐκ οἶδα πῶς ἂν ἑτέρως μᾶλλον ἡμᾶς ἀπέδειξας δικαίως ἀλγοῦντας ἢ διὰ τῶν ῥημάτων τούτων, δι' ὧν 15 ἀποκρούσασθαι τὴν ἀθυμίαν ἐσπούδασας. Ἐγὼ γὰρ καὶ πρότερον εἰδώς, ὅτι με ἠπάτησας καὶ προὔδωκας, νῦν δὲ πολλῷ πλέον ὅτε καὶ τὰ ἐγκλήματα ἀποδύσασθαι ἐπεχείρησας, τοῦτο μανθάνω καὶ συνίημι καλῶς, οἷ τῶν κακῶν με ἤγαγες. Εἰ γὰρ διὰ τοῦτο σαυτὸν ὑπεξήγαγες τῆς τοιαύτης λειτουργίας, 20 ὅτι σύνοιδας οὐκ ἀρκοῦσάν σου τὴν ψυχὴν πρὸς τὸν τοῦ πράγματος ὄγκον, ἐμὲ πρότερον ἐξελέσθαι ἐχρῆν, καὶ εἰ πολλὴν πρὸς τοῦτο ἐπιθυμίαν ἔχων ἐτύγχανον, μὴ ὅτι καὶ πᾶσαν τὴν ὑπὲρ τούτων ἐπέτρεψά σοι βουλήν. Νῦν δὲ τὸ σαυτοῦ μόνον ἰδών, τὸ ἡμέτερον παρεῖδες. Εἴθε μὲν οὖν παρεῖδες, καὶ ἀ-25 γαπητὸν ἂν ἦν· σὺ δὲ καὶ ὅπως εὐχείρωτοι γενώμεθα τοῖς βουλομένοις λαβεῖν ἐπεβούλευσας. Οὐδὲ γὰρ εἰς ἐκεῖνο καταφυγεῖν ἔχοις ἄν, ὅτι ἡ τῶν πολλῶν δόξα ἠπάτησέ σε καὶ μεγάλα τινὰ καὶ θαυμαστὰ περὶ ἡμῶν ὑποπτεύειν ἔπεισεν.

δὲν γίνεσαι ποιμὴν ἀκριβῶς διότι ἀγαπᾶς τὸν δώσαντα τὴν ἐντολὴν αὐτήν.

ΧΡΥΣΟΣΤΟΜΟΣ. Ὁ συλλογισμός μου δὲν εἶναι αἰνιγματικός, ἀλλὰ σαφὴς καὶ ἁπλοῦς. Θὰ ἠμποροῦσες ν' ἀπορήσῃς διὰ τὰ λόγια μου, μόνον ἐὰν ἤμουν ἱκανὸς νὰ διαχειρισθῶ αὐτὴν τὴν ἐξουσίαν, ὅπως ὁ Χριστὸς ἀπαιτεῖ, καὶ παρὰ ταῦτα ἀπέφευγα· τώρα ὅμως ποὺ ἡ ψυχική μου ἀδυναμία μὲ καθιστᾷ ἄχρηστον διὰ τὴν ὑπηρεσίαν αὐτήν, πῶς ἠμπορεῖς ν' ἀμφισβητῇς τὰ λεγόμενά μου; Ἐγὼ φοβοῦμαι μήπως παραλάβω τὴν ἀγέλην τοῦ Χριστοῦ εὔρωστον καὶ εὐτραφῆ καὶ ἔπειτα τὴν καταστρέψω ἐξ ἀπροσεξίας καὶ ἔτσι παροργίσω ἐναντίον μου τὸν Θεόν, ποὺ τόσον τὴν ἠγάπησεν, ὥστε ἐθυσιάσθη διὰ τὴν σωτηρίαν καὶ τιμήν της.

ΒΑΣΙΛΕΙΟΣ. Αὐτὰ τὰ λέγεις ἀστειευόμενος, διότι, ἂν ἐσοβαρολογοῦσες, δὲν ξεύρω πῶς ἀλλοιῶς θ' ἀπεδείκνυες καλύτερα ὅτι ἐγὼ δικαίως πονῶ παρὰ μὲ τὰ λόγια αὐτά, μὲ τὰ ὁποῖα προσπαθεῖς νὰ διώξῃς τὴν ἀθυμίαν μου. Ἔτσι ἐγώ, ποὺ καὶ πρωτύτερα ἤξευρα ὅτι μὲ εἶχες ἀπατήσει καὶ προδώσει, τώρα μὲ τὴν προσπάθειάν σου ν' ἀποσείσῃς τὴν ἐνοχήν σου καταλαβαίνω πολὺ καλὰ εἰς ποίαν δυστυχίαν μ' ἔρριψες. Ἂν ἀπεμάκρυνες τὸν ἑαυτόν σου ὑπούλως ἀπὸ αὐτὴν τὴν διακονίαν διὰ τὸν λόγον ὅτι ἔχεις τὴν συναίσθησιν ὅτι αἱ ψυχικαί σου δυνάμεις δὲν εἶναι ἐπαρκεῖς διὰ τὸ μέγεθος τοῦ ἔργου της, ἔπρεπε ν' ἀπομακρύνῃς πρῶτα ἐμέ, ἀκόμη καὶ ἂν συνέβαινε νὰ ἐπιθυμῶ διακαῶς τὴν προαγωγὴν αὐτήν, πολὺ δὲ περισσότερον τώρα ποὺ ἄφησα τὸ ζήτημα αὐτὸ εἰς τὴν ἀπόλυτον κρίσιν σου. Τώρα ὅμως ἐσὺ ἐκύτταξες μόνον τὸν ἑαυτόν σου καὶ παρέβλεψες τελείως ἐμένα. Καὶ μακάρι νὰ μὲ εἶχες παραβλέψει μόνον, αὐτὸ θὰ μοῦ ἦτο εὐχάριστον· ἐσὺ ὅμως ἐχρησιμοποίησες ὕπουλα μέσα διὰ νὰ παραδοθῶ εὔκολα εἰς τοὺς ζητοῦντας νὰ μὲ συλλάβουν. Καὶ οὔτε ἠμπορεῖς νὰ καταφύγῃς εἰς τὴν

Οὔτε γὰρ τῶν θαυμαζομένων καὶ ἐπισήμων ἡμεῖς, οὔτε, εἰ καὶ τοῦτο οὕτως ἔχον ἐτύγχανε, τὴν τῶν πολλῶν δόξαν τῆς ἀληθείας προτιμῆσαι ἐχρῆν. Εἰ μὲν γὰρ μηδέποτέ σοι πεῖραν τῆς ἡμετέρας ἐδώκαμεν συνουσίας, ἐδόκει τις εἶναί σοι πρό-
5 *φασις εὔλογος, ἀπὸ τῆς τῶν πολλῶν φήμης φέροντι τὴν ψῆφον· εἰ δὲ οὐδ' εἷς οὕτω τὰ ἡμέτερα οἶδεν, ἀλλὰ καὶ τῶν γεγεννηκότων καὶ θρεψαμένων αὐτῶν τὴν ἡμετέραν μᾶλλον ἐπίστασαι ψυχήν, τίς οὕτως ἔσται σοι λόγος πιθανός, ὡς δυνηθῆναι πεῖσαι τοὺς ἀκούοντας, ὅτι οὐχ ἑκὼν ἡμᾶς εἰς τοῦτον*
10 *ὦσας τὸν κίνδυνον; Ἀλλὰ γὰρ ταῦτα ἀφείσθω νῦν· οὐδὲ γὰρ ὑπὲρ τούτων ἀναγκάζομέν σε κρίνεσθαι. Τί πρὸς τοὺς ἐγκαλοῦντας ἀπολογησόμεθα; Λέγε.*

ΧΡΥΣΟΣΤΟΜΟΣ. Ἀλλ' οὐδὲ αὐτὸς πρότερον, ἔφην, ἐπ' ἐκεῖνα πορεύσομαι, ἕως ἂν διαλύσωμαι τὰ πρὸς σέ, κἂν
15 *μυριάκις αὐτὸς ἡμᾶς τῶν ἐγκλημάτων ἐθέλῃς ἀπολύειν. Σὺ μὲν γὰρ ἔφης τὴν ἄγνοιαν ἡμῖν φέρειν συγγνώμην καὶ πάσης ἂν ἡμᾶς ἀφεῖναι κατηγορίας, εἰ μηδὲν τῶν σῶν εἰδότες, εἶτά σε εἰς τὰ παρόντα ἠγάγομεν· ἐπειδὴ δὲ οὐκ ἀγνοοῦντας προδοῦναι, ἀλλ' ἀκριβῶς ἐπισταμένους τὰ σά, διὰ τοῦτο πᾶ-*
20 *σαν ἡμῖν πρόφασιν εὔλογον καὶ ἀπολογίαν ἀνῃρῆσθαι δικαίαν. Ἐγὼ δὲ πᾶν τοὐναντίον φημί· διότι τὰ τοιαῦτα πολλῆς δεῖται τῆς ἐξετάσεως καὶ τὸν μέλλοντα παραδώσειν τὸν εἰς ἱερωσύνην ἐπιτήδειον οὐ δεῖ τῇ τῶν πολλῶν ἀρκεῖσθαι φήμῃ μόνον, ἀλλὰ μετ' ἐκείνης καὶ αὐτὸν μάλιστα πάντων καὶ πρὸ*
25 *πάντων ἐξητακέναι τὰ ἐκείνου. Καὶ γὰρ ὁ μακάριος Παῦλος εἰπών, «δεῖ δὲ αὐτὸν καὶ μαρτυρίαν ἔχειν καλὴν ἀπὸ τῶν ἔξωθεν», οὐκ ἀναιρεῖ τὴν ἀκριβῆ καὶ βεβασανισμένην ἔρευναν, οὐδ' ὡς προηγούμενον τεκμήριον τοῦτο τίθησι τῆς τῶν*

---

19. Α' Τιμ. 3, 7.

δικαιολογίαν ὅτι σὲ παρέσυρεν ἡ κοινὴ γνώμη περὶ τῆς ἀξίας μου καὶ σ' ἔπεισεν ὅτι κατέχω μεγάλα καὶ θαυμαστὰ προτερήματα. Διότι ἐγὼ δὲν ἀνήκω εἰς τοὺς σπουδαίους ἀνθρώπους ποὺ θαυμάζει ὁ κόσμος, ἀλλ' οὔτε ἂν ἀνῆκα ἔπρεπεν ἐσὺ νὰ προτιμήσῃς τὴν γνώμην τῶν πολλῶν ἀπὸ τὴν ἀλήθειαν. Ἂν δὲν μὲ εἶχες συναναστραφῆ καθόλου, θὰ εἶχες τὸ δικαίωμα νὰ ρυθμίσῃς τὴν κρίσιν σου ἀπὸ τὴν ἐκτίμησιν τῶν πολλῶν· ἀφοῦ ὅμως κανεὶς δὲν μὲ γνωρίζει τόσον καλὰ ὅσον ἐσὺ ποὺ ξεύρεις τὴν καρδίαν μου καλύτερα ἀπὸ τοὺς γονεῖς ποὺ μ' ἐγέννησαν καὶ μὲ ἀνέθρεψαν, ποῦ ἠμπορεῖς νὰ εὕρῃς εὔλογον αἰτιολογίαν, ὥστε νὰ κατορθώσῃς νὰ πείσῃς τοὺς ἀκροατάς σου ὅτι μὲ ὤθησες εἰς αὐτὸν τὸν κίνδυνον ἀπὸ ἄγνοιαν; Ἀλλ' ἂς ἀφήσωμεν τώρα αὐτά, διότι δὲν σὲ ὑποχρεώνω νὰ δικασθῇς δι' αὐτά. Τί θὰ εἰποῦμεν εἰς τοὺς κατηγόρους; Λέγε.

ΧΡΥΣΟΣΤΟΜΟΣ. Ἐγὼ ὅμως δὲν πρόκειται νὰ ἔλθω εἰς αὐτὸ τὸ ζήτημα προτοῦ διαλύσω τὰ ἰδικά σου παράπονα, ἔστω καὶ ἂν ἐσὺ ἔχῃς ὅλην τὴν διάθεσιν νὰ μὲ ἀπαλλάξῃς ἀπὸ τὰς ἀδικίας ποὺ νομίζεις ὅτι σοῦ ἔκαμα. Λοιπὸν ἰσχυρίσθης ὅτι ἂν δὲν ἐγνώριζα ποῖος εἶσαι, θὰ ἤμουν ἄξιος συγγνώμης καὶ θὰ μὲ ἀπήλλασσες ἀπὸ κάθε κατηγορίαν, ἀφοῦ θὰ σ' ἔφερα εἰς τὴν δύσκολον αὐτὴν θέσιν σου ἀπὸ ἄγνοιαν· ἐπειδὴ δὲ σ' ἐπρόδωσα ὄχι ἐν ἀγνοίᾳ, ἀλλ' ἐν γνώσει τοῦ χαρακτῆρός σου, λέγεις ὅτι κάθε εὔλογος πρόφασις πρὸς δικαιολογίαν ἀφαιρεῖται. Ἐγὼ ὅμως ἰσχυρίζομαι ἀκριβῶς τὰ ἀντίθετα. Αὐτὰ τὰ ζητήματα χρειάζονται ἐπισταμένην ἐξέτασιν καὶ ἐκεῖνος ποὺ πρόκειται νὰ ἐκλέξῃ τὸν κατάλληλον διὰ τὴν ἱερωσύνην δὲν πρέπει ν' ἀρκῆται εἰς τὴν καλὴν φήμην μεταξὺ τῶν ἀνθρώπων, ἀλλὰ πρέπει κυρίως καὶ πρὸ πάντων καὶ αὐτὸς ὁ ἴδιος νὰ ἐξετάσῃ τὸν χαρακτῆρα τοῦ ὑποψηφίου. Ὁ μακάριος Παῦλος λέγων, «πρέπει νὰ ἔχῃ καὶ καλὴν φήμην μεταξὺ τῶν ἔξω»[19] δὲν ἀρνεῖται τὴν ἀκριβῆ καὶ ἐπισταμένην ἐξέτασιν οὔτε ἀνακηρύσσει τὴν φήμην ὡς τὸ κύριον προσὸν τῶν δοκιμαζομένων

τοιούτων δοκιμασίας. Καὶ γὰρ πολλὰ πρότερον διαλεχθείς, ὕστερον τοῦτο προσέθηκε, δεικνύς, ὡς οὐκ ἂν αὐτῷ μόνον ἀρκεῖσθαι δεῖ πρὸς τὰς τοιαύτας αἱρέσεις, ἀλλὰ μετὰ τῶν ἄλλων καὶ αὐτὸ παραλαμβάνειν χρή. Συμβαίνει γὰρ πολλάκις
5 *τὴν τῶν πολλῶν ψεύδεσθαι φήμην, τῆς δὲ ἀκριβοῦς ἐξετάσεως ἡγησαμένης, οὐδένα ἐκ ταύτης κίνδυνόν ἐστιν ὑποπτεῦσαι λοιπόν. Διὰ τοῦτο μετὰ τὰ ἄλλα τὸ παρὰ τῶν ἔξωθεν αὐτοῦ τίθησιν. Οὐ γὰρ ἁπλῶς ἔφησε, δεῖ δὲ αὐτὸν μαρτυρίαν ἔχειν καλήν, ἀλλὰ τὸ «καὶ παρὰ τῶν ἔξωθεν» παρενέ-*
10 *βαλε, δηλῶσαι βουλόμενος, ὅτι πρὸ τῆς τῶν ἔξωθεν φήμης πρὸς ἀκρίβειαν αὐτὸν διερευνήσασθαι δεῖ. Ἐπεὶ οὖν καὶ αὐτὸς ᾔδειν τὰ σὰ τῶν γεγεννηκότων μᾶλλον, ὡς καὶ αὐτὸς ὡμολόγησας, διὰ τοῦτο δίκαιος ἂν εἴην πάσης ἀφεῖσθαι αἰτίας.*

ΒΑΣΙΛΕΙΟΣ. Δι' αὐτὸ μὲν οὖν τοῦτο φησίν, οὐκ ἂν
15 *ἔφυγες, εἴ τίς σε γράφεσθαι ἤθελεν. Ἢ οὐ μέμνησαι καὶ παρ' ἡμῶν ἀκούσας καὶ πολλάκις καὶ διὰ τῶν ἔργων αὐτῶν διδαχθείς, τὸ τῆς ψυχῆς ἀγενὲς τῆς ἐμῆς; Οὐ διὰ τοῦτο μικροψυχίαν ἡμᾶς διετέλεις σκώπτων ἀεί, ὅτι καὶ ταῖς τυχούσαις φροντίσι καταπίπτομεν εὐκόλως;*

20 *5. ΧΡΥΣΟΣΤΟΜΟΣ. Μέμνημαι μὲν καὶ ταῦτα πολλάκις ἔφην, ἀκούσας παρὰ σοῦ τὰ ῥήματα καὶ οὐκ ἂν ἀρνηθείην. Ἐγὼ δέ σε εἴ ποτε ἔσκωπτον, παίζων, οὐκ ἀληθεύων, τοῦτο ἐποίουν. Ἀλλ' ὅμως οὐδὲν ὑπὲρ τούτων φιλονεικῶ νῦν. Ἀξιῶ δὲ καὶ σεαυτὸν τὴν ἴσην μοι παρασχεῖν εὐγνωμοσύνην,*
25 *ὅταν θελήσω τινὸς ἐπιμνησθῆναι τῶν σοὶ προσόντων ἀγαθῶν. Κἂν γὰρ ἐπιχειρήσῃς ἡμᾶς ἀπελέγξαι ψευδομένους, οὐ φεισόμεθα, ἀλλ' ἀποδείξομεν μετριάζοντά σε μᾶλλον ἢ πρὸς ἀλήθειαν ταῦτα φθεγγόμενον, ἑτέρῳ μὲν οὐδενί, τοῖς δὲ λόγοις τοῖς σοῖς καὶ ταῖς πράξεσι μάρτυσι κεχρημένοι πρὸς*
30 *τὴν τῶν λεγομένων ἀλήθειαν. Πρῶτον δέ σε ἐκεῖνο ἐρέσθαι*

ὑποψηφίων. Προσέθεσε τὴν ἀνωτέρω πρότασιν ἀφοῦ εἶχεν ἤδη ἀναφέρει πολλά, μὲ τὸν σκοπὸν νὰ δείξῃ ὅτι κατὰ τὴν ἐκλογὴν τῶν κληρικῶν δὲν ἐπιτρέπεται ν' ἀρκούμεθα μόνον εἰς τὴν φήμην, ἀλλ' ἁπλῶς νὰ λαμβάνωμεν ὑπ' ὄψιν καὶ αὐτὴν μαζὶ μὲ τὰ ἄλλα τεκμήρια. Συμβαίνει ἄλλωστε πολλάκις νὰ μὴ ἀνταποκρίνεται εἰς τὴν ἀλήθειαν ἡ φήμη τῶν πολλῶν, ἐνῷ ὅταν ἡ ἐκλογὴ γίνῃ κατόπιν ἐπισταμένης ἐξετάσεως δὲν ὑπάρχει τέτοιος κίνδυνος. Διὰ τοῦτο ὁ Ἀπόστολος προσθέτει μετὰ τὰ ἄλλα προσόντα καὶ τὴν φήμην μεταξὺ τῶν ἔξω. Δὲν εἶπεν ἁπλῶς «πρέπει νὰ ἔχῃ καλὴν φήμην», ἀλλὰ προσέθεσε τὸ «καὶ ἀπὸ τοὺς ἔξω», ἐπιθυμῶν νὰ δηλώσῃ ὅτι πρὶν ἀπὸ τὴν φήμην τῶν ἔξω πρέπει νὰ ἐξετασθοῦν ἀκριβῶς τὰ οὐσιαστικά του προσόντα. Ἐπειδὴ λοιπὸν καὶ ἐγὼ ἐγνώριζα τὰ ἰδικά σου προτερήματα καλύτερα καὶ ἀπὸ τοὺς γονεῖς σου, ὅπως καὶ σὺ ὡμολόγησες, θὰ ἦτο σωστὸν νὰ ἀνακηρυχθῶ ἀθῷος.

ΒΑΣΙΛΕΙΟΣ. Ἀλλ' ἀκριβῶς διὰ τὸν λόγον αὐτόν, ἂν σὲ κατήγγελλε κανείς, δὲν ἐπρόκειτο ν' ἀποφύγῃς τὴν καταδίκην. Ἢ μήπως ἀγνοῇς πόσον εὐτελὴς εἶναι ἡ ψυχή μου, ὅπως καὶ ἐγὼ σοῦ εἶπα καὶ ἐσὺ ἐβεβαιώθης ἀπὸ τὰς πράξεις μου; Δὲν μὲ κατηγοροῦσες πάντοτε ὡς μικρόψυχον διότι ἀπεγοητευόμην εὔκολα καὶ εἰς τὰς παραμικρὰς φροντίδας;

5. ΧΡΥΣΟΣΤΟΜΟΣ. Θυμᾶμαι· δὲν ἀρνοῦμαι ὅτι σὲ ἤκουσα συχνὰ νὰ μοῦ λέγῃς αὐτὰ τὰ πράγματα. Ἐγὼ ὅμως, ἂν σὲ κατηγοροῦσα καμμίαν φοράν, τὸ ἔκαμα ἀστειευόμενος, ὄχι σοβαρολογῶν. Ἀλλ' ὅμως δὲν πρόκειται νὰ συζητήσω αὐτὰ τώρα. Ἔχω δὲ τὴν ἀξίωσιν νὰ μοῦ φανῇς καὶ σὺ ἐξ ἴσου εἰλικρινής, ὅταν θελήσω ν' ἀναφέρω κάποιο προτέρημά σου. Καὶ ἂν ἐπιχειρήσῃς νὰ μὲ διαψεύσῃς, δὲν θὰ τὸ ἀνεχθῶ, ἀλλὰ θ' ἀποδείξω ὅτι ὁμιλεῖς ἔτσι μᾶλλον ἀπὸ μετριοφροσύνην καὶ ὄχι ἀπὸ φιλαλήθειαν, καὶ θὰ χρησιμοποιήσω πρὸς ἐπιβεβαίωσιν τῶν ἰσχυρισμῶν μου ὄχι τίποτε ἄλλο, παρὰ τὰ λόγια καὶ τὰ ἔργα σου. Καὶ πρῶ-

βούλομαι· οἶσθα πόση τῆς ἀγάπης ἡ δύναμις; Ὁ μὲν γὰρ Χριστὸς τὰ τεράστια πάντα ἀφείς, ἅπερ ἔμελλεν ὑπὸ τῶν Ἀποστόλων τελεῖσθαι, «ἐν τούτῳ, φησί, γνώσονται οἱ ἄνθρωποι, ὅτι ἐμοί ἐστε μαθηταί, ἐὰν ἀγαπᾶτε ἀλλήλους»· ὁ
5 *δὲ Παῦλος, «πλήρωμα τοῦ νόμου» φησὶν αὐτὴν εἶναι καὶ ταύτης ἀπούσης οὐδὲν εἶναι τῶν χαρισμάτων ὄφελος. Τοῦτο δὴ τὸ ἐξαίρετον ἀγαθόν, τὸ γνώρισμα τῶν τοῦ Χριστοῦ μαθητῶν, τὸ τῶν χαρισμάτων ἀνωτέρω κείμενον, εἶδον γενναίως ἐν τῇ σῇ πεφυτευμένον ψυχῇ καὶ πολλῷ βρύον τῷ*
10 *καρπῷ.*

Καὶ ὁ ΒΑΣΙΛΕΙΟΣ. Ὅτι μὲν πολλή μοι, φησί, τοῦ πράγματος ἡ φροντὶς καὶ μεγίστην ποιοῦμαι τὴν σπουδὴν ὑπὲρ ταύτης τῆς ἐντολῆς, καὶ αὐτὸς ὁμολογῶ· ὅτι δὲ οὐδὲ ἐξ ἡμισείας αὐτὴν διηνύσαμεν καὶ αὐτὸς ἄν μοι μαρτυρήσεις, εἰ
15 *τὸ πρὸς χάριν λέγειν ἀφεὶς τιμῆσαι τἀληθὲς βουληθείης.*

ΧΡΥΣΟΣΤΟΜΟΣ. Οὐκοῦν ἐπὶ τοὺς ἐλέγχους τρέψομαι, ἔφην, καὶ ὅπερ ἠπείλησα, ποιήσω νῦν, μετριάζειν μᾶλλον ἢ ἀληθεύειν βουλόμενον ἀποδείξας. Ἐρῶ δὲ πρᾶγμα ἄρτι συμβεβηκός, ἵνα μή τις ὑποπτεύσῃ, τὰ παλαιά με διη-
20 *γούμενον, τῷ πλήθει τοῦ χρόνου τἀληθὲς ἐπισκιάζειν ἐπιχειρεῖν, τῆς ἀληθείας οὐκ ἀφιείσης ἐπισκῆψαί τι τοῖς πρὸς χάριν λεγομένοις παρ' ἡμῶν.*

6. Ὅτε γὰρ τῶν ἐπιτηδείων τις τῶν ἡμετέρων ἐπ' ἐγκλήμασιν ὕβρεως καὶ ἀπονοίας συκοφαντηθείς, περὶ τῶν ἐ-
25 *σχάτων ἐκινδύνευε, τότε οὔτε ἐγκαλοῦντός σοί τινος οὔτε ἐκείνου τοῦ κινδυνεύειν μέλλοντος δεηθέντος, εἰς μέσους σαυτὸν ἔρριψας τοὺς κινδύνους. Καὶ τὸ μὲν ἔργον τοῦτο ἦν· ἵνα δέ σε καὶ ἀπὸ τῶν ῥημάτων ἐλέγξωμεν, καὶ αὐτῶν τῶν εἰρημένων σοι μνημονεύσωμεν· ἐπειδὴ γὰρ τὴν προθυμίαν*
30 *ταύτην οἱ μὲν οὐκ ἀπεδέχοντο, οἱ δὲ ἐπῄνουν καὶ ἐθαύμαζον· καὶ τί πάθω; πρὸς τοὺς ἐγκαλοῦντας ἔφης· ἑτέρως γὰρ οὐκ*

---

20. Ἰω. 13, 35.
21. Ρωμ. 13, 10.

τον θέλω νὰ εἰπῶ αὐτό· ξεύρεις πόση εἶναι ἡ δύναμις τῆς ἀγάπης; Ὁ Χριστὸς παραλείψας τὰ θαυμάσια ἔργα ποὺ ἐπρόκειτο νὰ κάμουν οἱ Ἀπόστολοι λέγει· «ἀπὸ αὐτὸ θὰ γνωρίσουν οἱ ἄνθρωποι ὅτι εἶσθε μαθηταί μου, ἀπὸ τὴν μεταξύ σας ἀγάπην»[20], ὁ δὲ Παῦλος λέγει ὅτι ἡ ἀγάπη εἶναι τὸ «πλήρωμα τοῦ νόμου»[21] καὶ ὅτι χωρὶς αὐτὴν ὅλα τὰ πνευματικὰ χαρίσματα δὲν ὠφελοῦν. Αὐτὸ λοιπὸν τὸ ἐξαίρετον ἀγαθόν, τὸ γνώρισμα τῶν μαθητῶν τοῦ Χριστοῦ, τὸ ἀνώτερον ἀπὸ ὅλα τὰ χαρίσματα, τὸ εἶδα βαθειὰ φυτευμένον εἰς τὴν ψυχήν σου καὶ καρποφοροῦν πλουσίως.

ΒΑΣΙΛΕΙΟΣ. Ὁμολογῶ ὅτι φροντίζω πολὺ διὰ τὴν ἀγάπην καὶ ὅτι προσέχω πολὺ ὥστε νὰ ἐκπληρώσω τὴν ἐντολὴν αὐτήν. Ἀλλὰ καὶ σὺ ὁ ἴδιος θὰ ὁμολογήσῃς ὅτι δὲν ἐπέτυχα τὴν τήρησίν της οὔτε κατὰ τὸ ἥμισυ, ἂν ἀφήσῃς τὰς κολακείας καὶ θελήσῃς νὰ εἰπῇς τὴν ἀλήθειαν.

ΧΡΥΣΟΣΤΟΜΟΣ. Μοῦ φαίνεται ὅτι θ' ἀρχίσω τὸν ἔλεγχον καὶ θὰ πραγματοποιήσω τὴν προηγουμένην μου ἀπειλήν, ἀποδεικνύων ὅτι θέλεις νὰ παρουσιάσῃς τὸν ἑαυτόν σου μικρὸν παρὰ νὰ εἰπῇς τὴν ἀλήθειαν. Καὶ θὰ σοῦ φέρω ἕνα πρόσφατον παράδειγμα, ὥστε νὰ μὴ ὑποπτευθῇ κανεὶς ὅτι διηγοῦμαι παλαιὰ διὰ νὰ ἐπισκιάσω τὴν ἀλήθειαν μὲ τὴν πολυκαιρίαν· ὥστε ἡ ἀλήθεια γνωστὴ ὡς πρόσφατος νὰ μὴ μοῦ ἐπιτρέπῃ νὰ τὴν νοθεύσω μὲ κολακευτικοὺς λόγους.

6. Ὅταν δηλαδὴ κάποιος φίλος μας ἐσυκοφαντήθη ὡς ὑβριστὴς καὶ ὑπερήφανος καὶ ἐκινδύνευε νὰ χάσῃ τελείως τὴν ὑπόληψίν του, τότε σύ, χωρὶς νὰ θιγῇς προσωπικῶς ἀπὸ κανένα καὶ χωρὶς νὰ παρακληθῇς ἀπὸ τὸν ἐνδιαφερόμενον, μόνος σου ἐρριψοκινδύνευσες καὶ ἦλθες νὰ ὑπερασπίσῃς τὸν κινδυνεύοντα. Αὐτὴ ἦτο ἡ πρᾶξίς σου· θ' ἀναφέρω ὅμως καὶ τὰ λόγια ποὺ εἶπες, διὰ νὰ σὲ διαψεύσω καὶ μὲ τὰ λόγια. Ἐπειδὴ ἄλλοι μὲν κατέκριναν τὴν προθυμίαν σου, ἄλλοι δὲ τὴν ἐπαινοῦσαν, ἐσὺ εἶπες πρὸς τοὺς κατηγόρους. Τί θὰ πάθω; Δὲν γνωρίζω ἄλλον καλύ-

οἶδα φιλεῖν, ἀλλ' ἢ μετὰ τοῦ καὶ τὴν ψυχὴν ἐκδιδόναι τὴν ἐμαυτοῦ, ἡνίκα ἄν τινα τῶν ἐπιτηδείων κινδυνεύοντα διασῶσαι δέῃ· ῥήμασι μὲν ἑτέροις, διανοίᾳ δὲ τῇ αὐτῇ, τὰ τοῦ Χριστοῦ φθεγγόμενος, ἃ πρὸς τοὺς μαθητὰς ἔλεγε, τῆς τελείας ἀγάπης τοὺς ὅρους τιθείς. «Μείζονα γὰρ ταύτης ἀγάπην οὐδεὶς ἔχει, φησίν, ἢ ἵνα τις τὴν ψυχὴν αὐτοῦ θῇ ὑπὲρ τῶν φίλων αὐτοῦ». Εἰ τοίνυν μείζονα ταύτης οὐκ ἔστιν εὑρεῖν, ἐπὶ τὸ τέλος αὐτῆς ἔφθασας καὶ δι' ὧν ἔπραξας καὶ δι' ὧν εἶπες, τῆς κορυφῆς ἐπέβης αὐτῆς. Διὰ τοῦτό σε προὐδώκαμεν, διὰ τοῦτο τὸν δόλον ἐρράψαμεν ἐκεῖνον. Ἆρά σε πείθομεν, ὅτι οὔτε ἐκ κακονοίας οὔτε εἰς κίνδυνον ἐμβαλεῖν βουλόμενοι, ἀλλὰ χρήσιμον ἔσεσθαι εἰς τὸ στάδιον εἵλκομεν τοῦτο;

ΒΑΣΙΛΕΙΟΣ. Εἶτα ἀρκεῖν οἴει, φησί, πρὸς τὴν τῶν πλησίον διόρθωσιν τὴν τῆς ἀγάπης δύναμιν;

ΧΡΥΣΟΣΤΟΜΟΣ. Μάλιστα μὲν πολὺ μέρος, ἔφην, πρὸ τοῦτο συμβάλλεσθαι δύναιτ' ἄν. Εἰ δὲ βούλει καὶ τῆς φρονήσεως ἡμᾶς τῆς σῆς δείγματα ἐξενεγκεῖν, καὶ ἐπὶ ταύτην βαδιούμεθα καὶ δείξομεν συνετὸν ὄντα μᾶλλον ἢ φιλόστοργον.

7. Ἐπὶ τούτῳ ἐρυθριάσας ἐκεῖνος καὶ φοινιχθείς·

ΒΑΣΙΛΕΙΟΣ. Τὰ μὲν ἡμέτερα, φησί, παρείσθω νῦν· οὐδὲ γὰρ παρὰ τὴν ἀρχήν σε τὸν ὑπὲρ τούτων λόγον ἀπῄτουν. Εἰ δέ τι πρὸς τοὺς ἔξωθεν δίκαιον ἔχεις εἰπεῖν, ἡδέως ἂν τοὺς ὑπὲρ τούτων ἀκούοιμι λόγους. Διὸ τὴν σκιαμαχίαν ταύτην ἀφείς, εἰπέ, τί πρὸς τοὺς λοιποὺς ἀπολογησόμεθα, καὶ τοὺς τετιμηκότας καὶ τοὺς ὑπὲρ ἐκείνων ὡς ὑβρισθέντων ἀλγοῦντας;

ΧΡΥΣΟΣΤΟΜΟΣ. Καὶ αὐτὸς λοιπόν, ἔφην, πρὸς τοῦτο ἐπείγομαι. Ἐπειδὴ γὰρ ὁ πρός σέ μοι διήνυσται λόγος, εὐκόλως καὶ ἐπὶ τοῦτο τρέψομαι τῆς ἀπολογίας τὸ μέρος.

---

22. Ἰω. 15, 13.

τερον τρόπον ἀγάπης ἀπὸ τὸ νὰ θυσιάσω καὶ τὴν ζωήν μου, ὅταν χρειάζεται νά σώσω ἕνα κινδυνεύοντα φίλον μου. Ἔλεγες ἔτσι μὲ διαφορετικὰ λόγια, ἀλλὰ μὲ τὴν ἰδίαν ἔννοιαν ὅσα ἔλεγεν ὁ Χριστὸς πρὸς τοὺς μαθητάς, ὅταν ἔθετε τοὺς ὅρους τῆς τελείας ἀγάπης· «κανεὶς δὲν ἠμπορεῖ νὰ ἐπιδείξῃ μεγαλυτέραν ἀγάπην ἀπὸ τὴν θυσίαν τῆς ζωῆς του χάριν τῶν φίλων του»[22]. Ἂν λοιπὸν δὲν ὑπάρχῃ ἀγάπη μεγαλυτέρα ἀπὸ αὐτήν, τότε ἐσὺ ἔφθασες εἰς τὸ τέρμα της, καὶ μὲ τοὺς λόγους καὶ μὲ τὰ ἔργα σου, ἀνέβης εἰς τὴν κορυφήν της. Διὰ τοῦτο σ' ἐπρόδωσα, δι' αὐτὸ σοῦ ἔστησα ἐκείνην τὴν ἀπάτην. Ἆρά γε ἐπείσθης ὅτι σὲ παρέσυρα εἰς αὐτὴν τὴν σταδιοδρομίαν ὄχι διὰ νὰ σὲ ὑποβάλω ἀπὸ κακοήθειαν εἰς κινδύνους, ἀλλὰ διότι ἤξευρα ὅτι θὰ εἶσαι χρήσιμος;

ΒΑΣΙΛΕΙΟΣ. Καὶ νομίζεις ὅτι εἶναι ἀρκετὴ ἡ δύναμις τῆς ἀγάπης διὰ τὴν διόρθωσιν τῶν πλησίον;

ΧΡΥΣΟΣΤΟΜΟΣ. Μάλιστα· ἠμπορεῖ νὰ συμβάλῃ κατὰ πολύ. Ἐὰν ὅμως θέλῃς νὰ σοῦ παραθέσω καὶ τῆς συνέσεώς σου δείγματα, θὰ ἔλθω καὶ εἰς αὐτὸ τὸ σημεῖον καὶ θ' ἀποδείξω ὅτι εἶσαι περισσότερον συνετὸς ἀπὸ ὅσον εἶσαι φιλόστοργος.

7. Εἰς τὸ ἄκουσμα αὐτῶν τῶν λέξεων ἐκεῖνος ἐκοκκίνησεν, ἐντράπηκε καὶ εἶπεν.

ΒΑΣΙΛΕΙΟΣ. Ἄφησε τὰ προσωπικὰ ζητήματα τώρα, διότι ἀπὸ τὴν ἀρχὴν ἀπεφάσισα νὰ μὴ σοῦ ζητήσω τὸν λόγον δι' αὐτά. Εὐχαρίστως πάντως θ' ἀκούσω ἂν ἔχῃς τίποτε νὰ μοῦ εἰπῇς ὡς δικαιολογίαν διὰ τὰς κατηγορίας τῶν ἄλλων. Ἄφησε λοιπὸν αὐτὴν τὴν σκιαμαχίαν καὶ εἰπέ μου τί θ' ἀπολογηθοῦμεν πρὸς τοὺς ἄλλους· πρὸς ἐκείνους ποὺ μᾶς ἐτίμησαν διὰ τῆς ἐκλογῆς καὶ πρὸς ἐκείνους ποὺ τοὺς ἐκακοφάνη διότι προσεβάλαμεν τοὺς ἐκλέκτορας.

ΧΡΥΣΟΣΤΟΜΟΣ. Ἀμέσως θὰ ἔλθω καὶ εἰς αὐτὸ τὸ ζήτημα. Ἀφοῦ ἐτελείωσεν ἡ ἀπολογία μου πρὸς ἐσὲ προσωπικῶς, εὔκολα θὰ στραφῶ καὶ εἰς τὴν ἀπολογίαν μου

Τίς οὖν ἡ τούτων κατηγορία καὶ τίνα τὰ ἐγκλήματα; Ὑβρίσθαι φασὶν ὑφ' ἡμῶν καὶ δεινὰ πεπονθέναι ὅτι τὴν τιμήν, ἣν τιμῆσαι ἠθέλησαν, οὐκ ἐδεξάμεθα. Ἐγὼ δὲ πρῶτον μὲν ἐκεῖνό φημι, ὅτι οὐδένα λόγον ποιεῖσθαι δεῖ τῆς εἰς ἀνθρώ-
5 *πους ὕβρεως, ὅταν διὰ τῆς εἰς ἐκείνους τιμῆς ἀναγκαζώμεθα προσκρούειν Θεῷ. Οὐδὲ γὰρ τοῖς ἀγανακτοῦσιν αὐτοῖς τὸ δυσχεραίνειν ἐπὶ τούτοις ἀκίνδυνον φαίην ἄν, ἀλλὰ καὶ πολλὴν ἔχειν τὴν ζημίαν. Δεῖ γάρ, οἶμαι, τοὺς ἀνακειμένους Θεῷ καὶ πρὸ αὐτὸν βλέποντας μόνον, οὕτω διακεῖσθαι εὐλα-*
10 *βῶς, ὡς μηδὲ ὕβριν τὸ τοιοῦτο ἡγεῖσθαι, κἂν μυριάκις ἠτιμωμένοι τυγχάνοιεν. Ὅτι δὲ οὐδὲ μέχρι ἐννοίας τετόλμηταί τι τοιοῦτον ἐμοί, δῆλον ἐκεῖθεν. Εἰ μὲν γὰρ ἀπονοίᾳ καὶ φιλοδοξίᾳ, ὡς πολλάκις ἔφης τινὰς διαβάλλειν, ἐπὶ τοῦτο ἦλθον ἐγὼ ψηφίσασθαι τοῖς κατηγόροις, τῶν τὰ μέγιστα ἠδικη-*
15 *κότων ἂν εἴην, ἀνδρῶν καταφρονήσας θαυμαστῶν καὶ μεγάλων καὶ πρὸς τούτοις εὐεργετῶν. Εἰ γὰρ τὸ τοὺς μηδὲν ἠδικηκότας ἀδικεῖν κολάσεως ἄξιον, τοὺς τιμῆσαι προελομένους ἀφ' ἑαυτῶν, πῶς τιμᾶν χρή; Οὐδὲ γὰρ τοῦτο ἔχοι τις ἂν εἰπεῖν, ὅτι εὖ παθόντες ἢ μικρὸν ἢ μέγα παρ' ἐμοῦ,*
20 *τῶν εὐεργεσιῶν ἐκείνων ἐξέτισαν τὰς ἀμοιβάς. Πόσης οὖν οὐκ ἂν εἴη τιμωρίας ἄξιος τοῖς ἐναντίοις ἀμείβεσθαι; Εἰ δὲ τοῦτο μὲν οὐδὲ εἰς νοῦν ἐβαλόμεθά ποτε, μεθ' ἑτέρας δὲ προαιρέσεως τὸ βαρὺ φορτίον ἐξεκλίναμεν, τί παρέντες συγγινώσκειν, εἴ γε ἀποδέχεσθαι μὴ βούλοιντο, ἐγκαλοῦσιν ὅτι τῆς*
25 *ἑαυτῶν ἀφεισάμεθα ψυχῆς; Ἐγὼ γὰρ τοσοῦτον ἀπέσχον εἰς τοὺς ἄνδρας ὑβρίσαι ἐκείνους, ὅτι καὶ τετιμηκέναι αὐτοὺς φαίην ἂν τῇ παραιτήσει. Καὶ μὴ θαυμάσῃς, εἰ παράδοξον τὸ λεγόμενον· ταχεῖαν γὰρ καὶ τούτου τὴν λύσιν ἐπάξομεν.*

---

23. Εἰς τὸ σημεῖον αὐτὸ λήγει ἡ ἀπολογία τοῦ Χρυσοστόμου πρὸς τὸν Βασίλειον καὶ ἀρχίζει ἡ ἀπολογία τόυ διὰ τὴν κατηγορίαν ἐπὶ κενοδοξίᾳ.

πρὸς τοὺς ἄλλους[23]. Διὰ ποῖα λοιπὸν ἐγκλήματα μᾶς κατηγοροῦν οἱ ἄνθρωποι αὐτοί; Λέγουν ὅτι προσεβλήθησαν κατὰ τὸν χειρότερον τρόπον ἀπὸ ἐμὲ διότι δὲν ἐδέχθην τὴν τιμὴν ποὺ μοῦ ἔκαμαν. Ἐγὼ λοιπὸν τονίζω ὅτι πρῶτα πρῶτα εἶναι ἀσήμαντος ἡ προσβολὴ πρὸς τοὺς ἀνθρώπους εἰς περίπτωσιν κατὰ τὴν ὁποίαν ἀναγκαζόμεθα χάριν τῆς τιμῆς των νὰ συγκρουσθῶμεν πρὸς τὴν θέλησιν τοῦ Θεοῦ. Καὶ θὰ τοὺς ἔλεγα ὅτι δὲν εἶναι ἀκίνδυνον, ἀλλ' εἶναι πολὺ ἐπιζήμιον ν' ἀγανακτοῦν διὰ τέτοιαν ἀφορμήν. Οἱ ἀφιερωμένοι εἰς τὸν Θεὸν καὶ ἀποβλέποντες μόνον εἰς αὐτὸν πρέπει νὰ εἶναι τόσον εὐλαβεῖς, ὥστε καὶ ἐπανειλημμένως ἂν ὑποστοῦν τέτοιας ἀτιμώσεις, νὰ μὴ τὰς θεωροῦν ὡς ὕβρεις. Ἔπειτα δὲ ἀποδεικνύεται ἀπὸ τὰ ἑπόμενα ὅτι οὔτε κατὰ διάνοιαν ἐτόλμησα νὰ τοὺς περιφρονήσω. Ἀσφαλῶς ἐὰν εἶχα λάβει αὐτὴν τὴν ἀπόφασιν ἀπὸ ὑπερηφάνειαν καὶ φιλοδοξίαν, ὅπως κατὰ τὰ λεγόμενά σου μὲ διαβάλλουν μερικοί, τότε θὰ ἤμουν ἔνοχος μεγάλης ἀδικίας, ἀφοῦ θὰ εἶχα καταφρονήσει ἀνθρώπους θαυμαστοὺς καὶ μεγάλους καὶ ἐπὶ πλέον εὐεργέτας μου. Ἂν εἶναι κολάσιμον ν' ἀδικῇ κανεὶς ἀνθρώπους ποὺ δὲν τὸν ἠδίκησαν, πόσον ἀξίζει νὰ τιμᾷ αὐτοὺς ποὺ τὸν ἐτίμησαν ἀπὸ ἰδικήν των πρωτοβουλίαν; Καὶ δὲν ἠμπορεῖ νὰ εἰπῇ κανεὶς ὅτι οἱ ἄνθρωποι αὐτοὶ εἶχαν εὐεργετηθῇ ἀπὸ ἐμὲ κατὰ κάποιον τρόπον καὶ ὅτι μὲ τὴν τιμὴν ποὺ μοῦ ἔκαμαν ἐξώφλησαν τὸ χρέος των. Δὲν εἶναι λοιπὸν ἄξιον τιμωρίας νὰ τοὺς ἀνταμείβω μὲ προσβολήν; Ἂν ὅμως ἐγὼ δὲν ἔβαλα ποτὲ εἰς τὸν νοῦν μου αὐτὸ τὸ πρᾶγμα, ἀλλ' ἀπέφυγα τὸ βαρὺ φορτίον ἀπὸ ἄλλον ὑπολογισμόν, τότε διατί μὲ κατηγοροῦν ποὺ ἐφρόντισα νὰ προφυλάξω τὴν ψυχήν μου, ἐνῷ ἔπρεπε νὰ μὲ συγχωρήσουν, ἂν ὄχι νὰ μ' ἐπαινέσουν, δι' αὐτό; Δὲν προσέβαλα καθόλου τοὺς ἐκλέκτοράς μου, καὶ μάλιστα ἠμπορῶ νὰ ἰσχυρισθῶ ὅτι τοὺς ἐτίμησα διὰ τῆς παραιτήσεώς μου ἀπὸ τὴν ἐκλογήν. Καὶ διὰ νὰ μὴ σοῦ φανῇ παράδοξος ὁ ἰσχυρισμός μου θὰ σοῦ φέρω ἀμέσως σχετικὰς ἀποδείξεις.

8. *Τότε μὲν γάρ, εἰ καὶ μὴ πάντες, ἀλλ' οἷς τὸ κακῶς ἀγορεύειν ἡδύ, πολλὰ ἂν εἶχον καὶ ὑποπτεῦσαι καὶ εἰπεῖν περί τε τοῦ χειροτονηθέντος ἐμοῦ, περί τε τῶν ἑλομένων ἐκείνων· οἷον, ὅτι πρὸς πλοῦτον βλέπουσιν, ὅτι λαμπρότητα*
5 *γένους θαυμάζουσιν, ὅτι κολακευθέντες ὑφ' ἡμῶν εἰς τοῦτο ἡμᾶς παρήγαγον. Εἰ δὲ καὶ ὅτι χρήμασι πεισθέντες, οὐκ ἔχω λέγειν, εἴ τις καὶ τοῦτο ὑποπτεύσων ἦν. Καὶ ὁ μὲν Χριστὸς ἁλιεῖς καὶ σκηνοποιοὺς καὶ τελώνας ἐπὶ ταύτην ἐκάλεσε τὴν ἀρχήν· οὗτοι δὲ τοὺς μὲν ἀπὸ τῆς ἐργασίας τῆς καθημερινῆς*
10 *τρεφομένους διαπτύουσιν· εἰ δέ τις λόγων ἅψαιτο τῶν ἔξωθεν καὶ ἀργῶν τρέφοιτο, τοῦτον ἀποδέχονται καὶ θαυμάζουσιν. Τί γὰρ δήποτε τοὺς μὲν μυρίους ἀνασχομένους ἱδρῶτας εἰς τὰς τῆς Ἐκκλησίας χρείας παρεῖδον, τὸν δὲ οὐδέποτε τοιοῦτον γευσάμενον πόνον, πᾶσαν δὲ τὴν ἡλικίαν ἐν τῇ τῶν*
15 *ἔξωθεν λόγων ματαιοπονίᾳ καταναλώσαντα, ἐξαίφνης εἰς ταύτην εἵλκυσαν τὴν τιμήν;*

Ταῦτα καὶ πλείονα τούτων λέγειν εἶχον ἄν, δεξαμένων ἡμῶν τὴν ἀρχήν. Ἀλλ' οὐ νῦν. Πᾶσα γὰρ αὐτοῖς κατηγορίας ἐκκόπτεται πρόφασις· καὶ οὔτε ἐμοὶ κολακείαν οὔτε μισθαρ-
20 *νίαν ἐκείνοις ἔχουσιν ἐγκαλεῖν, πλὴν εἴ τινες ἁπλῶς μαίνεσθαι βούλοιντο. Πῶς γὰρ ὁ κολακεύων καὶ χρήματα ἀναλίσκων, ἵνα τύχῃ τῆς τιμῆς, ἡνίκα ἔδει τυχεῖν, ἑτέροις ἂν ἀφῆκεν αὐτήν; Ὅμοιον γὰρ ἂν εἴη τοῦτο, ὥσπερ ἂν εἴ τις πολλοὺς περὶ τὴν γῆν ἀνασχόμενος πόνους, ἵνα βρίθηται μὲν*
25 *αὐτῷ τὸ λήϊον πολλῷ τῷ καρπῷ, οἴνῳ δὲ ὑπερβλύζωσιν αἱ ληνοί, μετὰ τοὺς μυρίους ἱδρῶτας καὶ τὴν πολλὴν τῶν χρη-*

---

24. Ματθ. 4, 19.
25. Πράξ. 18, 3.
26. Λουκᾶ 5, 27.
27. Ὁ Χρυσόστομος ὑπονοεῖ ἐνταῦθα τὴν κλασικήν του παιδείαν. Δὲν ἰσχυρίζεται βεβαίως ὅτι ἡ μόρφωσις τοῦ ἱερέως εἶναι περιττή, ἀλλὰ κακίζει τὴν ἐπικρατοῦσαν τότε (καὶ σήμερον ἐπίσης) τάσιν τῆς ἐκλογῆς πεπαιδευμένων ἀνθρώπων διὰ τὸ ἱερατικὸν ἀξίωμα ἀδιαφόρως πρὸς τὰς

8. Εἰς τὴν περίπτωσιν ποὺ θὰ ἐδεχόμην τὴν ἐκλογὴν θὰ εἶχαν νὰ ὑποπτευθοῦν καὶ νὰ εἰποῦν πολλὰ καὶ δι' ἐμὲ καὶ διὰ τοὺς ἐκλέκτορας, ἂν ὄχι ὅλοι οἱ ἄνθρωποι, τοὐλάχιστον οἱ φιλοκατήγοροι. Π.χ. ὅτι ἐπρόσεξαν τὸν πλοῦτον, ὅτι ἐθαμβώθησαν ἀπὸ τὴν εὐγενῆ καταγωγήν, ὅτι ὑπέκυψαν εἰς τὰς κολακείας μου καὶ μὲ ἐξέλεξαν. Ἴσως μάλιστα νὰ ὑπωπτεύετο κανεὶς καὶ ὅτι τοὺς ἐδωροδόκησα. Καὶ ὁ μὲν Χριστός, θὰ προσέθεταν, ἐκάλεσεν εἰς τὸ ἀξίωμα αὐτὸ ἁλιεῖς[24] καὶ σκηνοποιοὺς[25] καὶ τελώνας[26], αὐτοὶ δὲ περιφρονοῦν τοὺς ζῶντας ἀπὸ τὴν καθημερινὴν ἐργασίαν των καὶ θαυμάζουν καὶ δέχονται εἰς τὴν ἱερωσύνην αὐτοὺς ποὺ ἔτυχε νὰ σπουδάσουν εἰς κοσμικὰς σχολὰς καὶ συντηροῦνται μὲ τὴν πατρικήν των περιουσίαν μὴ ἐργαζόμενοι[27]. Διατί παρέβλεψαν τοὺς ἀνθρώπους ποὺ ἔχυσαν πολὺν ἱδρῶτα ὑπηρετοῦντες τὴν Ἐκκλησίαν καὶ ξαφνικὰ ἀνεβάζουν εἰς τόσον τιμητικὴν θέσιν αὐτὸν τὸν νέον ποὺ κανένα κόπον δὲν κατέβαλε διὰ τὴν Ἐκκλησίαν καὶ ἐπέρασεν ὅλα του τὰ χρόνια παρακολουθῶν κοσμικὰ πανεπιστημιακὰ μαθήματα;

Αὐτὰ καὶ ἄλλα πολλὰ θὰ ἠμποροῦσαν νὰ εἰποῦν, ἂν ἐδεχόμην τὸ ἀξίωμα. Τώρα ὅμως δὲν ἠμποροῦν. Τοὺς ἔχει ἀφαιρεθῆ κάθε πρόφασις κατηγορίας καὶ δὲν ἔχουν τὸ δικαίωμα νὰ κατηγορήσουν οὔτε ἐμένα ὡς κόλακα οὔτε ἐκείνους ὡς δωροδοκηθέντας. Ἐκτὸς πλέον ἂν ἐτρελλάθησαν. Διότι πῶς εἶναι δυνατὸν ἐκεῖνος ποὺ καταφεύγει εἰς κολακείας καὶ δωροδοκίας διὰ τὴν ἀπόκτησιν κάποιου ἀξιώματος νὰ τὸ ἀφήνῃ εἰς ἄλλους τὴν στιγμὴν ποὺ πρόκειται νὰ τὸ ἀποκτήσῃ; Θὰ ὡμοίαζε μὲ τὸν γεωργὸν ποὺ κατέβαλε πολὺν κόπον εἰς τὴν καλλιέργειαν τῆς γῆς διὰ ν' ἀποδώσουν κατὰ τὸν θερισμὸν ἄφθονον καρπὸν τὰ σπαρτά του καὶ παραγεμίσουν μὲ κρασὶ οἱ ληνοί, ἀλλὰ μετὰ τὸν πολὺν

ἄλλας ἱκανότητας καὶ ἰδίως πρὸς τὴν ἁγνότητα τοῦ βίου. Περὶ τῆς ἀνάγκης τῆς μορφώσεως κληρικῶν γίνεται ἐκτενὴς λόγος εἰς τοὺς λόγους Δ'—ΣΤ'.

μάτων δαπάνην, ἡνίκα ἂν καλαμᾶσθαι καὶ τρυγᾶν δέῃ, τηνικαῦτα ἑτέροις τῆς τῶν καρπῶν ἐκσταίη φορᾶς. Ὁρᾷς, ὅτι τότε μὲν εἰ καὶ πόρρω τῆς ἀληθείας ἦν τὰ λεγόμενα, ἀλλ' ὅμως εἶχον πρόφασιν οἱ βουλόμενοι διαβάλλειν αὐτούς, ὡς
5 *οὐκ ὀρθῇ κρίσει λογισμῶν τὴν αἵρεσιν πεποιημένους. Ἡμεῖς δὲ αὐτοῖς νῦν οὐδὲ χᾶναι οὐδὲ ἁπλῶς διᾶραι τὸ στόμα συνεχωρήσαμεν. Καὶ τὰ μὲν παρὰ τὴν ἀρχὴν λεγόμενα, τοιαῦτα ἂν ἦν καὶ τούτων πλείονα. Μετὰ δὲ τὸ τῆς διακονίας ἅψασθαι, οὐκ ἂν ἠρκέσαμεν καθ' ἑκάστην ἡμέραν τοῖς ἐγκαλοῦ-*
10 *σιν ἀπολογούμενοι, εἰ καὶ πάντα ἡμῖν ἀναμαρτήτως ἐπράττετο· μὴ ὅτι καὶ πολλὰ διαμαρτεῖν ὑπό τε τῆς ἀπειρίας καὶ τῆς ἡλικίας ἠναγκάσθημεν ἄν. Νῦν δὲ καὶ ταύτης αὐτοὺς τῆς κατηγορίας ἀπηλλάξαμεν· τότε δὲ μυρίοις ἂν αὐτοὺς περιεβάλλομεν ὀνείδεσιν. Τίς γὰρ οὐκ ἂν εἶπεν. Παισὶν ἀνοήτοις*
15 *πράγματα οὕτω θαυμαστὰ καὶ μεγάλα ἐπέτρεψαν ἐλυμήναντο τοῦ Θεοῦ τὸ ποίμνιον· παίγνια καὶ γέλως γέγονε τὰ Χριστιανῶν. Ἀλλὰ νῦν «πᾶσα ἀνομία ἐμφράξει τὸ στόμα αὐτῆς».*

Εἰ γὰρ καὶ διὰ σὲ ταῦτα λέγοιεν, ἀλλὰ ταχέως αὐτοὺς διδάξεις διὰ τῶν ἔργων, ὅτι οὐ χρὴ τὴν σύνεσιν ἡλικίᾳ κρί-
20 *νειν, οὐδὲ τὸν πρεσβύτην ἀπὸ τῆς πολιᾶς δοκιμάζειν οὐδὲ τὸν νέον πάντως ἀπείργειν τῆς τοιαύτης διακονίας, ἀλλὰ τὸν νεόφυτον. Πολὺ δὲ ἀμφοτέρων τὸ μέσον.*

ἱδρῶτα καὶ τὰ ἄφθονα ἔξοδα εἰς τὸν καιρὸν τοῦ θερισμοῦ καὶ τοῦ τρυγητοῦ παραχωρεῖ τοὺς καρποὺς εἰς ἄλλους. Βλέπεις λοιπὸν ὅτι, ἂν ἐδεχόμην τὴν ἐκλογήν, οἱ συκοφάνται θὰ εἶχαν πρόφασιν νὰ διαβάλλουν τοὺς ἐκλέκτορας ὅτι δὲν ἔκαμαν τὴν ἐκλογὴν μὲ ὀρθὴν κρίσιν, ἔστω καὶ ἂν τὰ λεγόμενά των ἦσαν τελείως ψευδῆ. Τώρα ὅμως ἐγὼ δὲν τοὺς ἐπέτρεψα οὔτε τὸ στόμα των ν' ἀνοίξουν. Καὶ αὐτὰ μὲν μαζὶ μὲ ἄλλα χειρότερα θὰ ἔλεγαν εἰς τὴν ἀρχήν. Ὅταν ὅμως θ' ἀνελάμβανα τὴν διακονίαν, δὲν θὰ προελάμβανα ν' ἀπολογοῦμαι κάθε ἡμέραν εἰς τοὺς κατηγόρους μου, ἀκόμη καὶ ἂν ὅλα τὰ ἔκαμα ἀλαθήτως, πολὺ περισσότερον ἀφοῦ θὰ ἠναγκαζόμην νὰ περιπίπτω εἰς πολλὰ σφάλματα λόγῳ τῆς νεότητος καὶ τῆς ἀπειρίας. Τώρα τοὺς ἀπήλλαξα καὶ ἀπὸ αὐτὴν τὴν κατηγορίαν, ἐνῷ τότε θὰ τοὺς ἐξέθετα εἰς μυρίας προσβολάς. Ποῖος δὲν θὰ ἔλεγεν· ἀνέθεσαν εἰς ἀνόητα παιδιὰ ὑπηρεσίαν τόσον θαυμαστὴν καὶ ὑψηλήν, κατέστρεψαν τὸ ποίμνιον τοῦ Θεοῦ, ἐγελοιοποίησαν τὴν χριστιανικὴν Ἐκκλησίαν[28]. Ἀλλὰ τώρα «κάθε ἄνομος πρόθεσις θὰ ἔχῃ φραγμένον τὸ στόμα της»[29].

Αὐτὰ βεβαίως θὰ τὰ εἰποῦν καὶ δι' ἐσέ, ἀλλ' ἐσὺ γρήγορα μὲ τὰς πράξεις σου θὰ τοὺς μάθῃς ὅτι δὲν πρέπει νὰ κρίνεται ἡ σύνεσις ἀπὸ τὴν ἡλικίαν οὔτε νὰ ἀξιολογῆται ὁ γέρων ἀπὸ τὰ ἄσπρα μαλλιὰ οὔτε νὰ ἐμποδίζωνται ὅλοι οἱ νέοι ἀπὸ τὴν ἱερωσύνην. Νὰ ἐμποδίζωνται μόνον οἱ νεοφώτιστοι· ὑπάρχει δὲ μεγάλη διαφορὰ μεταξὺ τῶν δύο αὐτῶν τάξεων[30].

28. Ὁ Χρυσόστομος συνοψίζει ἐδῶ τοὺς λόγους διὰ τοὺς ὁποίους ἀπέφυγε τὴν χειροτονίαν. Εἶναι ἀληθὲς ὅτι ὑποτιμᾷ μὲ ὑπερβολὴν τὴν ἱκανότητά του.
29. Ψαλμ. 106, 42.
30. Τὴν εἴσοδον τῶν νεοφωτίστων εἰς τὸ ἱερατικὸν ἀξίωμα ἀπαγορεύει ὁ Παῦλος. Α' Τιμ. 3, 6.

ΛΟΓΟΣ Γ´

Τῆς μὲν οὖν ὕβρεως ἕνεκεν τῆς εἰς τοὺς τετιμηκότας καὶ ὅτι αὐτοὺς οὐ καταισχῦναι βουλόμενοι ταύτην ἐφύγομεν τὴν τιμὴν ταῦτα ἂν ἔχοιμεν λέγειν, ἅπερ εἰρήκαμεν. Ὅτι δὲ οὐδὲ ὑπὸ ὑπονοίας τινὸς φυσηθέντες, καὶ τοῦτο νῦν εἰς δύναμιν
5 *τὴν ἐμὴν πειράσομαί σοι ποιῆσαι φανερόν.*

Εἰ μὲν γὰρ στρατηγίας ἡμῖν ἢ βασιλείας αἵρεσις προὔκειτο, εἰ ταύτην εἶχον τὴν γνώμην, εἰκότως ἄν τις τοῦτο ὑπέλαβεν· ἢ τότε μὲν ἀπονοίας οὐδείς, ἀνοίας δὲ πάντες ἂν ἡμᾶς ἔκριναν. Ἱερωσύνης δὲ προκειμένης, ἣ τοσοῦτον ἀνω-
10 *τέρω βασιλείας ἕστηκεν, ὅσον πνεύματος καὶ σαρκὸς τὸ μέσον, τολμήσει τις ἡμᾶς ὑπεροψίας γράφεσθαι; Καὶ πῶς οὐκ ἄτοπον τοὺς μὲν τὰ μικρὰ διαπτύοντας ὡς παραπαίοντας αἰτιᾶσθαι, τοὺς δὲ ἐπὶ τῶν ἄγαν ὑπερεχόντων τοῦτο ποιοῦντας, τῶν μὲν τῆς παραπληξίας ἐγκλημάτων ἐξαιρεῖν, ταῖς δὲ τῆς*
15 *ὑπερηφανίας ὑποβάλλειν αἰτίαις; Ὥσπερ ἂν εἴ τις τὸν ἀγέλης βοῶν καταφρονοῦντα καὶ μὴ βουλόμενον εἶναι βουκόλον, εἰς ὑπερηφανίαν μὲν οὐδαμῶς, εἰς δὲ φρενῶν ἔκστασιν αἰτιώμενος, τὸν ἁπάσης τῆς οἰκουμένης τὴν βασιλείαν καὶ τὸ γενέσθαι κύριον τῶν ἁπανταχοῦ στρατοπέδων μὴ δεχόμενον*
20 *ἀντὶ τοῦ μαίνεσθαι τετυφῶσθαι φαίη. Ἀλλ᾽ οὐκ ἔστι ταῦτα, οὐκ ἔστιν· οὐδὲ ἡμᾶς μᾶλλον ἢ ἑαυτοὺς οἱ ταῦτα λέγοντες διαβάλλουσιν. Τὸ γὰρ ἐννοῆσαι μόνον, ὅτι δυνατὸν ἀνθρωπείᾳ φύσει τῆς ἀξίας ὑπερφρονῆσαι ἐκείνης, δεῖγμα κατ᾽ αὐτῶν τῶν ἐκφερόντων ἐστίν, ἧς ἔχουσι περὶ τοῦ πράγματος δόξης.*
25 *Εἰ γὰρ μὴ τῶν τυχόντων αὐτὸ καὶ ὧν οὐ πολὺς ὁ λόγος ἐνόμιζον εἶναι οὐδ᾽ ἂν ὑποπτεῦσαι τοῦτο ἐπῆλθεν αὐτοῖς. Διὰ τί γὰρ περὶ τῆς τῶν ἀγγέλων ἀξίας οὐδεὶς ἐτόλμησέ τι τοιοῦτον ὑποπτεῦσαί ποτε καὶ εἰπεῖν, ὅτι ἐστὶν ἀνθρωπίνη ψυχὴ*

ΛΟΓΟΣ Γ´

Αὐτὰ εἶχα νὰ εἴπω σχετικῶς μὲ τὴν προσβολὴν τὴν ὁποίαν δῆθεν ἔκαμα πρὸς ἀνθρώπους ποὺ μ' ἐτίμησαν. Ἐφ' ὅσον δὲν ἀπέφυγα τὴν τιμὴν μὲ σκοπὸν νὰ τοὺς καταισχύνω, ζήτημα προσβολῆς δὲν ὑπάρχει. Τώρα θὰ προσπαθήσω νὰ σοῦ ἀποδείξω ὅσον ἠμπορῶ καλύτερα ὅτι δὲν ἀπέφυγα τὴν τιμητικὴν ἐκλογὴν οὔτε διότι ἐφυσιώθην ἀπὸ ὑπερηφάνειαν.

Ἐὰν ἐπρόκειτο νὰ ἐκλεγῶ στρατηγὸς ἢ βασιλεὺς καὶ ἠρνούμην, δικαίως θὰ ἔπρεπε νὰ ὑπέθετεν ὁ κόσμος κάτι τέτοιον. Ἀσφαλῶς ὅμως τότε κανεὶς δὲν θὰ μὲ ἔκρινεν ὡς ὑπερήφανον, ἀλλ' ὅλοι θὰ μ' ἔκριναν ὡς ἀνόητον. Τώρα ὅμως ποὺ πρόκειται διὰ τὴν ἱερωσύνην, ἡ ὁποία εἶναι τόσον ἀνωτέρα ἀπὸ τὴν βασιλείαν ὅσον εἶναι τὸ πνεῦμα ἀπὸ τὴν σάρκα, ποιός θὰ τολμήσῃ νὰ μὲ κατηγορήσῃ ὅτι τὴν ἀπέφυγα ἀπὸ ὑπερηφάνειαν; Δὲν εἶναι παράλογον οἱ περιφρονοῦντες τὰ μικρὰ ἀξιώματα νὰ κατηγοροῦνται ὡς παράφρονες, οἱ δὲ περιφρονοῦντες τὰ ὑψηλὰ νὰ κατηγοροῦνται ὄχι ὡς παράφρονες, ἀλλ' ὡς ὑπερόπται; Αὐτὸ εἶναι σὰν νὰ κατηγοροῦμεν τὸν ἀρνούμενον νὰ γίνῃ βοσκὸς ἀγελάδων ὄχι ὡς ὑπερήφανον, ἀλλ' ὡς τρελλόν, καὶ τὸν μὴ δεχόμενον νὰ γίνῃ βασιλεὺς καὶ αὐτοκράτωρ ὅλης τῆς οἰκουμένης, ὄχι ὡς μανιακόν, ἀλλ' ὡς ἀλαζόνα. Αὐταὶ οἱ σκέψεις εἶναι παράλογοι καὶ ὅσοι τὰς κάμνουν διαβάλλουν τὸν ἑαυτόν των περισσότερον ἀπὸ ἐμέ. Καὶ μόνον ποὺ σκέπτονται ὅτι εἶναι δυνατὸν ἄνθρωπος νὰ περιφρονήσῃ τὸ ἀξίωμα τῆς ἱερωσύνης ἀποδεικνύουν πόσον ταπεινὴν ἰδέαν ἔχουν περὶ αὐτοῦ· διότι ἂν δὲν τὸ ἐθεωροῦσαν τυχαῖον καὶ ἀσήμαντον, δὲν θὰ ἦτο ποτὲ δυνατὸν νὰ τοὺς γεννηθῇ τέτοια σκέψις. Διατί δὲν ἐτόλμησε ποτὲ κανεὶς νὰ σκεφθῇ καὶ ἀναφέρῃ ὅτι ὑπάρχει ἀνθρωπίνη ψυχὴ ποὺ ἀπὸ ὑπερηφάνειαν δὲν θὰ ἐπιθυμοῦσε νὰ φθάσῃ εἰς τὴν θέσιν τῶν ἀγγέλων; Διό-

δι᾿ ἀπόνοιαν οὐκ ἀνεχομένη ἐπὶ τὸ τῆς φύσεως ἐκείνης ἀξίωμα ἐλθεῖν; Μεγάλα γάρ τινα φανταζόμεθα περὶ τῶν δυνάμεων ἐκείνων καὶ τοῦτο ἡμᾶς οὐκ ἀφίησι πιστεῦσαι, ὅτι δύναται ἄνθρωπος τῆς τιμῆς φρονῆσαί τι μεῖζον ἐκείνης.
5 *Ὥστε αὐτοὺς μᾶλλον δικαίως ἄν τις γράψαιτο ἀπονοίας τοὺς ἡμῶν τοῦτο κατηγοροῦντας. Οὐ γὰρ ἄν ποτε περὶ ἑτέρων τοῦτο ὑπέλαβον, εἰ μὴ πρότερον αὐτοὶ τοῦ πράγματος ὡς οὐδενὸς ὄντος κατέγνωσαν. Εἰ δὲ πρὸς δόξαν ὁρῶντά με τοῦτο πεποιηκέναι φασί, περιπίπτοντες ἑαυτοῖς ἐλεγχθήσονται*
10 *καὶ μαχόμενοι φανερῶς. Οὐδὲ γὰρ οἶδα, ποίους ἂν ἑτέρους πρὸ τούτων ἐζήτησαν λόγους, εἰ τῶν τῆς κενοδοξίας ἡμᾶς ἠθέλησαν ἀπαλλάξαι ἐγκλημάτων.*

2. Εἰ γὰρ οὗτός μέ ποτε εἰσῆλθεν ὁ ἔρως, καταδέξασθαι μᾶλλον ἐχρῆν ἢ φυγεῖν. Διὰ τί; Ὅτι πολλὴν ἡμῖν τοῦτο τὴν
15 *δόξαν ἤνεγκεν ἄν. Τὸ γὰρ ἐν τούτῳ τῆς ἡλικίας ὄντα καὶ πρὸ βραχέος ἀποστάντα τῶν βιωτικῶν φροντίδων, ἐξαίφνης οὕτω δόξαι παρὰ πᾶσιν εἶναι θαυμαστόν, ὥστε τῶν τὸν ἅπαντα χρόνον ἐν τοῖς τοιούτοις ἐξαναλωθέντων πόνοις προτιμηθῆναι καὶ πλείονας ψήφους πάντων ἐκείνων λαβεῖν, θαυμαστά τινα*
25 *καὶ μεγάλα περὶ ἡμῶν πάντας ἂν ὑποπτεύειν ἔπεισε καὶ σεμνοὺς ἂν ἡμᾶς καὶ περιβλέπτους κατέστησεν. Νῦν δὲ πλὴν ὀλίγων, τὸ πλέον τῆς Ἐκκλησίας μέρος οὐδ᾿ ἐξ ὀνόματος ἡμᾶς ἴσασιν· ὥστε οὐδὲ ὅτι παρῃτήμεθα πᾶσιν ἐστὶ φανερόν, ἀλλ᾿ ὀλίγοις τισίν, οὓς οὐδὲ αὐτοὺς οἶμαι τὸ σαφὲς εἰδέναι*
25 *πάντας· Εἰκὸς δὲ καὶ τούτων πολλοὺς ἢ μηδόλως ἡμᾶς ᾑρῆσθαι νομίσαι ἢ παρεῶσθαι μετὰ τὴν αἵρεσιν, ἀνεπιτηδείους εἶναι δόξαντας, οὐχ ἑκόντας φυγεῖν.*

3. ΒΑΣΙΛΕΙΟΣ. Ἀλλ᾿ οἱ τἀληθὲς εἰδότες θαυμάσονται.

τι ἔχομεν μεγάλην ἰδέαν διὰ τὰς οὐρανίας ἐκείνας δυνάμεις καὶ αὐτὸ δὲν μᾶς ἀφήνει νὰ πιστεύσωμεν ὅτι ὑπάρχει ἄνθρωπος ποὺ ἐπιθυμεῖ τίποτε περισσότερον ἀπὸ αὐτὴν τὴν τιμήν. Συνεπῶς θὰ ἦτο δικαιότερον νὰ κατηγορηθοῦν δι' ὑπερηφάνειαν ἐκεῖνοι ποὺ κατηγοροῦν ἐμέ. Πραγματικὰ ἐὰν δὲν εἶχαν σχηματίσει οἱ ἴδιοι χαμηλὴν γνώμην περὶ ἱερωσύνης, δὲν θὰ ἠμποροῦσαν ν' ἀποδώσουν τέτοιαν σκέψιν εἰς ἄλλους. Ἐὰν δὲ λέγουν ὅτι ἐγὼ ἔδειξα αὐτὴν τὴν στάσιν ἀπὸ φιλοδοξίαν, ἀντιφάσκουν πρὸς τὸν ἑαυτόν των καὶ μόνοι των ἀναιροῦν τοὺς ἰσχυρισμούς των. Δὲν βλέπω δὲ ὅτι θὰ ἠμποροῦσαν νὰ εὕρουν ἄλλην κατηγορίαν, ἂν θὰ ἤθελαν νὰ μὲ ἀπαλλάξουν ἀπὸ τὴν κατηγορίαν τῆς ματαιοδοξίας.

2. Ἐὰν μὲ κατελάμβανε καμμιὰ φορὰ αὐτὴ ἡ δοξομανία, θὰ ἔπρεπε νὰ δεχθῶ μᾶλλον παρὰ ν' ἀποκρούσω τὸ ἀξίωμα τῆς ἱερωσύνης. Διατί; Διότι θὰ μοῦ ἐχάριζε πολλὴν δόξαν. Τὸ γεγονὸς ὅτι ἐξαφνικὰ θὰ παρουσιαζόμην τόσον ἀξιοθαύμαστος, ὥστε νὰ προτιμηθῶ καὶ νὰ πλειοψηφήσω ἀπὸ ὅλους τοὺς ἄλλους ποὺ ἀφιέρωσαν ὅλης τῆς ζωῆς των τὰς προσπαθείας εἰς τὸ ἐκκλησιαστικὸν ἔργον, ἐνῷ εἶμαι τόσον νέος καὶ μόλις ἐγκατέλειψα τὰς κοσμικὰς φροντίδας, θὰ ἔπειθεν ὅλους τοὺς ἀνθρώπους νὰ μὲ θεωροῦν ὡς μεγάλην προσωπικότητα καὶ θὰ μ' ἔκαμε σεβαστὸν καὶ δακτυλοδεικτούμενον. Τώρα ὅμως τὰ περισσότερα μέλη τῆς Ἐκκλησίας οὔτε κατ' ὄνομα δὲν μὲ γνωρίζουν, ὥστε δὲν θὰ ξεύρουν κἂν ὅτι παρῃτήθην τῆς ἐκλογῆς, ἐκτὸς ὀλίγων ποὺ καὶ αὐτοὶ νομίζω δὲν θὰ ξεύρουν τί ἀκριβῶς συνέβη. Εἶναι δὲ φυσικὸν καὶ ἀπὸ αὐτοὺς πολλοὶ νὰ νομίζουν ἢ ὅτι δὲν ἐξελέγην κἂν ἢ ὅτι μετὰ τὴν ἐκλογὴν παρηγκωνίσθην, διότι ἐθεωρήθην ἀκατάλληλος, καὶ ὄχι ὅτι ἀπέφυγα μόνος μου τὴν χειροτονίαν.

ΒΑΣΙΛΕΙΟΣ. Ἀλλ' ὅσοι γνωρίζουν τὴν πραγματικότητα θ' ἀπορήσουν.

ΧΡΥΣΟΣΤΟΜΟΣ. Καὶ μὴν τούτους, ἔφης, ὡς κενοδόξους καὶ ὑπερηφάνους διαβάλλειν ἡμᾶς. Πόθεν οὖν ἔστιν ἐλπίσαι τὸν ἔπαινον; Ἀπὸ τῶν πολλῶν; Ἀλλ' οὐκ ἴσασι τὸ σαφές. Ἀλλ' ἐκ τῶν ὀλίγων. Ἀλλὰ κἀνταῦθα ἡμῖν εἰς τοὐναντίον τὸ πρᾶγμα περιτέτραπται. Οὐδὲ γὰρ ἑτέρου τινὸς ἕνεκεν ἐνθάδε εἰσῆλθες νῦν, ἀλλ' ἵνα μάθῃς, τί πρὸς ἐκείνους ἀπολογήσασθαι δέοι. Καὶ τί τούτων ἕνεκεν ἀκριβολογοῦμαι νῦν; Ὅτι γάρ, εἰ καὶ πάντες ᾔδεσαν τἀληθές, οὐδὲ οὕτως ἡμᾶς ἀπονοίας ἢ φιλοδοξίας ἔδει κρίνειν, μικρὸν ἀνάμεινον καὶ τοῦτο εἴσῃ σαφῶς· καὶ πρὸς τούτῳ πάλιν ἐκεῖνο, ὅτι οὐ τοῖς ταύτην τολμῶσι τὴν τόλμην μόνον, εἴπερ τίς ἐστιν ἀνθρώπων (οὐ γὰρ ἔγωγε πείθομαι), ἀλλὰ καὶ τοῖς περὶ ἑτέρων ὑποπτεύουσι κίνδυνος ἐπικείσεται οὐ μικρός.

4. Ἡ γὰρ ἱερωσύνη τελεῖται μὲν ἐπὶ τῆς γῆς, τάξιν δὲ ἐπουρανίων ἔχει ταγμάτων καὶ μάλα γε εἰκότως. Οὐ γὰρ ἄνθρωπος, οὐκ ἄγγελος, οὐκ ἀρχάγγελος, οὐκ ἄλλη τις κτιστὴ δύναμις, ἀλλ' αὐτὸς ὁ Παράκλητος ταύτην διετάξατο τὴν ἀκολουθίαν καὶ ἔτι μένοντας ἐν σαρκὶ τὴν τῶν ἀγγέλων ἔπεισε φαντάζεσθαι διακονίαν. Διὸ χρὴ τὸν ἱερωμένον, ὥσπερ ἐν αὐτοῖς ἑστῶτα τοῖς οὐρανοῖς μεταξὺ τῶν δυνάμεων ἐκείνων, οὕτως εἶναι καθαρόν.

Φοβερὰ μὲν γὰρ καὶ φρικωδέστατα καὶ τὰ πρὸ τῆς χάριτος, οἷον οἱ κώδωνες, οἱ ῥοΐσκοι, οἱ λίθοι οἱ ἐπὶ τοῦ στήθους, οἱ τῆς ἐπωμίδος, ἡ μίτρα, ἡ κίδαρις, ὁ ποδήρης, τὸ πέταλον τὸ χρυσοῦν, τὰ ἅγια τῶν ἁγίων, ἡ πολλὴ τῶν ἔνδον ἠρεμία. Ἀλλ' εἴ τις τὰ τῆς χάριτος ἐξετάσειε, μικρὰ ὄντα εὑρήσει τὰ φοβερὰ καὶ φρικωδέστατα ἐκεῖνα, καὶ τὸ περὶ τοῦ νόμου λεχθέν, κἀνταῦθα ἀληθές ὄν, ὅτι «οὐ δεδόξασται τὸ δεδοξασμένον ἐν τούτῳ τῷ μέρει, ἕνεκεν τῆς ὑπερβαλλού-

1. Ἰσίδωρος ὁ Πηλουσιώτης καλεῖ τὴν ἱερωσύνην «θεῖον χρῆμα καὶ ὄντων ἁπάντων τὸ τιμιώτατον», Ἐπ. 2, 52. Βλ. καὶ 2, 125.
2. Ὑπάρχει ἐδῶ τάσις ἐξομοιώσεως τοῦ ἱερέως πρὸς τὰς ἀγγελικὰς δυνάμεις.
3. Ἐξόδ. 28, 3 ἑξ.

ΧΡΥΣΟΣΤΟΜΟΣ. Καὶ ὅμως ἐσὺ εἶπες ὅτι αὐτοὶ ἀκριβῶς μὲ κατηγοροῦν ὡς ματαιόδοξον καὶ ὑπερήφανον. Ἀπὸ ποίους λοιπὸν θὰ ἤλπιζα τὸν ἔπαινον; Ἀπὸ τοὺς πολλούς; Ἀλλ' αὐτοὶ δὲν ἔμαθαν τί συνέβη. Ἀπὸ τοὺς ὀλίγους; Ἀλλ' αὐτοὶ εἶναι ποὺ ὁμιλοῦν ἐναντίον μου· ἄλλωστε ἐσὺ ἦλθες ἐδῶ ἀκριβῶς διὰ νὰ μάθῃς τί πρέπει ν' ἀπολογηθῶ πρὸς αὐτούς. Ἀλλὰ τί τὰς χρειάζομαι τώρα τὰς λεπτολόγους ἐξηγήσεις δι' αὐτούς; Περίμενε ὀλίγον καὶ θὰ πεισθῇς ὅτι καὶ ὅλοι ἂν ἐγνώριζαν τὰ συμβάντα, πάλιν δὲν ἔπρεπε νὰ μὲ κατακρίνουν ὡς ὑπερήφανον ἢ φιλόδοξον καὶ θὰ μάθῃς ἀκόμη ὅτι εὑρίσκονται εἰς μεγάλον κίνδυνον ὄχι μόνον ὅσοι περιφρονοῦν τὴν ἱερωσύνην ἀπὸ ὑπεροψίαν, ἀλλὰ καὶ ἐκεῖνοι ποὺ ὑποπτεύονται ὅτι ὑπάρχουν τέτοιοι ἄνθρωποι, πρᾶγμα ποὺ ἐγὼ δὲν τὸ πιστεύω.

4. Διότι τῆς ἱερωσύνης τὸ ἔργον εἶναι τόσον ὑψηλόν, ὥστε ἐπιτελεῖται μὲν ἐπὶ τῆς γῆς, ἀλλ' ἀνήκει εἰς τὰ ἔργα τῶν οὐρανίων δυνάμεων[1]. Καὶ τοῦτο εἶναι πολὺ φυσικόν, ἐφ' ὅσον δὲν τὴν ἵδρυσεν οὔτε ἄγγελος οὔτε ἀρχάγγελος οὔτε καμμία ἄλλη κτιστὴ δύναμις, ἀλλὰ τὴν ἵδρυσεν αὐτὸς ὁ Παράκλητος, ὁ ὁποῖος καὶ ἔκαμεν ἀνθρώπους ζῶντας εἰς τὴν σάρκα ἱκανοὺς νὰ διεξάγουν ὑπηρεσίαν ἀγγέλων. Διὰ τοῦτο ὁ ἱερωμένος πρέπει νὰ εἶναι τόσον καθαρός, σὰν νὰ στέκεται εἰς τοὺς οὐρανοὺς μαζὶ μὲ τὰς ἀγγελικὰς δυνάμεις[2].

Ἦσαν φοβερὰ καὶ φρικτὰ καὶ τῆς ἰουδαϊκῆς ἱερωσύνης τὰ σύμβολα· οἱ κωδωνίσκοι, οἱ ροΐσκοι, οἱ λίθοι τοῦ στήθους καὶ τῆς ἐπωμίδος, ἡ μίτρα, ἡ κίδαρις, ὁ ποδήρης χιτών, τὸ χρυσοῦν πέταλον, τὰ ἅγια τῶν ἁγίων, ἡ ἐξαιρετικὴ ἠρεμία εἰς τὸ ἐσωτερικὸν τοῦ ναοῦ[3]. Ἀλλ' ὅταν ἐξετάσῃ κανεὶς τὰ ἀντικείμενα, μὲ τὰ ὁποῖα ἀσχολεῖται ἡ χριστιανικὴ ἱερωσύνη, θὰ εὕρῃ μικρὰ ἐκεῖνα τὰ φοβερὰ καὶ τρομερὰ σύμβολα καὶ θὰ ἐπαληθεύσῃ καὶ ἐδῶ τὸ λεγόμενον περὶ τοῦ μωσαϊκοῦ νόμου· «ὅ,τι ἐδοξάσθη ἐκεῖ δὲν ἔχει ἐδῶ δόξαν συγκρινόμενον μὲ τὴν ὑπερβολικὴν δόξαν τοῦ νέου Νό-

σης δόξης». Ὅταν γὰρ ἴδῃς τὸν Κύριον τεθυμένον καὶ κείμενον, καὶ τὸν ἱερέα ἐφεστῶτα τῷ θύματι καὶ ἐπευχόμενον, καὶ πάντας ἐκείνῳ τῷ τιμίῳ φοινισσομένους αἵματι, ἆρα ἔτι μετ' ἀνθρώπων εἶναι νομίζεις καὶ ἐπὶ τῆς γῆς ἑστάναι, ἀλλ' οὐκ
5 *εὐθέως ἐπὶ τοὺς οὐρανοὺς μετανίστασαι καὶ πᾶσαν σαρκικὴν διάνοιαν τῆς ψυχῆς ἐκβαλών, γυμνῇ τῇ ψυχῇ καὶ τῷ νῷ καθαρῷ περιβλέπεις τὰ ἐν οὐρανοῖς; Ὢ τοῦ θαύματος, ὢ τῆς τοῦ Θεοῦ φιλανθρωπίας. Ὁ μετὰ τοῦ Πατρὸς ἄνω καθήμενος κατὰ τὴν ὥραν ἐκείνην ταῖς ἁπάντων κατέχεται χερσὶ*
10 *καὶ δίδωσιν αὐτὸν τοῖς βουλομένοις περιπτύξασθαι καὶ περιλαβεῖν. Ποιοῦσι δὲ τοῦτο πάντες διὰ τῶν ὀφθαλμῶν τῆς πίστεως.*

Ἆρά σοι τοῦ καταφρονεῖσθαι ταῦτα ἄξια καταφαίνεται, ἢ τοιαῦτα εἶναι, ὡς δυνηθῆναί τινα καὶ ἐπαρθῆναι κατ' αὐτῶν;
15 *Βούλει καὶ ἐξ ἑτέρου θαύματος τῆς ἁγιαστείας ταύτης ἰδεῖν τὴν ὑπερβολήν; Ὑπόγραψόν μοι τὸν Ἠλίαν τοῖς ὀφθαλμοῖς καὶ τὸν ἄπειρον ὄχλον περιεστῶτα καὶ τὴν θυσίαν ἐπὶ τῶν λίθων κειμένην καὶ πάντας μὲν ἐν ἡσυχίᾳ τοὺς λοιποὺς καὶ πολλῇ τῇ σιγῇ, μόνον δὲ τὸν προφήτην εὐχόμενον· εἶτα ἐξαί-*
20 *φνης τὴν φλόγα ἐκ τῶν οὐρανῶν ἐπὶ τὸ ἱερεῖον ῥιπτουμένην. Θαυμαστὰ ταῦτα ἐκ πάσης ἐκπλήξεως γέμοντα. Μετάβηθι τοίνυν ἐκεῖθεν ἐπὶ τὰ νῦν τελούμενα καὶ οὐ θαυμαστὰ ὄψει μόνον, ἀλλὰ καὶ πᾶσαν ἔκπληξιν ὑπερβαίνοντα. Ἕστηκε γὰρ ὁ ἱερεύς, οὐ πῦρ καταφέρων, ἀλλὰ τὸ Πνεῦμα τὸ ἅγιον· καὶ*
25 *τὴν ἱκετηρίαν ἐπὶ πολὺ ποιεῖται, οὐχ ἵνα τ'ς λαμπὰς ἄνωθεν ἀφεθεῖσα καταναλώσῃ τὰ προκείμενα, ἀλλ' ἵνα ἡ χάρις ἐπιπεσοῦσα τῇ θυσίᾳ, δι' ἐκείνης τὰς ἁπάντων ἀνάψῃ ψυχὰς καὶ ἀργυρίου λαμπροτέρας ἀποδείξῃ πεπυρωμένου. Ταύτης οὖν τῆς φρικωδεστέρας τελετῆς, τίς μὴ σφόδρα μαινόμενος μηδὲ*
30 *ἐξεστηκὼς ὑπερφρονῆσαι δυνήσεται; Ἢ ἀγνοεῖς, ὅτι οὐκ*

---

4. Β´ Κορ. 3, 10.
5. Γ´ Βασ. 18, 21.

μου»[4]. Ὅταν βλέπῃς τὸν Κύριον θυσιασμένον καὶ κείμενον εἰς τὴν ἁγίαν τράπεζαν, καὶ τὸν ἱερέα νὰ εὔχεται σκυμμένος ἐπάνω εἰς τὸ θῦμα, καὶ τοὺς παρισταμένους ὅλους νὰ κοκκινίζουν ἀπὸ τὸ πολύτιμον ἐκεῖνο αἷμα, πῶς ἠμπορεῖς νὰ νομίζῃς ὅτι εὑρίσκεσαι ἐπάνω εἰς τὴν γῆν καὶ δὲν μεταφέρεσαι εἰς τοὺς οὐρανοὺς καί, ἀπηλλαγμένος ἀπὸ τὸ σαρκικὸν φρόνημα τῆς ψυχῆς, δὲν βλέπεις τὰ οὐράνια μὲ γυμνὴν ψυχὴν καὶ καθαρὸν νοῦν; Τί ὑπέροχον θαῦμα τῆς θείας φιλανθρωπίας! Ὁ Υἱός, ποὺ κάθεται ἐπάνω μαζὶ μὲ τὸν Πατέρα, τὴν ἰδίαν ἐκείνην ὥραν κρατεῖται εἰς τὰς χεῖρας ὅλων καὶ προσφέρει τὸν ἑαυτόν του εἰς ὅλους, ὅσοι θέλουν νὰ τὸν περιπτυχθοῦν καὶ τὸν δεχθοῦν μέσα των. Καὶ τοῦτο τὸ πραγματοποιοῦν ὅλοι μὲ τοὺς ὀφθαλμοὺς τῆς πίστεως.

Πῶς σοῦ φαίνονται λοιπὸν αὐτὰ τὰ πράγματα; Εἶναι ἄξια περιφρονήσεως ἢ εἶναι τόσον ὑψηλά, ὥστε νὰ προκαλοῦν ὑπερηφάνειαν; Θέλεις νὰ ἰδῇς πόσον ὑπερέχει ἡ χριστιανικὴ λατρεία; Φαντάσου ὅτι βλέπεις τὸν Ἠλίαν καὶ τὸ ἄπειρον πλῆθος καὶ τὸ θῦμα ἐπάνω εἰς τοὺς λίθους καὶ ὅλους τοὺς ἄλλους νὰ τηροῦν τελείαν σιγήν, μόνον δὲ τὸν προφήτην νὰ εὔχεται καὶ ξαφνικὰ τὴν φλόγα νὰ πίπτῃ ἀπὸ τὸν οὐρανὸν ἐπάνω εἰς τὸ θῦμα[5]. Πρόκειται περὶ θαυμασίων καὶ ἐκπληκτικῶν γεγονότων. Ἀλλ' ἀπὸ ἐκεῖ ἔλα τώρα εἰς τὰ τελούμενα εἰς τὴν ἰδικήν μας λατρείαν καὶ θὰ ἰδῇς γεγονότα ὄχι μόνον θαυμαστά, ἀλλὰ καὶ ἀνώτερα ἀπὸ κάθε ἔκπληξιν. Ὁ ἱερεὺς στέκεται καὶ κατεβάζει ὄχι πῦρ, ἀλλὰ τὸ ἅγιον Πνεῦμα· καὶ προσεύχεται ἐκτενῶς ὄχι διὰ νὰ ἔλθῃ φλόγα ἀπὸ τοὺς οὐρανοὺς καὶ κατακαύσῃ τὰ προκείμενα θύματα, ἀλλὰ διὰ νὰ ἐπέλθῃ εἰς τὴν θυσίαν ἡ θεία χάρις καὶ ἀνάψῃ μὲ αὐτὴν τὰς ψυχὰς ὅλων καὶ τὰς ἀναδείξῃ φωτεινοτέρας ἀπὸ πυρωμένον ἄργυρον. Ποιὸς λοιπὸν εἶναι τόσον μανιακὸς καὶ παράφρων, ὥστε νὰ περιφρονήσῃ αὐτὴν τὴν φρικωδεστάτην θυσίαν; Ἢ ἀγνοεῖς ὅτι δὲν θὰ ἠμποροῦσε ποτὲ ἀνθρωπίνη ψυχὴ νὰ βαστάσῃ ἐκεῖ-

ἄν ποτε ἀνθρωπίνη ψυχὴ τὸ πῦρ ἐκεῖνο τῆς θυσίας ἐβάστασεν, ἀλλ' ἄρδην ἂν ἅπαντες ἠφανίσθησαν, εἰ μὴ πολλὴ τῆς τοῦ Θεοῦ χάριτος ἦν ἡ βοήθεια;

5. Εἰ γάρ τις ἐννοήσειεν ὅσον ἐστίν, ἄνθρωπον ὄντα
5 *καὶ ἔτι σαρκὶ καὶ αἵματι περιπεπλεγμένον, τῆς μακαρίας καὶ ἀκηράτου φύσεως ἐγγὺς δυνηθῆναι γενέσθαι, τότε ὄψεται καλῶς ὅσης τοὺς ἱερεῖς τιμῆς ἡ τοῦ Πνεύματος ἠξίωσε χάρις. Διὰ γὰρ ἐκείνων καὶ ταῦτα τελεῖται καὶ ἕτερα τούτων οὐδὲν ἀποδέοντα καὶ εἰς ἀξιώματος καὶ εἰς σωτηρίας τῆς ἡμετέρας*
10 *λόγον. Οἱ γὰρ τὴν γῆν οἰκοῦντες καὶ ἐν ταύτῃ ποιούμενοι τὴν διατριβήν, τὰ ἐν οὐρανοῖς διοικεῖν ἐπετράπησαν καὶ ἐξουσίαν ἔλαβον, ἣν οὔτε ἀγγέλοις οὔτε ἀρχαγγέλοις ἔδωκεν ὁ Θεός. Οὐ γὰρ πρὸς ἐκείνους εἴρηται, «ὅσα ἂν δήσητε ἐπὶ τῆς γῆς, ἔσται δεδεμένα καὶ ἐν τῷ οὐρανῷ· καὶ ὅσα ἂν λύσητε ἐπὶ τῆς*
15 *γῆς, ἔσται λελυμένα καὶ ἐν τῷ οὐρανῷ». Ἔχουσι μὲν γὰρ καὶ οἱ κρατοῦντες ἐπὶ τῆς γῆς τὴν τοῦ δεσμεῖν ἐξουσίαν, ἀλλὰ σωμάτων μόνον· οὗτος δὲ ὁ δεσμὸς αὐτῆς ἅπτεται τῆς ψυχῆς καὶ διαβαίνει τοὺς οὐρανούς· καὶ ἅπερ ἂν ἐργάσωνται κάτω οἱ ἱερεῖς, ταῦτα ὁ Θεὸς ἄνω κυροῖ καὶ τὴν τῶν δούλων γνώμην ὁ*
20 *Δεσπότης βεβαιοῖ. Καὶ τί γάρ, ἀλλ' ἢ πᾶσαν αὐτοῖς τὴν οὐράνιον ἔδωκεν ἐξουσίαν; «Ὧν γὰρ ἄν, φησίν, ἀφῆτε τὰς ἁμαρτίας, ἀφέωνται· καὶ ὧν ἂν κρατῆτε, κεκράτηνται».*

Τίς ἂν γένοιτο ταύτης ἐξουσία μείζων; Πᾶσαν τὴν κρίσιν ἔδωκεν ὁ Πατὴρ τῷ Υἱῷ· ὁρῶ δὲ πᾶσαν αὐτὴν τούτους ἐγχει-
25 *ρισθέντας ὑπὸ τοῦ Υἱοῦ. Ὥσπερ γὰρ εἰς οὐρανοὺς ἤδη μετατεθέντας καὶ τὴν ἀνθρωπείαν ὑπερβάντες φύσιν καὶ τῶν ἡμετέρων ἀπαλλαγέντες παθῶν, οὕτως εἰς ταύτην ἤχθησαν τὴν ἀρχήν. Εἶτα, ἂν μὲν βασιλεύς τινι τῶν ὑπ' αὐτὸν ὄντων ταύτης μεταδῷ τῆς τιμῆς, ὥστε ἐμβάλλειν εἰς δεσμωτήριον*
30 *οὓς ἂν ἐθέλῃ, καὶ ἀφιέναι πάλιν, ζηλωτὸς καὶ περίβλεπτος*

---

6. Ματθ. 18, 18. Ἀπὸ τοὺς λόγους αὐτοὺς τοῦ Χρυσοστόμου ἐξάγεται τὸ συμπέρασμα ὅτι ἔχει ὑπ' ὄψιν τὴν μυστηριακὴν ἐξομολόγησιν. Βλ. καὶ Β' 2 ἑξ. καὶ τὰ λεγόμενα εἰς τὴν εἰσαγωγὴν τῆς παρούσης ἐκδόσεως.

νο τὸ πῦρ τῆς θυσίας καὶ ὅτι ὅλα θὰ ἠφανίζοντο ἂν δὲν ἤρχετο ἄφθονος ἡ βοήθεια τῆς χάριτος τοῦ Θεοῦ;

5. Μόνον ὅταν καταλάβῃ κανεὶς τί σημαίνει ἡ προσέγγισις ἀνθρώπου μὲ σάρκα καὶ αἷμα πρὸς τὴν μακαρίαν καὶ ἀθάνατον φύσιν τῶν ἀγγέλων, μόνον τότε θὰ ἰδῇ πόσην τιμὴν δίδει εἰς τοὺς ἱερεῖς ἡ χάρις τοῦ πνεύματος. Διότι ὑπ' αὐτῶν τελοῦνται καὶ ὅσα ἀνέφερα πρωτύτερα καὶ ἄλλα ἀκόμη ἰσάξια μὲ αὐτὰ καὶ διὰ τὸ ἀξίωμα καὶ διὰ τὴν σωτηρίαν μας. Ἐνῷ κατοικοῦν καὶ περιφέρονται ἀκόμη εἰς τὴν γῆν, ἀνέλαβον τὴν διεύθυνσιν οὐρανίων ὑποθέσεων μὲ ἐξουσίαν ποὺ δὲν ἔδωσεν ὁ Θεὸς οὔτε εἰς τοὺς ἀγγέλους οὔτε εἰς τοὺς ἀρχαγγέλους. Δὲν εἶπε πραγματικὰ πρὸς τοὺς ἀγγέλους, «ὅσα δέσετε εἰς τὴν γῆν, θὰ εἶναι δεμένα καὶ εἰς τοὺς οὐρανούς, καὶ ὅσα λύσετε εἰς τὴν γῆν, θὰ εἶναι λυμένα καὶ εἰς τοὺς οὐρανούς»[6]. Ἔχουν βεβαίως ἐξουσίαν νὰ δένουν καὶ οἱ ἐπίγειοι ἄρχοντες, ἀλλὰ μόνον τὰ σώματα. Ὁ δεσμὸς ὅμως τῶν ἱερέων ἐγγίζει τὴν ἰδίαν τὴν ψυχὴν καὶ διαβαίνει πρὸς τοὺς οὐρανούς, καὶ ὅσα ἐνεργοῦν κάτω οἱ ἱερεῖς τὰ ἐπικυρώνει ἄνω ὁ Θεός· ὁ Δεσπότης ἐγκρίνει τὴν ἀπόφασιν τῶν δούλων. Μήπως δὲν τοὺς ἔδωσεν ὁλόκληρον τὴν οὐρανίαν ἐξουσίαν; Τοὺς εἶπεν· «ὅποιων συγχωρήσετε τὰς ἁμαρτίας, θὰ εἶναι συγχωρημέναι· ὅποιων τὰς κρατήσετε θὰ εἶναι κρατημέναι»[7].

Ποία ἐξουσία ἠμπορεῖ νὰ θεωρηθῇ ὑψηλοτέρα ἀπὸ αὐτήν; Ὁ Πατὴρ ἔδωσεν εἰς τὸν Υἱὸν ὁλόκληρον τὴν ἐξουσίαν[8], βλέπω δὲ ὅτι ὁ Υἱὸς τὴν παρεχώρησεν ὅλην εἰς τοὺς ἱερεῖς. Καὶ εἶναι τόσον ὑψηλὴ ἡ θέσις εἰς τὴν ὁποίαν ἀνέβησαν, ὥστε φαίνονται σὰν νὰ μετεφέρθησαν ἤδη εἰς τοὺς οὐρανούς, σὰν νὰ ὑπερέβησαν τὴν ἀνθρωπίνην φύσιν καὶ ἀπηλλάγησαν ἀπὸ τὰ ἰδικά μας πάθη. Παρ' ὅλα αὐτὰ κάθε ὑπήκοος βασιλέως, ποὺ λαμβάνει ἀπὸ αὐτὸν τὴν ἐξουσίαν νὰ φυλακίζῃ καὶ ἐλευθερώνῃ ὅποιους θέλει, θεωρεῖ-

---

7. Ἰω. 20, 23.
8. Αὐτ. 5, 22.

παρὰ πᾶσιν οὗτος· ὁ δὲ παρὰ Θεοῦ τοσούτῳ μείζονα ἐξουσίαν λαβών, ὅσῳ γῆς τιμιώτερος ὁ οὐρανὸς καὶ σωμάτων ψυχαί, οὕτω μικράν τισιν ἔδοξεν εἰληφέναι τιμήν, ὡς δυνηθῆναι καὶ ἐννοῆσαι, ὅτι τῶν ταῦτά τις πιστευθέντων ὑπερφρονήσει τῆς 5 *δωρεᾶς. Ἄπαγε τῆς μονίας. Μανία γὰρ περιφανὴς ὑπερορᾶν τῆς τοσαύτης ἀρχῆς, ἧς ἄνευ οὔτε σωτηρίας ἡμῖν οὔτε τῶν ἐπηγγελμένων τυχεῖν ἔστιν ἀγαθῶν. Εἰ γὰρ οὐ δύναταί τις εἰσελθεῖν εἰς τὴν βασιλείαν τῶν οὐρανῶν, ἐὰν μὴ δι' ὕδατος καὶ Πνεύματος ἀναγεννηθῇ, καὶ ὁ μὴ τρώγων τὴν σάρκα τοῦ* 10 *Κυρίου καὶ τὸ αἷμα αὐτοῦ πίνων ἐκβέβληται τῆς οὐρανίου ζωῆς, πάντα δὲ ταῦτα δι' ἑτέρου μὲν οὐδενός, μόνον δὲ διὰ τῶν ἁγίων ἐκείνων ἐπιτελεῖται χειρῶν, τῶν τοῦ ἱερέως λέγω· πῶς ἄν τις τούτων ἐκτὸς ἢ τὸ τῆς γεέννης ἐκφυγεῖν δυνήσεται πῦρ ἢ τῶν ἀποκειμένων στεφάνων τυχεῖν; Οὗτοι γὰρ* 15 *ἡμῖν εἰσίν, οὗτοι, οἱ τὰς πνευματικὰς πιστευθέντες ὠδῖνας καὶ τὸν διὰ τοῦ βαπτίσματος ἐπιτραπέντες τόκον. Διὰ τούτων ἐνδυόμεθα τὸν Χριστὸν καὶ συνθαπτόμεθα τῷ Υἱῷ τοῦ Θεοῦ, μέλη γινόμεθα τῆς μακαρίας ἐκείνης κεφαλῆς. Ὥστε ἡμῖν οὐκ ἀρχόντων μόνον, οὐδὲ βασιλέων φοβερώτεροι ἀλλὰ* 20 *καὶ πατέρων τιμιώτεροι δικαίως ἂν εἶεν. Οἱ μὲν γὰρ ἐξ αἱμάτων καὶ ἐκ θελήματος σαρκὸς ἐγέννησαν, οἱ δὲ τῆς ἐκ Θεοῦ γεννήσεως ἡμῖν εἰσὶν αἴτιοι τῆς μακαρίας παλιγγενεσίας ἐκείνης, τῆς ἐλευθερίας τῆς ἀληθοῦς καὶ τῆς κατὰ χάριν υἱοθεσίας.*

25 *6. Λέπραν σώματος ἀπαλλάττειν, μᾶλλον δὲ ἀπαλλάττειν μὲν οὐδαμῶς, τοὺς δὲ ἀπαλλαγέντας δοκιμάζειν μόνον, εἶχον ἐξουσίαν οἱ τῶν Ἰουδαίων ἱερεῖς· καὶ οἶσθα πῶς περιμάχητον ἦν τὸ τῶν ἱερέων τότε. Οὗτοι δὲ οὐ λέπραν σώματος,*

---

9. Αὐτ. 3, 5.
10. Αὐτ. 6, 54.
11. Τὴν διαφορὰν αὐτὴν ἐκφράζει κατὰ παρόμοιον τρόπον ἐν ὁμ. Β' Κορ. (61, 109).
12. Λευϊτ. 14, 3.

ται ἀπὸ ὅλους ἀξιοζήλευτος καὶ ἐπιφανής. Μερικοὶ ὅμως νομίζουν ὅτι ὁ λαμβάνων ἀπὸ τὸν Θεὸν τόσον ὑψηλοτέραν τιμήν, ὅσον ὑψηλότερος εἶναι ὁ οὐρανὸς ἀπὸ τὴν γῆν καὶ ὅσον τιμιώτεραι αἱ ψυχαὶ ἀπὸ τὰ σώματα, λαμβάνει τόσον μικρὰν τιμήν, ὥστε νὰ εἶναι δυνατὸν νὰ τὴν περιφρονήσῃ κάποιος ποὺ τὴν ἠξιώθη. Αὐτὸ εἶναι ἔνδειξις μανίας. Διότι μανία εἶναι νὰ περιφρονῇ κανεὶς τόσον μεγάλην ἐξουσίαν, χωρὶς τὴν ὁποίαν δὲν εἶναι δυνατὸν νὰ ἐπιτευχθοῦν οὔτε ἡ σωτηρία οὔτε τὰ ἀγαθὰ ποὺ ὑπεσχέθη ὁ Θεός. Ἐφ' ὅσον δὲν ἠμπορεῖ κανεὶς νὰ εἰσέλθῃ εἰς τὴν βασιλείαν τῶν οὐρανῶν, ἐὰν δὲν ἀναγεννηθῇ δι' ὕδατος καὶ Πνεύματος κατὰ τὸ βάπτισμα[9], καὶ ἐφ' ὅσον ἀποκλείεται ἀπὸ τὴν οὐρανίαν ζωὴν ὅποιος δὲν τρώγει τὴν σάρκα καὶ δὲν πίνει τὸ αἷμα τοῦ Κυρίου διὰ τῆς μεταλήψεως[10], αὐτὰ δὲ ἐπιτελοῦνται μὲ τὰ ἅγια χέρια τοῦ ἱερέως, πῶς λοιπὸν χωρὶς τὰ χέρια αὐτὰ θὰ κατορθώσῃ κανεὶς ν' ἀποφύγῃ τὴν κόλασιν ἢ νὰ ἐπιτύχῃ τὴν ἀμοιβὴν τῶν δικαίων; Οἱ ἱερεῖς εἶναι ἐκεῖνοι ποὺ ἐπεφορτίσθησαν μὲ τὴν πνευματικὴν φροντίδα διὰ τὴν ἀναγέννησίν μας κατὰ τὸ βάπτισμα. Δι' αὐτῶν ἐνδυόμεθα τὸν Χριστὸν καὶ συνθαπτόμεθα μὲ τὸν Υἱὸν τοῦ Θεοῦ καὶ γινόμεθα μέλη τοῦ ἁγίου σώματός του, ὥστε δικαίως οἱ ἱερεῖς πρέπει νὰ θεωροῦνται ὄχι μόνον ἰσχυρότεροι ἀπὸ τοὺς ἄρχοντας καὶ τοὺς βασιλεῖς, ἀλλὰ καὶ πολυτιμότεροι ἀπὸ τοὺς πατέρας μας. Διότι οἱ μὲν πατέρες μᾶς ἐγέννησαν σωματικῶς, ἐνῷ αὐτοὶ συντελοῦν εἰς τὴν γέννησίν μας ἐκ Θεοῦ, εἰς τὴν νέαν γέννησιν, εἰς τὴν πραγματικὴν ἀπελευθέρωσίν μας ἀπὸ τὰ δεινά, εἰς τὴν υἱοθεσίαν μας διὰ τῆς θείας χάριτος[11].

6. Οἱ ἱερεῖς τῶν Ἰουδαίων εἶχαν τὴν ἐξουσίαν ν' ἀπαλλάσσουν τοὺς πάσχοντας ἀπὸ σωματικὴν λέπραν μόνον, ἢ μᾶλλον ἁπλῶς νὰ ἐπιβεβαιοῦν τὴν θεραπείαν[12], καὶ γνωρίζεις πόσον περιζήτητον ἦτο τότε τὸ ἱερατικὸν ἀξίωμα. Οἱ ἰδικοί μας ἱερεῖς ὅμως ἔλαβον ἐξουσίαν ὄχι ἁπλῶς νὰ διαπιστώνουν ἂν ἐξηλείφθη ἡ λέπρα τοῦ σώματος, ἀλλὰ νὰ

ἀλλ' ἀκαθαρσίαν ψυχῆς, οὐκ ἀπαλλαγεῖσαν δοκιμάζειν, ἀλλ' ἀπαλλάττειν παντελῶς ἔλαβον ἐξουσίαν. Ὥστε οἱ τούτων ὑπερορῶντες πολλῷ καὶ τῶν περὶ Δαθὰν εἶεν ἐναγέστεροι καὶ μείζονος ἄξιοι τιμωρίας. Οἱ μὲν γάρ, εἰ καὶ μὴ προσηκούσης αὐτοῖς, ἀντεποιοῦντο τῆς ἀρχῆς, ἀλλ' ὅμως θαυμαστήν τινα περὶ αὐτῆς εἶχον δόξαν καὶ τοῦτο τῷ μετὰ πολλῆς ἐφίεσθαι σπουδῆς ἔδειξαν· οὗτοι δέ, ὅτε ἐπὶ τῷ κρεῖττον διεκοσμήθη καὶ τοσαύτην ἔλαβεν ἐπίδοσιν τὸ πρᾶγμα, τότε ἐξ ἐναντίας μὲν ἐκείνοις, πολλῷ δὲ ἐκείνων μείζονα τετολμήκασιν. Οὐδὲ γὰρ ἴσον εἰς καταφρονήσεως λόγον ἐφίεσθαι μὴ προσηκούσης τιμῆς καὶ ὑπερορᾶν τοσούτων ἀγαθῶν, ἀλλὰ τοσούτῳ μεῖζον ἐκεῖνο τούτου, ὅσῳ τοῦ διαπτύειν καὶ θαυμάζειν τὸ μέσον ἐστίν. Τίς οὖν οὕτως ἀθλία ψυχή, ὡς τοσούτων ὑπεριδεῖν ἀγαθῶν; Οὐκ ἄν ποτε οὐδένα φαίην ἔγωγε, πλὴν εἰ μή τις οἶστρον ὑπομείνειε δαιμονικόν.

Ἀλλὰ γὰρ ἐπάνειμι πάλιν, ὅθεν ἐξέβην. Οὐ γὰρ ἐν τῷ κολάζειν μόνον, ἀλλὰ καὶ ἐν τῷ ποιεῖν εὖ, μείζονα τοῖς ἱερεῦσιν ἔδωκε δύναμιν τῶν φυσικῶν γονέων ὁ Θεός· καὶ τοσοῦτον ἀμφοτέρων τὸ διάφορον, ὅσον τῆς παρούσης καὶ τῆς μελλούσης ζωῆς. Οἱ μὲν γὰρ εἰς ταύτην, οἱ δὲ εἰς ἐκείνην γεννῶσιν. Κἀκεῖνοι μὲν οὐδὲ τὸ σωματικὸν αὐτοῖς δύναιτ' ἂν ἀμῦναι θάνατον, οὐ νόσον ἐπενεχθεῖσαν ἀποκρούσασθαι· οὗτοι δὲ κάμνουσαν καὶ ἀπόλλυσθαι μέλλουσαν τὴν ψυχὴν πολλάκις ἔσωσαν, τοῖς μὲν πρᾳοτέραν τὴν κόλασιν ἐργασάμενοι, τοὺς δὲ οὐδὲ παρὰ τὴν ἀρχὴν ἀφέντες ἐμπεσεῖν, οὐ τῷ διδάσκειν μόνον καὶ νουθετεῖν, ἀλλὰ καὶ τῷ δι' εὐχῶν βοηθεῖν. Οὐ γὰρ ὅταν ἡμᾶς ἀναγεννῶσι μόνον, ἀλλὰ καὶ τὰ μετὰ ταῦτα συγχωρεῖν ἔχουσιν ἐξουσίαν ἁμαρτήματα. «Ἀσθενεῖ γάρ τις», φησίν, «ἐν ὑμῖν; Προσκαλεσάσθω τοὺς πρεσβυτέρους τῆς Ἐκκλησίας καὶ προσευξάσθωσαν ἐπ' αὐτόν, ἀλείψαντες αὐτὸν ἐλαίῳ, ἐν τῷ ὀνόματι τοῦ Κυρίου· καὶ ἡ εὐχὴ τῆς πί-

13. Ἀριθ. 16,1 ἑ.

θεραπεύσουν τελείως ὑφισταμένην ἀκόμη ἀρρώστειαν τῆς ψυχῆς. Ὥστε ὅσοι τοὺς περιφρονοῦν εἶναι μιαρώτεροι ἀπὸ τὴν συντροφιὰν τοῦ Δαθὰν καὶ ἄξιοι μεγαλυτέρας τιμωρίας[13]. Οἱ ἄνθρωποι ἐκεῖνοι, ἂν καὶ διεξεδίκουν ἀναξίως τὸ ἀξίωμα, πάντως ἀπέδειξαν μὲ τὸν ἐξαιρετικὸν ζῆλόν των ὅτι τὸ εἶχαν εἰς μεγάλην ἐκτίμησιν. Οἱ ἰδικοί μας ὅμως καταφρονηταί, καὶ μάλιστα σήμερα ποὺ τὸ ἱερατικὸν ἀξίωμα προήχθη καὶ ἀνυψώθη, τολμοῦν πράγματα πολὺ χειρότερα ἀπὸ ἐκείνους ἀπὸ τὴν ἀντίστροφον κατεύθυνσιν. Ὁ παρ' ἀξίαν διακαὴς πόθος ἑνὸς ἀξιώματος καὶ ἡ περιφρόνησίς του δὲν εἶναι τὸ ἴδιον πρᾶγμα· ὑπάρχει μεταξύ των τόση ἀπόστασις ὅση μεταξὺ θαυμασμοῦ καὶ περιφρονήσεως. Ποία ψυχὴ λοιπὸν θὰ εἶναι τόσον ἀθλία ὥστε νὰ περιφρονήσῃ τέτοια ἀγαθά; Δὲν νομίζω ὅτι θὰ εὑρίσκετο τέτοια ψυχή, ἐκτὸς ἐὰν καμμία θὰ κατείχετο ἀπὸ δαιμονικὴν μανίαν.

Ἀλλ' ἐπανέρχομαι πάλιν εἰς τὸ θέμα. Ὁ Θεὸς ἔδωσε μεγαλυτέραν δύναμιν εἰς τοὺς ἱερεῖς παρὰ εἰς τοὺς φυσικοὺς γονεῖς ὄχι μόνον νὰ τιμωροῦν, ἀλλὰ καὶ νὰ εὐεργετοῦν. Καὶ εἶναι τόση ἡ διαφορὰ μεταξύ των, ὅση εἶναι μεταξὺ παρούσης καὶ μελλούσης ζωῆς. Διότι οἱ γονεῖς γεννοῦν διὰ τὴν παροῦσαν ζωήν, ἐνῷ οἱ ἱερεῖς διὰ τὴν μέλλουσαν. Ἐκεῖνοι δὲν ἠμποροῦν νὰ προφυλάξουν οὔτε ἀπὸ τὸν σωματικὸν θάνατον οὔτε καὶ ἀπὸ ἀρρώστειαν, ἐνῷ αὐτοὶ πολλάκις σώζουν τὴν ψυχὴν καὶ ὅταν εἶναι ἀσθενὴς καὶ πρόκειται νὰ χαθῇ, καὶ ἄλλων μὲν ἐλαφρύνουν τὴν τιμωρίαν, ἄλλους δὲ δὲν ἀφήνουν καθόλου νὰ πέσουν εἰς αὐτὴν μὲ τὴν διδασκαλίαν, μὲ τὴν νουθεσίαν, μὲ τὴν βοήθειαν τῶν προσευχῶν. Δὲν ἔχουν ἐξουσίαν νὰ συγχωρήσουν ἁμαρτήματα μόνον ὅταν μᾶς ἀναγεννοῦν, ἀλλὰ καὶ ἀργότερα. «Εἶναι, λέγει, κανεὶς ἀπὸ σᾶς ἀσθενής; Ἂς προσκαλέσῃ τοὺς πρεσβυτέρους τῆς Ἐκκλησίας διὰ νὰ προσευχηθοῦν ἐπ' αὐτοῦ καὶ τὸν ἀλείψουν μὲ ἔλαιον, καὶ τότε ὁ Κύριος θὰ τὸν σηκώσῃ ἀπὸ τὸ κρεββάτι· καὶ ἂν ἔχῃ δια-

στεως σώσει τὸν κάμνοντα καὶ ἐγερεῖ αὐτὸν ὁ Κύριος· κἂν ἁμαρτίας ᾖ πεποιηκώς, ἀφεθήσονται αὐτῷ». Ἔπειτα οἱ μὲν φυσικοὶ γονεῖς εἰ μέν τισι τῶν ὑπερεχόντων καὶ μεγάλα ὧδε δυναμένων προσκρούσαιεν οἱ παῖδες, οὐδὲν αὐτοὺς ἔχουσιν
5 *ὠφελεῖν· οἱ δὲ ἱερεῖς οὐκ ἄρχοντας, οὐδὲ βασιλεῖς, ἀλλ' αὐτὸν αὐτοῖς πολλάκις ὀργισθέντα κατήλλαξαν τὸν Θεόν.*

Ἔτι οὖν ἡμᾶς μετὰ ταῦτα τολμήσει τις ἀπονίας κρίνειν; Ἐγὼ μὲν γὰρ ἐκ τῶν εἰρημένων τοσαύτην εὐλάβειαν οἶμαι τὰς τῶν ἀκουόντων κατασχεῖν ψυχάς, ὡς μηκέτι τοὺς φεύγον-
10 *τας, ἀλλὰ καὶ τοὺς ἀφ' ἑαυτῶν προσιόντας καὶ σπουδάζοντας ταύτην ἑαυτοῖς κτήσασθαι τὴν τιμήν, ἀπονοίας καὶ τόλμης κρίνειν. Εἰ γὰρ οἱ τὰς τῶν πόλεων ἀρχὰς πιστευθέντες, ὅταν μὴ συνετοὶ καὶ λίαν ὀξεῖς τυγχάνωσιν ὄντες, καὶ τὰς πόλεις ἀνέτρεψαν καὶ ἑαυτοὺς προσαπώλεσαν, ὁ τοῦ Χριστοῦ τὴν*
15 *νύμφην κατακοσμεῖν λαχών, πόσης σοι δοκεῖ δεῖσθαι δυνάμεως καὶ τῆς παρ' αὐτοῦ καὶ τῆς ἄνωθεν, πρὸς τὸ μὴ διαμαρτεῖν;*

7. Οὐδεὶς μᾶλλον Παύλου τὸν Χριστὸν ἠγάπησεν, οὐδεὶς μείζονα ἐκείνου σπουδὴν ἐπεδείξατο, οὐδεὶς πλείονος ἠξιώθη χάριτος· ἀλλ' ὅμως μετὰ τοσαῦτα πλεονεκτήματα δέδοικεν ἔτι
20 *καὶ τρέμει περὶ ταύτης τῆς ἀρχῆς καὶ τῶν ἀρχομένων ὑπ' αὐτοῦ. «Φοβοῦμαι γάρ», φησί, «μή πως, ὡς ὁ ὄφις Εὔαν ἐξηπάτησεν ἐν τῇ πανουργίᾳ αὐτοῦ, οὕτω φθαρῇ τὰ νοήματα ὑμῶν ἀπὸ τῆς ἁπλότητος τῆς εἰς τὸν Χριστόν». Καὶ πάλιν· «ἐν φόβῳ καὶ ἐν τρόμῳ πολλῷ ἐγενόμην πρὸς ὑμᾶς». Ἄνθρωπος*
25 *εἰς τρίτον οὐρανὸν ἁρπαγεὶς καὶ ἀπορρήτων κοινωνήσας Θεῷ, καὶ τοσούτους ὑπομείνας θανάτους, ὅσας μετὰ τὸ πιστεῦσαι ἔζησεν ἡμέρας· ἄνθρωπος μηδὲ τῇ δοθείσῃ παρὰ τοῦ Χριστοῦ χρήσασθαι ἐξουσίᾳ βουληθείς, ἵνα μή τις τῶν πιστευσάντων*

---

14. Ἰακώβ. 5, 14.
15. Ὁ Παῦλος θεωρεῖται γενικῶς ὡς τὸ ἰδεῶδες πρότυπον τοῦ ἐκκλησιαστικοῦ ἡγέτου καὶ εἶναι εὔλογον ὅτι γίνεται λόγος περὶ αὐτοῦ ἐνταῦθα καὶ κατωτέρω Δ' 6 ἑξ.
16. Β' Κορ. 11, 3.

πράξει ἁμαρτίας, θὰ τοῦ συγχωρηθοῦν»[14]. Ἔπειτα οἱ φυσικοὶ γονεῖς δὲν ἠμποροῦν νὰ βοηθήσουν τὰ παιδιά των, ἂν ἔχουν διαπράξει κανένα ἀδίκημα πρὸς τοὺς κοσμικοὺς ἄρχοντας, ἐνῷ οἱ ἱερεῖς πολλάκις ἐξιλεώνουν ὄχι ἁπλῶς ἄρχοντας καὶ βασιλεῖς, ἀλλὰ τὸν ἴδιον τὸν Θεόν, ἂν ἔχῃ ὀργισθῆ.

Θὰ τολμήσῃ λοιπὸν κανεὶς ἔπειτα ἀπὸ αὐτὰ νὰ μὲ κατηγορήσῃ ὅτι ἀπέφυγα τὴν ἱερωσύνην ἀπὸ ὑπερηφάνειαν; Ἐγὼ ἀντιθέτως νομίζω ὅτι, ἔπειτα ἀπὸ ὅσα εἶπα, θὰ καταλάβῃ τὰς ψυχὰς τῶν ἀκροατῶν τόσος φόβος, ὥστε νὰ κατηγορήσουν ὡς ὑπερηφάνους καὶ θρασεῖς ὄχι τοὺς ἀποφεύγοντας, ἀλλὰ τοὺς ἐπιζητοῦντας διακαῶς αὐτὸ τὸ ἀξίωμα. Ἐὰν οἱ ἀναλαμβάνοντες πολιτικὴν ἐξουσίαν καταστρέφουν καὶ τὰς πόλεις καὶ τὸν ἑαυτόν των, ὅταν τοὺς λείπῃ ἡ σύνεσις καὶ ἡ διορατικότης, πόσην δύναμιν ἰδικήν του καὶ θείαν δὲν νομίζεις ὅτι χρειάζεται ὁ ἀναλαμβάνων νὰ στολίζῃ τὴν νύμφην τοῦ Χριστοῦ, ὥστε νὰ μὴ ἀποτύχῃ εἰς τὸ ἔργον του;

7. Κανεὶς δὲν ἠγάπησε τὸν Χριστὸν περισσότερον ἀπὸ τὸν Παῦλον[15], κανεὶς δὲν ἔδειξε μεγαλυτέραν προθυμίαν ἀπὸ ἐκεῖνον καὶ κανεὶς δὲν ἠξιώθη περισσοτέρας χάριτος. Καὶ ὅμως παρ' ὅλα αὐτὰ τὰ πλεονεκτήματα ὁ Παῦλος φοβεῖται καὶ τρέμει καὶ διὰ τὸ ἀξίωμά του καὶ διὰ τοὺς ἀρχομένους ὑπ' αὐτοῦ. «Φοβοῦμαι, λέγει, μήπως διαφθαρῇ καὶ ἡ ἐν Χριστῷ ἁπλότης τῆς διανοίας σας[16], ὅπως ἠπατήθη ἡ Εὔα ἀπὸ τὴν πανουργίαν τοῦ ὄφεως» καὶ «σᾶς ἐπεσκέφθην μὲ πολὺν φόβον καὶ τρόμον»[17]. Τὰ ἔλεγε δὲ αὐτὰ ἄνθρωπος ποὺ ἡρπάγη εἰς τὸν τρίτον οὐρανὸν καὶ ἐμυήθη εἰς τὰ μυστήρια τοῦ Θεοῦ»[18] καὶ λόγῳ διωγμῶν ἔφθασεν εἰς τὸ χεῖλος τοῦ θανάτου τόσας φοράς, ὅσας ἡμέρας ἔζησεν ἀφ' ὅτου ἐπίστευσεν εἰς τὸ Εὐαγγέλιον· ὁ ἄνθρωπος ποὺ δὲν ἐχρησιμοποίησεν οὔτε τὴν δοθεῖσαν εἰς αὐτὸν ὑπὸ τοῦ

---

17. Α' Κορ. 2, 3.
18. Β' Κορ. 12, 2 ἑξ.

σκανδαλισθῇ. Εἰ τοίνυν ὁ τὰ προστάγματα ὑπερβαίνων τοῦ Θεοῦ καὶ μηδαμοῦ τὸ ἑαυτοῦ ζητῶν, ἀλλὰ τὸ τῶν ἀρχομένων, οὕτως ἔμφοβος ἦν ἀεί, πρὸς τὸ τῆς ἀρχῆς μέγεθος ἀφορῶν, τί πεισόμεθα ἡμεῖς οἱ πολλαχοῦ τὰ ἑαυτῶν ζητοῦντες, οἱ τὰς 5 *ἐντολὰς τοῦ Χριστοῦ οὐ μόνον οὐχ ὑπερβαίνοντες, ἀλλὰ καὶ ἐκ πλείονος παραβαίνοντες μοίρας; «Τίς ἀσθενεῖ», φησί, «καὶ οὐκ ἀσθενῶ; τίς σκανδαλίζεται, καὶ οὐκ ἐγὼ πυροῦμαι;».*

Τοιοῦτον εἶναι δεῖ τὸν ἱερέα, μᾶλλον δὲ οὐ τοιοῦτον μόνον· μικρὰ γὰρ ταῦτα καὶ τὸ μηδέν, πρὸς ὃ μέλλω λέγειν. Τί δὲ 10 *τοῦτό ἐστι; «Ηὐχόμην», φησίν, «ἀνάθεμα εἶναι ἀπὸ τοῦ Χριστοῦ ὑπὲρ τῶν ἀδελφῶν μου, τῶν συγγενῶν μου τῶν κατὰ σάρκα». Εἴ τις δύναται ταύτην ἀφιέναι τὴν φωνήν, εἴς τις ἔχει τὴν ψυχὴν ταύτης ἐφικνουμένην τῆς εὐχῆς, ἐγκαλεῖσθαι δίκαιος ἂν εἴη φεύγων. Εἰ δέ τις ἀποδέοι τῆς ἀρετῆς ἐκείνης* 15 *τοσοῦτον ὅσον ἡμεῖς, οὐχ ὅταν φεύγῃ, ἀλλ' ὅταν δέχηται μισεῖσθαι δίκαιος. Οὐδὲ γὰρ εἴ τις στρατιωτικῆς ἀξίας αἵρεσις προὔκειτο, εἶτα χαλκοτύπον ἢ σκυτοτόμον ἤ τινα τῶν τοιούτων δημιουργῶν ἑλκύσαντες εἰς τὸ μέσον οἱ δοῦναι κύριοι τὴν τιμήν, ἐνεχείριζον τὸν στρατόν, ἐπῄνεσα ἂν τὸν δείλαιον ἐ-* 20 *κεῖνον οὐ φεύγοντα καὶ πάντα ποιοῦντα, ὥστε μὴ εἰς προὖπτον ἑαυτὸν ἐμβαλεῖν κακόν. Εἰ μὲν γὰρ ἁπλῶς τὸ κληθῆναι ποιμένα καὶ μεταχειρίσαι τὸ πρᾶγμα ὡς ἔτυχεν ἀρκεῖ καὶ κίνδυνος οὐδείς, ἐγκαλείτω κενοδοξίας ἡμῖν ὁ βουλόμενος. Εἰ δὲ πολλὴν μὲν σύνεσιν, πολλὴν δὲ πρὸ τῆς συνέσεως τὴν* 25 *παρὰ τοῦ Θεοῦ χάριν καὶ τρόπων ὀρθότητα καὶ καθαρότητα*

19. Αὐτ. 11, 29.
20. Ρωμ. 9, 3.

Χριστοῦ ἐξουσίαν διὰ νὰ μὴ σκανδαλισθῇ κανεὶς ἀπὸ τοὺς πιστούς. Ἐὰν λοιπὸν ὁ Παῦλος ποὺ ἐκτελοῦσε περισσότερα ἀπὸ ὅσα ὁ Θεὸς παρήγγελε, ποὺ δὲν ἐπεδίωκε τὸ ἰδικόν του, ἀλλ' ἐζητοῦσε τῶν μαθητῶν του τὸ συμφέρον, ᾐσθάνετο τόσον φόβον, διότι ἀντελαμβάνετο τὸ μέγεθος τοῦ ἀποστολικοῦ ἀξιώματος, τί θὰ πάθωμεν ἡμεῖς ποὺ συνήθως ἐπιδιώκομεν τὴν ἱκανοποίησιν τῶν προσωπικῶν μας συμφερόντων, ποὺ ὄχι μόνον δὲν πλειοδοτοῦμεν εἰς τὰς ἐντολὰς τοῦ Θεοῦ, ἀλλὰ καὶ τὰς παραβαίνομεν ὡς ἐπὶ τὸ πλεῖστον; «Ποῖος ἀσθενεῖ, λέγει, καὶ δὲν ἀσθενῶ καὶ ἐγώ; Ποῖος σκανδαλίζεται καὶ δὲν φλέγομαι καὶ ἐγώ;[19]

Τέτοιος πρέπει νὰ εἶναι ὁ ἱερεὺς ἢ μᾶλλον ὄχι· δὲν ἐπιτρέπεται νὰ περιορίζεται ἕως ἐδῶ. Ὅσα εἶπα εἶναι ὀλίγα, δὲν εἶναι τίποτε ἀπέναντι ὅσων θὰ εἴπω. Ποίων δηλαδή; «Θὰ ηὐχόμην ν' ἀναθεματισθῶ ἀπὸ τὸν Χριστὸν διὰ τὸ καλὸν τῶν ἀδελφῶν μου Ἰουδαίων, τῶν συγγενῶν μου κατὰ σάρκα»[20]. Ὅποιος ἠμπορεῖ νὰ προσφέρῃ τέτοια λόγια, ὅποιος ἔχει ψυχὴν ἱκανὴν νὰ φθάσῃ εἰς τὸ ὕψος παρομοίας εὐχῆς δικαίως θὰ κατηγορεῖτο, ἂν ἀπέφευγε τὴν ἱερωσύνην· ὅποιος ὅμως ἀπέχει ἀπὸ τὴν ἀρετὴν αὐτὴν ὅσον ἀπέχω ἐγώ, ἀξίζει νὰ προκαλῇ τὸ μῖσος ὄχι ὅταν ἀποφεύγῃ, ἀλλ' ὅταν δέχεται τὴν ἱερωσύνην. Τὸ ἴδιον συμβαίνει καὶ ὅταν πρόκειται νὰ γίνῃ πλήρωσις ἀνωτάτης στρατιωτικῆς θέσεως· ἐὰν οἱ ἁρμόδιοι διορίσουν εἰς τὴν θέσιν αὐτὴν κάποιον χαλκέα ἢ ὑποδηματοποιὸν ἢ ἄλλον τεχνίτην καὶ τοῦ παραδώσουν τὸν στρατόν, δὲν θὰ ἐπαινοῦσα αὐτὸν τὸν δυστυχῆ ἂν δὲν ἀπέφευγε τὸ ἀξίωμα καὶ ἂν δὲν ἔκαμε τὸ πᾶν διὰ νὰ μὴ ριφθῇ εἰς προφανῆ κίνδυνον. Ἐὰν ἀρκοῦσε νὰ ὀνομασθῇ κανεὶς ποιμὴν καὶ νὰ διαχειρίζεται τὴν ἐξουσίαν ὅπως τοῦ ἀρέσει, ἐὰν αὐτὸ τὸ πρᾶγμα ἦτο ἀκίνδυνον, ἂς μὲ κατηγορήσῃ ὅποιος θέλει ὡς κενόδοξον, διότι ἀπέφυγα. Ἐὰν ὅμως ὁ ἀναλαμβάνων τὴν φροντίδα αὐτὴν πρέπει νὰ ἔχῃ πολλὴν σύνεσιν καὶ περισσοτέραν χάριν ἐκ Θεοῦ καὶ

βίου καὶ μείζονα ἢ κατὰ ἄνθρωπον ἔχειν δεῖ τὴν ἀρετὴν τὸν ταύτην ἀποδεχόμενον τὴν φροντίδα, μή με ἀποστερήσῃς συγγνώμης, μάτην ἀπολέσθαι μὴ βουλόμενον καὶ εἰκῇ. Καὶ γὰρ εἰ μυριάγωγόν τις ὁλκάδα ἄγων, πεπληρωμένην ἐρετῶν καὶ
5 *φορτίων γέμουσαν πολυτελῶν, εἶτα ἐπὶ τῶν οἰάκων καθίσας ἐκέλευέ με περᾶν τὸ Αἰγαῖον ἢ τὸ Τυρρηνικὸν πέλαγος, ἐκ πρώτης ἂν ἀπεπήδησα τῆς φωνῆς· καὶ εἴ τις ἤρετο, διὰ τί; Ἵνα μὴ καταδύσω τὸ πλοῖον, εἶπον ἄν.*

8. Εἶτα, ἔνθα μὲν εἰς χρήματα ἡ ζημία καὶ ὁ κίνδυνος
10 *σωματικοῦ μέχρι θανάτου, οὐδεὶς ἐγκαλέσει πολλῇ κεχρημένοις προνοίᾳ· ὅπου δὲ τοῖς ναυαγοῦσιν οὐκ εἰς τὸ πέλαγος τοῦτο, ἀλλ' εἰς τὴν ἄβυσσον τοῦ πυρὸς ἀπόκειται πεσεῖν καὶ θάνατος αὐτούς, οὐχ ὁ τὴν ψυχὴν ἀπὸ τοῦ σώματος διαιρῶν, ἀλλ' ὁ ταύτην μετ' ἐκείνου εἰς κόλασιν παραπέμπων αἰώνιον,*
15 *ἐκδέχεται, ἐνταῦθα ὅτι μὴ προπετῶς εἰς τοσοῦτον ἑαυτοὺς ἐρρίψαμεν κακόν, ὀργιεῖσθε καὶ μισήσετε; Μή, δέομαι καὶ ἀντιβολῶ. Οἶδα τὴν ἐμαυτοῦ ψυχήν, τὴν ἀσθενῆ ταύτην καὶ μικράν· οἶδα τῆς διακονίας ἐκείνης τὸ μέγεθος καὶ τὴν πολλὴν τοῦ πράγματος δυσκολίαν. Πλείονα γὰρ τῶν τὴν θάλατ-*
20 *ταν ταραττόντων πνευμάτων χειμάζει κύματα τὴν τοῦ ἱερωμένου ψυχήν.*

9. Καὶ πρῶτον ἁπάντων ὁ δεινότατος τῆς κενοδοξίας σκόπελος, χαλεπώτερος ὢν οὗ περ οἱ μυθοποιοὶ τερατεύονται τῶν Σειρήνων. Τοῦτον γὰρ πολλοὶ μὲν ἴσχυσαν διαπλεύσαν-
25 *τες διαφυγεῖν ἀσινεῖς, ἐμοὶ δὲ οὕτω τοῦτο χαλεπόν, ὡς μηδὲ νῦν, ὅτε οὐδὲ μία μέ τις ἀνάγκη πρὸς ἐκεῖνο ὠθεῖ τὸ βάραθρον, δύνασθαι καθαρεύειν τοῦ δεινοῦ. Εἰ δὲ καὶ τὴν ἐπιστασίαν τις ἐγχειρίζοι ταύτην, μονονουχὶ δήσας ὀπίσω τὼ χεῖρε, παραδώσει τῆς ἐν ἐκείνῳ τῷ σκοπέλῳ κατοικοῦσι θηρίοις,*

---

21. Οἱ ταχθέντες νὰ ἡγηθοῦν τοῦ ποιμνίου καὶ κατευθύνουν τοῦτο εἰς τὴν νέαν ζωὴν προϋποτίθεται ὅτι θὰ ὑπερβαίνουν κατὰ πολὺ εἰς τὴν ἀρετὴν τοὺς ποιμαινομένους. Ὡς λέγει ὁ Γρηγόριος, Ἀπολ. 3, «ὅσοι τῶν λοιπῶν εἰσιν ἀνωτέρω κατ' ἀρετὴν καὶ τὴν πρὸς Θεὸν οἰκείωσιν» μόνοι

διαγωγὴν ὀρθήν, βίον καθαρὸν καὶ ἀρετὴν μεγαλυτέραν ἀπὸ ὅσην ἁρμόζει εἰς ἀνθρώπους[21], μὴ μοῦ ἀρνηθῇς τὴν συγγνώμην ποὺ δὲν θέλω νὰ καταστραφῶ χωρὶς κανένα λόγον. Ἐὰν μοῦ παρουσίαζε κάποιος φορτηγὸν πλοῖον μὲ πολλοὺς κωπηλάτας καὶ γεμᾶτον φορτίον πολύτιμον καὶ μ' ἐτοποθετοῦσεν ὡς πλοίαρχον καὶ μὲ διέτασσε νὰ διασχίσω τὸ Αἰγαῖον ἢ τὸ Τυρρηνικὸν πέλαγος, θ' ἀπεμακρυνόμην ἀμέσως μὲ τὰς πρώτας λέξεις. Καὶ ἂν μοῦ ἐζητοῦσε κανεὶς τὸν λόγον, θὰ ἀπαντοῦσα· ἀρνοῦμαι διὰ νὰ μὴ βυθίσω τὸ πλοῖον.

8. Ὥστε εἰς τὴν περίπτωσιν ποὺ ἡ ζημία εἶναι μόνον χρηματικὴ καὶ ὁ κίνδυνος φθάνει μόνον μέχρι σωματικοῦ θανάτου, κανεὶς δὲν θὰ μὲ κατηγορήσῃ ποὺ ἐνεργῶ μὲ πολλὴν προνοητικότητα. Εἰς τὴν περίπτωσιν δὲ ποὺ οἱ ναυαγοὶ πρόκειται νὰ πέσουν ὄχι εἰς ἐπίγειον πέλαγος, ἀλλ' εἰς τὴν ἄβυσσον τοῦ πυρός, ὅπου τοὺς περιμένει θάνατος καὶ μάλιστα ὄχι ὁ θάνατος ποὺ χωρίζει τὴν ψυχὴν ἀπὸ τὸ σῶμα, ἀλλ' ὁ θάνατος ποὺ στέλλει καὶ αὐτὴν καὶ τὸ σῶμα εἰς τὴν αἰωνίαν κόλασιν, εἰς αὐτὴν τὴν περίπτωσιν λοιπὸν θὰ ὀργισθῆτε ἐναντίον μου καὶ θὰ μὲ μισήσετε διότι δὲν ἔδειξα τὴν ἀπερισκεψίαν νὰ ρίψω τὸν ἑαυτόν μου εἰς τέτοιον κακόν;

9. Καὶ πρῶτος ἀπὸ ὅλους ἐμφανίζεται ὁ φοβερώτατος σκόπελος τῆς κενοδοξίας, ὁ περισσότερον ἐπικίνδυνος ἀπὸ τὴν νῆσον τῶν Σειρήνων ποὺ ἀναφέρουν οἱ παλαιοὶ ποιηταί. Ἐκείνην μὲν κατώρθωσαν πολλοὶ νὰ τὴν προσπεράσουν ἀβλαβεῖς, τὸ βάραθρον ὅμως τοῦτο εἶναι δι' ἐμὲ τόσον ἐπικίνδυνον, ὥστε καὶ τώρα ἀκόμη, ποὺ δὲν μὲ ὁδηγεῖ καμμία ἀνάγκη πρὸς αὐτό, νὰ μὴ εἶμαι τελείως ἀπηλλαγμένος ἀπὸ τὸν κακόν. Καὶ ἂν μοῦ ἐνεχείριζαν αὐτὴν τὴν ὑπηρεσίαν, εἶναι σὰν νὰ μοῦ ἔδεναν ὀπίσω τὰ χέρια καὶ μὲ παρέδιδαν εἰς τὰ θηρία ποὺ κατοικοῦν εἰς ἐκεῖνο τὸ βάρα-

---

δύνανται νὰ προσέλθουν εἰς τὴν ἱερωσύνην.

καθ' ἑκάστην με σπαράττειν τὴν ἡμέραν.

Τίνα δέ ἐστι τὰ θηρία; Θυμός, ἀθυμία, φθόνος, ἔρις, διαβολαί, κατηγορίαι, ψεῦδος, ὑπόκρισις, ἐπιβουλαί· ὀργαὶ κατὰ τῶν ἠδικότων οὐδέν, ἡδοναὶ ἐπὶ ταῖς τῶν λειτουργούν-
5 *των ἀσχημοσύναις· πένθος ἐπὶ ταῖς εὐημερίαις, ἐπαίνων ἔρως, τιμῆς πόθος, τοῦτο δὴ τὸ μάλιστα πάντων τὴν ἀνθρωπείαν ἐκτραχηλίζον ψυχήν· διδασκαλίαι πρὸς ἡδονήν, ἀνελεύθεροι κολακεῖαι, θωπεῖαι ἀγενεῖς, καταφρονήσεις πενήτων, θεραπεῖαι πλουσίων, ἀλόγιστοι τιμαὶ καὶ ἐπιβλαβεῖς, χάριτες κίνδυνον*
10 *φέρουσαι καὶ τοῖς παρέχουσι καὶ τοῖς δεχιμένοις αὐτάς· φόβος δουλοπρεπὴς καὶ τοῖς φαυλοτάτοις τῶν ἀνδραπόδων προσήκων μόνοις· παρρησίας ἀναίρεσις· ταπεινοφροσύνης τὸ μὲν σχῆμα πολύ, ἡ ἀλήθεια δὲ οὐδαμοῦ· ἔλεγχοι δὲ ἐκποδὼν καὶ ἐπιτιμήσεις, μᾶλλον δὲ κατὰ μὲν τῶν ταπεινῶν καὶ πέρα*
15 *τοῦ μέτρου, ἐπὶ δὲ τῶν δυναστείαν περιβεβλημένων οὐδὲ διᾶραί τις τὰ χείλη τολμᾷ.*

Ταῦτα γὰρ ἅπαντα καὶ τὰ τούτων πλείονα ὁ σκόπελος ἐκεῖνος τρέφει θηρία, οἷς τοὺς ἅπαξ ἁλόντας εἰς τοσοῦτον ἀνάγκη καθελκυσθῆναι δουλείας, ὡς καὶ εἰς γυναικῶν ἀρέ-
20 *σκειαν πράττειν πολλὰ πολλάκις, ἃ μηδὲ εἰπεῖν καλόν. Ὁ μὲν γὰρ θεῖος νόμος αὐτὰς ταύτης ἐξέωσε τῆς λειτουργίας, ἐκεῖναι δὲ ἑαυτὰς εἴσω θεῖναι βιάζονται. Καὶ ἐπειδὴ δι' ἑαυτῶν ἰσχύουσιν οὐδέν, δι' ἑτέρων ἅπαντα πράττουσι· καὶ τοσαύτην περιβέβληνται δύναμιν, ὡς τῶν ἱερέων καὶ ἐγκρίνειν*
25 *καὶ ἐκβάλλειν οὓς ἂν ἐθέλωσι· καὶ τὰ ἄνω κάτω, τοῦτο δὴ τὸ τῆς παροιμίας λεγόμενόν ἐστιν ἰδεῖν γιγνόμενον, «τοὺς ἄρχοντας ἄγουσιν οἱ ἀρχόμενοι»· καὶ εἴθε μὲν ἄνδρες, ἀλλ' αἷς οὐδὲ διδάσκειν ἐπιτέτραπται. Τί λέγω διδάσκειν; Οὐδὲ λαλεῖν μὲν οὖν αὐταῖς ἐν Ἐκκλησίᾳ συνεχώρησεν ὁ μακάριος*
30 *Παῦλος. Ἐγὼ δέ τινος ἤκουσα λέγοντος, ὅτι καὶ τοσαύτης*

---

22. Α' Κορ. 14, 34.
23. Α' Τιμ. 2, 12.
24. Α' Κορ. 14, 34.

θρον, διὰ νὰ μὲ κατασπαράσσουν καθημερινῶς.

Ποῖα δὲ εἶναι τὰ θηρία; Θυμός, ἀθυμία, φθόνος, ὁριστικὴ διάθεσις, διαβολαί, κατηγορίαι, ψεῦδος, ὑποκρισία, ἐπιβουλαί· ὀργὴ ἐναντίον ἀθώων, εὐχαρίστησις διὰ τὰς ἀσχημοσύνας τῶν λειτουργῶν, λύπη διὰ τὴν εὐημερίαν των· ἀγάπη τῶν ἐπαίνων, πόθος τῆς δόξης (ποὺ εἶναι ἡ καταστρεπτικωτέρα διὰ τὴν ἀνθρωπίνην ψυχὴν ἀπὸ ὅλας τὰς κακίας), κηρύγματα ποὺ ἀποβλέπουν εἰς τὴν εὐχαρίστησιν, δουλικαὶ κολακεῖαι, ἀτιμωτικαὶ θωπεῖαι, περιφρόνησις τῶν πτωχῶν, περιποίησις τῶν πλουσίων, ἀλόγιστοι καὶ ἐπιβλαβεῖς διακρίσεις, ἐπικίνδυνοι εὔνοιαι καὶ διὰ τοὺς παρέχοντας καὶ διὰ τοὺς δεχομένους· δουλοπρεπὴς φόβος ποὺ ἁρμόζει μόνον εἰς τὰ χειρότερα ἀνδράποδα, ἔλλειψις παρρησίας· ἐπιτήδευσις φαινομενικῆς καὶ ψευδοῦς ταπεινοφροσύνης, ἔλλειψις ἐλέγχου καὶ ἐπιτιμήσεως ἢ μᾶλλον χρῆσις ὑπερβολικῶν ἐλέγχων ἐναντίον τῶν ταπεινῶν καὶ σφράγισμα τῶν χειλέων πρὸ τῶν ἀξιωματούχων.

Αὐτὰ τὰ θηρία μαζὶ μὲ ἄλλα περισσότερα τρέφει ἐκεῖνος ὁ σκόπελος. Καὶ ὅσοι αἰχμαλωτισθοῦν ἀπὸ αὐτὰ φθάνουν εἰς τόσην δουλοπρέπειαν, ὥστε καὶ χάριν τῶν γυναικῶν ἀκόμη προβαίνουν πολὺ συχνὰ εἰς ἐνεργείας ποὺ εἶναι καλύτερα νὰ μὴ τὰς ἀναφέρω. Ὁ θεῖος νόμος ἀποκλείει τὰς γυναῖκας ἀπὸ τὴν ἱερωσύνην[22], αὐταὶ ὅμως βιάζονται νὰ τὴν καταλάβουν. Καὶ ἐπειδὴ τοῦτο δὲν εἶναι δυνατὸν νὰ γίνῃ ἀπ' εὐθείας, ἐνεργοῦν πλαγίως διὰ τῶν ἀνδρῶν. Καὶ τόσην δύναμιν ἀποκτοῦν ἐνίοτε, ὥστε καὶ τοὺς ὑποψηφίους διὰ τὴν ἱερωσύνην ἐκλέγουν ἢ ἀποκλείουν κατ' ἀρέσκειαν· καὶ γίνεται ἄνω κάτω καὶ συμβαίνει τὸ τῆς παροιμίας νὰ κυβερνοῦν τοὺς ἄρχοντας οἱ ὑπήκοοι· καὶ εἴθε νὰ ἦσαν ἄνδρες οἱ ὑπήκοοι, ἀλλ' ἐδῶ πρόκειται διὰ τὰς γυναῖκας ποὺ οὔτε νὰ διδάσκουν δὲν τοὺς ἐπιτρέπεται[23]. Καὶ μόνον οὔτε νὰ διδάσκουν; Οὔτε νὰ ὁμιλοῦν δὲν ἐπέτρεψεν εἰς αὐτὰς ὁ μακάριος Παῦλος[24]. Ἐγὼ δὲ ἀντιθέτως ἤκουσα ὅτι τόσον

αὐταῖς μετέδωκαν παρρησίας, ὡς καὶ ἐπιτιμᾶν τοῖς τῶν Ἐκκλησιῶν προεστῶσι καὶ καθάπτεσθαι πικρότερον ἐκείνων ἢ τῶν ἰδίων οἰκετῶν οἱ δεσπόται.

10. Καὶ μή μέ τις οἰέσθω πάντας ταῖς εἰρημέναις ὑπο-
5 *βάλλειν αἰτίαις. Εἰσὶ γάρ, εἰσὶ πολλοὶ οἱ τούτων ὑπερενεχθέντες τῶν δικτύων καὶ τῶν ἁλόντων πλείους. Ἀλλ᾽ οὐδὲ τὴν ἱερωσύνην αἰτιάσαιμι ἂν τούτων τῶν κακῶν· μή ποτε οὕτω μανείην ἐγώ. Οὔτε γὰρ τὸν σίδηρον τῶν φόνων, οὔτε τὸν οἶνον τῆς μέθης, οὔτε τὴν ῥώμην τῆς ὕβρεως, οὔτε τὴν ἀνδρείαν τῆς*
10 *ἀλόγου τόλμης· ἀλλὰ τοὺς οὐκ εἰς δέον χρεωμένους ταῖς παρὰ τοῦ Θεοῦ δεδομέναις δωρεαῖς, ἅπαντες οἱ νοῦν ἔχοντες αἰτίους εἶναί φασι καὶ κολάζουσιν. Ἐπεὶ ἥ γε ἱερωσύνη καὶ ἐγκαλέσει δικαίως ἡμῖν, οὐκ ὀρθῶς αὐτὴν μεταχειρίζουσιν. Οὐ γὰρ αὕτη τῶν εἰρημένων ἡμῖν αἰτία κακῶν· ἀλλ᾽ ἡμεῖς αὐτὴν τοσούτοις,*
15 *τό γε εἰς ἡμᾶς ἧκον, κατερρυπάναμεν μολυσμοῖς, ἀνθρώποις τοῖς τυχοῦσιν ἐγχειρίζοντες αὐτήν· οἵ γε οὔτε τὰς ἑαυτῶν πρότερον καταμαθόντες ψυχάς, οὔτε εἰς τὸν τοῦ πράγματος ὄγκον ἀποβλέψαντες, δέχονται μὲν προθύμως τὸ διδόμενον, ἡνίκα δ᾽ ἂν εἰς τὸ πράττειν ἔλθωσιν, ὑπὸ τῆς ἀπειρίας σκο-*
20 *τούμενοι, μυρίων ἐμπιπλῶσι κακῶν, οὓς ἐπιστεύθησαν λαούς. Τοῦτο δή, τοῦτο, ὅπερ καὶ ἐφ᾽ ἡμῶν μικροῦ δεῖν ἔμελλε γίνεσθαι, εἰ μὴ ταχέως ἡμᾶς ὁ Θεὸς τῶν κινδύνων ἐκείνων ἐξείλκυσε, καὶ τῆς Ἐκκλησίας τῆς αὐτοῦ καὶ τῆς ἡμετέρας φειδόμενος ψυχῆς.*

25 *Ἐπεὶ πόθεν, εἰπέ μοι, νομίζεις τὰς τοσαύτας ἐν ταῖς Ἐκκλησίαις τίκτεσθαι ταραχάς; Ἐγὼ μὲν γὰρ οὐδὲ ἄλλοθέν ποθεν, οἶμαι, ἢ ἐκ τοῦ τὰς τῶν προεστώτων αἱρέσεις καὶ ἐκλογὰς ἁπλῶς καὶ ὡς ἔτυχε γίνεσθαι. Τὴν γὰρ κεφαλὴν*

θάρρος παρεχώρησαν εἰς αὐτάς, ὥστε νὰ ἐπιτιμοῦν τοὺς προϊσταμένους τῶν Ἐκκλησιῶν καὶ νὰ χρησιμοποιοῦν εἰς βάρος των φράσεις πικροτέρας ἀπὸ ὅσας χρησιμοποιοῦν οἱ κύριοι πρὸς τοὺς δούλους των.

10. Ἄς μὴ νομίσῃ κανεὶς ὅτι ὑποβάλλω ὅλους τοὺς κληρικοὺς εἰς τὰς ἀνωτέρω κατηγορίας. Πραγματικὰ ὑπάρχουν κληρικοὶ ποὺ δὲν ἔπεσαν εἰς τὰ δίκτυα αὐτὰ καὶ μάλιστα εἶναι περισσότεροι ἀπὸ τοὺς συλληφθέντας. Οὔτε ἐπίσης εἶμαι τόσον ἀνόητος, ὥστε νὰ κατηγορήσω τὴν ἱερωσύνην δι' αὐτὰς τὰς κακίας, ὅπως δὲν θεωρῶ ὑπεύθυνον τῶν φόνων τὸν σίδηρον, τῆς μέθης τὸν οἶνον, τῆς ὑβριστικῆς στάσεως τὴν ρώμην καὶ τῆς παραλόγου τόλμης τὴν ἀνδρείαν. Ὅλοι οἱ μυαλωμένοι θεωροῦν ὑπευθύνους τῶν ἀνωτέρω παραβάσεων καὶ τιμωροῦν τοὺς κάμνοντας κατάχρησιν τῶν ὑπὸ τοῦ Θεοῦ χορηγουμένων χαρισμάτων. Οὕτω καὶ ἡ ἱερωσύνη δικαίως θὰ μᾶς κατηγορήσῃ, ὅταν δὲν τὴν ἐξασκοῦμεν ὀρθῶς. Δὲν εἶναι αὐτὴ ὑπεύθυνος διὰ τὰς ἀναφερθείσας κακίας, ἀλλ' ἡμεῖς ποὺ τὴν καταρρυπαίνομεν, τοὐλάχιστον ὅσον ἐξαρτᾶται ἀπὸ ἡμᾶς, μὲ αὐτοὺς τοὺς μολυσμοὺς διὰ τῆς παραδόσεως αὐτῆς εἰς ἀνθρώπους τυχαίους. Καὶ αὐτοὶ χωρὶς νὰ ἐξετάσουν τὴν ψυχικήν των κατάστασιν, χωρὶς νὰ ἀναλογισθοῦν τὸ μέγεθος τοῦ ἀξιώματος, δέχονται προθύμως τὸ δῶρον, ἀλλ' ὅταν ἔλθουν εἰς τὴν πρᾶξιν, σκοτιζόμενοι ἀπὸ τὴν ἀπειρίαν, γεμίζουν τὸν λαὸν ποὺ τοὺς ἐνεπιστεύθησαν μὲ μυρία κακά. Αὐτὸ ἀκριβῶς θὰ συνέβαινε παρ' ὀλίγον καὶ μ' ἐμέ, ἂν ὁ Θεὸς δὲν ἐλυπεῖτο τὴν Ἐκκλησίαν του καὶ τὴν ψυχήν μου καὶ δὲν μὲ ἀπήλλασεν ἀπὸ τοὺς κινδύνους ἐκείνους.

Εἰπέ μου πραγματικά, ἀπὸ ποῦ νομίζεις προέρχονται αἱ τόσαι ταραχαὶ εἰς τὴν Ἐκκλησίαν; Ἐγὼ νομίζω ὅτι δὲν γεννῶνται ἀπὸ ἄλλην αἰτίαν παρὰ ἀπὸ τὸ γεγονὸς ὅτι αἱ ἐκλογαὶ τῶν ἐκκλησιαστικῶν ἀρχόντων ἐνεργοῦνται μὲ πολλὴν ἐπιπολαιότητα. Ἡ κεφαλὴ πρέπει νὰ εἶναι ἰσχυροτάτη διὰ νὰ διευθύνῃ καὶ συγκρατῇ τοὺς πονηροὺς ἀτμοὺς ποὺ

ἰσχυροτάτην εἶναι ἐχρῆν, ἵνα τοὺς ἐκ τοῦ λοιποῦ σώματος κάτωθεν πεμπομένους ἀτμοὺς πονηροὺς διοικεῖν καὶ εἰς τὸ δέον καθιστᾶν δύνηται. Ὅταν γὰρ καθ' ἑαυτὴν ἀσθενὴς οὖσα τύχῃ, τὰς νοσοποιοὺς ἐκείνας προσβολὰς ἀποκρούσασθαι μὴ δυναμένη, αὐτή τε ἀσθενεστέρα μᾶλλον ἤπερ ἐστὶ καθίσταται καὶ τὸ λοιπὸν μεθ' ἑαυτῆς προσαπόλλυσι σῶμα. Ὅπερ ἵνα μὴ καὶ νῦν γένηται, ἐν τῇ τάξει τῶν ποδῶν ἡμᾶς ἐφύλαξεν ὁ Θεός, ἥνπερ καὶ ἐλάχομεν ἐξ ἀρχῆς.

Πολλὰ γάρ ἐστιν, ὦ Βασίλειε, πρὸ τοῖς εἰρημένοις, πολλὰ ἕτερα, ἃ τῶν ἱερωμένον ἔχειν χρή, ἡμεῖς δὲ οὐκ ἔχομεν. Καὶ πρό γε τῶν ἄλλων ἐκεῖνο· πανταχόθεν αὐτῷ τῆς τοῦ πράγματος ἐπιθυμίας καθαρεύειν δεῖ τὴν ψυχήν. Ὡς ἐὰν προσπαθῶς πρὸς ταύτην διακείμενος τύχῃ τὴν ἀρχήν, γενόμενος ἐπ' αὐτῆς, ἰσχυροτέραν ἀνάπτει τὴν φλόγα, καὶ κατὰ κράτος ἁλούς, ὑπὲρ τοῦ βεβαίαν ἔχειν αὐτὴν μυρία ὑπομένει δεινὰ κἂν κολακεῦσαι δέῃ κἂν ἀγενές τι καὶ ἀνάξιον ὑπομεῖναι κἂν χρήματα ἀναλῶσαι πολλά. Ὅτι γὰρ καὶ φόνων τὰς Ἐκκλησίας ἐνέπλησάν τινες καὶ πόλεις ἀναστάτους ἐποίησαν, ὑπὲρ ταύτης μαχόμενοι τῆς ἀρχῆς, παρίημι νῦν, μὴ καὶ ἄπιστα δόξω λέγειν τισίν. Ἐχρῆν δέ, οἶμαι, τοσαύτην τοῦ πράγματος ἔχειν εὐλάβειαν, ὡς καὶ τῆς ἀρχῆς ἐκφυγεῖν τὸν ὄγκον καὶ μετὰ τὸ γενέσθαι ἐν αὐτῇ, μὴ περιμένειν τὰς παρ' ἑτέρων κρίσεις, εἴ ποτε συμβαίη ἁμάρτημα καθαίρεσιν ἱκανὸν ἐργάσασθαι, ἀλλὰ προλαβόντα ἐκβάλλειν ἑαυτὸν τῆς ἀρχῆς. Οὕτω μὲν γὰρ καὶ ἔλεον ἐπισπάσασθαι παρὰ τοῦ Θεοῦ εἰκὸς ἦν. Τὸ δὲ ἀντέχεσθαι παρὰ τὸ πρέπον τῆς ἀξίας πάσης ἑαυτὸν ἀποστερεῖν συγγνώμης ἐστί, καὶ μᾶλλον ἐκκαίειν τοῦ Θεοῦ τὴν ὀργήν, δεύτερον χαλεπώτερον προσθέντα πλημμέλημα.

11. Ἀλλ' οὐδεὶς ἀνέξεταί ποτε. Δεινὸν γὰρ ἀληθῶς, δεινὸν τὸ ταύτης γλίχεσθαι τῆς τιμῆς.

ἀναδίδονται ἀπὸ τὸ ὑπόλοιπον σῶμα. Ὅταν ὅμως τύχῃ ἀσθενὴς καὶ ἀνίκανος ν' ἀποκρούσῃ αὐτὰς τὰς νοσογόνους προσβολάς, τότε καὶ ἡ ἰδία γίνεται ἀσθενεστέρα καὶ τὸ ὑπόλοιπον σῶματα καταστρέφει μαζί της. Διὰ νὰ μὴ συμβῇ λοιπὸν τὸ ἴδιον καὶ τώρα, ὁ Θεὸς μ' ἐκράτησεν εἰς τὴν θέσιν εἰς τὴν ὁποίαν εὑρισκόμην ἀπὸ τὴν ἀρχήν.

Ἀλλ' ἐκτὸς ἀπὸ τὰ ἀνωτέρω ὑπάρχουν καὶ ἄλλα πολλὰ προσόντα, Βασίλειε, ποὺ πρέπει νὰ κατέχῃ ὁ ἱερωμένος καὶ ἐγὼ τὰ στεροῦμαι. Καὶ πρῶτον ἀπὸ ὅλα τοῦτο· νὰ μὴ ἔχῃ φωλιασμένην εἰς τὴν ψυχήν του τὴν φιλόδοξον ἐπιθυμίαν τοῦ ἀξιώματος τούτου. Διότι ἐὰν συμβῇ νὰ ποθῇ τὸ ἀξίωμα αὐτὸ μὲ πάθος, μόλις τὸ καταλάβῃ, ἡ φλόγα τοῦ πάθους ἀνάβει ἰσχυρότερα· καὶ τότε παραδίδεται εἰς αὐτὸ τὸ πάθος καὶ χρησιμοποιεῖ κάθε μέσον διὰ νὰ κρατῇ τὸ ἀξίωμα μὲ ἀσφάλειαν· κολακεύει, συμπεριφέρεται μὲ δουλοπρέπειαν καὶ ἀναξιότητα, ἐξοδεύει ἄφθονα χρήματα. Παραλείπω δὲ τὸ γεγονὸς ὅτι μερικοὶ ἐβεβήλωσαν τὴν Ἐκκλησίαν καὶ μὲ φόνους καὶ ἀνεστάτωσαν πόλεις διὰ νὰ κρατήσουν τὸ ἀξίωμα τῆς ἱερωσύνης· καὶ τὸ παραλείπω διὰ νὰ μὴ φανῶ εἰς μερικοὺς ὅτι λέγω πράγματα ἀπίστευτα. Ἐγὼ λοιπὸν νομίζω ὅτι κάθε ἄνθρωπος πρέπει νὰ τρέφῃ τόσην εὐλάβειαν πρὸς τὸ ἀξίωμα, ὥστε νὰ τὸ ἀποφεύγῃ λόγῳ τοῦ ὕψους του, καὶ ἂν τὸ καταλάβῃ, μόλις συμβῇ νὰ ὑποπέσῃ εἰς ἁμάρτημα ἄξιον καθαιρέσεως νὰ μὴ περιμένῃ τὴν ἀπόφασιν ἄλλων, ἀλλὰ νὰ παραιτῆται προηγουμένως μόνος του. Ἔτσι ὑπάρχει ἐλπὶς ὅτι θὰ προσελκύσῃ τὴν εὐσπλαγχνίαν τοῦ Θεοῦ. Ἂν ὅμως κατακρατῇ τὸ λειτούργημα παρ' ἀξίαν, ἀποστερεῖ τὸν ἑαυτόν του κάθε συγγνώμης καὶ προκαλεῖ περισσότερον τὴν ὀργὴν τοῦ Θεοῦ, διότι προσθέτει καὶ δεύτερον χειρότερον ἁμάρτημα.

11. Ἀλλὰ κανεὶς δὲν θὰ ἀνεχθῇ ποτὲ αὐτὸ τὸ πρᾶγμα, διότι ἀσκεῖ τρομερὰν ἐπιρροὴν ὁ φιλόδοξος πόθος τοῦ ἱερατικοῦ ἀξιώματος.

Καὶ οὐ μαχόμενος τῷ μακαρίῳ Παύλῳ ταῦτα λέγω, ἀλλὰ καὶ πάνυ συνᾴδων αὐτοῦ τοῖς ῥήμασιν. Τί γὰρ ἐκεῖνός φησιν; «Εἴ τις ἐπισκοπῆς ὀρέγεται, καλοῦ ἔργου ἐπιθυμεῖ». Ἐγὼ δὲ οὐ τοῦ ἔργου, τῆς δὲ αὐθεντίας καὶ δυναστείας ἐπιθυμεῖν εἶπον
5 *εἶναι δεινόν. Καὶ τοῦτον οἶμαι δεῖν τὸν πόθον πάσῃ σπουδῇ τῆς ψυχῆς ἐξωθεῖν καὶ μηδὲ τὴν ἀρχὴν κατασχεθῆναι αὐτὴν ὑπ᾽ αὐτοῦ συγχωρεῖν, ἵνα μετ᾽ ἐλευθερίας ἅπαντα αὐτῷ πράττειν ἐξῇ. Ὁ γὰρ οὐκ ἐπιθυμῶν ἐπὶ ταύτης δειχθῆναι τῆς ἐξουσίας οὐδὲ τὴν καθαίρεσιν αὐτῆς δέδοικεν· οὐ δεδοικὼς δέ,*
10 *μετὰ τῆς προσηκούσης Χριστιανοῖς ἐλευθερίας πάντα πράττειν δύναιτ᾽ ἄν· ὡς οἵ γε φοβούμενοι καὶ τρέμοντες κατενεχθῆναι ἐκεῖθεν, πικρὰν ὑπομένουσι δουλείαν καὶ πολλῶν γέμουσαν τῶν κακῶν καὶ ἀνθρώποις καὶ Θεῷ προσκρούειν ἀναγκάζονται πολλάκις. Δεῖ δὲ οὐχ οὕτω διακεῖσθαι τὴν ψυχήν, ἀλλ᾽*
15 *ὥσπερ ἐν τοῖς πολέμοις τοὺς γενναίους τῶν στρατιωτῶν ὁρῶμεν καὶ πολεμοῦντας προθύμως καὶ πίπτοντας ἀνδρείως· οὕτω καὶ τοὺς ἐπὶ ταύτην ἥκοντας τὴν οἰκονομίαν καὶ ἱερᾶσθαι καὶ παραλύεσθαι τῆς ἀρχῆς ὡς Χριστιανοῖς ἐστι προσῆκον ἀνδράσιν, εἰδότας, ὡς ἡ τοιαύτη καθαίρεσις οὐ ἐλάττονα φέρει τῆς*
20 *ἀρχῆς τὸν στέφανον. Ὅταν γάρ τις ὑπὲρ τοῦ μηδὲν ἀπρεπὲς μηδ᾽ ἀνάξιον τῆς ἀξίας ὑπομεῖναι ἐκείνης πάθῃ τι τοιοῦτο καὶ τοῖς ἀδίκως καθελοῦσι τὴν κόλασιν καὶ ἑαυτῷ μείζονα προξενεῖ τὸν μισθόν. «Μακάριοι γάρ», φησίν, «ἐστέ, ὅταν ὀνειδίσωσι καὶ διώξωσιν ὑμᾶς καὶ εἴπωσι πᾶν πονηρὸν ῥῆμα καθ᾽*
25 *ὑμῶν, ψευδόμενοι ἕνεκεν ἐμοῦ· χαίρετε καὶ ἀγαλλιᾶσθε, ὅτι πολύς ἐστιν ὁ μισθὸς ὑμῶν ἐν τοῖς οὐρανοῖς».*

---

25. Α′ Τιμ. 3, 1.
26. Ματθ. 5, 11.

Καὶ ὅταν λέγω αὐτά, δὲν εὑρίσκομαι εἰς ἀντίθεσιν ἀλλ' εἰς πλήρη συμφωνίαν μὲ τὸν μακάριον Παῦλον. Τί λέγει ἐκεῖνος; «Ὅποιος ἐπιθυμεῖ τὸ ἐπισκοπικὸν ἀξίωμα, ἐπιθυμεῖ καλὸν πρᾶγμα[25]. Ἐγὼ δὲ δὲν εἶπα τοῦ ἔργου, ἀλλὰ τῆς ἀρχῆς καὶ τῆς ἐξουσίας τὴν ἐπιθυμίαν τρομεράν. Καὶ νομίζω ὅτι πρέπει νὰ ἐξωθῇ κανεὶς ἀπὸ τὴν ψυχὴν αὐτὸν τὸν πόθον μὲ πολλὴν προσοχήν· καὶ μάλιστα πρέπει νὰ μὴ ἐπιτρέψῃ ἀπὸ τὴν ἀρχὴν νὰ τὸν καταλάβῃ ὁ πόθος αὐτός, ὥστε νὰ εἶναι ἐλεύθερος καὶ ἀβίαστος εἰς ὅλας τὰς ἐνεργείας του. Ὅποιος δὲν ποθεῖ νὰ ἀνέλθῃ εἰς τὸ ἀξίωμα αὐτὸ δὲν φοβεῖται οὔτε τὴν καθαίρεσιν ἀπὸ αὐτό· ἀφοῦ δὲ δὲν φοβεῖται, θὰ ἠμπορῇ νὰ προβαίνῃ εἰς κάθε ἐνέργειαν μὲ τὴν ἐλευθερίαν ποὺ ἁρμόζει εἰς τοὺς Χριστιανούς. Διότι ὅσοι φοβοῦνται καὶ τρέμουν μήπως χάσουν τὴν θέσιν, περιέρχονται εἰς δουλείαν πικρὰν καὶ γεμάτην ἀπὸ κακίαν, καὶ ἀναγκάζονται πολλάκις νὰ προσκρούσουν καὶ εἰς τοὺς ἀνθρώπους καὶ εἰς τὸν Θεόν. Δὲν πρέπει δὲ νὰ φθάνῃ ἡ ψυχὴ εἰς τέτοιαν θέσιν. Ὅσοι προσέρχονται εἰς τὴν ἱερωσύνην πρέπει νὰ κάμνουν ὅ,τι παρατηρεῖται εἰς τοὺς πολέμους μεταξὺ τῶν γενναίων στρατιωτῶν, ποὺ πολεμοῦν προθύμως καὶ φονεύονται ἀνδρείως. Ἔτσι καὶ αὐτοί· καὶ νὰ ἱερώνωνται καὶ νὰ ἀποχωροῦν ἀπὸ τὸ ἀξίωμα κατὰ τὸν τρόπον ποὺ ἁρμόζει εἰς τοὺς Χριστιανούς, μὲ τὴν βεβαιότητα ὅτι τέτοια καθαίρεσις δὲν ἐπιφυλάσσει μικρότερον στέφανον ἀπὸ τὴν παραμονὴν εἰς τὸ ἀξίωμα. Διότι ὅταν ὑποστῇ κανεὶς αὐτὴν τὴν τύχην ἐπειδὴ δὲν θέλει νὰ προβῇ εἰς πράξεις ἀπρεπεῖς καὶ ἀναξίας τῆς μεγάλης ἱερατικῆς τιμῆς, τότε αὐξάνει καὶ τὴν τιμωρίαν ἐκείνων ποὺ τὸν κατεδίκασαν ἀδίκως καὶ τὸν ἰδικόν του μισθόν. «Μακάριοι θὰ εἶσθε, λέγει, ὅταν σᾶς ὀνειδίσουν καὶ σᾶς καταδιώξουν καὶ σᾶς συκοφαντήσουν μὲ κάθε τρόπον πρὸς χάριν μου· νὰ εἶσθε γεμᾶτοι χαρὰν καὶ ἀγαλλίασιν διότι ὁ μισθός σας εἰς τοὺς οὐρανοὺς εἶναι πλούσιος»[26].

Καὶ ταῦτα μὲν ὅταν ὑπὸ τῶν ὁμοταγῶν ἢ διὰ φθόνον ἢ πρὸς ἑτέρων χάριν ἢ πρὸς ἀπέχθειαν ἢ ἑτέρῳ τινὶ μὴ ὀρθῷ τις ἐκβάλληται λογισμῷ. Ὅταν δὲ καὶ ὑπὸ τῶν ἐναντίων τοῦτο πάσχειν συμβαίνῃ, οὐδὲ λόγου δεῖν οἶμαι πρὸς τὸ δεῖξαι τὸ κέρ- 5 *δος, ὅσον αὐτῷ διὰ τῆς ἑαυτῶν συλλέγουσι πονηρίας ἐκεῖνοι.*

Τοῦτο οὖν δεῖ πανταχόθεν περισκοπεῖν καὶ ἀκριβῶς διερευνᾶν, μήπου τις σπινθὴρ τῆς ἐπιθυμίας ἐκείνης ἐντυφώμενος λάθῃ. Ἀγαπητὸν γὰρ καὶ τοὺς ἐξ ἀρχῆς καθαρεύοντας τοῦ πάθους, ἡνίκα ἂν ἐμπέσωσιν εἰς τὴν ἀρχήν, δυνηθῆναι 10 *τοῦτο διαφυγεῖν. Εἰ δέ τις καὶ πρὶν ἢ τυχεῖν τῆς τιμῆς, τρέφει παρ' ἑαυτῷ τὸ δεινὸν καὶ ἀπηνὲς τοῦτο θηρίον, οὐδὲ ἔστιν εἰπεῖν, εἰς ὅσην ἑαυτὸν ἐμβαλεῖ κάμινον μετὰ τὸ τυχεῖν. Ἡμεῖς δὲ (καὶ μή τοι νομίσῃς μετριάζοντας ἡμᾶς ἐθελῆσαι ἄν τί ποτε ψεύσασθαι πρὸς σὲ) πολλὴν ταύτην κεκτήμεθα τὴν* 15 *ἐπιθυμίαν· καὶ μετὰ τῶν ἄλλων ἁπάντων οὐχ ἧττον ἡμᾶς καὶ τοῦτο ἐφόβησε καὶ πρὸς ταύτην ἔτρεψε τὴν φυγήν. Καθάπερ γὰρ οἱ σωμάτων ἐρῶντες, ἕως μὲν ἂν πλησίον εἶναι τῶν ἐρωμένων ἐξῇ, χαλεπωτέραν τοῦ πάθους τὴν βάσανον ἔχουσιν, ὅταν δὲ ὡς πορρωτάτω τῶν ποθουμένων ἑαυτοὺς ἀπαγάγωσι* 20 *καὶ τὴν μανίαν ἀπήλασαν· οὕτω καὶ τοῖς ταύτης ἐπιθυμοῦσι τῆς ἀρχῆς, ὅταν μὲν πλησίον αὐτῆς γένωνται, ἀφόρητον γίνεται τὸ κακόν, ὅταν δὲ ἀπελπίσωσι καὶ τὴν ἐπιθυμίαν μετὰ τῆς προσδοκίας ἔσβεσαν.*

12. Μία μὲν οὖν αὕτη πρόφασις οὐ μικρά· ἀλλ' εἰ καὶ 25 *μόνη καθ' ἑαυτὴν οὖσα ἐτύγχανεν, ἱκανὴ ταύτης ἡμᾶς ἀπεῖρξαι τῆς ἀξίας. Νῦν δὲ καὶ ἑτέρα ταύτης οὐχ ἥττων προστέθειται. Τίς δέ ἐστιν αὕτη; Νηφάλιον εἶναι δεῖ τὸν ἱερέα καὶ διορατικὸν καὶ μυρίους πανταχόθεν κεκτῆσθαι τοὺς ὀφθαλμούς, ὡς οὐχ ἑαυτῷ μόνον, ἀλλὰ καὶ πλήθει ζῶντα τοσούτῳ. Ἡμεῖς* 30 *δὲ ὅτι νωθροὶ καὶ παρειμένοι καὶ πρὸς τὴν ἑαυτῶν μόλις ἀρ-*

---

27. Α' Τιμ. 3, 2. Βλ. καὶ Χρυσοστόμου Ὁμιλία 10 εἰς Α' Τιμ. (62, 548)· «ἄγρυπνον αὐτὸν εἶναι χρή».

Καὶ αὐτὰ μὲν ἰσχύουν εἰς τὴν περίπτωσιν ποὺ ὁ ἐπίσκοπος καθαιρεῖται ἀπὸ τοὺς συναδέλφους του διὰ φθόνον ἢ δι' ἀνάγκην ἐξυπηρετήσεως ἄλλων ἢ δι' ἄλλην ἀναξίαν λόγου ἀφορμήν. Ὅταν δὲ ὑφίσταται τὸν διωγμὸν ἀπὸ τοὺς ἐχθροὺς τῆς πίστεως, δὲν ἠμπορεῖ, νομίζω, νὰ περιγραφῇ μὲ λόγια τὸ κέρδος ποὺ τοῦ προσφέρει ἡ πονηρία ἐκείνων.

Πρέπει λοιπὸν νὰ ἐρευνᾷ πρὸς ὅλας τὰς κατευθύνσεις, ὥστε νὰ μὴ μείνῃ κρυμμένος εἰς τὴν ψυχήν του οὔτε σπινθὴρ ἀπὸ τὴν ἐπιθυμίαν ἐκείνην. Ἀκόμη καὶ οἱ καθαροὶ εἰς τὴν ἀρχὴν ἀπὸ τὸ πάθος αὐτὸ δὲν ἠμποροῦν νὰ τὸ διαφύγουν, ὅταν ἀνέλθουν εἰς τὴν ἐξουσίαν. Ἐὰν ὅμως ἔχῃ κανεὶς μέσα του τὸ τρομερὸν καὶ ἀνήμερον αὐτὸ θηρίον καὶ προτοῦ καταλάβῃ τὸ ἀξίωμα, εἶναι ἀδύνατον νὰ περιγράψωμεν τὸν κίνδυνον εἰς τὸν ὁποῖον τὸν φέρει μετὰ τὴν χειροτονίαν. Ἐγὼ δὲ κατέχομαι ἀπὸ ὑπέρμετρον φιλοδοξίαν, αὐτὸ εἶναι ἀλήθεια, μὴ νομίσῃς ὅτι σοῦ λέγω ψέματα ἀπὸ ταπεινοφροσύνην· καὶ τὸ γεγονὸς αὐτὸ μαζὶ μὲ τὰ τόσα ἄλλα ἐλαττώματά μου συνετέλεσε πολὺ εἰς τὸ νὰ φοβηθῶ καὶ τραπῶ εἰς φυγήν. Ὅπως οἱ γοητευμένοι ἀπὸ τὰ σωματικὰ κάλλη βασανίζονται περισσότερον ἀπὸ τὸ πάθος των, ὅταν εὑρίσκωνται κοντὰ εἰς τοὺς ἐρωμένους, ἐνῷ ὅταν ἀπομακρυνθοῦν ἀπὸ τὰ ἀντικείμενα τοῦ πόθου, ἀποβάλλουν καὶ τὸ μανιακὸν πάθος· ἔτσι καὶ εἰς τοὺς ποθοῦντας τὸ ἱερατικὸν ἀξίωμα ὁ πόθος γίνεται ἀφόρητος, ὅταν εὑρίσκωνται πλησίον του, ἐνῷ ὅταν χάσουν τὴν ἐλπίδα, σβήνει μαζὶ μὲ τὴν προσδοκίαν καὶ ἡ ἐπιθυμία του.

12. Αὐτὴ εἶναι ἡ πρώτη σοβαρὰ ἀφορμὴ ποὺ καὶ μόνη της θὰ ἦτο ἀρκετὴ νὰ μ' ἐμποδίσῃ νὰ δεχθῶ αὐτὸ τὸ θεῖον λειτούργημα. Τώρα ὅμως θὰ προσθέσω καὶ ἄλλην ἐξ ἴσου σοβαράν. Ποίαν; Τὸ ὅτι ὁ ἱερεὺς πρέπει νὰ εἶναι νηφάλιος[27] καὶ διορατικὸς καὶ νὰ ἔχῃ μυρίους ὀφθαλμοὺς εἰς ὅλας τὰς πλευράς, διότι δὲν ζῇ μόνον διὰ τὸν ἑαυτόν του, ἀλλὰ καὶ δι' ὁλόκληρον τὸν λαόν. Ἐνῷ ἐγὼ εἶμαι νωθρὸς καὶ ῥάθυ-

κοῦντες σωτηρίαν καὶ αὐτὸς ἂν ὁμολογήσειας ὁ μάλιστα πάντων τὰ ἡμέτερα διὰ τὸ φιλεῖν κρύπτειν σπουδάζων κακά. Μὴ γάρ μοι νηστείαν ἐνταῦθα εἴπῃς, μηδὲ ἀγρυπνίαν, μηδὲ χαμευνίαν καὶ τὴν λοιπὴν τοῦ σώματος σκληραγωγίαν· καὶ τούτων 5 μὲν γὰρ ὅσον ἀπέχομεν οἶδας. Εἰ δὲ καὶ εἰς ἀκρίβειαν ἡμῖν κατώρθωτο, οὐδὲν οὕτως μετὰ τῆς παρούσης νωθρότητος ἴσχυσεν ἄν τι πρὸς τὴν ἐπιστασίαν ἡμᾶς ταῦτα ὠφελῆσαι ἐκείνην. Ἀνθρώπῳ μὲν γὰρ εἰς οἰκίσκον τινὰ κατακλεισθέντι καὶ τὰ αὐτοῦ μεριμνῶντι μόνον, πολλὴν ἂν ταῦτα παράσχοι τὴν ὠφέ- 10 λειαν· εἰς δὲ τοσοῦτον σχιζομένῳ πλῆθος καὶ καθ' ἕκαστον τῶν ἀρχομένων ἰδίας κεκτημένῳ φροντίδας, τί δύναιτ' ἂν πρὸς τὴν ἐκείνων ἐπίδοσιν ἀξιόπιστον συμβάλλεσθαι κέρδος, ἐὰν μὴ ψυχὴν εὔτονον καὶ ἰσχυροτάτην ἔχων τύχῃ;

Καὶ μὴ θαυμάσῃς, εἰ μετὰ τοσαύτης καρτερίας ἑτέραν 15 βάσανον ζητῶ τῆς ἐν τῇ ψυχῇ ἀνδρείας. Τὸ μὲν γὰρ σίτων καὶ ποτῶν καὶ στρωμνῆς καταφρονεῖν ἀπαλῆς πολλοῖς οὐδὲ ἔργον ὁρῶμεν ὂν καὶ μάλιστά γε τοῖς ἀγροικότερον διακειμένοις καὶ οὕτως ἐκ πρώτης τραφεῖσι τῆς ἡλικίας καὶ πολλοῖς δὲ ἑτέροις, τῆς τε τοῦ σώματος κατασκευῆς καὶ τῆς συνηθείας ἐξευμαρι- 20 ζούσης τὴν ἐν ἐκείνοις τοῖς πόνοις τραχύτητα. Ὕβριν δὲ καὶ ἐπήρειαν καὶ λόγον φορτικὸν καὶ τὰ παρὰ τῶν ἐλαττόνων σκώμματα, τά τε ἁπλῶς καὶ τὰ ἐν δίκῃ λεγόμενα, καὶ μέμψεις τὰς εἰκῇ καὶ μάτην παρὰ τῶν ἀρχόντων καὶ παρὰ τῶν ἀρχομένων γινομένας, οὐ τῶν πολλῶν ἐνεγκεῖν, ἀλλ' ἑνός που 25 καὶ δευτέρου. Καὶ ἴδοι τις ἂν τοὺς ἐν ἐκείνοις ἰσχυροὺς πρὸς ταῦτα οὕτως ἰλιγγιῶντας, ὡς μᾶλλον τῶν χαλεπωτάτων ἀγριαίνειν θηρίων, τοὺς δὲ τοιούτους μάλιστα τῶν τῆς ἱερωσύνης ἀπείρξομεν περιβόλων. Τὸ μὲν γὰρ μήτε πρὸς τὰ σῖτα

μος, ὅπως θὰ ὁμολογήσῃς καὶ σὺ ὁ ἴδιος ποὺ λόγῳ τῆς ἀγάπης σου ἐφρόντιζες περισσότερον ἀπὸ κάθε ἄλλον νὰ κρύπτῃς τὰ ἐλαττώματά μου. Μὴ μοῦ ὑπενθυμίσῃς τώρα τὴν νηστείαν, τὴν ἀγρυπνίαν, τὴν κατάκλισιν εἰς τὸ ἔδαφος καὶ τὰς ἄλλας σωματικὰς σκληραγωγίας. Γνωρίζεις βέβαια πόσον μακρυὰ εὑρίσκομαι ἀπὸ τὴν κατόρθωσιν καὶ αὐτῆς τῆς ἀσκήσεως. Ἀλλὰ καὶ ἂν τὴν εἶχα ἐπιτύχει τελείως, πάλιν δὲν θὰ μὲ ὠφελοῦσεν εἰς τὴν ἐξάσκησιν τῆς διακονίας ἐκείνης, ἐφ' ὅσον μὲ διακρίνει τέτοια νωθρότης. Ἡ ἄσκησις θὰ ἠμποροῦσε νὰ ὠφελήσῃ ἕνα ἄνθρωπον κλεισμένον εἰς ἀπομονωμένον κελλί, φροντίζοντα μόνον διὰ τὴν ἰδικήν του σωτηρίαν. Ὅταν ὅμως κανεὶς ἀπασχολῆται μὲ τόσον μεγάλον πλῆθος καὶ ἔχῃ ἰδιαιτέρας φροντίδας διὰ κάθε ἕνα ἀπὸ τοὺς ἀρχομένους κατὰ τί θὰ ἠμποροῦσε νὰ συμβάλῃ ἡ ἄσκησις εἰς τὴν προκοπήν των, ἐὰν αὐτὸς δὲν ἔχῃ ψυχὴν ἀνδρείαν καὶ ἰσχυράν;

Καὶ μὴ ἀπορήσῃς ποὺ ζητῶ τόσον ἐπιμόνως καὶ ἄλλην ἀπόδειξιν τῆς ψυχικῆς ἀνδρείας. Βλέπομεν ὅτι διὰ πολλοὺς ἀνθρώπους, καὶ ἰδίως διὰ τοὺς ὀλιγώτερον πολιτισμένους ἢ διὰ τοὺς ἐξησκημένους ἀπὸ τὴν παιδικὴν ἡλικίαν, ἀλλὰ καὶ διὰ πολλοὺς ἄλλους, ἡ περιφρόνησις τῶν πολυτελῶν φαγητῶν, ποτῶν καὶ κλινῶν δὲν ἀπαιτεῖ καμμίαν εἰδικὴν προσπάθειαν, διότι ἡ κατασκευὴ τοῦ σώματος καὶ ἡ συνήθεια ἀπαλύνουν τὴν τραχύτητα τοῦ αὐστηροῦ βίου. Τὴν ὑβριστικὴν ὅμως συμπεριφορὰν καὶ τὰς ἐνοχλήσεις καὶ τὰς κακολογίας καὶ τὰς προσβολάς, εἴτε ἔχουν κάποιαν βάσιν εἴτε ὄχι, τῶν κατωτέρων καὶ τὰς κατηγορίας τῶν ἀρχόντων καὶ τῶν ἀρχομένων πολὺ ὀλίγοι ἄνθρωποι ἠμποροῦν νὰ τὰς ὑποφέρουν. Καὶ βλέπομεν τοὺς ἱκανοὺς εἰς τὴν ἄσκησιν νὰ καταλαμβάνωνται ἀπὸ ἴλιγγον ἐμπρὸς εἰς αὐτὰς τὰς προσβολάς, ὥστε νὰ γίνωνται ἀγριώτεροι ἀπὸ τὰ χειρότερα θηρία. Αὐτοὺς ἀκριβῶς πρέπει νὰ ἀποκλείσωμεν ἀπὸ τὸν περίβολον τῆς ἱερωσύνης. Ὅταν ἕνας ἐπίσκοπος δὲν τηρῇ αὐστηροτάτην νηστείαν καὶ δὲν βαδίζῃ ἀνυ-

ἀπηγχονίσθαι, μήτε ἀνυπόδητον εἶναι τὸν προεστῶτα, οὐδὲν ἂν βλάψειε τὸ κοινὸν τῆς Ἐκκλησίας· θυμὸς δὲ ἄγριος εἴς τε τὸν κεκτημένον εἴς τε τοὺς πλησίον μεγάλας ἐργάζεται συμφοράς. Καὶ τοῖς μὲν ἐκεῖνα μὴ ποιοῦσιν, οὐδεμία ἀπειλὴ παρὰ 5 *τοῦ Θεοῦ κεῖται, τοῖς δὲ ἁπλῶς ὀργιζομένοις, γέεννα καὶ τὸ τῆς γεέννης ἠπείληται πῦρ.*

Ὥσπερ οὖν ὁ δόξης ἐρῶν κενῆς, ὅταν τῆς τῶν πολλῶν ἀρχῆς ἐπιλάβηται, μείζονα τῷ πυρὶ παρέχει τὴν ὕλην, οὕτως ὁ καθ' ἑαυτὸν καὶ ἐν ταῖς πρὸς ὀλίγους ὁμιλίαις κρατεῖν ὀρ- 10 *γῆς μὴ δυνάμενος, ἀλλ' ἐκφερόμενος εὐχερῶς, ὅταν πλήθους ὅλου προστασίαν ἐμπιστευθῇ, καθάπερ τι θηρίον πανταχόθεν καὶ ὑπὸ μυρίων κεντούμενον, οὔτε αὐτὸς ἐν ἡσυχίᾳ δύναιτ' ἂν ποτε διάγειν καὶ τοὺς ἐμπιστευθέντας αὐτῷ μυρία διατίθησι κακά. Οὐδὲν γὰρ οὕτω καθαρότητα νοῦ καὶ τὸ διειδὲς θολοῖ* 15 *τῶν φρενῶν, ὡς θυμὸς ἄτακτος καὶ μετὰ πολλῆς φερόμενος τῆς ῥύμης. «Θυμὸς γάρ», φησίν, «ἀπόλλυσι καὶ τοὺς φρονίμους». Καθάπερ γὰρ ἔν τινι νυκτομαχίᾳ σκοτωθεὶς ὁ τῆς ψυχῆς ὀφθαλμός, οὐχ εὑρίσκει διακρῖναι τοὺς φίλους τῶν πολεμίων, οὐδὲ τοὺς ἐντίμους τῶν ἀτίμων, ἀλλὰ πᾶσιν ἐφεξῆς ἑνὶ* 20 *κέχρηται τρόπῳ, κἂν λαβεῖν τι δέῃ κακόν, ἅπαντα εὐκόλως ὑπομένων ὑπὲρ τοῦ πληρῶσαι τῆς ψυχῆς ἡδονήν. Ἡδονὴ γάρ τίς ἐστιν ἡ τοῦ θυμοῦ πύρωσις καὶ ἡδονῆς χαλεπώτερον τυραννεῖ τὴν ψυχήν, πᾶσαν αὐτῆς τὴν ὑγιῆ κατάστασιν ἄνω καὶ κάτω ταράττουσα. Καὶ γὰρ πρὸς ἀπόνοιαν αἴρει ῥᾳδίως καὶ ἔχθρας* 25 *ἀκαίρους καὶ μῖσος ἄλογον καὶ προσκρούματα ἁπλῶς καὶ εἰκῇ προσκρούειν παρασκευάζει συνεχῶς καὶ πολλὰ ἕτερα τοιαῦτα καὶ λέγειν καὶ πράττειν βιάζεται, πολλῷ τῷ ῥοίζῳ τοῦ πάθους τῆς ψυχῆς ἀποσυρομένης καὶ οὐκ ἐχούσης ὅπου τὴν αὐτῆς ἐρείσασα δύναμιν ἀντιστήσεται πρὸς τοσαύτην ὁρμήν.*

30 *13. ΒΑΣΙΛΕΙΟΣ. Ἀλλ' οὐκ ἔτι σε εἰρωνευόμενον ἀνέξομαι περαιτέρω. Τίς γὰρ οὐκ οἶδε, φησίν, ὅσον ταύτης*

---

28. Ματθ. 5, 22.
29. Παροιμ. 15, 1.

πόδητος, εἰς τίποτε δὲν βλάπτει τὸ ποίμνιον· ἐνῷ ὁ ἄγριος θυμὸς προκαλεῖ τρομερὰς συμφορὰς καὶ εἰς τὸν ἴδιον καὶ εἰς τὸ περιβάλλον του. Καὶ ὅσοι δὲν τηροῦν αὐστηρὰν ἄσκησιν δὲν ἀπειλοῦνται ἀπὸ καμμίαν τιμωρίαν ἐκ μέρους τοῦ Θεοῦ, ἐνῷ διὰ τοὺς ἁπλῶς ὀργιζομένους ὑπάρχει ἡ ἀπειλὴ τῆς γεέννης καὶ τοῦ πυρὸς τῆς γεέννης[28].

Ὅπως λοιπὸν ὁ ματαιόδοξος προσθέτει περισσότερα ξύλα εἰς τὴν φωτιάν, μόλις ἀναλάβῃ τὸ ἱερατικὸν ἀξίωμα, ἔτσι καὶ ὁ εὐέξαπτος καὶ εὔκολα ὀργιζόμενος, καὶ ὅταν εὑρίσκεται μόνος ἢ μὲ ὀλίγους ἀνθρώπους, γίνεται μόλις ἀναλάβῃ τὴν διακυβέρνησιν ὁλοκλήρου πλήθους σὰν θηρίον κεντούμενον ἀπὸ ὅλα τὰ σημεῖα, καὶ οὔτε ὁ ἴδιος ἠμπορεῖ νὰ ζήσῃ ἥσυχα καὶ εἰς τοὺς κυβερνωμένους προκαλεῖ πολυάριθμα κακά. Διότι τίποτε δὲν θολώνει τὴν καθαρότητα καὶ τὴν διαύγειαν τῆς σκέψεως περισσότερον ἀπὸ τὸν ἄτακτον καὶ ἐκτραχηλισμένον θυμόν. «Ὁ θυμός, λέγει, καταστρέφει καὶ τοὺς φρονίμους»[29]. Σὰν νὰ ἐσκοτίσθη εἰς νυκτομαχίαν ὁ ὀφθαλμὸς τῆς ψυχῆς λόγῳ τῆς ὀργῆς δὲν κατορθώνει νὰ διακρίνῃ τοὺς φίλους ἀπὸ τοὺς ἐχθροὺς οὔτε τοὺς ἐντίμους ἀπὸ τοὺς ἀτίμους, ἀλλὰ τοὺς μεταχειρίζεται κατὰ τὸν ἴδιον τρόπον ὅλους γενικῶς· καὶ ἂν ἀκόμη πρόκειται νὰ ὑποστῇ κάποιο κακὸν λόγῳ τῆς συμπεριφορᾶς του αὐτῆς, τὸ ὑπομένει διὰ νὰ ἱκανοποιήσῃ τὴν ἡδονήν του. Εἶναι δὲ πραγματικὰ ἡδονὴ ἡ ἔξαψις τοῦ θυμοῦ καὶ τυραννεῖ τὴν ψυχὴν χειρότερα ἀπὸ τὴν ἡδονήν, συνταράσσουσα καὶ ἀνατρέπουσα τὴν ὑγιῆ κατάστασίν της. Διότι ὁδηγεῖ εἰς παραλογισμὸν καὶ συνεχῶς δημιουργεῖ ἀδίκους ἔχθρας καὶ ἄτοπον μῖσος καὶ ἀναιτίους συγκρούσεις καὶ ὁδηγεῖ εἰς λόγια καὶ ἔργα παρομοίας φύσεως· ἡ ψυχὴ παρασύρεται ἀπὸ τὴν ὁρμὴν τοῦ πάθους καὶ δὲν ἔχει ποῦ νὰ στηρίξῃ τὴν δύναμίν της διὰ ν' ἀντισταθῇ εἰς τὴν ὁρμὴν αὐτήν.

13. ΒΑΣΙΛΕΙΟΣ. Ἀλλὰ δὲν ἠμπορῶ πλέον νὰ σὲ ἀνέχωμαι νὰ εἰρωνεύεσαι. Ποῖος ἀγνοεῖ ὅτι εἶσαι τελείως

ἀπέχεις τῆς νόσου;

ΧΡΥΣΟΣΤΟΜΟΣ. Τί οὖν, ἔφην, ὦ μακάριε, βούλει πλησίον με τῆς πυρᾶς ἀγαγεῖν καὶ παροξῦναι τὸ θηρίον ἠρεμοῦν; Ἢ ἀγνοεῖς, ὡς οὐκ οἰκείᾳ τοῦτο κατωρθώσαμεν ἀρε-
5 *τῇ, ἀλλ' ἐκ τοῦ τὴν ἡσυχίαν ἀγαπᾶν; τὸν δὲ οὕτω διακείμενον ἀγαπητὸν ἀφ' ἑαυτοῦ μένοντα καὶ ἑνὶ μόνῳ ἢ δευτέρῳ χρώμενον φίλῳ δυνηθῆναι τὸν ἐκεῖθεν διαφυγεῖν ἐμπρησμόν, μὴ ὅτι εἰς τὴν ἄβυσσον τῶν τοσούτων ἐμπεσόντα φροντίδων; Τότε γὰρ οὐχ ἑαυτὸν μόνον, ἀλλὰ καὶ ἑτέρους πολλοὺς ἐπισύρει*
10 *μεθ' ἑαυτοῦ πρὸς τὸν τῆς ἀπωλείας κρημνὸν καὶ περὶ τὴν τῆς ἐπιεικείας ἐπιμέλειαν ἀργοτέρους καθίστησιν. Πέφυκε γάρ, ὡς τὰ πολλὰ τὸ τῶν ἀρχομένων πλῆθος ὥσπερ εἰς ἀρχέτυπόν τινα εἰκόνα τοὺς τῶν ἀρχόντων τρόπους ὁρᾶν καὶ πρὸς ἐκείνους ἐξομοιοῦν ἑαυτούς. Πῶς οὖν ἄν τις τὰς ἐκείνων*
15 *παύσειε φλεγμονάς, οἰδαίνων αὐτός; Τίς δ' ἂν ἐπιθυμήσειε ταχέως τῶν πολλῶν γενέσθαι μέτριος, τὸν ἄρχοντα ὀργίλον ὁρῶν; Οὐ γάρ ἐστιν, οὐκ ἔστι δυνατόν, τὰ τῶν ἱερέων κρύπτεσθαι ἐλαττώματα· ἀλλὰ καὶ τὰ μικρὰ ταχέως κατάδηλα γίνεται.*

20 *Καὶ γὰρ ἀθλητής, ἕως μὲν ἂν οἴκοι μένῃ καὶ μηδενὶ συμπλέκηται, δύναται λανθάνειν, κἂν ἀσθενέστατος ὢν τύχῃ· ὅταν δὲ ἀποδύσηται πρὸς τοὺς ἀγῶνας, ῥᾳδίως ἐλέγχεται. Καὶ τῶν ἀνθρώπων τοίνυν οἱ μὲν τὸν ἰδιωτικὸν τοῦτον καὶ ἀπράγμονα βιοῦντες βίον ἔχουσι παραπέτασμα τῶν ἰδίων ἁμαρτημάτων*
25 *τὴν μόνωσιν· εἰς δὲ τὸ μέσον ἀχθέντες, καθάπερ ἱμάτιον τὴν ἠρεμίαν ἀποδῦναι ἀναγκάζονται καὶ πᾶσι γυμνὰς ἐπιδεῖξαι τὰς ψυχὰς διὰ τῶν ἔξωθεν κινημάτων. Ὥσπερ οὖν αὐτῶν τὰ κατορθώματα πολλοὺς ὤνησε πρὸς τὸν ἴσον παρακαλοῦντα ζῆλον, οὕτω καὶ τὰ πλημελήμματα ῥαθυμοτέρους κατέστησε*

ἀπηλλαγμένος ἀπὸ αὐτὴν τὴν ἀσθένειαν;

ΧΡΥΣΟΣΤΟΜΟΣ. Ὥστε θὰ ἤθελες, εὐτυχισμένε φίλε μου, νὰ μὲ φέρῃς κοντὰ εἰς τὴν φωτιὰν καὶ νὰ ἐρεθίσῃς τὸ θηρίον ποὺ κάθεται τώρα ἥρεμον; Ἢ ἀγνοεῖς ὅτι αὐτὸ δὲν τὸ κατώρθωσα μὲ τὴν ἀρετήν μου, ἀλλὰ μὲ τὴν ἀγάπην μου πρὸς τὴν ἡσυχίαν; Δὲν ξεύρεις ὅτι ἄνθρωπος μὲ τέτοιαν διάθεσιν μόλις ἠμπορεῖ νὰ διαφύγῃ τὸν ἐμπρησμὸν ἂν μένῃ μόνος του καὶ ἔχῃ ἕνα ἢ δύο τὸ πολὺ φίλους, ἐνῷ ἂν πέσῃ εἰς τὴν ἄβυσσον τόσων μεγάλων φροντίδων θὰ καταστραφῇ; Καὶ τότε σύρει πρὸς τὸν κρημνὸν τῆς ἀπωλείας καὶ καθιστᾷ ὀκνηροτέρους εἰς τὴν ἐπιζήτησιν τῆς ἀρετῆς ἐκτὸς τοῦ ἑαυτοῦ του καὶ πολλοὺς ἄλλους. Τὸ πλῆθος τῶν ἀρχομένων συνηθίζει ὡς ἐπὶ τὸ πλεῖστον νὰ βλέπῃ τὴν διαγωγὴν τῶν ἀρχόντων σὰν ἀρχέτυπον εἰκόνα καὶ νὰ ρυθμίζῃ σύμφωνα μὲ αὐτὴν καὶ τὴν ἰδικήν του διαγωγήν. Πῶς λοιπὸν θὰ θεραπεύσῃ τὰς φλεγμονὰς ἐκείνων, ἀφοῦ φλεγμαίνεται καὶ ὁ ἴδιος; Καὶ ποῖος ἰδιώτης θὰ ἐπιθυμοῦσε νὰ γίνῃ ἤπιος, ὅταν βλέπῃ τὸν ἄρχοντά του ὀργίλον; Μὲ κανένα τρόπον δὲν εἶναι δυνατὸν νὰ κρυβοῦν τὰ ἐλαττώματα τῶν ἱερέων· καὶ τὰ μικρότερα μάλιστα φανερώνονται γρήγορα.

Ἡ ἐνδεχομένη ἀδυναμία ἑνὸς ἀθλητοῦ ἠμπορεῖ νὰ διαφύγῃ τὴν ἀντίληψιν τοῦ κόσμου, ἐφ᾽ ὅσον μένει σπίτι του καὶ δὲν συναγωνίζεται μὲ κανένα· ὅταν ὅμως ἀποδυθῇ εἰς τὸν ἀγῶνα, ἡ ἀδυναμία του ἐλέγχεται εὔκολα. Καὶ ἀπὸ τοὺς ἄλλους ὁμοίους ἀνθρώπους ὅσοι ζοῦν κατ᾽ ἰδίαν καὶ μὲ ἡσυχίαν, ἔχουν ὡς προπέτασμα τῶν ἁμαρτημάτων των τὴν μόνωσιν· ὅταν ὅμως ὁδηγηθοῦν ἀνάμεσα εἰς τὸν λαόν, ἀναγκάζονται ν᾽ ἀποβάλουν τὴν ἠρεμίαν σὰν ἱμάτιον καὶ νὰ δείξουν εἰς ὅλους διὰ τῆς ἐξωτερικεύσεως τῶν διαθέσεών των γυμνὰς τὰς ψυχάς. Ὅπως λοιπὸν αἱ ἀρεταί των ὠφελοῦν πολλοὺς διὰ τῆς παρακινήσεως εἰς παρόμοιον ζῆλον, ἔτσι καὶ τὰ ἐλαττώματα πολλοὺς τοὺς καθιστοῦν ὀκνηροὺς

περὶ τὴν τῆς ἀρετῆς ἐργασίαν καὶ βλακεύειν πρὸς τοὺς ὑπὲρ τῶν σπουδαίων παρεσκεύασε πόνους.

Διὸ χρὴ πάντοθεν αὐτοῦ τὸ κάλλος ἀποστίλβειν τῆς ψυχῆς, ἵνα καὶ εὐφραίνειν ἅμα καὶ φωτίζειν δύνηται τὰς τῶν
5 *ὁρώντων ψυχάς. Τὰ μὲν γὰρ τῶν τυχόντων ἁμαρτήματα, ὥσπερ ἔν τινι σκότῳ πραττόμενα, τοὺς ἐργαζομένους ἀπώλεσε μόνους· ἀνδρὸς δὲ ἐπιφανοῦς καὶ πολλοῖς γνωρίμου πλημμέλεια κοινὴν ἅπασι φέρει τὴν βλάβην, τοὺς μὲν ἀναπεπτωκότας πρὸς τοὺς ὑπὲρ τῶν ἀγαθῶν ἱδρῶτας ὑπτιωτέρους ποιοῦσα,*
10 *τοὺς δὲ προσέχειν ἑαυτοῖς βουλομένους ἐρεθίζουσα πρὸς ἀπόνοιαν. Χωρὶς δὲ τούτων, τὰ μὲν τῶν εὐτελῶν παραπτώματα, κἂν εἰς τὸ μέσον ἔλθῃ, οὐδένα ἔπληξεν ἀξιόλογον πληγήν· οἱ δὲ ἐν τῇ κορυφῇ ταύτης καθήμενοι τῆς τιμῆς πρῶτον μὲν πᾶσίν εἰσι κατάδηλοι· ἔπειτα, κἂν ἐν τοῖς μικροτάτοις*
15 *σφαλῶσι, μεγάλα τὰ μικρὰ τοῖς ἄλλοις φαίνεται. Οὐ γὰρ τῷ τοῦ γεγονότος μεγέθει, ἀλλὰ τῇ τοῦ διαμαρτόντος ἀξίᾳ τὴν ἁμαρτίαν μετροῦσιν ἅπαντες. Καὶ δεῖ τὸν ἱερέα, καθάπερ τισὶν ἀδαμαντίνοις ὅπλοις πεφράχθαι πάντοθεν, τῇ τε συντόνῳ σπουδῇ καὶ τῇ διηνεκεῖ περὶ τὸν βίον νήψει πάντοθεν περισκο-*
20 *ποῦντα, μή που τις γυμνὸν εὑρὼν τόπον καὶ παρημελημένον πλήξῃ καιρίαν πληγήν. Πάντες γὰρ περιεστήκασι, τρῶσαι ἕτοιμοι καὶ καταβαλεῖν, οὐ τῶν ἐχθρῶν μόνον καὶ πολεμίων, ἀλλὰ καὶ αὐτῶν πολλοὶ τῶν προσποιουμένων φιλίαν.*

14. Τοιαύτας οὖν ἐπιλέγεσθαι δεῖ ψυχάς, οἷα τὰ τῶν
25 *ἁγίων ἐκείνων ἀπέδειξε σώματα ἡ τοῦ Θεοῦ χάρις ἐν τῇ Βαβυλωνίᾳ καμίνῳ ποτέ. Οὐ γὰρ κληματὶς καὶ πίσσα καὶ στυππεῖον ἡ τοῦ πυρὸς τούτου τροφή, ἀλλὰ πολὺ τούτων χαλεπωτέρα. Ἐπεὶ μηδὲ πῦρ τὸ αἰσθητὸν ὑπόκειται ἐκεῖνο, ἀλλ' ἡ παμφάγος αὐτοὺς τῆς βασκανίας περιστοιχίζεται φλόξ, παν-*
30 *ταχόθεν αἰρομένη καὶ ἀκριβέστερον αὐτῶν ἐπιοῦσα καὶ διερευ-*

---

30. Δαν. 3, 27-30.

εἰς τὴν ἐξάσκησιν τῆς ἀρετῆς καὶ ρᾳθύμους εἰς ἀνάληψιν κόπων διὰ τὴν ἀπόκτησιν τῶν ἀγαθῶν.

Διὰ τοῦτο τὸ κάλλος τῆς ψυχῆς τοῦ ἱερέως πρέπει νὰ λάμπῃ παντοῦ, ὥστε νὰ ἠμπορῇ καὶ νὰ εὐφραίνῃ καὶ νὰ φωτίζῃ τὰς ψυχὰς τῶν βλεπόντων. Τὰ ἁμαρτήματα τῶν ἰδιωτῶν εἶναι σὰν νὰ διαπράττωνται εἰς τὸ σκότος καὶ καταστρέφουν μόνον τοὺς ἰδίους. Ἐνῷ τὸ ἁμάρτημα ἀνθρώπου ἐπιφανοῦς καὶ γνωστοῦ εἰς πολλοὺς φέρει βλάβην εἰς ὅλους γενικῶς· καὶ τοὺς μὲν ἀσχολουμένους μὲ τὴν σωτηρίαν τῶν ἄλλων κάμνει ὀκνηροτέρους, τοὺς δὲ ἐνδιαφερομένους διὰ τὴν ἰδικήν των ἠθικὴν προκοπὴν ἐρεθίζει εἰς ἔπαρσιν. Ἐκτὸς αὐτοῦ δὲ τῶν μὲν ἁπλῶν ἀνθρώπων τὰ παραπτώματα, καὶ νὰ γνωσθοῦν, δὲν τραυματίζουν σοβαρὰ κανένα· ἐνῷ οἱ καθήμενοι εἰς τὴν κορυφὴν τῆς ἱεραρχίας παρακολουθοῦνται ἀπὸ ὅλους καὶ τὰ μικρότερα σφάλματά των φαίνονται εἰς τοὺς ἄλλους μεγάλα. Οἱ ἄνθρωποι δὲν μετροῦν τὴν ἁμαρτίαν καθ' ἑαυτήν, ἀλλὰ κατὰ τὴν ἀξίαν τοῦ διαπράττοντος αὐτήν. Πρέπει συνεπῶς ὁ ἱερεὺς νὰ εἶναι περιφραγμένος ἀπὸ παντοῦ μὲ ἀδαμάντινα ὅπλα καὶ νὰ προσέχῃ ὅλα τὰ βήματα τῆς ζωῆς του μὲ ἔντονον ζῆλον καὶ συνεχῆ ἀγρυπνίαν, μήπως τοῦ προξενήσῃ κανεὶς θανατηφόρον πληγὴν εἰς κανένα γυμνὸν καὶ παραμελημένον μέρος. Ὅλοι περιτριγυρίζουν ἕτοιμοι νὰ τὸν τραυματίσουν καὶ τὸν συντρίψουν· ὄχι μόνον οἱ ἐχθροὶ καὶ οἱ ἀντίπαλοι, ἀλλὰ καὶ πολλοὶ ἄλλοι ποὺ προσποιοῦνται τοὺς φίλους.

14. Συνεπῶς διὰ τὴν ὑπηρεσίαν αὐτὴν πρέπει νὰ ἐπιλέγωνται ψυχαὶ ὅπως ἐκεῖναι ποὺ μὲ τὴν χάριν τοῦ Θεοῦ κατοικοῦσαν κάποτε εἰς τοὺς ἁγίους τῆς βαβυλωνιακῆς καμίνου[30]. Διότι τροφὴ τῆς φωτιᾶς αὐτῆς ποὺ ἀπειλεῖ τοὺς ἱερεῖς δὲν εἶναι αἱ κληματίδες καὶ ἡ πίσσα καὶ τὸ στυππεῖον, ἀλλὰ ἀντικείμενα πολὺ ἰσχυρότερα ἀπὸ αὐτά. Δὲν πρόκειται ἐδῶ δι' αἰσθητὴν φωτιάν· τοὺς περιβάλλει ἡ παμφάγος φλόγα τοῦ φθόνου ποὺ ὑψώνεται ἀπὸ ὅλας τὰς πλευράς, ποὺ ἀνεβαίνει ἐπάνω ἀπὸ τὰς κεφαλάς των καὶ διερευνᾷ

νωμένη τὸν βίον ἢ τὸ πῦρ τότε τῶν παίδων ἐκείνων τὰ σώματα. Ὅταν οὖν εὕρῃ καλάμης ἴχνος μικρόν προσπλέκεται ταχέως· καὶ τὸ μὲν σαθρὸν ἐκεῖνο κατέκαυσε μέρος, τὴν δὲ λοιπὴν ἅπασαν οἰκοδομήν, κἂν τῶν ἡλιακῶν ἀκτίνων λαμπροτέρα οὖσα
5 *τύχῃ, ἀπ᾽ ἐκείνου τοῦ καπνοῦ προσέφλεξε καὶ ἠμαύρωσεν ἅπασαν. Ἕως μὲν γὰρ ἂν πανταχόθεν ἡρμοσμένος ᾖ καλῶς ὁ τοῦ ἱερέως βίος, ἀνάλωτος γίνεται ταῖς ἐπιβουλαῖς· ἂν δὲ τύχῃ μικρόν τι παριδὼν (οἷα εἰκὸς ἄνθρωπον ὄντα καὶ τὸ πολυπλανὲς τοῦ βίου τούτου περαιοῦντα πέλαγος), οὐδὲν αὐτῷ τῶν*
10 *λοιπῶν κατορθωμάτων ὄφελος πρὸς τὸ δυνηθῆναι τὰ τῶν κατηγόρων στόματα διαφυγεῖν, ἀλλ᾽ ἐπισκιάζει παντὶ τῷ λοιπῷ τὸ μικρὸν ἐκεῖνο παράπτωμα· καὶ οὐχὶ ὡς σάρκα περικειμένῳ οὐδὲ ἀνθρωπείαν λαχόντι φύσιν, ἀλλ᾽ ὡς ἀγγέλῳ καὶ τῆς λοιπῆς ἀσθενείας ἀπηλλαγμένῳ δικάζειν ἅπαντες ἐθέλουσι τῷ*
15 *ἱερεῖ. Καὶ καθάπερ τύραννον, ἕως μὲν ἂν κρατῇ, ἅπαντες πεφρίκασι καὶ κολακεύουσι, διὰ τὸ μὴ δύνασθαι καθελεῖν, ὅταν δὲ ἴδωσιν εἰς τοὐναντίον προχωροῦντα ἐκείνου τὰ πράγματα, τὴν μεθ᾽ ὑποκρίσεως ἀφέντες τιμὴν οἱ πρὸ μικροῦ φίλοι γεγόνασιν ἐξαίφνης ἐχθροὶ καὶ πολέμιοι, καὶ πάντα αὐτοῦ τὰ σα-*
20 *θρὰ καταμαθόντες, ἐπιτίθενται παραλύοντες τῆς ἀρχῆς· οὕτω δὴ καὶ ἐπὶ τῶν ἱερέων, οἱ πρὸ βραχέος καὶ ἡνίκα ἐκράτει τιμῶντες καὶ θεραπεύοντες, ὅταν μικρὰν εὕρωσι λαβήν, παρασκευάζονται σφοδρῶς, οὐχ ὡς τύραννον μόνον, ἀλλὰ καί τι τούτου χαλεπώτερον καθαιρήσειν μέλλοντες. Καὶ ὥσπερ ἐκεῖ-*
25 *νος τοὺς τοῦ σώματος φύλακας δέδοικεν, οὕτω καὶ οὗτος τοὺς πλησίον καὶ συλλειτουργοῦντας αὐτῷ μάλιστα πάντων τρέμει. Οὔτε γὰρ ἕτεροί τινες οὕτω τῆς ἀρχῆς ἐπιθυμοῦσι τῆς ἐκείνου καὶ τὰ ἐκείνου μάλιστα πάντων ἴσασιν, ὡς οὗτοι. Ἐγγύθεν γὰρ ὄντες εἴ τι συμβαίη τοιοῦτο, πρὸ τῶν ἄλλων αἰ-*

---

31. Τὸν κίνδυνον κατὰ τῆς θέσεως τοῦ ἐπισκόπου καὶ τοῦ ἱερέως ὁ Χρυσόστομος εὑρίσκει κυρίως εἰς τοὺς συναδέλφους των. Εἶναι δὲ χαρακτηριστικὰ τὰ λεγόμενα διὰ τὰς ἰδικάς του περιπετείας ἐν Ἐπιστ. εἰς Ὀλυμπ. 14, 4. «οὐδένα δέδοικα ὡς τοὺς ἐπισκόπους πλὴν ὀλίγων», καὶ ἐν Ἐπιστ. 243.

τὴν ζωήν των ἀκριβέστερα ἀπὸ ὅσον ἡ φωτιὰ ἐκείνη τὰ σώματα τῶν τριῶν παίδων. Ὅταν λοιπὸν εὕρῃ εἰς τὴν οἰκοδομὴν ὀλίγα ἔστω καλάμια, πιάνει ἀμέσως, καὶ αὐτὸ μὲν τὸ σαθρὸν μέρος τὸ κατακαίει, ὅλην δὲ τὴν ὑπόλοιπον οἰκοδομήν, ποὺ δυνατὸν νὰ ἦτο λαμπροτέρα ἀπὸ τὰς ἡλιακὰς ἀκτῖνας, τὴν φλογίζει καὶ τὴν μαυρίζει μὲ τὸν καπνόν. Ἕως τὴν στιγμὴν ποὺ εἶναι καλὰ τειχισμένος ὁ βίος τοῦ ἱερέως ἀπὸ ὅλας τὰς πλευράς, εἶναι ἀπρόσβλητος εἰς ὅλας τὰς ἐπιθέσεις. Ἐὰν ὅμως τοῦ διαφύγῃ ἀκάλυπτον κανένα μικρὸν σημεῖον — πρᾶγμα εὔλογον διότι πρόκειται περὶ ἀνθρώπου ποὺ διαπερᾷ τὸ πολυπλανὲς πέλαγος τοῦ βίου — τὰ ἄλλα κατορθώματα δὲν θὰ τὸν βοηθήσουν νὰ διαφύγῃ τὰς κακολογίας τῶν κατηγόρων· τὸ μικρὸν παράπτωμα ἐπισκιάζει ὅλην τὴν ἀρετήν του. Ὅλοι θεωροῦν τὸν ἱερέα ὄχι ὡς περιβαλλόμενον μὲ σάρκα καὶ ἀνθρωπίνην φύσιν, ἀλλ' ὡς ἄγγελον, ὡς ἀπηλλαγμένον ἀπὸ κάθε ἀδυναμίαν. Καὶ ὅπως τὸν τύραννον, ὅταν κρατῇ τὴν ἀρχὴν καλά, ὅλοι τὸν φοβοῦνται καὶ τὸν κολακεύουν, διότι δὲν ἠμποροῦν νὰ τὸν ἀνατρέψουν, ἐνῷ ὅταν ἰδοῦν τὴν κατάστασιν νὰ μεταβάλλεται ἐναντίον του, ἀφήνουν τὴν ὑποκριτικὴν ἐκτίμησιν, οἱ πρὸ ὀλίγου φίλοι γίνονται ἐχθροὶ καὶ πολέμιοι, πληροφοροῦνται ὅλα τὰ ἀσθενῆ σημεῖα τῆς ἐξουσίας του, ἐπιτίθενται καὶ τὸν ἀνατρέπουν· ἔτσι καὶ τοὺς ἱερεῖς, ἐκεῖνοι ποὺ τοὺς ἐκτιμοῦσαν καὶ τοὺς ἐπεριποιοῦντο ἕως ὅτου ἐξασκοῦσαν ἐπιτυχῶς τὸ λειτούργημα, μόλις εὕρουν κάποιαν μικρὰν ἀφορμήν, προετοιμάζονται ἔντονα διὰ νὰ τοὺς καθαιρέσουν σὰν νὰ ἦσαν οἱ χειρότεροι τύραννοι. Ὅπως δὲ ὁ τύραννος φοβεῖται κυρίως τοὺς σωματοφύλακάς του, ἔτσι καὶ ὁ ἐπίσκοπος τρέμει πρὸ πάντων τοὺς πλησίον του συναδέλφους καὶ συλλειτουργούς. Διότι ἄλλωστε οἱ ἄλλοι ἄνθρωποι δὲν ἐποφθαλμιοῦν τὴν θέσιν του, ὅπως αὐτοί, καὶ δὲν γνωρίζουν τὰς ἀδυναμίας του τόσον καλὰ ὅσον αὐτοί[31]. Ἐπειδὴ ζοῦν πλησίον του, ἀντιλαμβάνονται πρὶν ἀπὸ τοὺς

σθάνονται καὶ δύναιτ' ἂν εὐχερῶς καὶ διαβάλλοντες πιστευθῆναι καὶ τὰ μικρὰ μεγάλα ποιοῦντες τὸν συκοφαντούμενον ἑλεῖν. Τὸ γὰρ ἀποστολικὸν ἐκεῖνο ῥῆμα ἀντέστραπται· καὶ εἴτε πάσχει ἓν μέλος, συγχαίρει πάντα τὰ μέλη· εἴτε δοξάζε-
5 *ται ἓν μέλος, συμπάσχει πάντα τὰ μέλη· πλὴν εἴ τις εὐλαβείᾳ πολλῇ πρὸς ἅπαντα στῆναι δυνηθείη .*

Εἰς τοσοῦτον οὖν ἡμᾶς ἐκπέμπεις πόλεμον; Καὶ πρὸς μάχην οὕτω καὶ ποικίλην καὶ πολυειδῆ τὴν ἡμετέραν ἐνόμισας ἀρκέσειν ψυχήν; Πόθεν καὶ παρὰ τίνος μαθών; Εἰ μὲν γὰρ ὁ
10 *Θεὸς ἐγνώρισε τοῦτο, ἐπίδειξον τὸν χρησμὸν καὶ πείθομαι. Εἰ δὲ οὐκ ἔχεις, ἀλλ' ἀπὸ δόξης ἀνθρωπίνης φέρεις τὴν ψῆφον, ἀπαλλάγηθί ποτε ἐξαπατώμενος. Ὑπὲρ γὰρ τῶν ἡμετέρων ἡμῖν μᾶλλον ἢ ἑτέροις πείθεσθαι δίκαιον· ἐπειδὴ «τὰ τοῦ ἀνθρώπου οὐδεὶς οἶδεν, εἰ μὴ τὸ πνεῦμα τοῦ ἀνθρώπου τὸ ἐν*
15 *αὐτῷ». Ὅτι γὰρ καὶ ἡμᾶς αὐτοὺς καὶ τοὺς ἑλομένους καταγελάστους ἂν ἐποιήσαμεν ταύτην δεξάμενοι τὴν ἀρχὴν καὶ μετὰ πολλῆς τῆς ζημίας εἰς ταύτην ἂν ἐπανήλθομεν τοῦ βίου τὴν κατάστασιν, ἐν ᾗ καὶ νῦν ἐσμεν, εἰ καὶ μὴ πρότερον, ἀλλὰ νῦν σε τούτοις οἶμαι πεπεικέναι τῆς ῥήμασιν. Οὐδὲ γὰρ βα-*
20 *σκανία μόνον, ἀλλὰ πολλῷ καὶ τῆς βασκανίας σφοδρότερον ἡ τῆς ἀρχῆς ταύτης ἐπιθυμία τοὺς πολλοὺς ὁπλίζειν εἴωθε κατὰ τοῦ ταύτην ἔχοντος. Καὶ καθάπερ οἱ φίλαρχοι τῶν παίδων βαρύνονται τὸ τῶν πατέρων γῆρας, οὕτω καὶ τούτων τινές, ὅταν ἴδωσιν εἰς μακρὸν παραταθεῖσαν τὴν ἱερωσύνην χρό-*
25 *νον, ἐπειδὴ ἀνελεῖν οὐκ εὐαγές, παραλῦσαι σπεύδουσιν αὐτὸν τῆς ἀρχῆς, πάντες ἀντ' ἐκείνου γενέσθαι ἐπιθυμοῦντες καὶ εἰς ἑαυτὸν ἕκαστος μεταπεσεῖσθαι τὴν ἀρχὴν προσδοκῶντες.*

---

32. Α' Κορ. 12,26.
33. Αὐτ. 2, 11.

ἄλλους κάθε παρεκτροπὴν καὶ ἠμποροῦν εὔκολα νὰ γίνουν πιστευτοί, ὅταν διαβάλλουν, καὶ ν' ἀπομακρύνουν τὸν συκοφαντούμενον διὰ τῆς ἐξογκώσεως τῶν κακῶν πράξεών του. Ἐκεῖνο τὸ ἀποστολικὸν λόγιον ἀνεστράφη[32]· καὶ ἂν πάσχῃ ἕνα μέλος, συγχαίρουν ὅλα τὰ ἄλλα μέλη, ἐὰν δὲ δοξάζεται ἕνα μέλος, συμπάσχουν ὅλα τὰ ἄλλα. Ἐὰν δὲν κατορθώσῃ νὰ στηριχθῇ μὲ τὴν μεγάλην του εὐλάβειαν ὁ ἐπίσκοπος, θὰ εὑρίσκεται εἰς διαρκῆ κίνδυνον.

Λοιπὸν εἰς τόσον σκληρὸν πόλεμον μὲ στέλλεις; Καὶ νομίζεις ὅτι ἡ ψυχή μου ἐπαρκεῖ διὰ μάχην τόσον ἀδιάκοπον καὶ πολύπλευρον; Ποῖος σ' ἐβεβαίωσε περὶ αὐτοῦ; Ἐὰν μὲν σ' ἐπληροφόρησε περὶ αὐτοῦ ὁ Θεός, δεῖξέ μου τὸν χρησμὸν καὶ θὰ πεισθῶ. Ἐὰν δὲ δὲν ἔχῃς θεῖον χρησμὸν καὶ ἐσχημάτισες αὐτὴν τὴν γνώμην στηριζόμενος εἰς ἀνθρωπίνας κρίσεις, παῦσε ν' ἀπατᾶσαι. Διὰ τὰ ζητήματα ποὺ ἀφοροῦν τὸ πρόσωπόν μου ἐπιβάλλεται νὰ πείθεσαι εἰς ἐμὲ μᾶλλον παρὰ εἰς ἄλλους, διότι «κανεὶς δὲν γνωρίζει τὸ ἐσωτερικὸν τοῦ ἀνθρώπου παρὰ μόνον ἡ συνείδησίς του»[33]. Νομίζω λοιπὸν ὅτι ἂν δὲν εἶχες πεισθῆ προηγουμένως, θὰ ἐπείσθης τοὐλάχιστον τώρα μὲ αὐτὰ τὰ λόγια μου περὶ τοῦ ὅτι, δεχόμενος τὴν ἐξουσίαν αὐτήν, θὰ ἔκαμνα καὶ τὸν ἑαυτόν μου καὶ τοὺς ἐκλέκτορας καταγελάστους καὶ θὰ ἐπέστρεφα εἰς τὸν ἴδιον τρόπον ζωῆς ποὺ ἀκολουθῶ τώρα. Ἡ ἐπιθυμία ποὺ ἔχουν πολλοὶ διὰ τὴν κατάκτησιν τῆς ἐξουσίας αὐτῆς τοὺς ὁπλίζει ἐναντίον ἐκείνου ποὺ τὴν κατέχει, σὰν κάτι χειρότερον ἀπὸ τὴν βασκανίαν. Καὶ ὅπως τὰ φίλαρχα παιδιὰ βαρύνονται τὴν παράτασιν τῆς ζωῆς τῶν γερόντων πατέρων των, ἔτσι καὶ μερικοὶ ἀπὸ τοὺς ἐπιδιώκοντας τὴν ἀρχιερωσύνην, ὅταν βλέπουν νὰ παρατείνεται ἐπὶ πολὺν χρόνον ἡ θητεία κάποιου ἐπισκόπου, καὶ ἐπειδὴ δὲν ἐπιτρέπεται νὰ τὸν φονεύσουν, σπεύδουν νὰ τὸν ἐκδιώξουν ἀπὸ τὴν ἐπισκοπικὴν ἕδραν, ἐποφθαλμιῶντες ὅλοι τὴν θέσιν ἐκείνου — φυσικὰ ὁ καθένας διὰ τὸν ἑαυτόν του.

15. Βούλει σοι καὶ ἕτερον ἐπιδείξω ταύτης τῆς μάχης εἶδος, μυρίων ἐμπεπλησμένον κινδύνων; Ἴθι δὴ καὶ διάκυψον εἰς τὰς δημοτελεῖς ἑορτάς, ἐν αἷς μάλιστα τῶν ἐκκλησιαστικῶν ἀρχῶν τὰς αἱρέσεις ποιεῖσθαι νόμος, καὶ τοσαύταις
5 *ὄψει κατηγορίαις τὸν ἱερέα βαλλόμενον, ὅσον τῶν ἀρχομένων τὸ πλῆθός ἐστιν. Πάντες γὰρ οἱ δοῦναι κύριοι τὴν τιμὴν εἰς πολλὰ τότε σχίζονται μέρη καὶ οὔτε πρὸς ἀλλήλους οὔτε πρὸς αὐτὸν τὸν λαχόντα τὴν ἐπισκοπὴν τὸ τῶν πρεσβυτέρων συνέδριον ὁμογνωμονοῦν ἴδοι τις ἄν· ἀλλ' ἕκαστος καθ' ἑ-*
10 *αυτὸν ἑστήκασιν, ὁ μὲν τοῦτον, ὁ δὲ ἐκεῖνον αἱρούμενος. Τὸ δὲ αἴτιον οὐκ εἰς ἓν πάντες ὁρῶσιν, εἰς ὅ μόνον ὁρᾶν ἐχρῆν, τῆς ψυχῆς τὴν ἀρετήν, ἀλλ' εἰσὶ καὶ ἕτεραι προφάσεις αἱ ταύτης πρόξενοι τῆς τιμῆς· οἷον, ὁ μέν, ὅτι γένους ἐστὶ λαμπροῦ, ἐγκρινέσθω, φησίν· ὁ δέ, ὅτι πλοῦτον περιβέβληται πολύν, καὶ*
15 *οὐκ ἂν δέοιτο τρέφεσθαι ἐκ τῶν τῆς Ἐκκλησίας προσόδων· ὁ δέ, ὅτι παρὰ τῶν ἐχθρῶν ηὐτομόλησε· καὶ ὁ μέν, τὸν οἰκείως πρὸς αὐτὸν διακείμενον, ὁ δὲ τὸν γένει προσήκοντα, ὁ δὲ τὸν κολακεύοντα πάλιν τῶν ἄλλων προτιμᾶν σπουδάζουσιν· εἰς δὲ τὸν ἐπιτήδειον οὐδεὶς ὁρᾶν βούλεται, οὐδὲ ψυχῆς τινα ποι-*
20 *εῖσθαι βάσανον.*

Ἐγὼ δὲ τοσούτου δέω ταύτας ἡγεῖσθαι τὰς αἰτίας ἀξιοπίστους εἶναι πρὸς τὴν τῶν ἱερέων δοκιμασίαν, ὡς μηδέ, εἴ τις πολλὴν εὐλάβειαν ἐπιδείξαιτο, τὴν οὐ μικρὸν ἡμῖν πρὸς τὴν ἀρχὴν συντελοῦσαν ἐκείνην, μηδὲ τοῦτον ἀπὸ ταύτης εὐθέως
25 *ἐγκρίνειν τολμᾶν, εἰ μὴ μετὰ τῆς εὐλαβείας πολλὴν καὶ τὴν σύνεσιν ἔχων τύχοι. Καὶ γὰρ οἶδα πολλοὺς ἐγὼ τῶν ἅπαντα τὸν χρόνον καθειρξάντων ἑαυτοὺς καὶ νηστείαις δαπανηθέντων, ὅτι, ἕως μὲν αὐτοῖς μόνοις εἶναι ἐξῆν καὶ τὰ αὐτῶν μεριμνᾶν, εὐδοκίμουν παρὰ Θεῷ καὶ καθ' ἑκάστην ἡμέραν ἐκείνῃ προσε-*

---

34. Ὁ Χρυσόστομος καταδικάζει ἐνταῦθα τὴν ἐπιπολαιότητα καὶ μεροληπτικότητα κατὰ τὴν ἐκλογὴν τῶν κληρικῶν. Ἀνθρώπινοι παράγοντες δὲν ἐπιτρέπεται νὰ διαμορφώνουν τὴν γνώμην τῶν ἐκλογέων, διότι τὸ ἱερατικὸν ἀξίωμα δὲν εἶναι ἀνθρώπινος θεσμός. Οἱ ἐκλογεῖς ὀφείλουν νὰ

15. Θέλεις νὰ σοῦ ἀναφέρω καὶ ἄλλην μορφὴν τῆς μάχης αὐτῆς γεμάτην ἀπὸ μυρίους κινδύνους; Παρακολούθησε μὲ προσοχὴν τὰς ἑορταστικὰς συγκεντρώσεις, εἰς τὰς ὁποίας κατὰ τὴν συνήθειαν γίνονται αἱ ἐκλογαὶ τῶν ἐκκλησιαστικῶν ἀρχόντων[34], καὶ θὰ ἴδῃς ἐκεῖ τὸν ἀρχιερέα νὰ προσβάλλεται ἀπὸ τόσας κατηγορίας, ὅσοι εἶναι οἱ ἀρχόμενοι. Τότε οἱ ἁρμόδιοι διὰ τὴν ἐκλογὴν σχίζονται εἰς πολλὰς παρατάξεις καὶ βλέπομεν τοὺς πρεσβυτέρους νὰ μὴ συμφωνοῦν οὔτε μεταξύ των οὔτε μὲ τὸν ἐπίσκοπον. Ὁ καθένας ἔχει τὴν ἰδικήν του γνώμην καὶ ὁ ἕνας προτιμᾷ αὐτόν, ὁ ἄλλος ἐκεῖνον. Αἰτία δὲ τοῦ φαινομένου αὐτοῦ εἶναι ὅτι δὲν ἀποβλέπουν, ὅπως θὰ ἥρμοζεν, ὅλοι εἰς ἕνα, εἰς τὴν ψυχικὴν ἀρετήν, ἀλλὰ ὑπεισέρχονται εἰς τὴν τιμητικὴν αὐτὴν ἐκλογὴν καὶ ἄλλα ἐλατήρια. Λέγουν π.χ. Ἂς ἐκλεγῇ αὐτὸς ἐπειδὴ κατάγεται ἀπὸ ἀριστοκρατικὴν οἰκογένειαν. Ἂς ἐκλεγῇ ἐκεῖνος, ἐπειδὴ εἶναι πλούσιος καὶ δὲν θὰ ἔχῃ ἀνάγκην νὰ συντηρηθῇ ἀπὸ τὰς ἐκκλησιαστικὰς προσόδους. Ἂς ἐκλεγῇ ὁ ἄλλος, ἐπειδὴ ηὐτομόλησεν ἀπὸ σχισματικὴν Ἐκκλησίαν. Ὁ ἕνας προτιμᾷ τὸν φίλον, ὁ δεύτερος τὸν συγγενῆ, ὁ τρίτος τὸν κόλακα, καὶ κανεὶς δὲν θέλει νὰ προσέξῃ τὸν κατάλληλον καὶ νὰ ἐλέγξῃ τὰ ψυχικὰ προτερήματα τῶν ὑποψηφίων.

Ἐγὼ δὲ τόσον ὀλίγην σημασίαν δίδω εἰς τὰ ἀνωτέρω προσόντα διὰ τὴν ἐκλογὴν τῶν ἱερέων, ὥστε φθάνω μέχρι τοῦ σημείου νὰ μὴ τολμῶ νὰ ἐγκρίνω καὶ ἕνα ὑποψήφιον μὲ πολλὴν εὐλάβειαν, ποὺ ἀποτελεῖ σημαντικὸν προσὸν διὰ τὸ ἀξίωμα τοῦτο, ἐὰν ὁ ὑποψήφιος μαζὶ μὲ αὐτὴν δὲν ἔχῃ καὶ πολλὴν σύνεσιν. Πραγματικὰ γνωρίζω ὅτι πολλοὶ ἄνθρωποι, ποὺ εἶχαν ἀκολουθήσει τὸν μοναστικὸν βίον καὶ ἐτηροῦσαν νηστείαν ὁλόκληρον τὴν ζωήν των, εὐαρεστοῦσαν τὸν Θεὸν καὶ κάθε ἡμέραν προέκοπτον περισσότερον εἰς τὴν χριστιανικὴν εὐσέβειαν, ἕως ὅτου ἦσαν μόνοι καὶ ἐφρόντιζαν μό-

---

ἀντιληφθοῦν ὅτι εἰς χεῖράς των κρατοῦν θείαν ψῆφον καὶ νὰ δώσουν ταύτην εἰς τὸν ἁγιώτερον.

τίθεσαν τῇ φιλοσοφίᾳ μέρος οὐ μικρόν· ἐπειδὴ δὲ εἰς τὸ πλῆθος ἦλθον καὶ τὰς τῶν πολλῶν ἀμαθίας ἐπανορθοῦν ἠναγκάσθησαν, οἱ μὲν οὐδὲ τὴν ἀρχὴν ἤρκεσαν πρὸς τὴν τοσαύτην πραγματείαν, οἱ δὲ βιασθέντες ἐπιμεῖναι, τὴν προτέραν ἀκρί-
5 *βειαν ῥίψαντες, ἑαυτούς τε ἐζημίωσαν τὰ μέγιστα καὶ ἑτέρους ὤνησαν οὐδέν. Ἀλλ' οὐδέ, εἴ τις τὸν ἅπαντα χρόνον ἀνήλωσεν ἐν τῇ ἐσχάτῃ τῆς λειτουργίας τάξει μένων καὶ εἰς ἔσχατον ἤλασε γῆρας, τοῦτον ἁπλῶς διὰ τὴν ἡλικίαν αἰδεσθέντες, ἐπὶ τὴν ἀρχὴν οἴσομεν τὴν ἀνωτέρω. Τί γάρ, εἰ καὶ*
10 *μετὰ τὴν ἡλικίαν ἐκείνην ἀνεπιτήδειος ὢν μένοι; Καὶ οὐ τὴν πολιὰν ἀτιμάσαι βουλόμενος, οὐδὲ νομοθετῶν τοὺς ἀπὸ χοροῦ μοναζόντων ἥκοντας πάντως ἀπείργεσθαι τῆς τοιαύτης ἐπιστασίας ταῦτα εἶπον νῦν (συνέβη γὰρ πολλοὺς καὶ ἐξ ἐκείνης ἐλθόντας τῆς ἀγέλης εἰς ταύτην διαλάμψαι τὴν ἀρχήν).*
15 *ἀλλ' ἐκεῖνο δεῖξαι σπουδάζων, ὅτι εἰ μήτε εὐλάβεια καθ' ἑαυτήν, μήτε γῆρας μακρὸν ἱκανὰ γένοιτ' ἂν δεῖξαι τὸν κεκτημένον ἱερωσύνης ἄξιον ὄντα, σχολῇ γ' ἂν αἱ προειρημέναι προφάσεις τοῦτο ἐργάσαιντο.*

Οἱ δὲ καὶ ἑτέρας προστιθέασιν ἀτοπωτέρας. Καὶ γὰρ οἱ
20 *μέν, ἵνα μὴ μετὰ τῶν ἐναντίων τάξωσιν ἑαυτούς, εἰς τὴν τοῦ κλήρου καταλέγονται τάξιν· οἱ δέ, διὰ πονηρίαν καὶ ἵνα μὴ παροφθέντες μεγάλα ἐργάσωνται κακά. Ἆρα γένοιτ' ἄν τι τούτου παρανομώτερον, ὅταν ἄνθρωποι μοχθηροὶ καὶ μυρίων γέμοντες κακῶν διὰ ταῦτα θεραπεύωνται, δι' ἃ κολάζεσθαι*
25 *ἔδει καὶ ὧν ἕνεκεν μηδὲ τὸν οὐδὸν τῆς Ἐκκλησίας ὑπερβαίνειν ἐχρῆν, ὑπὲρ τούτων καὶ εἰς τὴν ἱερατικὴν ἀναβαίνουσιν ἀξίαν; Ἔτι οὖν ζητήσομεν, εἰπέ μοι, τοῦ Θεοῦ τῆς ὀργῆς τὴν*

---

35. Διὰ τὴν καλὴν διαποίμανσιν τῆς Ἐκκλησίας ἀπαιτεῖται κάτι περισσότερον τῆς ἀξιεπαίνου κατὰ τὰ ἄλλα ἀσκήσεως καὶ τῆς ἁγιότητος τοῦ βίου. Ἀπαιτοῦνται πνευματικὰ καὶ διοικητικὰ προσόντα.

36. Τὸ νεαρὸν τῆς ἡλικίας δὲν εἶναι ἐμπόδιον διὰ τὴν ἱερωσύνην, ὅπως δὲν εἶναι προσὸν τὸ γῆρας. Οἱ νέοι βεβαίως δὲν δύνανται νὰ ἑλκύσουν τὴν ἐμπιστοσύνην τοῦ ποιμνίου, ἀλλ' ὅταν διακρίνωνται διὰ τὰ λοιπὰ

νον διὰ τὸν ἑαυτόν των· ὅταν ὅμως ὑπεχρεώθησαν νὰ κυβερνήσουν τὸν λαὸν διὰ νὰ διορθώσουν τὴν ἀμάθειαν τῶν πολλῶν, τότε ἄλλοι μὲν ἀπεδείχθησαν ἐξ ἀρχῆς ἀνεπαρκεῖς διὰ τὴν ὑπηρεσίαν αὐτήν, ἄλλοι δὲ ἐκβιασθέντες νὰ ἐπιμείνουν ἀπέβαλαν τὴν προηγουμένην εὐλάβειαν μὲ ἀποτέλεσμα καὶ τοὺς ἑαυτούς των νὰ ζημιώσουν πολὺ καὶ τοὺς ἄλλους νὰ μὴ ὠφελήσουν εἰς τίποτε[35]. Ἀλλ' ἐπίσης δὲν ἐπιτρέπεται ν' ἀνεβάσωμεν εἰς τὴν ἐπισκοπικὴν ἕδραν ἀπὸ ἁπλοῦν σεβασμὸν πρὸς τὴν ἡλικίαν οὔτε ὁποιονδήποτε ἐπέρασεν ὅλην του τὴν ζωὴν εἰς τὸν κατώτερον ἱερατικὸν βαθμὸν καὶ ἔφθασεν εἰς βαθὺ γῆρας[36]. Διατί νὰ τὸν προαγάγωμεν, ἂν παρ' ὅλην τὴν ἡλικίαν ἐξακολουθῇ νὰ εἶναι ἀκατάλληλος; Μὲ αὐτὰ δὲν ἐπιθυμῶ νὰ ἀτιμάσω τὰ γηρατειὰ οὔτε νὰ ἐπιβάλλω γενικὸν ἀποκλεισμὸν ἀπὸ τὸ ἐπισκοπικὸν ἀξίωμα τῶν προερχομένων ἀπὸ τὰς μοναστικὰς τάξεις (πολλοὶ ἄλλωστε ἀπὸ τὰς τάξεις αὐτὰς διέλαμψαν εἰς τὴν ἀρχιερωσύνην), ἀλλὰ θέλω νὰ δείξω ὅτι ἐφ' ὅσον καὶ ἡ εὐλάβεια καὶ τὸ βαθὺ γῆρας μόνα των δὲν καθιστοῦν τὸν ὑποψήφιον κατάλληλον διὰ τὴν ἱερωσύνην, πολὺ ὀλιγώτερον κατάλληλον τὸν καθιστοῦν αἱ προηγούμεναι προφάσεις.

Ἄλλοι δὲ προσθέτουν καὶ ἄλλας προφάσεις ἀτοπωτέρας. Μερικοὶ π.χ. ἐκλέγονται ἱερεῖς διὰ νὰ μὴ προσχωρήσουν εἰς τοὺς αἱρετικοὺς ἢ σχισματικούς, ἄλλοι δὲ ἐκλέγονται λόγῳ τῆς πονηρίας των, δηλαδὴ διὰ νὰ μὴ προξενήσουν κακὰ εἰς τὴν Ἐκκλησίαν ἐξ αἰτίας τοῦ ἀποκλεισμοῦ των ἀπὸ τὴν ἱερωσύνην. Ὑπάρχει ἆρά γε μεγαλυτέρα παρανομία ἀπὸ τὸ νὰ ἐξυπηρετοῦνται καὶ ν' ἀνεβάζωνται εἰς τὴν ἐπισκοπικὴν ἐξουσίαν ἄνθρωποι γεμᾶτοι ἀπὸ πονηρίαν καὶ πολλὴν κακίαν, λόγῳ ἀκριβῶς τῶν ἐλαττωμάτων των αὐτῶν, ἐνῷ δι' αὐτὰ ἔπρεπε νὰ τιμωρηθοῦν καὶ νὰ μὴ δικαιοῦνται νὰ περάσουν οὔτε τὸ κατῶφλι τῆς Ἐκκλησίας; Εἰπέ μου λοιπόν, ὑπάρχει ἀνάγκη ν' ἀναζητήσωμεν ἄλλην

προσόντα, ὡς ὁ Βασίλειος τοῦ παρόντος διαλόγου, δύνανται ἀφόβως νὰ ἐκλεγοῦν.

αἰτίαν, πράγματα οὕτως ἅγια καὶ φρικωδέστατα ἀνθρώποις, τοῖς μὲν πονηροῖς, τοῖς δὲ οὐδενὸς ἀξίοις, λυμαίνεσθαι παρέχοντες; Ὅταν γὰρ οἱ μὲν τῶν μηδὲν αὐτοῖς προσηκόντων, οἱ δὲ τῶν πολλῷ μειζόνων τῆς οἰκείας δυνάμεως προστασίαν 5 ἐμπιστευθῶσιν, οὐδὲν Εὐρίπου τὴν Ἐκκλησίαν διαφέρειν ποιοῦσιν.

16. Ἐγὼ δὲ πρότερον τῶν ἔξωθεν ἀρχόντων κατεγέλων, ὅτι τὰς τῶν τιμῶν διανομὰς οὐκ ἀπὸ τῆς ἀρετῆς τῆς ἐν ταῖς ψυχαῖς, ἀλλ' ἀπὸ τῶν χρημάτων καὶ πλήθους ἐτῶν καὶ ἀνθρω- 10 πίνης ποιοῦνται προστασίας· ἐπεὶ δὲ ἤκουσα, ὅτι αὕτη ἡ ἀλογία καὶ εἰς τὰ ἡμέτερα εἰσεκώμασεν, οὐκ ἔτι ὁμοίως ἐποιούμην τὸ πρᾶγμα δεινόν. Τί γὰρ θαυμαστόν, ἀνθρώπους βιωτικοὺς καὶ δόξης τῆς παρὰ τῶν πολλῶν ἐρῶντας καὶ χρημάτων ἕνεκα πάντα πράττοντας ἁμαρτάνειν τοιαῦτα, ὅπου γε οἱ πάν- 15 των ἀπηλλάχθαι προσποιούμενοι τούτων οὐδὲν ἄμεινον ἐκείνων διάκεινται, ἀλλ' ὑπὲρ τῶν οὐρανίων τὸν ἀγῶνα ἔχοντες, ὡς περὶ πλέθρων γῆς ἢ ἑτέρου τινὸς τοιούτου, τῆς βουλῆς αὐτοῖς προκειμένης, ἁπλῶς ἀνθρώπους ἀγελαίους λαβόντες ἐφιστᾶσι πράγμασι τοιούτοις, ὑπὲρ ὧν καὶ τὴν ἑαυτοῦ κενῶσαι δόξαν 20 καὶ ἄνθρωπος γενέσθαι καὶ δούλου μορφὴν λαβεῖν καὶ ἐμπτυσθῆναι καὶ ῥαπισθῆναι καὶ θάνατον τὸν ἐπονείδιστον ἀποθανεῖν διὰ τῆς σαρκὸς οὐ παρῃτήσατο ὁ μονογενὴς τοῦ Θεοῦ Παῖς;

Καὶ οὐδὲ μέχρι τούτων οὗτοι ἵστανται μόνον, ἀλλὰ καὶ ἕτερα προστιθέασιν ἀτοπώτερα. Οὐ γὰρ τοὺς ἀναξίους ἐγκρί- 25 νουσι μόνον, ἀλλὰ καὶ τοὺς ἐπιτηδείους ἐκβάλλουσιν. Ὥσπερ γὰρ δέον ἀμφοτέρωθεν λυμήνασθαι τῆς Ἐκκλησίας τὴν ἀσφάλειαν ἢ ὥσπερ οὐκ ἀρκούσης τῆς προτέρας προφάσεως ἐκκαῦσαι τοῦ Θεοῦ τὴν ὀργήν, οὕτω τὴν δευτέραν συνῆψαν, οὐχ ἧτ-

---

37. Φιλ. 2, 7.
38. Ματθ. 26, 67.

αἰτίαν διὰ τὴν ὀργὴν τοῦ Θεοῦ, ὅταν ἡμεῖς παραδίδωμεν εἰς ἀνθρώπους πονηροὺς καὶ ἀναξίους πράγματα τόσον φρικτὰ καὶ ἅγια νὰ τὰ λυμαίνωνται; Ἀφοῦ ἡ διακυβέρνησις τῶν ἐκκλησιαστικῶν πραγμάτων παραδίδεται εἰς ἀνθρώπους, ἀπὸ τοὺς ὁποίους ἄλλοι μὲν δὲν εἶναι ἠθικῶς κατάλληλοι δι' αὐτήν, ἄλλοι δὲ δὲν ἔχουν ἀνάλογον ἱκανότητα, δὲν διαφέρει κατὰ τίποτε ἡ Ἐκκλησία ἀπὸ τὴν παλίρροιαν τοῦ Εὐρίπου.

16. Παλαιότερα ἐγὼ περιέπαιζα τοὺς κοσμικοὺς ἄρχοντας ποὺ κατανέμουν τὰς κυβερνητικὰς θέσεις ὄχι βάσει τῶν πνευματικῶν προσόντων, ἀλλὰ βάσει τοῦ πλούτου, τῆς μεγάλης ἡλικίας καὶ τῆς ἰσχυρᾶς προστασίας· ὅταν ὅμως ἔμαθα ὅτι ἡ ἰδία κατάστασις εἰσῆλθε καὶ εἰς τὴν Ἐκκλησίαν μας, τότε ἔπαυσα νὰ εἶμαι τόσον αὐστηρὸς πρὸς τοὺς κοσμικούς. Τί παράδοξον εἶναι νὰ ἐνεργοῦν ἔτσι ἄνθρωποι κοσμικοὶ ποὺ ἀγαποῦν τὴν δόξαν ἐκ μέρους τοῦ πλήθους καὶ προβαίνουν εἰς οἱανδήποτε πρᾶξιν ἀπὸ ἀγάπην πρὸς τὰ χρήματα, ἀφοῦ αὐτοὶ ποὺ προσποιοῦνται ὅτι ἔχουν ἀπαλλαγῆ ἀπὸ παρόμοια ἐλαττώματα δὲν συμπεριφέρονται καλύτερα ἀπὸ ἐκείνους; Ἀφοῦ καὶ αὐτοί, ἐνῷ ἀγωνίζονται δι' οὐράνια ἀγαθά, μόλις ἔλθῃ ἡ στιγμὴ τῆς ἀποφάσεως διὰ τὴν ἐκλογήν, ἐνεργοῦν σὰν νὰ πρόκειται διὰ πλέθρα γῆς ἢ ἄλλα γήϊνα πράγματα καὶ τοποθετοῦν ἀνθρώπους τυχαίους εἰς τέτοιους θησαυρούς, ὑπὲρ τῶν ὁποίων δὲν ἐδίστασεν ὁ μονογενὴς Υἱὸς τοῦ Θεοῦ νὰ κενώσῃ τὴν δόξαν του καὶ νὰ γίνῃ ἄνθρωπος καὶ νὰ λάβῃ μορφὴν δούλου[37] καὶ νὰ ἐμπτυσθῇ καὶ νὰ ραπισθῇ[38] καὶ ν' ἀποθάνῃ κατὰ τὴν σάρκα μὲ ἐπονείδιστον θάνατον;

Καὶ δὲν σταματοῦν εἰς αὐτά, ἀλλὰ προσθέτουν καὶ ἄλλα ἀτοπώτερα. Δὲν ἐγκρίνουν ἁπλῶς τοὺς ἀναξίους, ἀλλὰ καὶ ἀποκλείουν τοὺς καταλλήλους. Σὰν νὰ ἦτο ἀνάγκη νὰ διασαλευθῇ ἡ ἀσφάλεια τῆς Ἐκκλησίας καὶ ἀπὸ τὰς δύο πλευράς, σὰν νὰ μὴ ἀρκοῦσεν νὰ προκαλέσῃ τὴν ὀργὴν τοῦ Θεοῦ ἡ προηγουμένη αἰτία, προσθέτουν καὶ ἄλλην αἰ-

τον οὖσαν χαλεπήν. Καὶ γὰρ ἐξ ἴσης οἶμαι εἶναι δεινόν, τό τε τοὺς χρησίμους ἀπείργειν καὶ τὸ τοὺς ἀχρείους εἰσωθεῖν. Καὶ τοῦτο δὴ γίνεται, ἵνα μηδαμόθεν παραμυθίαν εὑρεῖν μηδὲ ἀναπνεῦσαι δυνηθῇ τοῦ Χριστοῦ τὸ ποίμνιον. Ταῦτα οὖν οὐ
5 *μυρίων ἄξια σκηπτῶν; Ταῦτα οὐ γεέννης σφοδροτέρας, οὐ ταύτης μόνον τῆς ἠπειλημένης ἡμῖν; Ἀλλ' ὅμως ἀνέχεται καὶ φέρει τὰ τοσαῦτα κακὰ ὁ μὴ βουλόμενος τὸν θάνατον τοῦ ἁμαρτωλοῦ ὡς τὸ ἐπιστρέψαι αὐτὸν καὶ ζῆν. Καὶ πῶς ἄν τις ἀξίως αὐτοῦ τὴν φιλανθρωπίαν θαυμάσειεν; Πῶς ἂν ἐκπλαγείη τὸν*
10 *ἔλεον; Οἱ τοῦ Χριστοῦ τὰ τοῦ Χριστοῦ διαφθείρουσιν ἐχθρῶν καὶ πολεμίων μᾶλλον· ὁ δὲ ἀγαθὸς ἔτι χρηστεύεται καὶ εἰς μετάνοιαν καλεῖ. Δόξα σοι, Κύριε, δόξα σοι. Πόση φιλανθρωπίας ἄβυσσος παρὰ σοί; Πόσος ἀνεξικακίας πλοῦτος; Οἱ διὰ τὸ ὄνομα τὸ σὸν ἐξ εὐτελῶν καὶ ἀτίμων ἔντιμοι καὶ περίβλεπτοι*
15 *γεγονότες τῇ τιμῇ κατὰ τοῦ τετιμηκότος κέχρηνται καὶ τολμῶσι τὰ ἀτόλμητα καὶ ἐνυβρίζουσιν εἰς τὰ ἅγια τοὺς σπουδαίους ἀπωθούμενοι καὶ ἐκβάλλοντες, ἵνα ἐν ἠρεμίᾳ πολλῇ καὶ μετὰ ἀδείας τῆς ἐσχάτης οἱ πονηροὶ πάντα, ὅσαπερ ἂν ἐθέλωσιν, ἀνατρέπωσιν.*

20 *Καὶ τούτου δὲ τοῦ δεινοῦ τὰς αἰτίας εἰ θέλεις μαθεῖν, ὁμοίας ταῖς προτέραις εὑρήσεις. Τὴν μὲν γὰρ ῥίζαν καὶ (ὡς ἂν τις εἴποι) μητέρα μίαν ἔχουσι, τὴν βασκανίαν· αὗται δὲ οὐ μιᾶς εἰσιν ἰδέας, ἀλλὰ διεστήκασιν. Ὁ μὲν γάρ, ἐπειδὴ νέος ἐστίν, ἐκβαλλέσθω, φησίν· ὁ δέ, ἐπειδὴ κολακεύειν οὐκ οἶδεν·*
25 *ὁ δέ, ἐπειδὴ τῷ δεῖνι προσέκρουσε· καὶ ὁ μέν, ἵνα μὴ ὁ δεῖνα λυπῆται τὸν μὲν ὑπ' αὐτοῦ δοθέντα ἀποδοκιμασθέντα, τοῦτον δὲ ἐγκεκριμένον ὁρῶν· ὁ δέ, ἐπειδὴ χρηστός ἐστι καὶ ἐπιεικής· ὁ δέ, ἐπειδὴ τοῖς ἁμαρτάνουσι φοβερός· ὁ δέ, δι' ἄλλην αἰτίαν*

---

39. Ἰεζ. 18, 23.
40. Πρβλ. Ἰσιδώρου Πηλουσιώτου 2. 50· «τινὲς μὲν εἰς τυραννίδα ἀπεχρήσαντο τῷ πράγματι, τινὲς δὲ εἰς χρηματισμόν, τινὲς δὲ εἰς τρυφήν». Ὁ Γρηγόριος, Ἀπολογητικὸς 26, εὑρίσκει τόσην κατάπτωσιν εἰς τὰς τάξεις τῶν ἐπισκόπων, ὥστε ἀναφέρει ὅτι τώρα πλέον θεωρεῖται ὡς κατόρθωμά των νὰ σώσουν ὄχι καὶ τῶν ἄλλων, ἀλλὰ τὰς ἰδικάς των μόνον ψυχάς.

τίαν ἐξ ἴσου σοβαράν. Διότι νομίζω ὅτι εἶναι ἐξ ἴσου καταστρεπτικὰ καὶ ὁ ἀποκλεισμὸς τῶν χρησίμων καὶ ἡ προώθησις τῶν ἀνικάνων. Καὶ γίνεται τοῦτο διὰ νὰ μὴ ἠμπορῇ νὰ εὕρῃ πουθενὰ παρηγορίαν τὸ ποίμνιον τοῦ Χριστοῦ. Δὲν εἶναι ἀξία νὰ προκαλέσῃ μυρίους κεραυνοὺς ἡ κατάστασις αὐτή; Δὲν εἶναι ἀξία χειροτέρας γεέννης ἀπὸ αὐτὴν μὲ τὴν ὁποίαν μᾶς ἀπειλεῖ ὁ Θεός; Ἀλλ' ὅμως ἀνέχεται καὶ ὑποφέρει ὅλα τὰ κακά, διότι δὲν θέλει τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ἀλλὰ τὴν ἐπιστροφὴν καὶ τὴν σωτηρίαν του[39]. Ἡ φιλανθρωπία του ὑπερβαίνει τὸν θαυμασμὸν τῶν ἀνθρώπων· τὸ ἔλεός του ὑπερβαίνει τὴν ἔκπληξιν. Οἱ Χριστιανοὶ διαφθείρουν τὴν Ἐκκλησίαν τοῦ Χριστοῦ χειρότερα ἀπὸ ἐχθροὺς καὶ ἀντιπάλους, καὶ αὐτὸς διατηρεῖ τὴν ἀγαθότητά του καὶ καλεῖ εἰς μετάνοιαν. Δόξα Σοι, Κύριε, δόξα Σοι. Πόσον ἀπέραντος εἶναι ἡ ἄβυσσος τῆς φιλανθρωπίας Σου! Πόσον ἄφθονος ὁ πλοῦτος τῆς ἀνεξικακίας Σου! Οἱ εὐτελεῖς καὶ οἱ ἄτιμοι, ποὺ ἔγιναν ἔντιμοι καὶ ζηλευτοὶ διὰ τοῦ ὀνόματός σου, χρησιμοποιοῦν τὴν τιμὴν ἐναντίον τοῦ τιμήσαντος καὶ ἐνεργοῦν μὲ θρασύτητα καὶ προσβάλλουν τὰ ἅγια μὲ τὴν ἀπώθησιν καὶ ἐκδίωξιν τῶν ἱκανῶν, διὰ νὰ εἶναι αὐτοὶ οἱ πονηροὶ ἥσυχοι καὶ ἀσύδοτοι εἰς τὴν κατ' ἀρέσκειαν ἀνατροπὴν τῆς ἐκκλησιαστικῆς τάξεως[40].

Ἂν θελήσῃς νὰ ἐρευνήσῃς, θὰ μάθῃς ὅτι καὶ αὐτοῦ τοῦ κακοῦ ἡ αἰτία εἶναι ὁμοία μὲ τῶν προηγουμένων. Ἡ ρίζα, ἡ μητέρα των θὰ ἐλέγαμεν, εἶναι μία, ὁ φθόνος· τὰ δὲ κίνητρα δὲν ἀνήκουν εἰς ἕνα εἶδος, εἶναι πολύμορφα. Λέγουν. Αὐτὸς ν' ἀποκλεισθῇ διότι εἶναι νέος. Ὁ ἄλλος ν' ἀποκλεισθῇ διότι δὲν γνωρίζει νὰ κολακεύῃ. Ὁ ἄλλος ν' ἀποκλεισθῇ διότι εὑρίσκεται ὑπὸ τὴν δυσμένειαν τοῦ δεῖνα προσώπου. Αὐτὸς ν' ἀποκλεισθῇ διότι ἡ ἐκλογή του θὰ λυπήσῃ τὸν τάδε, ποὺ ἐνδιαφέρεται διὰ τὴν ὑποψηφιότητα ἑνὸς ἄλλου. Ὁ ἄλλος ν' ἀποκλεισθῇ διότι εἶναι ἀγαθὸς καὶ ἐπιεικής. Ὁ ἄλλος ν' ἀποκλεισθῇ διότι εἶναι αὐστηρὸς εἰς τοὺς ἁμαρτάνοντας. Καὶ ὁ ἄλλος δι' ἄλλην παρο-

τοιαύτην· οὐδὲ γὰρ ἀποροῦσι προφάσεων, ὅσων ἂν ἐθέλωσιν· ἀλλὰ καὶ τὸ πλῆθος τῶν ὄντων ἐστὶν αὐτοῖς αἰτιᾶσθαι, ὅταν μηδὲν ἔχωσιν ἕτερον· ἀλλὰ καὶ τὸ μὴ δεῖν ἀθρόως εἰς ταύτην ἄγεσθαι τὴν τιμήν, ἀλλ' ἠρέμα καὶ κατὰ μικρὸν καὶ ἑτέρας
5 *ὅσας ἂν βούλωνται, δύναιντ' ἂν αἰτίας εὑρεῖν.*

Ἐγὼ δὲ ἡδέως ἐνταῦθα ἐρήσομαι. Τί οὖν δεῖ τὸν ἐπίσκοπον ποιεῖν, τοσούτοις μαχόμενον πνεύμασι; πῶς πρὸς τοσαῦτα στήσεται κύματα; πῶς πάσας ταύτας ἀπώσεται τὰς προσβολάς; Ἂν μὲν γὰρ ὀρθῷ λογισμῷ τὸ πρᾶγμα διαθῇ, ἐχθροὶ καὶ
10 *πολέμιοι καὶ αὐτῷ καὶ τοῖς αἱρεθεῖσιν ἅπαντες καὶ πρὸς φιλονεικίαν τὴν ἐκείνου ἅπαντα πράττουσι, στάσεις καθ' ἑκάστην ἐμβάλλοντες τὴν ἡμέραν καὶ σκώμματα μυρία τοῖς αἱρεθεῖσιν ἐπιτιθέντες, ἕως ἂν ἢ τούτους ἐκβάλωσιν ἢ τοὺς αὐτῶν εἰσαγάγωσιν. Καὶ γίνεται παραπλήσιον, οἷον ἂν εἴ τις κυβερ-*
15 *νήτης ἔνδον ἐν τῇ νηῒ τῇ πλεούσῃ πειρατὰς ἔχοι συμπλέοντας καὶ αὐτῷ καὶ τοῖς ναύταις καὶ τοῖς ἐπιβάταις συνεχῶς καὶ καθ' ἑκάστην ἐπιβουλεύοντας ὥραν. Ἂν δὲ τὴν πρὸς ἐκείνους χάριν προτιμήσῃ τῆς αὐτοῦ σωτηρίας, δεξάμενος οὓς οὐκ ἔδει, ἕξει μὲν τὸν Θεὸν ἀντ' ἐκείνων ἐχθρόν, οὗ τί γένοιτ' ἂν χα-*
20 *λεπώτερον; Καὶ τὰ πρὸς ἐκείνους δὲ αὐτῷ δυσκολώτερον ἢ πρότερον διακείσεται, πάντων συμπραττόντων ἀλλήλοις καὶ τούτων μᾶλλον ἰσχυρῶν γενομένων. Ὥσπερ γὰρ ἀγρίων ἀνέμων ἐξ ἐναντίας προσπεσόντων ἀλλήλοις, τὸ τέως ἡσυχάζον πέλαγος μαίνεται ἐξαίφνης καὶ κορυφοῦται καὶ τοὺς ἐμπλέον-*
25 *τας ἀπόλλυσιν, οὕτω καὶ ἡ τῆς Ἐκκλησίας γαλήνη, δεξαμένη φθόρους ἀνθρώπους, ζάλης καὶ ναυαγίων πληροῦται πολλῶν.*

17. Ἐννόησον οὖν, ὁποῖόν τινα εἶναι χρὴ τὸν πρὸς τοσοῦτον μέλλοντα ἀνθέξειν χειμῶνα καὶ τοσαῦτα κωλύματα τῶν

μοίαν αἰτίαν. Καὶ δὲν τοὺς λείπουν αἱ προφάσεις, ὅταν θέλουν. Ὅταν δὲν ἔχουν τίποτε ἄλλο, κατηγοροῦν ἀκόμη καὶ τὴν ἀφθονίαν τῶν προσόντων. Ἐπικαλοῦνται δὲ εἰς τὴν περίπτωσιν αὐτὴν καὶ τὸ γεγονὸς ὅτι δὲν πρέπει ν' ἀνέρχωνται εἰς τὸ ἐπισκοπικὸν ἀξίωμα διὰ μιᾶς, ἀλλὰ βαθμιαίως καὶ κατ' ὀλίγον, καὶ ὁσασδήποτε ἄλλας αἰτίας εὑρίσκουν.

Ἐγὼ δὲ ἐπιθυμῶ νὰ ἐρωτήσω εἰς τὸ σημεῖον αὐτό. Τί ἠμπορεῖ νὰ κάμῃ ὁ ἐπίσκοπος ὅταν μάχεται μὲ τόσους ἀνέμους; Πῶς θ' ἀντισταθῇ εἰς τόσα κύματα; Πῶς θ' ἀντικρούσῃ ὅλας αὐτὰς τὰς ἐπιθέσεις; Ἂν μὲν πολιτευθῇ ὀρθῶς, ὅλοι γίνονται ἐχθροὶ καὶ πολέμιοι καὶ αὐτοῦ καὶ τῶν ἐκλεγέντων, καὶ ἀντενεργοῦν εἰς ὅλας τὰς πράξεις του, δημιουργοῦντες καθημερινὰς φιλονεικίας καὶ στάσεις ἐναντίον αὐτοῦ καὶ ἀπευθύνοντες μυρίους χλευασμοὺς πρὸς τοὺς ἐκλεγέντας, μέχρις ὅτου ἢ ἐκδιώξουν αὐτοὺς ἢ εἰσαγάγουν τοὺς προστατευομένους των. Καὶ γίνεται κάτι παρόμοιον πρὸς ὅ,τι συμβαίνει μὲ κυβερνήτην ποὺ ἔχει μέσα εἰς τὸ πλοῖον του κατὰ τὸν πλοῦν πειρατὰς ὡς συνταξιδιώτας, οἱ ὁποῖοι ἐπιβουλεύονται καὶ αὐτὸν καὶ τοὺς ναύτας καὶ τοὺς ἐπιβάτας. Ἐὰν δὲ ὁ ἐπίσκοπος προτιμήσῃ νὰ κάμῃ εἰς αὐτοὺς τὴν χάριν παρὰ νὰ ἐξασφαλίσῃ τὴν σωτηρίαν του, καὶ δεχθῇ εἰς τὴν ἱερωσύνην ἀναξίους, θὰ ἔχῃ τὸν Θεὸν ὡς ἐχθρὸν ἀντὶ ἐκείνων, πρᾶγμα ἀκόμη χειρότερον. Ἀλλὰ καὶ αἱ πρὸς ἐκείνους σχέσεις του θὰ γίνουν χειρότεραι ἀπὸ πρίν, διότι ὅλοι ἐκεῖνοι θὰ συμπράττουν πλέον καὶ θὰ καταστοῦν ἰσχυρότεροι. Ὅπως, ὅταν συγκρούωνται ἄγριοι ἄνεμοι πνέοντες ἀπὸ ἀντιθέτους διευθύνσεις, τὸ ἥσυχον πρὸ ὀλίγου πέλαγος γίνεται ἐξαφνικὰ κυματῶδες καὶ τρικυμιῶδες καὶ ἀνατρέπει τὰ πλοῖα, ἔτσι καὶ ἡ γαλήνη τῆς Ἐκκλησίας, ὅταν δέχεται ἀνθρώπους διαφθορεῖς, γεμίζει μὲ σάλον καὶ πλημμυρίζει ἀπὸ ἄφθονα ναυάγια.

17. Σκέψου λοιπὸν πόσον ἱκανὸς πρέπει νὰ εἶναι ὁ ἄνθρωπος ποὺ πρόκειται ν' ἀντιμετωπίσῃ τέτοιαν τρικυμίαν καὶ νὰ ὑπερπηδήσῃ τόσα ἐμπόδια ὀρθούμενα πρὸ τῶν

κοινῇ συμφερόντων διαθήσειν καλῶς. Καὶ γὰρ καὶ σεμνὸν καὶ ἄτυφον καὶ φοβερὸν καὶ προσηνῆ καὶ ἀρχικὸν καὶ κοινωνικὸν καὶ ἀδέκαστον καὶ ταπεινὸν καὶ ἀδούλωτον καὶ σφοδρὸν καὶ ἥμερον εἶναι δεῖ, ἵνα πρὸς ἅπαντα ταῦτα εὐκόλως μάχεσθαι
5 *δύνηται, καὶ τὸν ἐπιτήδειον μετὰ πολλῆς τῆς ἐξουσίας, κἂν ἅπαντες ἀντιπίπτωσι, παράγειν, καὶ τὸν οὐ τοιοῦτον μετὰ τῆς αὐτῆς ἐξουσίας, κἂν ἅπαντες συμπνέωσι, μὴ προσίεσθαι· ἀλλ' εἰς ἓν μόνον ὁρᾶν, τὴν ἐκκλησιαστικὴν οἰκοδομήν, καὶ μηδὲν πρὸς ἀπέχθειαν ἢ χάριν ποιεῖν.*

10 *Ἀρά σοι δοκοῦμεν εἰκότως παρῃτῆσθαι τοῦ πράγματος τούτου τὴν διακονίαν; Καίτοι γε οὔπω πάντα διῆλθον πρὸς σέ· ἔχω γὰρ καὶ ἕτερα λέγειν. Ἀλλὰ μὴ ἀποκάμῃς ἀνδρὸς φίλου καὶ γνησίου, βουλομένου σε πείθειν ὑπὲρ ὧν ἐγκαλεῖς, ἀνεχόμενος. Οὐδὲ γὰρ πρὸς τὴν ἀπολογίαν σοι τὴν ὑπὲρ ἡμῶν,*
15 *ταῦτα χρήσιμά ἐστιν μόνον, ἀλλὰ καὶ πρὸς αὐτὴν τοῦ πράγματος τὴν διοίκησιν τάχα οὐ μικρὸν συμβαλεῖται κέρδος. Καὶ γὰρ ἀναγκαῖον τὸν μέλλοντα ἐπὶ ταύτην ἔρχεσθαι τοῦ βίου τὴν ὁδόν, πρότερον ἅπαντα διερευνησάμενον καλῶς, οὕτως ἅψασθαι τῆς διακονίας. Τί δήποτε; Ὅτι, εἰ καὶ μηδὲν ἄλλο, τὸ*
20 *γοῦν μὴ ξενοπαθεῖν, ἡνίκα ἂν ταῦτα προσπίπτῃ, περιέσται τῷ πάντα εἰδότι σαφῶς.*

Βούλει οὖν ἐπὶ τὴν τῶν χηρῶν προστασίαν ἴωμεν πρότερον, ἢ τὴν τῶν παρθένων κηδεμονίαν, ἢ τοῦ δικαστικοῦ μέρους τὴν δυσχέρειαν; Καὶ γὰρ ἐφ' ἑκάστου τούτων διάφορος
25 *ἡ φροντὶς καὶ τῆς φροντίδος μείζων ὁ φόβος.*

Καὶ πρῶτον, ἵνα ἀπὸ τοῦ τῶν ἄλλων εὐτελεστέρου δοκοῦντος εἶναι ποιησώμεθα τὴν ἀρχήν, ἡ τῶν χηρῶν θεραπεία δοκεῖ μὲν μέχρι τῆς τῶν χρημάτων δαπάνης τοῖς ἐπιμελουμένοις

---

41. Α' Τιμ. 5, 16.

κοινῶν συμφερόντων τῆς Ἐκκλησίας. Διὰ νὰ ἠμπορέσῃ ὁ ἐπίσκοπος νὰ μάχεται εὔκολα ἐναντίον τόσων κινδύνων, πρέπει νὰ εἶναι συγχρόνως σοβαρὸς καὶ ἁπλοῦς, φοβερὸς καὶ ἐπιεικής, αὐταρχικὸς καὶ κοινωνικός, ἀδέκαστος καὶ ἐξυπηρετικός, ταπεινὸς καὶ ἀξιοπρεπής, αὐστηρὸς καὶ ἥμερος· καὶ νὰ προάγῃ μὲ θάρρος εἰς τὰς διαφόρους θέσεις τοὺς καταλλήλους, ἀκόμη καὶ ἂν ὅλοι οἱ ὑφιστάμενοι ἀντιλέγουν, καὶ μὲ τὸ ἴδιον θάρρος ν' ἀποκλείῃ ἀπὸ αὐτὰς τοὺς ἀκαταλλήλους, ἀκόμη καὶ ἂν τοὺς ὑποστηρίζουν ὅλοι. Εἰς ἕνα μόνον ν' ἀποβλέπῃ, εἰς τὴν οἰκοδόμησιν τῆς Ἐκκλησίας· ἑπομένως νὰ μὴ προβαίνῃ εἰς καμμίαν ἐνέργειαν ἀπὸ δυσμένειαν ἢ εὐμένειαν πρὸς ὡρισμένα ἄτομα.

Ἀντιλαμβάνεσαι ἆρά γε τώρα ὅτι καλῶς παρῃτήθην ἀπὸ τὴν μεγάλην αὐτὴν διακονίαν; Καὶ ὅμως δὲν σοῦ τὰ εἶπα ἀκόμη ὅλα· ἔχω νὰ σοῦ εἰπῶ καὶ ἄλλα. Μὴ ἀποκάμῃς ν' ἀκούῃς ἕνα γνήσιον φίλον ποὺ θέλει ν' ἀνατρέψῃ τὰς ἐναντίον του κατηγορίας σου. Διότι ὅσα λέγω δὲν εἶναι χρήσιμα μόνον διὰ τὴν ἀπολογίαν μου πρὸς σέ· θὰ συμβάλουν ἴσως σοβαρῶς καὶ εἰς τὴν διόρθωσιν τῆς ἐπικρατούσης καταστάσεως. Εἶναι ἀναγκαῖον, ὅποιος πρόκειται ν' ἀκολουθήσῃ αὐτὸ τὸ στάδιον, νὰ ἐρευνήσῃ πρῶτα καλὰ ὅλας τὰς προϋποθέσεις καὶ ἔπειτα ν' ἀναλάβῃ τὴν ὑπηρεσίαν. Διατί; Διότι καὶ κανένα ἄλλο ὄφελος νὰ μὴ ἔχῃ, τοὐλάχιστον δὲν θὰ ταραχθῇ ἀπὸ τὰς δυσκόλους περιστάσεις ποὺ θὰ τοῦ παρουσιασθοῦν, ἐπειδὴ θὰ τὰς ἔχῃ ἤδη προβλέψει.

Θέλεις τώρα ν' ἀρχίσωμεν ἀπὸ τὴν προστασίαν τῶν χηρῶν ἢ ἀπὸ τὴν κηδεμονίαν τῶν παρθένων ἢ ἀπὸ τὰς δυσκολίας τοῦ δικαστικοῦ ἔργου; Ἡ φροντὶς διὰ καθεμίαν ἀπὸ τὰς ὑποχρεώσεις αὐτὰς εἶναι διάφορος καὶ δύσκολος, ὁ δὲ κίνδυνος μεγαλύτερος ἀπὸ τὴν φροντίδα.

Καὶ ἂς ἀρχίσωμεν πρῶτα ἀπὸ τὸ θεωρούμενον ὡς εὐκολώτερον. Ἡ προστασία τῶν χηρῶν φαίνεται νὰ ἐμβάλῃ εἰς τὴν φροντίδα τῶν χρηματικῶν μόνον ἐξόδων τοὺς ἀσχολουμένους μὲ αὐτήν[41]. Δὲν πρόκειται ὅμως μόνον περὶ

αὐτῶν παρέχειν τὴν φροντίδα· τὸ δὲ οὐ τοιοῦτόν ἐστιν, ἀλλὰ πολλῆς δεῖται κἀνταῦθα τῆς ἐξετάσεως, ὅταν αὐτὰς καταλέγειν δέῃ· ὡς τό γε ἁπλῶς καὶ ὡς ἔτυχεν αὐτὰς ἐγγράφεσθαι μυρία εἰργάσατο δεινά. Καὶ γὰρ καὶ οἴκους διέφθειραν
5 *καὶ γάμους διέσπασαν καὶ ἐπὶ κλοπαῖς πολλάκις καὶ ἐπὶ καπηλείαις καὶ ἑτέροις τοιούτοις ἀσχημονῆσαι ἑάλωσιν. Τὸ δὲ τὰς τοιαύτας ἀπὸ τῶν τῆς Ἐκκλησίας τρέφεσθαι χρημάτων καὶ παρὰ Θεοῦ τιμωρίαν καὶ παρὰ ἀνθρώπων φέρει τὴν ἐσχάτην κατάγνωσιν καὶ τοὺς εὖ ποιεῖν βουλομένους ὀκνηροτέρους*
10 *καθίστησιν. Τίς γὰρ ἂν ἕλοιτό ποτε, ἃ τῷ Χριστῷ προσετάχθη δοῦναι χρήματα, ταῦτα ἀναλίσκειν εἰς τοὺς τὸ τοῦ Χριστοῦ διαβάλλοντας ὄνομα; Διὰ ταῦτα πολλὴν δεῖ καὶ ἀκριβῆ ποιεῖσθαι τὴν ἐξέτασιν, ὡς μὴ μόνον τὰς εἰρημένας, ἀλλὰ μηδὲ τὰς ἑαυταῖς ἀρκεῖν δυναμένας τὴν τῶν ἀδυνάτων λυμαίνε-*
15 *σθαι τράπεζαν.*

Μετὰ δὲ τὴν ἐξέτασιν ταύτην ἑτέρα διαδέχεται φροντὶς οὐ μικρά, ἵνα αὐταῖς τὰ τῆς τροφῆς ἀθρόως, ὥσπερ ἐκ πηγῶν ἐπιρρέῃ καὶ μὴ διαλιμπάνῃ ποτέ. Καὶ γὰρ ἀκόρεστόν πως κακὸν ἡ ἀκούσιος πενία καὶ μεμψίμοιρον καὶ ἀχάριστον, καὶ
20 *δεῖ πολλῆς μὲν τῆς συνέσεως, πολλῆς δὲ τῆς σπουδῆς, ὥστε αὐτῶν ἐμφράττειν τὰ στόματα, πᾶσαν ἐξαιροῦντα κατηγορίας πρόφασιν. Οἱ μὲν οὖν πολλοί, ὅταν τινὰ ἴδωσι χρημάτων κρείττονα, εὐθέως αὐτὸν ἐπιτήδειον εἶναι πρὸς ταύτην ἀποφαίνονται τὴν οἰκονομίαν. Ἐγὼ δὲ οὐχ ἡγοῦμαί ποτε ταύτην*
25 *αὐτῷ τὴν μεγαλοψυχίαν ἀρκεῖν μόνην, ἀλλὰ δεῖν μὲν αὐτὴν πρὸ τῶν ἄλλων ἔχειν (χωρὶς γὰρ ταύτης λυμεὼν ἂν εἴη μᾶλλον ἢ προστάτης καὶ λύκος ἀντὶ ποιμένος), μετὰ δὲ αὐτῆς καὶ ἑτέραν ζητεῖν, εἰ κεκτημένος τυγχάνοι. Αὕτη δέ ἐστιν ἡ πάντων αἰτία ἀνθρώποις τῶν ἀγαθῶν, ἀνεξικακία, ὥσπερ εἴς τινα*
30 *εὔδιον λιμένα ὁρμίζουσα καὶ παραπέμπουσα τὴν ψυχήν. Τὸ γὰρ τῶν χηρῶν γένος καὶ διὰ τὴν πενίαν καὶ διὰ τὴν ἡλικίαν καὶ διὰ τὴν φύσιν, ἀμέτρῳ τινὶ κέχρηται παρρησίᾳ (οὕτω γὰρ*

---

42. Αὐτ. 9.

αὐτοῦ, ἀλλ' ἀπαιτεῖ καὶ πολλὴν ἐξέτασιν κατὰ τὴν ἐκλογὴν τῶν χηρῶν, διότι ἡ ἐπιπολαία ἐγγραφή των εἰς τὸ τάγμα φέρει πολλοὺς κινδύνους[42]. Πραγματικὰ δὲ πολλάκις καὶ σπίτια κατέστρεψαν καὶ γάμους διέλυσαν καὶ διὰ κλοπήν, δι' ὄργια καὶ δι' ἄλλας παρομοίας αἰτίας συνελήφθησαν. Τὸ νὰ διατρέφωνται δὲ τέτοιαι γυναῖκες μὲ χρήματα τῆς Ἐκκλησίας φέρει καὶ τοῦ Θεοῦ τὴν ὀργὴν καὶ τῶν ἀνθρώπων τὴν χειροτέραν κατάκρισιν καὶ κάμνει διστακτικοὺς τοὺς ἔχοντας τὴν θέλησιν νὰ εὐεργετήσουν. Ποῖος θὰ ἐπιθυμοῦσε νὰ ἐξοδεύωνται τὰ χρήματα ποὺ θέλει ν' ἀφιερώσῃ εἰς τὸν Χριστὸν διὰ πρόσωπα ποὺ διασύρουν τὸ ὄνομα τοῦ Χριστοῦ; Διὰ τοῦτο χρειάζεται ἐπισταμένη καὶ ἀκριβὴς ἐξέτασις, ὥστε νὰ μὴ διασπαθίζουν τὴν τράπεζαν τῶν πτωχῶν οὔτε αἱ ἀνωτέρω μνημονευθεῖσαι ἀνήθικοι χῆραι οὔτε αἱ διαθέτουσαι ἐπαρκῆ μέσα πρὸς συντήρησίν των.

Ἔπειτα δὲ ἀπὸ αὐτὴν τὴν ἐξέτασιν ἀκολουθεῖ ἄλλη σοβαρὰ φροντίς, ἡ προμήθεια ἀφθόνων ὑλικῶν διατροφῆς ἀπὸ πηγὰς ποὺ δὲν στερεύουν ποτέ. Ἡ ἀκουσία πενία εἶναι κακὸν κάπως ἀχόρταγον καὶ μεμψίμοιρον καὶ ἀχάριστον, καὶ διὰ τοῦτο ἀπαιτεῖται πολλὴ φρόνησις καὶ σπουδὴ ὥστε νὰ κλεισθοῦν τὰ στόματα τῶν χηρῶν μὲ τὴν ἐξαφάνισιν κάθε ἀφορμῆς κατηγορίας. Ὁ πολὺς κόσμος θεωρεῖ ἱκανὸν διὰ τὴν προστασίαν τῶν χηρῶν κάθε ἄνθρωπον ποὺ εἶναι ἀνώτερος χρημάτων. Ἐγὼ ὅμως δὲν ἔχω καθόλου τὴν γνώμην ὅτι ἀρκεῖ μόνη της αὐτὴ ἡ μεγαλοψυχία· βεβαίως εἶναι καὶ αὐτὴ ἀπαραίτητος (διότι χωρὶς αὐτὴν θὰ ἐπρόκειτο περὶ λυμεῶνος καὶ ὄχι προστάτου, περὶ λύκου καὶ ὄχι ποιμένος), ἀλλὰ μαζὶ μὲ αὐτὴν πρέπει νὰ ζητῆται ἂν ἔχῃ καὶ ἕνα ἄλλο προσόν. Εἶναι δὲ τὸ προσὸν αὐτὸ ἡ αἰτία ὅλων τῶν ἀγαθῶν διὰ τοὺς ἀνθρώπους· ἡ ἀνεξικακία, ἡ ὁποία στέλλει τὴν ψυχὴν νὰ προσορμισθῇ εἰς γαλήνιον λιμένα. Ἡ τάξις τῶν χηρῶν καὶ λόγῳ τῆς πενίας καὶ λόγῳ τῆς ἡλικίας καὶ λόγῳ τῆς φύσεως διακρίνεται διὰ τὸ ὑπερ-

ἄμεινον εἰπεῖν)· καὶ βοῶσιν ἀκαίρως καὶ αἰτιῶνται μάτην καὶ ἀποδύρονται ὑπὲρ ὧν χάριν εἰδέναι ἐχρῆν καὶ κατηγοροῦσιν ὑπὲρ ὧν ἀποδέχεσθαι ἔδει. Καὶ δεῖ τὸν προεστῶτα ἅπαντα φέρειν γενναίως καὶ μήτε πρὸς τὰς ἀκαίρους ἐνοχλήσεις,
5 *μήτε πρὸς τὰς ἀλόγους παροξύνεσθαι μέμψεις. Ἐλεεῖσθαι γὰρ ἐκεῖνο τὸ γένος, ὑπὲρ ὧν δυστυχοῦσιν, οὐχ ὑβρίζεσθαι, δίκαιον· ὡς τό γε ἐπεμβαίνειν αὐτῶν ταῖς συμφοραῖς καὶ τῇ διὰ τὴν πενίαν ὀδύνῃ τὴν ἀπὸ τῆς ὕβρεως προστιθέναι τῆς ἐσχάτης ὠμότητος ἂν εἴη.*

10 *Διὰ τοῦτο καί τις ἀνὴρ σοφώτατος, εἴς τε τὸ φιλοκερδὲς καὶ τὸ ὑπεροπτικὸν τῆς ἀνθρωπίνης φύσεως ἀπιδὼν καὶ τῆς πενίας τὴν φύσιν καταμαθών, δεινὴν οὖσαν καὶ τὴν γενναιοτάτην ψυχὴν καταβαλεῖν καὶ πεῖσαι περὶ τῶν αὐτῶν ἀναισχυντεῖν πολλάκις, ἵνα μή τις αἰτούμενος παρ' αὐτῶν ὀργίζηται,*
15 *μηδὲ τῷ συνεχεῖ τῆς ἐντεύξεως παροξυνθεὶς πολέμιος ὁ βοηθεῖν ὀφείλων γένηται, παρασκευάζει προσηνῆ τε αὐτὸν καὶ εὐπρόσιτον εἶναι τῷ δεομένῳ, λέγων· «κλῖνον πτωχῷ ἀλύπως τὸ οὖς σου καὶ ἀποκρίθητι αὐτῷ ἐν πραότητι εἰρηνικά»· καὶ τὸν παροξύνοντα ἀφεὶς (τί γὰρ ἄν τις τῷ κειμένῳ λέγοι;) τῷ*
20 *δυναμένῳ τὴν ἐκείνου φέρειν ἀσθένειαν διαλέγεται, παρακαλῶν τῷ τε ἡμέρῳ τῆς ὄψεως καὶ τῇ τῶν λόγων πραότητι πρὸ τῆς δόσεως αὐτὸν ἀνορθοῦν.*

Ἂν δέ τις τὰ μὲν ἐκείνων μὴ λαμβάνῃ, μυρίοις δὲ αὐτὰς ὀνείδεσι περιβάλλῃ καὶ ὑβρίζῃ καὶ παροξύνηται κατ' αὐτῶν, οὐ
25 *μόνον οὐκ ἐπεκούφισε τὴν ἀπὸ τῆς πενίας ἀθυμίαν τῷ δοῦναι, ἀλλὰ καὶ μεῖζον ταῖς λοιδορίαις εἰργάσατο τὸ δεινόν. Κἂν γὰρ λίαν ἀναισχυντεῖν βιάζωνται διὰ τὴν τῆς γαστρὸς ἀνάγκην, ἀλλ' ὅμως ἀλγοῦσιν ἐπὶ τῇ βίᾳ ταύτῃ. Ὅταν οὖν διὰ μὲν τὸ τοῦ λιμοῦ δέος προσαιτεῖν ἀναγκάζωνται, διὰ δὲ τὸ προσαι-*

---

43. Σοφ. Σειρ. 4, 8.

βολικὸν θράσος (κατ' ἐπιεικῆ χαρακτηρισμόν)· φωνάζουν ἀκαίρως, διαμαρτύρονται χωρὶς λόγον, παραπονοῦνται ἐκεῖ ποὺ ἔπρεπε νὰ εὐγνωμονοῦν καὶ κατηγοροῦν ἐκεῖ ποὺ ἔπρεπε νὰ ἐπαινοῦν. Πρέπει λοιπὸν ὁ προϊστάμενος νὰ τὰ ὑπομένῃ ὅλα μὲ καρτερίαν καὶ νὰ μὴ ἐρεθίζεται οὔτε μὲ τὰς ἀκαίρους ἐνοχλήσεις οὔτε μὲ τὰς παραλόγους μεμψιμοιρίας. Λόγῳ τῆς δυστυχίας της ἡ τάξις αὐτὴ εἶναι δίκαιον νὰ εὐεργετῆται καὶ ὄχι νὰ ὑβρίζεται· ἡ ἀναμόχλευσις τῶν συμφορῶν των καὶ ἡ προσθήκη ὕβρεων εἰς τὸν ἐκ τῆς πτωχείας πόνον ἀποτελεῖ ὑπερβολικὴν σκληρότητα.

Διὰ τοῦτο κάποιος σοφώτατος ἄνθρωπος, ποὺ παρετήρησε τὴν φιλοκέρδειαν καὶ τὴν ὑπεροψίαν τῆς ἀνθρωπίνης φύσεως, καὶ ἐγνώριζεν ὅτι ἡ φύσις τῆς πενίας εἶναι πολλάκις ἱκανὴ νὰ νικήσῃ καὶ τὴν γενναιοτάτην ψυχὴν καὶ νὰ ὁδηγήσῃ εἰς ἀναισχύντους πράξεις, παραγγέλλει νὰ εἶναι κανεὶς γλυκὺς καὶ εὐπρόσιτος εἰς τοὺς πτωχούς· καὶ ὄχι μόνον νὰ μὴ ὀργίζεται ὅταν τοῦ ζητοῦν βοήθειαν καὶ νὰ μὴ γίνεται ἐχθρὸς ἀπὸ τὰς διαρκεῖς ἐνοχλήσεις, ἀλλὰ καὶ νὰ τοὺς βοηθῇ. «Σκύψε τὸ αὐτί σου εἰς τὸν πτωχὸν καὶ ἀπάντησέ του μὲ πραότητα καὶ ἠρεμίαν»[43]. Ἀφήνει κατὰ μέρος τὸν πτωχὸν ποὺ ἠμπορεῖ νὰ κινήσῃ τὴν ὀργὴν μὲ τὴν συμφοράν του (διότι τί ἠμπορεῖ νὰ εἰπῇ δι' ἕνα κατάκοιτον;) καὶ ἀπευθύνεται πρὸς τὸν δυνάμενον νὰ ἐνισχύσῃ τὴν ἀνέχειαν ἐκείνου καὶ νὰ τὸν ἀνορθώσῃ μὲ τὴν ἥμερον μορφὴν καὶ τοὺς γλυκεῖς λόγους προτοῦ τὸν ἐλεήσῃ.

Ἠμπορεῖ κανεὶς νὰ μὴ ἁρπάζῃ ὅσα ἀνήκουν εἰς τὰς χήρας καὶ μάλιστα νὰ τὰς βοηθῇ· ὅταν ὅμως τοὺς συμπεριφέρεται μὲ χλευασμούς, μὲ ὕβρεις καὶ μὲ θυμούς, ὄχι μόνον δὲν ἀνακουφίζει μὲ τὰ δῶρα του τὴν ἐκ τῆς πτωχείας δυστυχίαν, ἀλλὰ μὲ τὰς λοιδορίας του αὐξάνει τὸ κακόν. Ἂν ἀναγκάζωνται ἀπὸ τὴν πίεσιν τῆς πείνης ν' ἀναισχυντοῦν, ὅμως αἰσθάνονται πόνον διὰ τὴν κατάντιάν των. Ὅταν ἀπὸ τὸν φόβον τῆς πείνης ἀναγκάζωνται νὰ ἐπαι-

τεῖν ἀναιδεύεσθαι, διὰ δὲ τὸ ἀναιδεύεσθαι πάλιν ὑβρίζωνται, ποικίλη τις καὶ πολὺν φέρουσα τὸν ζόφον ἐπὶ τὴν ψυχὴν ἐκείνων κατασκήπτει τῆς ἀθυμίας ἡ δύναμις. Καὶ δεῖ τὸν τούτων ἐπιμελούμενον ἐπὶ τοσοῦτον εἶναι μακρόθυμον, ὡς μὴ μόνον
5 *αὐταῖς μὴ πλεονάζειν τὴν ἀθυμίαν ταῖς ἀγανακτήσεσιν, ἀλλὰ καὶ τῆς οὔσης τὸ πλέον κοιμίζειν διὰ τῆς παρακλήσεως. Ὥσπερ γὰρ ἐκεῖνος ὁ ὑβρισθεὶς ἐν πολλῇ περιουσίᾳ οὐκ αἰσθάνεται τῆς ἀπὸ τῶν χρημάτων ὠφελείας διὰ τὴν ἀπὸ τῆς ὕβρεως πληγήν, οὕτω καὶ οὗτος ὁ προσηνῆ λόγον ἀκούσας καὶ μετὰ*
10 *παρακλήσεως τὸ διδόμενον δεξάμενος, γάννυται πλέον καὶ χαίρει καὶ διπλοῦν αὐτῷ τὸ δοθὲν τῷ τρόπῳ γίνεται. Καὶ ταῦτα οὐκ ἀπ' ἐμαυτοῦ, ἀλλ' ἀπ' ἐκείνου τοῦ τὰ πρότερα παραινέσαντος φθέγγομαι· «τέκνον γάρ, φησίν, ἐν ἀγαθοῖς μὴ δῷς μῶμον καὶ ἐν πάσῃ δόσει λύπην λόγων. Οὐχὶ καύσωνα ἀναπαύσει*
15 *δρόσος; Οὕτω κρείσσων λόγος ἢ δόσις· ἰδοὺ γὰρ λόγος ὑπὲρ δόμα ἀγαθὸν καὶ ἀμφότερα παρὰ ἀνδρὶ κεχαριτωμένῳ».*

Οὐκ ἐπιεικῆ δὲ μόνον καὶ ἀνεξίκακον τὸν τούτων προστάτην, ἀλλὰ καὶ οἰκονομικὸν οὐχ ἧττον εἶναι χρή· ὡς ἐὰν τοῦτο ἀπῇ, πάλιν εἰς τὴν ἴσην περιίσταται ζημίαν τὰ τῶν πενήτων
20 *χρήματα. Ἤδη γάρ τις ταύτην πιστευθεὶς τὴν διακονίαν καὶ χρυσὸν συναγαγὼν πολύν, αὐτὸς μὲν οὐ κατέφαγεν, ἀλλ' οὐδὲ εἰς τοὺς δεομένους, πλὴν ὀλίγων, ἀνήλωσε, τὸ δὲ πλέον κατορύξας ἐφύλαττεν, ἕως οὗ καιρὸς χαλεπὸς ἐπιστὰς παρέδωκεν αὐτὰ ταῖς τῶν ἐναντίων χερσίν. Πολλῆς οὖν δεῖ τῆς προμη-*
25 *θείας, ὡς μήτε πλεονάζειν, μήτε ἐλλείπειν τῆς Ἐκκλησίας τὴν περιουσίαν, ἀλλὰ πάντα μὲν σκορπίζειν ταχέως τοῖς δεομένοις τὰ ποριζόμενα, ἐν δὲ ταῖς τῶν ἀρχομένων προαιρέσεσι συνάγειν τῆς Ἐκκλησίας τοὺς θησαυρούς.*

---

44. Περὶ τῆς πραότητος καὶ ἐπιεικείας βλ. ἀνωτέρω.
45. Σοφ. Σειρ. 18. 15 ἑξ.

τοῦν καὶ ἀπὸ τὴν ἐπαιτίαν ν' ἀναισχυντοῦν, διὰ δὲ τὴν ἀναίδειαν ὑβρίζωνται, τὰς καταλαμβάνει ἰσχυρὰ ἀθυμία καὶ ἡ ψυχή των καλύπτεται ἀπὸ σκότος. Πρέπει συνεπῶς ὁ ἐπιμελητὴς τῶν χηρῶν νὰ εἶναι τόσον μακρόθυμος, ὥστε ὄχι μόνον νὰ μὴ αὐξάνῃ ἡ ἀθυμία των διὰ τῆς ἀγανακτήσεως, ἀλλὰ καὶ ἡ ὑπάρχουσα ἀθυμία νὰ κοιμίζεται διὰ τῆς παρηγορίας[44]. Ὅπως ὁποιοσδήποτε πλούσιος ὅταν ὑβρισθῇ δὲν δίδει σημασίαν εἰς τὴν ἀξίαν τῶν χρημάτων του λόγῳ τοῦ τραύματος ἀπὸ τὴν ὕβριν, ἔτσι καὶ ὁ πτωχός, ὅταν ἀκούσῃ ἕνα γλυκὺν λόγον καὶ λάβῃ τὸ δῶρον μὲ παρηγορητικὰ λόγια, λάμπει καὶ χαίρεται, καὶ τὸ δῶρον γίνεται διπλοῦν ἀπὸ τὸν καλὸν τρόπον. Αὐτὴ ἡ σκέψις δὲν εἶναι ἰδική μου, ἀλλὰ τοῦ σοφοῦ ἀνδρὸς ποὺ εἶπε καὶ τὰ προηγούμενα. «Τέκνον, λέγει, ὅταν εὐεργετῇς, μὴ προσβάλλῃς, καὶ ὅταν κάμνῃς δῶρα, μὴ λυπῇς μὲ τὰ λόγια. Δὲν ἀνακουφίζει εἰς τὸν καύσωνα ἡ δροσιά; Τόσον ἀνώτερος εἶναι ὁ λόγος ἀπὸ τὸ δῶρον. Βεβαίως ὁ λόγος εἶναι σπουδαιότερος ἀπὸ τὸ ἀγαθὸν δῶρον, ἀλλὰ καὶ τὰ δύο μαζὶ ἀποτελοῦν γνώρισμα ἀνθρώπου γεμάτου χάριτας»[45].

Δὲν ἀπαιτεῖται δὲ ὁ προστάτης τῶν χηρῶν νὰ εἶναι μόνον ἀνεξίκακος, ἀλλ' ἐξ ἴσου καὶ καλὸς οἰκονομολόγος, διότι ἂν τοῦ λείπῃ ἡ ἰδιότης αὐτή, πάλιν προξενεῖται ἡ ἰδία ζημία εἰς τὰ χρήματα ποὺ προορίζονται διὰ τοὺς πτωχούς. Κάποιος ἱερεὺς ποὺ τοῦ εἶχαν ἐμπιστευθῆ τὴν ὑπηρεσίαν αὐτήν, συνεκέντρωσε πολλὰ χρήματα, καὶ αὐτὸς μὲν δὲν τὰ ἔφαγεν, ἀλλ' οὔτε καὶ διὰ τοὺς πτωχοὺς ἐξώδευσεν, ἐκτὸς ἀπὸ ἕνα μικρὸν ποσόν· τὸ μεγαλύτερον μέρος τὸ ἔκρυψεν εἰς τὴν γῆν, ἕως ὅτου εἰς μίαν πολεμικὴν περίοδον τὸ παρέδωσεν εἰς τὰ χέρια τῶν ἐχθρῶν. Χρειάζεται λοιπὸν πολλὴν προθυμίαν, ὥστε οὔτε νὰ πλεονάζῃ οὔτε νὰ εἶναι ἐλλειματικὴ ἡ περιουσία τῆς Ἐκκλησίας· καὶ εἰς μὲν τοὺς πτωχοὺς νὰ χορηγῇ ἀμέσως τὰ δι' αὐτοὺς συλλεγόμενα ποσά, οἱ δὲ θησαυροὶ τῆς Ἐκκλησίας νὰ αὐξάνουν ἀπὸ τὴν γενναιοδωρίαν τῶν πιστῶν.

Τὰς δὲ τῶν ξένων ὑποδοχὰς καὶ τὰς τῶν ἀσθενούντων θεραπείας πόσης μὲν οἴει δεῖσθαι χρημάτων δαπάνης; πόσης δὲ τῆς τῶν ἐπιστατούντων ἀκριβείας τε καὶ συνέσεως; Καὶ γὰρ τῆς εἰρημένης ἀναλώσεως ταύτην ἥττονα μὲν οὐδαμῶς, πολ- 5 *λάκις δὲ καὶ μείζονα εἶναι ἀνάγκη, καὶ τὸν ἐπιστατοῦντα ποριστικόν τινα μετ' εὐλαβείας καὶ φρονήσεως, ὡς παρασκευάζειν καὶ φιλοτίμως καὶ ἀλύπως διδόναι τοὺς κεκτημένους τὰ παρ' ἑαυτῶν, ἵνα μὴ τῆς τῶν ἀσθενούντων ἀναπαύσεως προνοῶν, τὰς τῶν παρεχόντων πλήττῃ ψυχάς. Τὴν δὲ προθυμίαν* 10 *καὶ τὴν σπουδὴν πολλῷ πλείονα ἐνταῦθα ἐπιδείκνυσθαι δεῖ. Δυσάρεστον γάρ πως οἱ νοσοῦντες χρῆμα καὶ ῥᾴθυμον. Κἂν μὴ πολλὴ πανταχόθεν εἰσφέρηται ἀκρίβεια καὶ φροντίς, ἀρκεῖ καὶ τὸ μικρὸν ἐκεῖνο παροφθὲν μεγάλα ἐργάσασθαι τῷ νοσοῦντι κακά.*

15 *18. Ἐπὶ δὲ τῆς τῶν παρθένων ἐπιμελείας τοσούτῳ μείζων ὁ φόβος, ὅσῳ καὶ τὸ κτῆμα τιμιώτερον καὶ βασιλικωτέρα αὕτη τῶν ἄλλων ἡ ἀγέλη. Ἤδη γὰρ καὶ εἰς τὸν τῶν ἁγίων τούτων χορὸν μυρίαι μυρίων γέμουσαι κακῶν εἰσεκώμασαν. Μεῖζον δὲ ἐνταῦθα τὸ πένθος. Καὶ καθάπερ οὐκ ἴσον κόρην* 20 *τε ἐλευθέραν καὶ τὴν ταύτης θεράπαιναν ἁμαρτεῖν, οὕτως οὐδὲ παρθένον καὶ χήραν. Ταῖς μὲν γὰρ καὶ ληρεῖν καὶ λοιδορεῖσθαι πρὸς ἀλλήλας καὶ κολακεύειν καὶ ἀναισχυντεῖν καὶ πανταχοῦ φαίνεσθαι καὶ τὸ περιϊέναι τὴν ἀγορὰν γέγονεν ἀδιάφορον· ἡ δὲ παρθένος ἐπὶ μείζοσιν ἀπεδύσατο καὶ τὴν ἀνω-* 25 *τάτω φιλοσοφίαν ἐζήλωσε καὶ τὴν τῶν ἀγγέλων πολιτείαν δεῖξαι ἐπὶ τῆς γῆς ἐπαγγέλλεται καὶ μετὰ τῆς σαρκὸς ταύτης τὰ τῶν ἀσωμάτων αὐτῇ δυνάμεων κατορθῶσαι πρόκειται. Καὶ οὐ δεῖ οὔτε προόδους περιττὰς ποιεῖσθαι καὶ πολλάς οὔτε ῥήματα αὐτῇ φθέγγεσθαι εἰκῇ καὶ μάτην ἐφεῖται, λοιδορίας δὲ*

---

46. Τὰ τάγματα τῶν ἀπροστατεύτων παρθένων ἱδρύθησαν ἐπίσης ἐνωρίς. Παρουσιάσθησαν συχνάκις πολλαὶ παρεκτροπαὶ καὶ διὰ τοῦτο ὁ Χρυσόστομος ἐφιστᾷ τὴν προσοχὴν τῶν κληρικῶν ἐπὶ τοῦ προβλήματος τούτου. Βλ. τὰς πραγματείας του «Πρὸς τοὺς ἔχοντας παρθένους συνεισάκτους» καὶ «περὶ τοῦ κανονικὰς μὴ συνοικεῖν ἀνδράσιν» (τ. 47).

Πόσα ἔξοδα δὲ νομίζεις ὅτι χρειάζεται ἡ φιλοξενία καὶ ἡ νοσοκομειακὴ περίθαλψις; Καὶ πόσην προσοχὴν καὶ σύνεσιν ἀπαιτεῖ ἀπὸ τοὺς ἐπιστάτας; Ἡ δαπάνη αὐτὴ δὲν εἶναι καθόλου μικροτέρα ἀπὸ τὴν προηγουμένην· μάλιστα συχνὰ εἶναι καὶ μεγαλυτέρα. Πρέπει λοιπὸν ὁ ἐπιστάτης νὰ συγκεντρώνῃ τὰ χρηματικὰ μέσα μὲ εὐλάβειαν καὶ φρόνησιν, παρακινῶν τοὺς ἔχοντας νὰ δίδουν μὲ φιλοτιμίαν καὶ χωρὶς λύπην, ὥστε νὰ μὴ πληγώνῃ τοὺς δωρητὰς κατὰ τὴν προσπάθειάν του πρὸς ἀνακούφισιν τῶν ἀσθενῶν. Εἰς τὴν περίπτωσιν δὲ τῶν ἀσθενῶν ἀπαιτεῖται πολὺ μεγαλυτέρα προθυμία καὶ φροντίς. Οἱ ἀσθενεῖς διακρίνονται διὰ τὴν στενοχωρίαν καὶ τὴν ρᾳθυμίαν των. Καὶ ἂν δὲν τοὺς μεταχειρίζωνται ὅλους μὲ προσοχὴν καὶ ἐπιμέλειαν, ἀρκεῖ καὶ ἡ μικροτέρα παράλειψις νὰ προξενήσῃ μεγάλα κακά.

18. Εἰς τὴν περίπτωσιν δὲ τῆς φροντίδος διὰ τὰς παρθένους[46] ὁ κίνδυνος εἶναι τόσον μεγάλος ὅσον τιμιωτέρα καὶ βασιλικωτέρα εἶναι ἡ τάξις αὐτὴ ἀπὸ τὴν προηγουμένην. Τώρα δὲ εἰσεχώρησαν εἰς τὸν χορὸν καὶ αὐτῶν τῶν ἁγίων πάρα πολλαὶ νεάνιδες μὲ μυρίας κακίας. Ἄφατον πένθος προξενεῖ ἡ κατάστασις αὐτή. Καὶ ὅπως δὲν εἶναι τὸ ἴδιον πρᾶγμα ἡ ἁμαρτία μιᾶς ἐλευθέρας κόρης μὲ τῆς ὑπηρετρίας της, ἔτσι δὲν εἶναι τὸ ἴδιον πρᾶγμα ἡ ἁμαρτία μιᾶς παρθένου μὲ μιᾶς χήρας. Εἰς τὰς χήρας ἔγινε συνήθεια νὰ πολυλογοῦν καὶ νὰ ἀλληλοεμπαίζωνται, νὰ κολακεύουν καὶ νὰ ἀναισχυντοῦν, νὰ παρουσιάζωνται παντοῦ καὶ νὰ περιέρχωνται τὴν ἀγοράν. Ἡ παρθένος ὅμως ἀνέλαβε σκληρότερον ἀγῶνα· ἐζήλωσε τὴν οὐρανίαν φιλοσοφίαν καὶ ἔχει προορισμὸν νὰ μιμηθῇ ἐπὶ τῆς γῆς τὴν ζωὴν τῶν ἀγγέλων καὶ ζῶσα εἰς τὴν σάρκα νὰ φθάσῃ τὴν ζωὴν τῶν ἀσωμάτων δυνάμεων. Καὶ δὲν πρέπει οὔτε ἐμφανίσεις περιττὰς καὶ συχνὰς νὰ κάμῃ οὔτε λόγια ἄσκοπα νὰ λέγῃ· τῆς ὕβρεως δὲ καὶ τῆς κολακείας οὔτε τὸ ὄνομα δὲν πρέ-

καὶ κολακείας οὐδὲ τοὔνομα εἰδέναι χρή. Διὰ τοῦτο ἀσφαλεστάτης φυλακῆς καὶ πλείονος δεῖται τῆς συμμαχίας. Ὅ τε γὰρ τῆς ἁγιωσύνης ἐχθρὸς ἀεὶ καὶ μᾶλλον αὐταῖς ἐφέστηκε καὶ προσεδρεύει καταπιεῖν ἕτοιμος, εἴπου τις ἐξολισθήσειε καὶ κα-
5 *ταπέσοι ἀνθρώπων τε οἱ ἐπιβουλεύοντες πολλοί, καὶ μετὰ τούτων ἁπάντων ἡ τῆς φύσεως μανία· καὶ ἁπλῶς πρὸς διπλοῦν τὸν πόλεμον ἡ παράταξις αὐτῇ, τὸν μὲν ἔξωθεν προσβάλλοντα, τὸν δὲ ἔσωθεν ἐνοχλοῦντα. Διὰ ταῦτα τῷ γοῦν ἐπιστατοῦντι πολὺς μὲν ὁ φόβος, μείζων δὲ ὁ κίνδυνος καὶ ἡ ὀδύνη, εἴ τι*
10 *τῶν ἀβουλήτων (ὃ μὴ γένοιτο) συμβαίη ποτέ. Εἰ γὰρ «πατρὶ θυγάτηρ ἀπόκρυφος ἀγρυπνία» καὶ ἡ μέριμνα αὐτῆς ἀφιστᾷ ὕπνον, ὅπου περὶ τοῦ στειρωθῆναι ἢ παρακμάσαι ἢ μισηθῆναι τοσοῦτον δέος, τί πείσεται ὁ τούτων μὲν οὐδέν, ἕτερα δὲ τούτων πολλῷ μείζονα μεριμνῶν; Οὐ γὰρ ἀνὴρ ἐνταῦθα ὁ*
15 *ἀθετούμενος, ἀλλ' αὐτὸς ὁ Χριστός· οὐδὲ μέχρις ὀνειδῶν ἡ στείρωσις, ἀλλ' εἰς ἀπώλειαν ψυχῆς τελευτᾷ τὸ δεινόν. «Πᾶν γὰρ δένδρον», φησί, «μὴ ποιοῦν καρπὸν καλόν, ἐκκόπτεται καὶ εἰς πῦρ βάλλεται». Καὶ μισηθείσῃ δὲ παρὰ τοῦ νυμφίου οὐκ ἀρκεῖ λαβεῖν ἀποστασίου βιβλίον καὶ ἀπελθεῖν, ἀλλὰ κόλα-*
20 *σιν αἰώνιον καὶ μίσους δίδωσι τὴν τιμωρίαν.*

Καὶ ὁ μὲν κατὰ τὴν σάρκα πατήρ, πολλὰ ἔχει τὰ ποιοῦντα αὐτῷ τὴν φυλακὴν εὔκολον τῆς θυγατρός· καὶ γὰρ καὶ ἡ μήτηρ καὶ τροφὸς καὶ θεραπαινῶν πλῆθος καὶ οἰκίας ἀσφάλεια συναντιλαμβάνεται τῷ γεννησαμένῳ πρὸς τὴν τῆς παρθένου
25 *τήρησιν. Οὔτε γὰρ εἰς ἀγορὰν αὐτὴν ἐμβάλλειν ἐφίεται συνεχῶς οὔτε, ἡνίκα ἂν ἐμβάλλῃ, φαίνεσθαί τινι τῶν ἐντυγχανόντων ἀναγκάζεται, τοῦ σκότους τῆς ἑσπέρας οὐχ ἧττον τῶν τῆς οἰκίας τοίχων καλύπτοντος τὴν φανῆναι μὴ βουλομένην. Χωρὶς δὲ τούτων πάσης αἰτίας ἀπήλλακται, ὡς μὴ ἄν ποτε εἰς*
30 *ἀνδρῶν ὄψιν» βιασθῆναι ἐλθεῖν. Οὔτε γὰρ ἡ τῶν ἀναγκαίων*

---

47. Σοφ. Σειρ. 42, 9.
48. Ματθ. 3, 10.

πει νὰ ξεύρῃ. Χρειάζεται διὰ τοῦτο ἀσφαλῆ φρούρησιν καὶ μεγαλυτέραν προστασίαν. Διότι καὶ τῆς ἁγιωσύνης ὁ ἐχθρὸς τὰς παρακολουθεῖ πάντοτε μὲ μεγαλυτέραν ἐπιμονὴν καὶ τὰς παραμονεύει ἕτοιμος νὰ τὰς καταπιῇ, ἐὰν ὀλισθήσουν καὶ πέσουν, καὶ ἄνθρωποι πολλοὶ τὰς ἐπιβουλεύονται· εἰς ὅλους δὲ αὐτοὺς προστίθεται καὶ ἡ μανία τῆς φύσεώς των. Ἡ παρθένος λοιπὸν ἔχει διμέτωπον πόλεμον, πρὸς ἕνα ἐξωτερικὸν καὶ ἕνα ἐσωτερικὸν ἐχθρόν. Διὰ τοῦτο εἰς τὸν ἐπιστάτην τῶν παρθένων ἐπικρέμαται πολὺς μὲν φόβος, περισσότερος δὲ κίνδυνος καὶ περισσοτέρα ὀδύνη, μήπως συμβῇ ποτὲ τίποτε ἀνεπιθύμητον — πρᾶγμα ποὺ εἴθε νὰ μὴ συμβῇ. Ἐὰν «εἰς τὸν πατέρα ἡ θυγάτηρ προξενῇ κρυφὰς ἀγρυπνίας»[47] καὶ ἡ φροντίς της τοῦ ἀφαιρῇ τὸν ὕπνον, ἐὰν τόσος φόβος ὑπάρχῃ δι' ἐνδεχομένην στείρωσιν ἢ ἀγαμίαν ἢ διάστασιν μὲ τὸν ἄνδρα της, τί ὑποφέρει ἐκεῖνος ποὺ δὲν φροντίζει δι' αὐτά, ἀλλὰ δι' ἀνώτερα πράγματα; Ἐδῶ δὲν περιφρονεῖται κανεὶς ἄνδρας, ἀλλ' ὁ ἴδιος ὁ Χριστός· καὶ ἡ στείρωσις ἐδῶ δὲν προκαλεῖ περιπαιγμόν, ἀλλ' ἀπώλειαν. «Κάθε δένδρον ποὺ δὲν παράγει καλὸν καρπὸν κόπτεται καὶ ρίπτεται εἰς τὸ πῦρ[48]. Καὶ ὅταν προκαλέσῃ τὸ μῖσος τοῦ συζύγου, δὲν ἀρκεῖ νὰ λάβῃ διαζύγιον καὶ νὰ φύγῃ· τοῦ μίσους αὐτοῦ ἀποτέλεσμα εἶναι ἡ αἰωνία τιμωρία.

Καὶ ὁ μὲν σαρκικὸς πατὴρ ἔχει πολλοὺς παράγοντας ποὺ διευκολύνουν τὴν φρούρησιν τῆς θυγατρός του· καὶ ἡ μητέρα καὶ ἡ τροφὸς καὶ αἱ ὑπηρέτριαι καὶ ἡ ἀσφάλεια τοῦ σπιτιοῦ βοηθοῦν τὸν πατέρα εἰς τὴν παρακολούθησιν τῆς παρθένου. Δὲν τῆς ἐπιτρέπει νὰ ἔρχεται συνεχῶς εἰς τὴν ἀγορὰν καί, ὅταν ἔρχεται, νὰ παρουσιάζεται εἰς τοὺς περιπατητάς· τὸ σκότος τῆς ἑσπέρας καλύπτει ὅπως οἱ τοῖχοι τοῦ σπιτιοῦ τὴν κόρην ποὺ δὲν θέλει νὰ φανῇ. Ἄλλωστε δὲν ἔχει καὶ καμμίαν ἀφορμὴν διὰ νὰ παρουσιασθῇ εἰς ἄνδρας. Δὲν τὴν ἀναγκάζουν οὔτε φροντίδες διὰ τὰ

φροντίς, οὔτε αἱ τῶν ἀδικούντων ἐπήρειαι, οὐδ' ἄλλο τοιοῦτον οὐδὲν εἰς ἀνάγκην αὐτὴν τοιαύτης συντυχείας καθίστησιν ἀντὶ πάντων αὐτῇ γινομένου τοῦ πατρός. Αὕτη δὲ μίαν ἔχει φροντίδα μόνον, τὸ μηδὲν ἀνάξιον μήτε πρᾶξαι μήτε εἰπεῖν
5 *τῆς αὐτῇ προσηκούσης κοσμιότητος.*

Ἐνταῦθα δὲ πολλὰ τὰ ποιοῦντα τῷ πατρὶ δύσκολον, μᾶλλον δὲ καὶ ἀδύνατον, τὴν φυλακήν. Οὔτε γὰρ ἔνδον ἔχειν αὐτὴν μεθ' ἑαυτοῦ δύναιτ' ἄν· οὔτε γὰρ εὐσχήμων, οὔτε ἀκίνδυνος ἡ τοιαύτη συνοίκησις. Κἂν γὰρ μηδὲν αὐτοὶ ζημιωθῶσιν,
10 *ἀλλ' ἀκεραίαν μείνωσι τὴν ἁγιωσύνην φυλάττοντες, οὐκ ἐλάττονα δώσουσι λόγον, ὑπὲρ ὧν ἐσκανδάλισαν ψυχῶν, ἢ εἰ εἰς ἀλλήλους ἁμαρτάνοντες ἔτυχον. Τούτου δὲ οὐκ ὄντος δυνατοῦ, οὔτε τὰ κινήματα τῆς ψυχῆς καταμαθεῖν εὔπορον καὶ τὰ μὲν ἀτάκτως φερόμενα περικόψαι, τὰ δὲ ἐν τάξει καὶ ῥυθμῷ μᾶλ-*
15 *λον ἀσκῆσαι καὶ ἐπὶ τὸ βέλτιον ἀγαγεῖν, οὔτε τὰς ἐξόδους περιεργάζεσθαι ῥάδιον. Ἡ γὰρ πενία καὶ τὸ ἀπροστάτευτον οὐκ ἀφίησιν αὐτὸν ἀκριβῆ τῆς ἐκείνῃ προσηκούσης εὐκοσμίας γενέσθαι ἐξεταστήν. Ὅταν γὰρ ἑαυτῇ πάντα διακονεῖν ἀναγκάζηται, πολλάς, εἴ γε βούλοιτο μὴ σωφρονεῖν, τῶν προόδων*
20 *τὰς προφάσεις ἔχει. Καὶ δεῖ τὸν κελεύοντα διαπαντὸς οἴκοι μένειν καὶ ταύτας περικόψαι τὰς προφάσεις, καὶ τὴν τῶν ἀναγκαίων αὐτάρκειαν παρασχόντα καὶ τὴν πρὸς ταῦτα διακονησομένην αὐτῇ. Δεῖ δὲ καὶ ἐκφορῶν καὶ παννυχίδων ἀπείργειν. Οἶδε γάρ, οἶδεν ὁ πολυμήχανος ὄφις ἐκεῖνος καὶ διὰ*
25 *χρηστῶν πράξεων τὸν αὐτοῦ παρασπείρειν ἰόν. Καὶ χρὴ τὴν παρθένον πανταχόθεν τειχίζεσθαι καὶ ὀλιγάκις τοῦ παντὸς ἐνιαυτοῦ προβαίνειν τῆς οἰκίας, ὅταν ἀπαραίτητοι καὶ ἀναγκαῖαι κατεπείγωσι προφάσεις.*

---

49. Ὁ Χρυσόστομος γνωρίζει ἄριστα ὅτι ἔχει μεγαλυτέραν σημασίαν ἡ περικοπὴ τῆς ἀφορμῆς τῆς ἁμαρτίας ἀπὸ τὴν περικοπὴν αὐτῆς τῆς ἁμαρτίας.

μέσα διαβιώσεως οὔτε ἄδικοι προκλήσεις οὔτε καμμία ἄλλη αἰτία νὰ συναναστραφῇ μὲ ἄνδρας, ἀφοῦ δι' ὅλα αὐτὰ φροντίζει ὁ πατέρας της. Αὐτὴ μίαν μόνον φροντίδα ἔχει· νὰ μὴ κάμῃ ἢ εἰπῇ τίποτε ἀνάξιον τῆς κοσμιότητος ποὺ ἁρμόζει εἰς τὰς παρθένους.

Τὸ ἔργον ὅμως τοῦ πνευματικοῦ πατρὸς καθιστοῦν δύσκολον, ἂν ὄχι ἀδύνατον, πολλοὶ λόγοι. Διότι αὐτὸς δὲν κρατεῖ τὴν κόρην μέσα εἰς τὸ σπίτι του, καθ' ὅσον ἡ συμβίωσις αὐτὴ δὲν θὰ ἦτο οὔτε εὔσχημος οὔτε ἀκίνδυνος. Ἀκόμη καὶ ἂν δὲν ζημιωθοῦν οἱ ἴδιοι καὶ φυλάξουν ἀκεραίαν τὴν ἁγιωσύνην, θὰ εἶναι ὑπεύθυνοι διὰ τὰς ψυχὰς ποὺ ἐσκανδάλισαν, πρᾶγμα ποὺ εἶναι τὸ ἴδιον σὰν νὰ ἡμάρτησαν αὐτοί. Ἐφ' ὅσον λοιπὸν ἡ συνοίκησις δὲν εἶναι δυνατή, δὲν τοῦ εἶναι εὔκολον νὰ διακρίνῃ τὰς ψυχικὰς διαθέσεις τῆς παρθένου καὶ τὰς μὲν ἐκτρόπους νὰ περικόψῃ, τὰς δὲ ἁρμονικὰς νὰ ἐνισχύσῃ καὶ νὰ βελτιώσῃ, οὔτε εἶναι εὔκολον νὰ παρακολουθῇ τὰς ἐξόδους τῆς κόρης. Ἡ ἔλλειψις προστασίας καὶ ἡ πτωχεία της δὲν τοῦ ἐπιτρέπουν νὰ φροντίσῃ προσεκτικὰ διὰ τὴν καλλιέργειαν τῆς διαγωγῆς της. Ὅταν εἶναι ὑποχρεωμένη νὰ ἐξυπηρετῇ μόνη ὅλας τὰς ἀνάγκας της, εὑρίσκει πολλὰς προφάσεις δι' ἔξοδον, ἐὰν δὲν θέλῃ νὰ κρατήσῃ τὴν σωφροσύνην της. Πρέπει λοιπὸν ἐκεῖνος ποὺ θὰ τῆς ἐπιβάλῃ νὰ μένῃ διαρκῶς σπίτι της νὰ ἄρῃ τὰς προφάσεις αὐτὰς καὶ νὰ τῆς ἐξασφαλίσῃ τὴν αὐτάρκειαν τῶν μέσων διαβιώσεως καὶ νὰ τῆς διαθέσῃ κάποιαν γυναῖκα διὰ νὰ τὴν ἐξυπηρετῇ εἰς τὴν προμήθειάν των[49]. Πρέπει δὲ ἐπίσης νὰ τὴν ἐμποδίζῃ ἀπὸ τὴν συμμετοχὴν εἰς τὰς κηδείας καὶ παννυχίδας. Διότι ὁ πολυμήχανος ἐκεῖνος ὄφις ξεύρει πολὺ καλὰ νὰ σπείρῃ τὸ δηλητήριόν του ἀκόμη καὶ διὰ μέσου καλῶν πράξεων. Καὶ πρέπει ἡ παρθένος νὰ περιτειχίζεται ἀπὸ ὅλας τὰς πλευρὰς καὶ νὰ βγαίνῃ ἀπὸ τὸ σπίτι εἰς ὀλίγας μόνον περιπτώσεις καθ' ὅλον τὸ ἔτος, ὅταν τὸ ἐπιβάλλουν ἀναγκαῖα καὶ ἀπαραίτητα καθήκοντα.

Εἰ δὲ λέγει τις, οὐδὲν εἶναι τούτων ἔργον τῷ ἐπισκόπῳ μεταχειρίζειν, εὖ ἴστω, ὅτι τῶν ἐφ' ἑκάστης γινομένων αἱ φροντίδες καὶ αἱ αἰτίαι εἰς ἐκεῖνον ἔχουσι τὴν ἀναφοράν. Πολλῷ δὲ λυσιτελέστερον αὐτὸν ἅπαντα διακονούμενον ἀπηλλάχθαι 5 *ἐγκλημάτων, ἃ διὰ τὰς τῶν ἑτέρων ἁμαρτίαις ὑπομένειν ἀνάγκη, ἢ τῆς διακονίας ἀφειμένον τὰς ὑπὲρ ὧν ἔπραξαν ἕτεροι τρέμειν εὐθύνας. Πρὸς δὲ τούτοις, ὁ μὲν δι' ἑαυτοῦ ταῦτα πράττων μετὰ πολλῆς τῆς εὐκολίας ἅπαντα διεξέρχεται, ὁ δὲ ἀναγκαζόμενος μετὰ τοῦ πείθειν τὰς ἁπάντων γνώμας* 10 *τοῦτο ποιεῖν οὐ τοσαύτην ἔχει τὴν ἄνεσιν ἐκ τοῦ τῆς αὐτουργίας ἀφεῖσθαι, ὅσα πράγματα καὶ θορύβους διὰ τοὺς ἀντιπίπτοντας καὶ ταῖς αὐτοῦ κρίσεσι μαχομένους.*

Ἀλλὰ πάσας μὲν οὐκ ἂν δυναίμην καταλέγειν, τὰς ὑπὲρ τῶν παρθένων φροντίδας. Καὶ γὰρ καὶ ὅταν αὐτὰς ἐγγρά- 15 *φεσθαι δέῃ, οὐ τὰ τυχόντα παρέχουσι πράγματα τῷ ταύτην πεπιστευμένῳ τὴν οἰκονομίαν.*

19. Τὸ δὲ τῶν κρίσεων μέρος μυρίας μὲν ἔχει τὰς ἀπεχθείας, πολλὴν δὲ τὴν ἀσχολίαν· καὶ δυσκολίας τοσαύτας, ὅσας οὐδὲ οἱ τοῖς ἔξωθεν δικάζειν καθήμενοι φέρουσιν. Καὶ 20 *γὰρ εὑρεῖν αὐτὸ τὸ δίκαιον ἔργον καὶ εὑρόντα μὴ διαφθεῖραι χαλεπόν. Οὐκ ἀσχολία δὲ μόνον καὶ δυσκολία, ἀλλὰ καὶ κίνδυνος πρόσεστιν οὐ μικρός. Ἤδη γάρ τινες τῶν ἀσθενεστέρων πράγμασιν ἐμπεσόντες, ἐπειδὴ προστασίας οὐκ ἔτυχον, ἐναυάγησαν περὶ τὴν πίστιν. Πολλοὶ γὰρ τῶν ἠδικημένων,* 25 *οὐχ ἧττον τῶν ἠδικηκότων, τοὺς μὴ βοηθοῦντας μισοῦσι· καὶ οὔτε πραγμάτων διαστροφήν, οὔτε καιρῶν χαλεπότητα, οὔτε*

---

50. Σήμερον τὸ δικαστικὸν ἔργον ἀνελήφθη σχεδὸν ἐξ ὁλοκλήρου ὑπὸ τῆς Πολιτείας. Εἶναι ὅμως δυνατὸν νὰ προσφέρῃ ὁ ἱερεὺς ὑψίστας ὑπηρεσίας εἰς τὴν κοινωνίαν ἀφ' ἑνὸς μὲν διδάσκων τὴν ἀποφυγὴν τῶν δικαστικῶν ἀγώνων, ἀφ' ἑτέρου δὲ ἐργαζόμενος διὰ τὴν εἰρηνικὴν ἐπίλυσιν τῶν διαφορῶν καὶ τὴν συμφιλίωσιν τῶν ἀντιδίκων.

Ἐὰν δὲ νομίζῃ κανεὶς ὅτι ἡ παρακολούθησις αὐτὴ δὲν εἶναι ἔργον ἁρμόζον εἰς ἕνα ἐπίσκοπον, ἂς γνωρίζῃ ὅτι ὅλων τῶν ἐνεργειῶν αἱ ἐπιτυχίαι καὶ αἱ ἀποτυχίαι ἀποδίδονται εἰς αὐτόν. Καὶ εἶναι πολὺ ὠφελιμώτερον νὰ φροντίζῃ ὁ ἴδιος δι' ὅλα, ὥστε ν' ἀπαλλαγῇ ἀπὸ παραπτώματα ποὺ θὰ τοῦ καταλογισθοῦν ἀπὸ τὰς ἁμαρτίας ἄλλων, παρὰ ν' ἀναθέσῃ εἰς ἄλλους τὴν ὑπηρεσίαν αὐτὴν καὶ ἔπειτα νὰ τρέμῃ διὰ τὰς συνεπείας τῶν ξένων πράξεων. Ἐπὶ πλέον δὲ ὅποιος διεξάγει μόνος του αὐτὴν τὴν ὑπηρεσίαν διευκολύνει τὸ ἔργον του, ἐνῷ ὁ ἐνεργῶν δι' ἄλλων χάνει τὴν ἄμεσον ἀντίληψιν τῶν πραγμάτων καὶ ἀναγκάζεται νὰ κατατοπίσῃ ἐπὶ τοῦ ἔργου ἄλλα πρόσωπα, τὰ ὁποῖα μὲ τὰς ἀντιγνωμίας καὶ τὰς συζητήσεις ἐπὶ τῶν ἰδικῶν του γνωμῶν προξενοῦν ζητήματα καὶ θόρυβον.

Ἀλλὰ βεβαίως δὲν ἠμπορῶ ν' ἀναφέρω ὅλας τὰς φροντίδας διὰ τὰς παρθένους. Μνημονεύω ἁπλῶς ὅτι καὶ ὅταν γίνεται ἡ καταγραφή των εἰς τὸ τάγμα δημιουργεῖται πολλὴ ἐνόχλησις εἰς τὸν ἀναλαμβάνοντα τὴν ὑπηρεσίαν αὐτήν.

19. Τὸ δὲ δικαστικὸν ἔργον φέρει ἐξαιρετικὴν ἐνόχλησιν καὶ μεγάλην ἀπασχόλησιν καὶ τόσην δυσκολίαν, ὅσην δὲν εὑρίσκουν οἱ κοσμικοὶ δικασταί[50]. Διότι καὶ ἡ εὕρεσις τῶν ἀρχῶν, ἐπὶ τῇ βάσει τῶν ὁποίων πρέπει ν' ἀπονεμηθῇ τὸ δίκαιον, εἶναι κοπιώδης καὶ ἡ ἐφαρμογὴ τῶν εὑρεθεισῶν ἀρχῶν εἶναι δύσκολος. Δὲν περικλείει δὲ μόνον ἀπασχόλησιν καὶ δυσκολίαν, ἀλλὰ καὶ ἐξαιρετικὸν κίνδυνον. Συνέβη πράγματι μερικοὶ χριστιανοί, ἀσθενεῖς ἠθικῶς, ποὺ ἐνεπλάκησαν εἰς δικαστικοὺς ἀγῶνας, νὰ χάσουν τὴν πίστιν των διότι δὲν ἐδικαιώθησαν. Πολλοὶ ἀπὸ τοὺς ἀδικημένους μισοῦν τοὺς δικαστάς, ποὺ δὲν τοὺς ἀποδίδουν τὸ δίκαιον, ὅσον μισοῦν καὶ τοὺς ἀδικήσαντας. Καὶ δὲν λαμβάνουν ὑπ' ὄψιν οὔτε τὴν δυσκολίαν ἐξευρέσεως τοῦ δικαίου λόγῳ διαστροφῆς τῶν πραγμάτων, οὔτε τὴν κρισι-

ἱερατικῆς δυναστείας μέτρον, οὔτε ἄλλο τοιοῦτον οὐδὲν λογίζεσθαι βούλονται· ἀλλ' εἰσὶν ἀσύγγνωστοι δικασταί, μίαν ἀπολογίαν εἰδότες, τὴν τῶν συνεχόντων αὐτοὺς κακῶν ἀπαλλαγήν. Ὁ δὲ μὴ δυνάμενος ταύτην παρασχεῖν, κἂν μυρίας λέγῃ
5 *προφάσεις, οὐδέποτε τὴν κατάγνωσιν φεύξεται τὴν παρ' ἐκείνων.*

Ἐπειδὴ δὲ προστασίας ἐμνήσθην, φέρε σοι καὶ ἑτέραν μέμψεων ἀποκαλύψω πρόφασιν. Εἰ γὰρ μὴ καθ' ἑκάστην ἡμέραν μᾶλλον τῶν ἀγοραίων περινοστεῖ τὰς οἰκίας ὁ τὴν ἐπι-
10 *σκοπὴν ἔχων προσκρούματα ἐντεῦθεν ἀμύθητα. Οὐδὲ γὰρ ἀρρωστοῦντες μόνον, ἀλλὰ καὶ ὑγιαίνοντες ἐπισκοπεῖσθαι βούλονται, οὐ τῆς εὐλαβείας αὐτοὺς ἐπὶ τοῦτο προκαλουμένης, τιμῆς δὲ καὶ ἀξιώματος οἱ πολλοὶ ἀντιποιούμενοι μᾶλλον. Εἰ δέ ποτε συμβαίη τινὰ τῶν πλουσιωτέρων καὶ δυνατωτέρων,*
15 *χρείας τινὸς κατεπειγούσης εἰς τὸ κοινὸν τῆς Ἐκκλησίας κέρδος, συνεχέστερον ἰδεῖν, εὐθέως ἐντεῦθεν θωπείας καὶ κολακείας προσετρίψατο δόξαν. Καὶ τί λέγω προστασίας καὶ ἐπισκέψεις; Ἀπὸ γὰρ τῶν προσρήσεων μόνον τοσοῦτον φέρουσιν ἐγκλημάτων ἄχθος, ὡς καὶ βαρύνεσθαι καὶ καταπίπτειν ὑπὸ*
20 *τῆς ἀθυμίας πολλάκις. Ἤδη δὲ καὶ βλέμματος εὐθύνας ὑπέχουσιν. Τὰ γὰρ ἁπλῶς παρ' αὐτῶν γινόμενα βασανίζουσιν ἀκριβῶς οἱ πολλοὶ καὶ μέτρων φωνῆς ἐξετάζοντες καὶ διάθεσιν ὄψεως καὶ ποσότητα γέλωτος. Πρὸς τὸ δεῖνα, φησί, δαψιλῶς ἐπεγέλασε καὶ φαιδρῷ τῷ προσώπῳ καὶ μεγάλῃ προσ-*
25 *εῖπε τῇ φωνῇ, ἐμὲ δὲ ἔλαττον καὶ ὡς ἔτυχεν. Καὶ ἄν, πολλῶν συγκαθημένων, μὴ πανταχοῦ περιφέρῃ τοὺς ὀφθαλμοὺς διαλεγόμενος, ὕβριν τὸ πρᾶγμά φασιν οἱ πολλοί. Τίς οὖν μὴ λίαν ἰσχυρὸς ὢν τοσούτοις ἂν ἀρκέσειε κατηγόροις ἢ πρὸς τὸ μηδ'*

---

51. Σημασίαν εἰς τὰς ἐξωτερικὰς κινήσεις τῶν κληρικῶν δίδουν πολλοὶ ἐκκλησιαστικοὶ συγγραφεῖς, διότι αἱ κινήσεις αὐταὶ ἐκφράζουν συχνότατα τὰς ἐσωτερικὰς διαθέσεις. Βλ. καὶ Στ' 6.

μότητα τῶν περιστάσεων ὑπὸ τὰς ὁποίας διεξάγεται ἡ δίκη, οὔτε τὸ περιωρισμένον τῆς ἱερατικῆς ἐξουσίας εἰς τέτοια ζητήματα, οὔτε τίποτε ἄλλο παρόμοιον, ἀλλὰ μεταβάλλονται εἰς αὐστηροὺς δικαστάς, ποὺ γνωρίζουν μίαν μόνον ἀπολογίαν, τὴν ἀπαλλαγήν των ἀπὸ τὴν ἀδικίαν ποὺ τοὺς ἔγινεν. Ἐκεῖνος δὲ ποὺ δὲν ἠμπορεῖ νὰ τοὺς τὴν προσφέρῃ, ὅσας προφάσεις καὶ ἂν εὕρῃ, δὲν θὰ διαφύγῃ τὴν κατάκρισίν των.

Ἀφοῦ δὲ ἀνέφερα προηγουμένως περὶ προστασίας, θὰ σοῦ ἀναφέρω καὶ μίαν ἄλλην πηγὴν παραπόνων. Ἐὰν ὁ ἐπίσκοπος δὲν ἐπισκέπτεται τὰ σπίτια τῶν πιστῶν συχνότερα ἀπὸ τοὺς γυρολόγους, θὰ δημιουργηθῇ μεγάλη ἀντίδρασις. Δὲν ἀπαιτοῦν μόνον οἱ ἀσθενεῖς, ἀλλὰ καὶ οἱ ὑγιεῖς τὴν ἐπίσκεψιν τοῦ ἐπισκόπου, ὄχι βέβαια διότι κινοῦνται ἀπὸ εὐλάβειαν, ἀλλὰ διότι θέλουν νὰ τιμηθοῦν ἀπὸ τὸ ἀξίωμά του. Ἐὰν δὲ καμμιὰ φορὰ συμβαίνῃ νὰ βλέπῃ συχνότερα κάποιον πολὺ πλούσιον καὶ ἰσχυρὸν χάριν τοῦ κοινοῦ συμφέροντος τῆς Ἐκκλησίας, ἀμέσως θὰ τοῦ προσάψουν τὴν φήμην τοῦ θωπευτοῦ καὶ τοῦ κόλακος. Καὶ διατί ν' ἀναφέρω μόνον τὰς εὐνοίας καὶ τὰς ἐπισκέψεις; Ἀπὸ δυὸ λόγια, ποὺ θὰ εἰποῦν εἰς κάποιον, τοὺς ἀπευθύνονται τόσαι κατηγορίαι, ὥστε πολλάκις νὰ καταρρέουν ἀπὸ τὸ βάρος τῆς ἀθυμίας. Ἀκόμη δὲ καὶ διὰ τὰ βλέμματα ποὺ ρίπτουν τοὺς ζητοῦνται εὐθῦναι. Ὁ πολὺς κόσμος ψιλοκοσκινίζει τὰς ἀνεπιτηδεύτους ἐκδηλώσεις τῶν ἐπισκόπων καὶ ἐξετάζει τὸν τόνον τῆς φωνῆς, τὴν διάθεσιν τῆς ὄψεως, τὴν ποσότητα τοῦ γέλωτος[51]. Εἰς τὸν δεῖνα, λέγουν, ἐχαμογέλασε πολὺ καὶ ὡμίλησε μὲ γελαστὸν πρόσωπον καὶ δυνατὴν φωνήν, ἐνῷ εἰς ἡμᾶς φέρεται μὲ ὀλιγωτέραν οἰκειότητα. Καὶ ἂν εἰς οἱανδήποτε μεγάλην συγκέντρωσιν δὲν περιφέρῃ τὰ μάτια του παντοῦ καὶ δὲν ὁμιλῇ πρὸς ὅλους, ὁ πολὺς κόσμος τὸ θεωρεῖ προσβλητικόν. Ἂν δὲν εἶναι λοιπὸν κανεὶς ἐξαιρετικὰ δυνατός, πῶς θ' ἀντεπεξέλθῃ εἰς τόσας κατηγορίας καὶ πῶς ἢ θὰ κατασιγάσῃ ἀμέσως

ὅλως γραφῆναι παρ' αὐτῶν ἢ πρὸς τὸ διαφυγεῖν μετὰ τὴν γραφήν; Δεῖ μὲν γὰρ μηδὲ ἔχειν κατηγόρους· εἰ δὲ τοῦτο ἀδύνατον, ἀπολύεσθαι τὰ παρ' ἐκείνων ἐγκλήματα· εἰ δὲ οὐδὲ τοῦτο εὔπορον, ἀλλὰ τέρπονταί τινες εἰκῇ καὶ ἁπλῶς αἰτιώμε-
5 *νοι, γενναίως πρὸς τὴν τῶν μέμψεων τούτων ἀθυμίαν ἵστασθαι. Ὁ μὲν γὰρ δικαίως ἐγκαλούμενος, κἂν ἐνέγκῃ τὸν ἐγκαλοῦντα ῥᾳδίως· ἐπειδὴ γὰρ οὐκ ἔστι πικρότερός τις τοῦ συνειδότος κατήγορος, διὰ τοῦτο, ὅταν ὑπ' ἐκείνου τοῦ χαλεπωτάτου πρότερον ἁλῶμεν, τοὺς ἔξωθεν ἡμερωτέρους ὄντας*
10 *εὐκόλως φέρομεν. Ὁ δὲ οὐδὲν ἑαυτῷ συνειδέναι πονηρὸν ἔχων, ὅταν ἐγκαλῆται μάτην, καὶ πρὸς ὀργὴν ἐκφέρεται ταχέως καὶ πρὸς ἀθυμίαν καταπίπτει ῥᾳδίως, ἂν μὴ πρότερον ᾖ τῇ ψυχῇ μεμελετηκὼς τὰς τῶν πολλῶν φέρειν ἀνοίας. Οὐ γάρ ἐστιν, οὐκ ἔστι συκοφαντούμενον εἰκῇ καὶ καταδικαζόμε-*
15 *νον μὴ ταράττεσθαι καὶ πάσχειν τι πρὸς τὴν τοσαύτην ἀλογίαν.*

Τί ἄν τις λέγοι τὰς λύπας, ἃς ὑπομένουσιν, ἡνίκα ἂν δέῃ τινὰ τοῦ τῆς Ἐκκλησας περικόψαι πληρώματος; Εἴθε μὲν οὖν μέχρι λύπης ἵστατο τὸ δεινόν· νῦν δὲ καὶ ὄλεθρος οὐ μικρός.
20 *Δέος γάρ, μή ποτε πέρα τοῦ δέοντος κολασθεὶς ἐκεῖνος, πάθῃ τοῦτο δὴ τὸ ὑπὸ τοῦ μακαρίου Παύλου λεχθὲν καὶ «ὑπὸ τῆς περισσοτέρας λύπης καταποθῇ». Πλείστης οὖν κἀνταῦθα δεῖ τῆς ἀκριβείας, ὥστε μὴ τὴν τῆς ὠφελείας ὑπόθεσιν μείζονος αὐτῷ γενέσθαι ζημίας ἀφορμήν. Ὧν γὰρ ἂν ἁμάρτῃ μετὰ*
25 *τὴν τοιαύτην θεραπείαν ἐκεῖνος, κοινωνεῖ τῆς ἐφ' ἑκάστῳ τούτων ὀργῆς ὁ μὴ καλῶς τὸ τραῦμα τεμὼν ἰατρός. Πόσας οὖν χρὴ προσδοκᾶν τιμωρίας, ὅταν μὴ μόνον ὑπὲρ ὧν αὐτὸς ἕκαστος ἐπλημμέλησεν ἀπαιτῆται λόγον, ἀλλὰ καὶ ὑπὲρ τῶν ἑτέροις ἁμαρτηθέντων εἰς τὸν ἔσχατον καθίσταται κίνδυνον;*

---

22. Β' Κορ. 2, 7.

τὰς καταγγελίας ἢ θὰ δικαιωθῇ μετὰ τὴν ἐκτόξευσίν των; Πρέπει βέβαια νὰ μὴ ἔχῃ κατηγόρους ὁ ἐπίσκοπος. Ἀλλ' ἐὰν τοῦτο εἶναι ἀδύνατον, πρέπει νὰ διαλύῃ ἀμέσως τὰς κατηγορίας των· ἐὰν δὲ οὔτε αὐτὸ εἶναι εὔκολον καὶ μερικοὶ ἐξακολουθοῦν νὰ εὑρίσκουν εὐχαρίστησιν εἰς ἀστηρίκτους κατηγορίας, νὰ ὑπομένῃ μὲ γενναιότητα τὰς στενοχωρίας ποὺ τοῦ προκαλοῦν. Ὁ δικαίως κατηγορούμενος εὔκολα ὑποφέρει τὸν κατήγορον· ἄλλωστε δὲν ὑπάρχει πικρότερος κατήγορος ἀπὸ τὴν συνείδησιν, διὰ τοῦτο δέ, ὅταν μᾶς βασανίζῃ αὐτή, εὔκολα ὑποφέρομεν τοὺς ἐξωτερικοὺς κατηγόρους ποὺ εἶναι ἡμερώτεροι. Ἐκεῖνος δὲ ποὺ δὲν αἰσθάνεται τὸν ἑαυτόν του ἔνοχον εἰς τίποτε, ὅταν κατηγορῆται ἀδίκως, παραδίδεται γρήγορα εἰς τὴν ὀργὴν καὶ πίπτει εὔκολα εἰς τὴν ἀθυμίαν, ἂν δὲν εἶναι προαποφασισμένος νὰ ὑπομένῃ τὰς ἀνοησίας τοῦ πλήθους. Πράγματι δὲ εἶναι ἀδύνατον νὰ μὴ ταράσσεται ὅταν συκοφαντῆται καὶ κατακρίνεται ἀβασίμως, εἶναι ἀδύνατον νὰ μὴ ὑποφέρῃ ἀπὸ τὴν τόσην ἀδικίαν.

Τί θὰ εἰποῦμεν δὲ διὰ τὴν λύπην, ποὺ αἰσθάνεται ὁ ἐπίσκοπος, ὅταν πρέπῃ ν' ἀποκόψῃ κάποιον ἀπὸ τὸ πλήρωμα τῆς Ἐκκλησίας; Καὶ εἴθε νὰ ἔφθανε μέχρι τῆς λύπης μόνον τὸ κακόν, ἀλλὰ ἐπικρέμαται καὶ κίνδυνος τελείας καταστροφῆς. Διότι τὸν τυραννεῖ ὁ φόβος, μήπως ἐκεῖνος λόγῳ τῆς αὐστηρᾶς τιμωρίας πάθῃ ὅ,τι εἶπεν ὁ μακάριος Παῦλος καὶ «καταποθῇ ἀπὸ τὴν ὑπερβολικὴν λύπην»[52]. Ἐξαιρετικὴ προσοχὴ λοιπὸν χρειάζεται καὶ εἰς τὸ σημεῖον αὐτό, ὥστε νὰ μὴ καταστῇ ἡ πρόθεσις ὠφελείας ἀφορμὴ μεγαλυτέρας ζημίας. Ὁ ἰατρὸς ποὺ δὲν ἐνεχείρισεν ἐπιτυχῶς τὸ τραῦμα, μοιράζεται μὲ τὸν ἁμαρτωλὸν τὴν θείαν ὀργὴν διὰ κάθε ἁμάρτημα, ποὺ διαπράττει μετὰ τὴν ἐπιβολὴν τῆς θεραπείας. Πόσαι τιμωρίαι λοιπὸν τὸν ἀναμένουν, ὅταν δὲν τοῦ ζητῆται μόνον λόγος διὰ τὰς ἰδικάς του ἁμαρτίας, ἀλλὰ κινδυνεύῃ διὰ τὰς ἁμαρτίας τῶν ἄλλων; Ἐὰν μᾶς καταλαμβάνῃ φρίκη ἐνώπιον τῶν εὐθυνῶν,

Εἰ γὰρ τῶν οἰκείων πλημμελημάτων εὐθύνας ὑπέχοντες φρίττομεν, ὡς οὐ δυνησόμενοι τὸ πῦρ ἐκφυγεῖν ἐκεῖνο, τί χρὴ πείσεσθαι προσδοκᾶν τὸν ὑπὲρ τοσούτων ἀπολογεῖσθαι μέλλοντα; Ὅτι γὰρ τοῦτό ἐστιν ἀληθές, ἄκουσον τοῦ μακαρίου 5 Παύλου λέγοντος, μᾶλλον δὲ οὐκ ἐκείνου, ἀλλὰ τοῦ ἐν αὐτῷ λαλοῦντος Χριστοῦ. «Πείθεσθε τοῖς ἡγουμένοις ὑμῶν καὶ ὑπείκετε, ὅτι αὐτοὶ ἀγρυπνοῦσιν ὑπὲρ τῶν ψυχῶν ὑμῶν, ὡς λόγον ἀποδώσοντες».

Ἆρα μικρὸς οὗτος ὁ τῆς ἀπειλῆς φόβος; Οὐκ ἔστιν εἰπεῖν. 10 Ἀλλὰ καὶ τοὺς σφόδρα ἀπειθεῖς καὶ σκληροὺς ἱκανὰ ταῦτα πάντα πεῖσαι, ὡς οὔτε ἀπονοίᾳ οὔτε φιλοδοξίᾳ ἁλόντες, ὑπὲρ δὲ ἑαυτῶν δεδοικότες μόνον καὶ εἰς τὸν τοῦ πράγματος ὄγκον ἀποβλέψαντες, ταύτην ἐφύγομεν τὴν φυγήν.

πού ἔχομεν διὰ τὰ προσωπικά μας ἁμαρτήματα, διότι φοβούμεθα ὅτι δὲν θὰ κατορθώσωμεν νὰ διαφύγωμεν τὸ πῦρ τῆς κολάσεως, τί νομίζομεν ὅτι περιμένει αὐτὸν ποὺ θὰ δώσῃ λόγον διὰ τόσας ψυχάς; Ὅτι τοῦτο εἶναι σωστόν, ἄκουσε τί λέγει ὁ μακάριος Παῦλος ἢ μᾶλλον ὁ Χριστὸς δι' αὐτοῦ· «νὰ ὑπακούετε καὶ νὰ ἀκολουθῆτε τοὺς ἀρχηγούς σας, διότι αὐτοὶ ἀγρυπνοῦν ὑπὲρ τῶν ψυχῶν σας καὶ θὰ λογοδοτήσουν δι' αὐτάς»[53].

Εἶναι λοιπὸν μικρὸς ὁ φόβος διὰ τὴν ἀπειλὴν αὐτήν; Ἀσφαλῶς ὄχι. Ὅσα εἶπα εἶναι ἱκανὰ νὰ πείσουν καὶ τοὺς πλέον δυσπίστους καὶ σκληροὺς ὅτι διέφυγα τὴν χειροτονίαν ὄχι ἀπὸ ἔπαρσιν καὶ φιλοδοξίαν, ἀλλ' ἀπὸ φόβον μήπως δὲν ἀνταποκριθῶ εἰς τὸ ὕψος τοῦ ἱερατικοῦ ἀξιώματος.

---

53. Ἑβρ. 13, 17

ΛΟΓΟΣ Δ΄

1. *ΒΑΣΙΛΕΙΟΣ. Ταῦτα ὁ Βασίλειος ἀκούσας καὶ μικρὸν ἐπισχών, Ἀλλ' εἰ μὲν αὐτὸς ἐσπούδασας, φησί, ταύτην κτήσασθαι τὴν ἀρχήν, εἶχεν ἄν σοι λόγον οὗτος ὁ φόβος.*
5 *Τὸν γὰρ ὁμολογήσαντα ἐπιτήδειον εἶναι πρὸς τὴν τοῦ πράγματος διοίκησιν τῷ σπουδάσαι λαβεῖν οὐκ ἔστι μετὰ τὸ πιστευθῆναι, ἐν οἷς ἂν σφάλληται, καταφεύγειν εἰς ἀπειρίαν. Προλαβὼν γὰρ αὐτὸς ἑαυτοῦ ταύτην ἀφείλετο τὴν ἀπολογίαν τῷ προσδραμεῖν καὶ ἁρπάσαι τὴν διακονίαν καὶ οὐκ ἔτι ἂν δύναιτο*
10 *λέγειν, ὁ ἑκὼν καὶ ἐθελοντὴς ἐπὶ τοῦτο ἐλθών, ὅτι ἄκων τὸ δεῖνα ἥμαρτον καὶ ἄκων τὸ δεῖνα διέφθειρα. Ἐρεῖ γὰρ πρὸς αὐτὸν ὁ ταύτην αὐτῷ τότε δικάζων τὴν δίκην. Καί τί δήποτε, τοσαύτην σεαυτῷ συνειδὼς ἀπειρίαν καὶ οὐκ ἔχων διάνοιαν ἱκανὴν πρὸς τὸ μεταχειρίσαι τὴν τέχνην ταύτην ἀναμαρτήτως,*
15 *ἔσπευσας καὶ ἐτόλμησας μείζονα τῆς οἰκείας δυνάμεως ἀναδέξασθαι πράγματα; Τίς ὁ καταναγκάσας; Τίς ὁ πρὸς βίαν ἑλκύσας ἀποπηδῶντα καὶ φεύγοντα; Ἀλλ' οὐ σύ γε τούτων οὐδὲν ἀκούσῃ ποτέ. Οὔτε αὐτὸς γὰρ ἂν ἔχοις τοιοῦτόν τι σαυτοῦ καταγνῶναι, καὶ πᾶσίν ἐστι καταφανές, ὅτι οὔτε μέγα οὔτε*
20 *μικρὸν ὑπὲρ ταύτης ἐσπούδασας τῆς τιμῆς, ἀλλ' ἑτέρων γέγονε τὸ κατόρθωμα. Καὶ ὅπερ ἐκείνους ἐν τοῖς ἁμαρτήμασιν οὐκ ἀφίησιν ἔχειν συγγνώμην, τοῦτό σοι πολλὴν παρέχει πρὸς ἀπολογίαν τὴν ὑπόθεσιν.*

ΧΡΥΣΟΣΤΟΜΟΣ. Πρὸς ταῦτα ἐγὼ κινήσας τὴν κε-
25 *φαλὴν καὶ μειδιάσας ἠρέμα ἐθαύμαζόν τε αὐτὸν τῆς ἁπλότητος καὶ πρὸς αὐτὸν ἔλεγον. Ἐβουλόμην καὶ αὐτὸς ταῦτα οὕτως*

ΛΟΓΟΣ Δ'.

1. Καὶ ὁ Βασίλειος, ἀφοῦ ἤκουσεν ὅλα αὐτά, εἶπεν ἔπειτα ἀπὸ σύντομον σιγήν.

ΒΑΣΙΛΕΙΟΣ. Ἂν εἶχες ὁ ἴδιος ἐνεργήσει ν' ἀποκτήσῃς αὐτὴν τὴν ἐξουσίαν, ὁ φόβος αὐτὸς θὰ ἦτο δικαιολογημένος. Διότι ὅποιος μὲ τὴν φιλόδοξον ἐπιδίωξιν ὁμολογεῖ ὅτι εἶναι ἱκανὸς ν' ἀνταπεξέλθῃ εἰς τὴν διεξαγωγὴν τῆς διακονίας, δὲν ἐπιτρέπεται μετὰ τὴν ἀναδοχὴν νὰ καταφεύγῃ πρὸς δικαιολόγησιν τῶν σφαλμάτων του εἰς τὴν ἀπειρίαν. Αὐτὸς ἀφῄρεσε μόνος του τὴν δικαιολογίαν μὲ τὴν σπουδήν του ν' ἁρπάσῃ τὴν διακονίαν καί, ἀφοῦ τὴν ἀνέλαβεν οἰκειοθελῶς, δὲν δικαιοῦται νὰ λέγῃ, εἰς αὐτὸ τὸ ζήτημα ἔσφαλα χωρὶς νὰ τὸ θέλω, τὸν δεῖνα τὸν κατέστρεψα χωρὶς νὰ τὸ θέλω. Διότι ὁ Δικαστής του θὰ τοῦ εἰπῇ εἰς τὴν μέλλουσαν κρίσιν δι' αὐτὰς τὰς ἀστοχίας· διατί λοιπόν, ἀφοῦ εἶχες τὴν συναίσθησιν ὅτι εἶσαι ἄπειρος καὶ ἀνίκανος νὰ ἐπιτελέσῃς τὸ ἔργον αὐτό, ἐτόλμησες νὰ σπεύσῃς εἰς τὴν ἀνάληψιν εὐθυνῶν ἀνωτέρων τῶν δυνάμεών σου; Ποῖος σ' ἐξηνάγκασεν; Ποῖος σ' ἐβίασε νὰ ὑποκύψῃς καὶ νὰ μὴ ξεφύγῃς τὰς εὐθύνας; Ἐσὺ ὅμως δὲν πρόκειται ν' ἀκούσῃς ποτὲ παρόμοια λόγια. Καὶ οἱ ἄλλοι ὅλοι ἐπληροφορήθησαν ὅτι δὲν κατέβαλες καμμίαν προσπάθειαν οὔτε μεγάλην οὔτε μικρὰν διὰ νὰ καταλάβῃς τὸ ἀξίωμα, ἀλλὰ σὲ ὑπεχρέωσαν νὰ τὸ δεχθῇς ἄλλοι, καὶ ὁ ἴδιος θὰ ἔχῃς ἥσυχον τὴν συνείδησίν σου ἐπ' αὐτοῦ. Καὶ ὁ τρόπος τῆς ἐκλογῆς, ὁ ὁποῖος εἰς τοὺς ἄλλους δὲν ἐπιτρέπει νὰ εὕρουν συγγνώμην, εἰς σὲ θὰ ἔδιδε πολλὰ ἐπιχειρήματα πρὸς ἀπολογίαν.

ΧΡΥΣΟΣΤΟΜΟΣ. Μόλις ἐτελείωσεν, ἐγὼ ἐκίνησα τὴν κεφαλήν, ἐχαμογέλασα ἀπὸ θαυμασμὸν πρὸς τὴν ἁπλότητά του καὶ τοῦ εἶπα. Θὰ ἤθελα καὶ ἐγώ, ἀγαθώτα-

ἔχειν, ὡς ἔφης, ὦ πάντων ἀγαθώτατε σύ, οὐχ ἵνα δέξασθαι δυνηθῶ τοῦτο, ὅπερ ἔφυγον νῦν. Εἰ γὰρ καὶ μηδεμία μοι προὔκειτο κόλασις ὡς ἔτυχε καὶ ἀπείρως ἐπιμελουμένῳ τῆς ποίμνης τοῦ Χριστοῦ, ἀλλ' ἐμοὶ πάσης τιμωρίας χαλεπώτερον 5 ἦν αὐτό, τὸ πιστευθέντα πράγματα οὕτω μεγάλα περὶ τὸν πιστεύσαντα οὕτω φανῆναι κακόν. Τίνος οὖν ἕνεκεν ηὐχόμην τὴν δόξαν σου ταύτην μὴ διαπεσεῖν; Ἵνα τοῖς ἀθλίοις καὶ ταλαιπώροις (οὕτω γὰρ δεῖ καλεῖν τοὺς οὐχ εὑρόντας καλῶς προστῆναι τῆς πραγματείας, κἂν μυριάκις αὐτοὺς πρὸς ἀνάγ-10 κην ἦχθαι λέγῃς καὶ ἀγνοοῦντας ἁμαρτεῖν), ἵνα τούτοις διαφυγεῖν γένηται τὸ πῦρ ἐκεῖνο τὸ ἄσβεστον καὶ τὸ σκότος τὸ ἐξώτερον καὶ τὸν σκώληκα τὸν ἀτελεύτητον καὶ τὸ διχοτομηθῆναι καὶ τὸ μετὰ τῶν ὑποκριτῶν ἀπολέσθαι. Ἀλλὰ τί σοι πάθω; Οὐκ ἔστι ταῦτα, οὐκ ἔστιν.

15 *Καί, εἰ βούλει γε, ἀπὸ τῆς βασιλείας πρῶτον, ἧς οὐ τοσοῦτος ὅσος τῆς ἱερωσύνης τῷ Θεῷ λόγος, παρέξω σοι τούτων, ὧν εἶπον, τὴν πίστιν. Ὁ Σαοὺλ ἐκεῖνος, ὁ τοῦ Κεῖς υἱός, οὐκ αὐτὸς σπουδάσας ἐγένετο βασιλεύς, ἀλλ' ἀπῆλθε μὲν ἐπὶ τὴν τῶν ὄνων ζήτησιν καὶ ὑπὲρ τούτων ἐρωτήσων τὸν 20 προφήτην ἤρχετο· ὁ δὲ αὐτῷ περὶ τῆς βασιλείας διελέγετο. Καὶ οὐδὲ οὕτως ἐπέδραμε, καίτοι παρὰ ἀνδρὸς ἀκούων προφήτου, ἀλλὰ καὶ ἀνεδύετο καὶ παρῃτεῖτο λέγων· «Τίς εἰμι ἐγὼ καὶ τίς ὁ οἶκος τοῦ πατρός μου;». Τί οὖν; Ἐπειδὴ κακῶς ἐχρήσατο τῇ παρὰ τοῦ Θεοῦ δοθείσῃ τιμῇ, ἴσχυσεν αὐτὸν ἐξε-25 λέσθαι ταῦτα τὰ ῥήματα τῆς τοῦ βασιλεύσαντος αὐτὸν ὀργῆς; Οὐδαμῶς. Καίτοι γε ἐνῆν λέγειν πρὸς τὸν Σαμουὴλ ἐγκαλοῦντα αὐτῷ· μὴ γὰρ αὐτὸς ἐπέδραμον τῇ βασιλείᾳ; Μὴ γὰρ*

1. Α' Βασ. 9.

τε φίλε μου, νὰ ἦσαν τὰ πράγματα ἔτσι, ὅπως λέγεις ἐσύ. Ὄχι φυσικὰ διὰ νὰ δεχθῶ τὸ ἀξίωμα ποὺ ἀπέρριψα· καὶ καμμίαν τιμωρίαν νὰ μὴ ἐπέσυρα διὰ τὴν ἐπιπολαίαν διακυβέρνησιν τῆς ποίμνης τοῦ Χριστοῦ, θὰ μοῦ ἦτο σκληροτέρα ἀπὸ κάθε τιμωρίαν ἡ συναίσθησις ὅτι, ἐνῷ μοῦ ἀνετέθη τόσον ὑψηλὴ ὑπηρεσία, ἔδειξα τόσην ἀδιαφορίαν πρὸς ἐκεῖνον ποὺ μοῦ τὴν ἐνεπιστεύθη. Τότε διατὶ θὰ ηὐχόμην ἡ γνώμη σου αὐτὴ νὰ ἦτο ὀρθή; Διὰ νὰ ἠδύναντο οἱ ἄθλιοι καὶ ταλαίπωροι (διότι ἔτσι πρέπει νὰ λέγωνται ἐκεῖνοι ποὺ δὲν εὗρον τὸν τρόπον νὰ διεξαγάγουν ἐπιτυχῶς τὰ ἔργα τῆς ὑπηρεσίας αὐτῆς, ἔστω καὶ ἂν ὑπέστησαν τὸν χειρότερον ἐκβιασμὸν διὰ νὰ τὴν δεχθοῦν, ἔστω καὶ ἂν ἔσφαλαν ἐξ ἀγνοίας) νὰ διαφύγουν τὸ ἄσβεστον πῦρ καὶ τὸ σκότος τὸ ἐξώτερον καὶ τὸν ἀκούραστον σκώληκα καὶ τὸν διαχωρισμὸν καὶ τὴν ἀπώλειαν μαζὶ μὲ τοὺς ὑποκριτάς. Ἀλλὰ πῶς ἠμπορῶ νὰ συμφωνήσω μαζί σου; Τὰ πράγματα δὲν εἶναι καθόλου ὅπως λέγεις.

Καὶ ἂν θέλῃς θὰ σοῦ ἀποδείξω τὰς ἀπόψεις μου μὲ παραδείγματα, ἀρχίζων ἀπὸ τὴν βασιλείαν, τῆς ὁποίας ἡ ἀξία πρὸ τοῦ Θεοῦ δὲν εἶναι ὅση τῆς ἱερωσύνης. Ὁ Σαούλ, ὁ υἱὸς τοῦ Κεῖς[1], δὲν ἔγινε βασιλεὺς μὲ ἰδικάς του προσπαθείας· εἶχεν ἀναχωρήσει πρὸς ἀναζήτησιν τῶν ὄνων του καὶ ἤρχετο νὰ ἐρωτήσῃ δι᾿ αὐτὰς τὸν προφήτην, ἐκεῖνος δὲ τοῦ ἔκαμε λόγον περὶ τῆς βασιλείας. Καὶ παρ᾿ ὅλον ὅτι τοῦ ἔκαμε τὴν πρότασιν ὁ προφήτης, αὐτὸς δὲν ἐδέχθη ἀμέσως νὰ λάβῃ τὸν τίτλον, ἀντέτεινε καὶ ἠρνεῖτο λέγων· «ποῖος εἶμαι ἐγὼ καὶ ποία εἶναι ἡ οἰκογένειά μου;». Τί ἐπηκολούθησε λοιπόν; Ὅταν ἔκαμε κατάχρησιν τῆς ὑπὸ τοῦ Θεοῦ δοθείσης τιμῆς, ἴσχυσαν οἱ λόγοι αὐτοὶ νὰ τὸν ἀπαλλάξουν ἀπὸ τὴν ὀργὴν τοῦ προφήτου ποὺ τὸν ἀνεκήρυξε βασιλέα; Καθόλου. Θὰ ἠμποροῦσε βεβαίως νὰ εἰπῇ πρὸς τὸν Σαμουήλ, ὅταν τὸν κατηγοροῦσε· μήπως ἐπεδίωξα ἐγὼ τὴν βασιλείαν; Μήπως κατέλαβα τὴν ἐξου-

ἐπεπήδησα ταύτῃ τῇ δυναστείᾳ; Τὸν τῶν ἰδιωτῶν ἐβουλόμην βίον ζῆν, τὸν ἀπράγμονα καὶ ἡσύχιον· σὺ δέ με ἐπὶ τοῦτο εἵλκυσας τὸ ἀξίωμα. Ἐν ἐκείνῃ μένων τῇ ταπεινότητι εὐκόλως ἂν ταῦτα ἐξέκλινα τὰ προσκρούματα· οὐ γὰρ δήπου τῶν
5 *πολλῶν εἷς ὢν καὶ ἀσήμων ἐπὶ τοῦτο ἂν ἐξεπέμφθην τὸ ἔργον, οὐδ' ἂν ἐμοὶ τὸν πρὸς τοὺς Ἀμαληκίτας πόλεμον ἐνεχείρισεν ὁ Θεός· μὴ ἐγχειρισθεὶς δέ, οὐκ ἄν ποτε ταύτην ἥμαρτον τὴν ἁμαρτίαν. Ἀλλὰ ταῦτα πάντα ἀσθενῆ πρὸς ἀπολογίαν, οὐκ ἀσθενῆ δὲ μόνον, ἀλλὰ καὶ ἐπικίνδυνα καὶ μᾶλλον*
10 *ἐκκαίοντα τοῦ Θεοῦ τὴν ὀργήν. Τὸν γὰρ ὑπὲρ τὴν ἀξίαν τιμηθέντα οὐκ εἰς τὴν τῶν ἁμαρτημάτων ἀπολογίαν χρὴ προβάλλεσθαι τῆς τιμῆς τὸ μέγεθος, ἀλλὰ εἰς μείζονα βελτιώσεως προκοπὴν κεχρῆσθαι τῇ πολλῇ περὶ αὐτὸν τοῦ Θεοῦ σπουδῇ. Ὁ δέ, διότι κρείττονος ἔτυχεν ἀξιώματος, διὰ τοῦτο*
15 *ἁμαρτάνειν αὐτῷ νομίζων ἐξεῖναι, οὐδὲν ἕτερον ἢ τὴν τοῦ Θεοῦ φιλανθρωπίαν αἰτίαν τῶν οἰκείων ἁμαρτημάτων ἐπιδεῖξαι ἐσπούδασεν· ὅπερ τοῖς ἀσεβέσι καὶ ῥαθύμως τὸν ἑαυτῶν διοικοῦσι βίον λέγειν ἔθος ἀεί. Ἀλλ' οὐχὶ ἡμᾶς οὕτω διακεῖσθαι χρή, οὐδὲ εἰς τὴν αὐτὴν ἐκείνοις ἐκπίπτειν μανίαν, ἀλλὰ*
20 *πανταχοῦ σπουδάζειν τὰ παρ' ἑαυτῶν εἰσφέρειν εἰς δύναμιν τὴν ἡμετέραν, καὶ εὔφημον καὶ γλῶτταν καὶ διάνοιαν ἔχειν.*

Οὐδὲ γὰρ ὁ Ἠλὶ (ἵνα τὴν βασιλείαν ἀφέντες ἐπὶ τὴν ἱερωσύνην, περὶ ἧς ἡμῖν ὁ λόγος, ἔλθωμεν νῦν) ἐσπούδασε κτήσασθαι τὴν ἀρχήν. Τί οὖν αὐτὸν τοῦτο, ἡνίκα ἥμαρτεν, ὤνη-
25 *σεν; Καὶ τί λέγω κτήσασθαι; Οὐδὲ διαφυγεῖν μὲν οὖν, εἴπερ ἤθελε, δυνατὸν ἦν αὐτῷ διὰ τὴν ἀνάγκην τοῦ νόμου. Καὶ γὰρ ἦν τῆς Λευῒ φυλῆς καὶ τὴν ἀρχὴν διὰ τοῦ γένους ἄνωθεν κα-*

---

2. Αὐτ. 4, 18.

σίαν αὐτὴν διὰ τῆς βίας; Ἐγὼ ἤθελα τὸν ἤρεμον καὶ ἤσυχον ἰδιωτικὸν βίον, καὶ σὺ μὲ προσείλκυσες εἰς τὸ ἀξίωμα αὐτό. Ἂν ἔμενα εἰς τὴν ταπεινὴν ἐκείνην ζωήν, εὔκολα θὰ ἀπέφευγα αὐτὰ τὰ ἐμπόδια. Ἂν ἤμην ἕνας ἄσημος ἄνθρωπος τοῦ λαοῦ, δὲν θ' ἀνελάμβανα τέτοιον ἔργον καὶ δὲν θὰ μοῦ ἀνέθετεν ὁ Θεὸς τὸν πόλεμον πρὸς τοὺς Ἀμαληκίτας, καὶ ἂν δὲν μοῦ εἶχεν ἀνατεθῆ τὸ ἔργον αὐτό, δὲν θὰ διέπραττα αὐτὴν τὴν ἁμαρτίαν. Ἀλλ' ὅλα αὐτὰ εἶναι ἀνίσχυροι δικαιολογίαι, ὄχι δὲ μόνον ἀνίσχυροι, ἀλλὰ καὶ ἐπικίνδυνοι, διότι προκαλοῦν περισσότερον τὴν ὀργὴν τοῦ Θεοῦ. Ὁ τιμηθεὶς μὲ μεγάλον ἀξίωμα δὲν ἐπιτρέπεται νὰ προβάλλῃ πρὸς ἀπολογίαν διὰ τὰ ἁμαρτήματά του τὸ μέγεθος τῆς τιμῆς· πρέπει νὰ χρησιμοποιῇ τὴν ἐξαιρετικὴν πρὸς αὐτὸν εὔνοιαν τοῦ Θεοῦ πρὸς βελτίωσιν τῆς ἐπιδόσεώς του. Ὁ βασιλεὺς δὲ αὐτός, νομίζων ὅτι ἐπιτρέπεται ν' ἁμαρτήσῃ διότι ἀνέλαβεν ἀξίωμα ἀνώτερον τῶν δυνάμεών του, δὲν ἔκαμε τίποτε ἄλλο παρὰ ἐπροσπαθοῦσε ν' ἀποδείξῃ ὡς αἰτίαν τῶν ἁμαρτημάτων του τὴν φιλανθρωπίαν τοῦ Θεοῦ, πρᾶγμα ποὺ συνηθίζουν νὰ λέγουν πάντοτε οἱ ἀσεβεῖς καὶ οἱ ζῶντες μὲ ἀδιαφορίαν πρὸς τὰς ἠθικὰς ἀρχάς. Ἡμεῖς ἀντιθέτως δὲν ἐπιτρέπεται νὰ ἔχωμεν παρόμοιον φρόνημα καὶ νὰ περιπίπτωμεν εἰς τὴν ἰδίαν μὲ ἐκείνους μανίαν, ἀλλὰ πρέπει νὰ καταβάλλωμεν συντόνους προσπαθείας, ὥστε νὰ προσφέρωμεν τὰς κατὰ δύναμιν ὑπηρεσίας καὶ παραλλήλως νὰ ἔχωμεν εὐλαβῆ γλῶσσαν καὶ σκέψιν.

Καὶ ὁ Ἠλὶ ἐπίσης (διὰ νὰ ἀφήσωμεν τὴν βασιλείαν καὶ ἔλθωμεν εἰς τὴν ἱερωσύνην ποὺ ἀποτελεῖ τὸ θέμα τῆς συνομιλίας μας) δὲν ἐπεδίωξε ν' ἀποκτήσῃ τὸ ἀξίωμα. Τί τὸν ὠφέλησεν ὅμως αὐτό, ὅταν ἡμάρτησεν;[2] Καὶ διατί λέγω δὲν τὸ ἐπεδίωξε; Σύμφωνα μὲ τὸν νόμον οὔτε νὰ τὸ ἀποφύγῃ, ἐὰν ἤθελε, δὲν ἠδύνατο, διότι ἀνῆκεν εἰς τὴν φυλὴν τοῦ Λευΐ καὶ ὤφειλε νὰ δεχθῇ τὴν ἀρχὴν κατὰ

ταβαίνουσαν ἔδει δέξασθαι. Ἀλλ' ὅμως καὶ οὗτος τῆς τῶν παίδων παρανομίας ἔδωκε δίκην οὐ μικράν. Τί δὲ αὐτὸς ὁ πρῶτος γενόμενος τῶν Ἰουδαίων ἱερεύς, περὶ οὗ τοσαῦτα διελέχθη ὁ Θεὸς τῷ Μωϋσεῖ; Ἐπειδὴ οὐκ ἴσχυσε μόνος πρὸς
5 *τοσούτου πλήθους στῆναι μανίαν, οὐ παρὰ μικρὸν ἦλθεν ἀπολέσθαι, εἰ μὴ ἡ τοῦ ἀδελφοῦ προστασία ἔλυσε τοῦ Θεοῦ τὴν ὀργήν; Επειδὴ δὲ Μωϋσέως ἐμνήσθημεν, καλὸν καὶ ἐκ τῶν ἐκείνῳ συμβεβηκότων δεῖξαι τοῦ λόγου τὴν ἀλήθειαν. Αὐτὸς γὰρ οὗτος ὁ Μακάριος Μωϋσῆς τοσοῦτον ἀπέσχε τοῦ*
10 *τὴν προστασίαν ἁρπάσαι τῶν Ἰουδαίων, ὡς καὶ διδομένην παρῃτεῖσθαι καὶ Θεοῦ κελεύοντος ἀνανεῦσαι καὶ παροξῦναι τὸν προστάττοντα. Καὶ οὐ τότε μόνον, ἀλλὰ καὶ μετὰ ταῦτα, γενόμενος ἐπὶ τῆς ἀρχῆς, ὑπὲρ τοῦ ταύτης ἀπαλλαγῆναι ἡδέως ἂν ἀπέθνησκεν. «Ἀπόκτεινον γάρ με, φησίν, εἰ οὕτω μοι*
15 *μέλλεις ποιεῖν». Τί οὖν; Ἐπειδὴ ἥμαρτεν ἐπὶ τοῦ ὕδατος, ἴσχυσαν αἱ συνεχεῖς αὗται παραιτήσεις ἀπολογήσασθαι ὑπὲρ αὐτοῦ καὶ πεῖσαι τὸν Θεὸν δοῦναι συγγνώμην; Καὶ πόθεν ἄλλοθεν τῆς ἐπηγγελμένης ἀπεστερεῖτο γῆς; Οὐδαμόθεν ἄλλοθεν, ὡς ἅπαντες ἴσμεν, ἀλλ' ἢ διὰ τὴν ἁμαρτίαν ταύτην, δι'*
20 *ἣν ὁ θαυμαστὸς ἐκεῖνος ἀνὴρ οὐκ ἴσχυσε τῶν αὐτῶν τοῖς ἀρχομένοις τυχεῖν· ἀλλὰ μετὰ τοὺς πολλοὺς ἄθλους καὶ τὰς ταλαιπωρίας, μετὰ τὴν πλάνην ἐκείνην τὴν ἄφατον καὶ τοὺς πολέμους καὶ τὰ τρόπαια, ἔξω τῆς γῆς ἀπέθνησκεν, ὑπὲρ ἧς τοσαῦτα ἐμόχθησε· καὶ τὰ τοῦ πελάγους ὑπομείνας κακὰ τῶν τοῦ λι-*
25 *μένος οὐκ ἀπήλαυσεν ἀγαθῶν. Ὁρᾷς ὡς οὐ τοῖς ἁρπάζουσι μόνον, ἀλλ' οὐδὲ τοῖς ἐκ τῆς τῶν ἑτέρων σπουδῆς ἐπὶ τοῦτο ἐρχομένοις λείπεταί τις ἐν οἷς ἂν πταίσωσιν ἀπολογία. Ὅπου γὰρ οἱ τοῦ Θεοῦ χειροτονοῦντος παραιτησάμενοι πολλάκις το-*

---

3. Ἐξ. 32, 10 ἑξ.
4. Αὐτ. 4, 13.
5. Ἀριθ. 11, 15.
6. Αὐτ. 20,12.

κληρονομικὴν μεταβίβασιν ἀπὸ τοὺς προγόνους του. Παρὰ ταῦτα καὶ αὐτὸς ἐτιμωρήθη σκληρὰ διὰ τὰς παρεκτροπὰς τῶν παιδιῶν του. Τί συνέβη δὲ εἰς τὸν πρῶτον ἀρχιερέα τῶν Ἰουδαίων, τὸν Ἀαρών, διὰ τὸν ὁποῖον τόσα εἶπε πρὸς τὸν Μωϋσῆν ὁ Θεός; Δὲν ἐπρόκειτο παρ' ὀλίγον νὰ καταστραφῇ, ἐπειδὴ δὲν κατώρθωσε μόνος νὰ συγκρατήσῃ τὴν μανίαν τόσου πλήθους, ἂν δὲν διεσκέδαζε τὴν ὀργὴν τοῦ Θεοῦ ἡ προστασία τοῦ ἀδελφοῦ του;[3] Ἐπειδὴ δὲ ἀνέφερα τὸν Μωϋσῆν, καλὸν εἶναι νὰ ἀποδείξω τὴν ἀκρίβειαν τῶν λόγων μου καὶ ἀπὸ ὅσα συνέβησαν εἰς αὐτόν. Ὁ Μωϋσῆς, αὐτὸς ὁ μακάριος ἄνθρωπος, ὄχι μόνον δὲν ἥρπασε τὴν ἀρχηγίαν τῶν Ἰουδαίων, ἀλλὰ καὶ ἐνῷ τοῦ προσεφέρετο τὴν ἠρνεῖτο καὶ ἔφθασε μέχρι τοῦ σημείου ν' ἀντιστῇ εἰς τὴν θείαν ἐντολὴν καὶ νὰ παροργίσῃ τὸν Θεόν[4]. Καὶ ὄχι μόνον τότε, ἀλλὰ καὶ ἀργότερα, ἀφοῦ ἀνέλαβε τὴν ἀρχηγίαν, εὐχαρίστως θ' ἀπέθνησκε διὰ ν' ἀπαλλαγῇ ἀπ' αὐτήν. «Φόνευσέ με», λέγει, «ἐὰν πρόκειται νὰ μὲ μεταχειρίζεσαι μὲ αὐτὸν τὸν τρόπον»[5]. Τί συνέβη λοιπόν; Ὅταν ἠπείθησεν εἰς τὸν λόγον τοῦ Θεοῦ διὰ τὴν ἐξαγωγὴν ὕδατος ἀπὸ τὴν πέτραν, τοῦ ἤρκεσαν αἱ συνεχεῖς αὐταὶ παραιτήσεις, διὰ ν' ἀπολογηθῇ καὶ νὰ πείσῃ τὸν Θεὸν νὰ τὸν συγχωρήσῃ[6], Διὰ ποῖον δὲ λόγον ἐστερήθη τῆς εἰσόδου εἰς τὴν γῆν τῆς ἐπαγγελίας; Ὅπως ὅλοι γνωρίζομεν, διὰ τὴν ἁμαρτίαν αὐτὴν καὶ μόνον δὲν κατώρθωσεν ὁ θαυμάσιος ἐκεῖνος ἄνθρωπος νὰ ἀπολαύσῃ ὅ,τι ἀπήλαυσαν οἱ ὑπ' αὐτοῦ ἀρχόμενοι. Καὶ ἔτσι μετὰ τοὺς πολλοὺς ἄθλους, τὰς ταλαιπωρίας, τὰς ἀπεριγράπτους περιπλανήσεις καὶ τοὺς πολέμους καὶ τὰ τρόπαια, ἀπέθανεν ἔξω ἀπὸ τὴν γῆν, διὰ τὴν ὁποίαν ἐμόχθησε τόσον πολύ· καὶ ἐνῷ ὑπέμεινεν ὅλα τὰ δεινὰ τοῦ πελάγους, δὲν ἀπήλαυσε τῆς γαλήνης τοῦ λιμένος. Βλέπεις ὅτι δὲν ὑπάρχει ἀπολογία ὄχι μόνον διὰ τοὺς ἁρπάζοντας τὴν ἐξουσίαν, ἀλλὰ καὶ διὰ τοὺς ἀναλαμβάνοντας αὐτὴν κατόπιν πιέσεων ἀπὸ τοὺς ἄλλους. Ἀφοῦ δὲ πολλάκις ἐτιμωρήθησαν

σαύτην ἔδωκαν δίκην καὶ οὐδὲν ἴσχυσεν ἐξελέσθαι τοῦ κινδύνου τούτου οὔτε τὸν Ἀαρὼν οὔτε τὸν Ἡλί, οὔτε τὸν μακάριον ἐκεῖνον ἄνδρα, τὸν ἅγιον, τὸν προφήτην, τὸν θαυμαστόν, τὸν πρᾶον μάλιστα πάντων τῶν ἐπὶ τῆς γῆς, τὸν ὡς φίλον
5 *λαλοῦντα τῷ Θεῷ, σχολῇ γε ἡμῖν τοῖς τοσοῦτον ἀποδέουσι τῆς ἀρετῆς τῆς ἐκείνου δυνήσεται πρὸς ἀπολογίαν ἀρκέσαι τὸ συνειδέναι ἑαυτοῖς μηδὲν ὑπὲρ ταύτης ἐσπουδακόσι τῆς ἀρχῆς· καὶ μάλιστα ὅτε πολλαὶ τούτων τῶν χειροτονιῶν οὐκ ἀπὸ τῆς θείας γίγνονται χάριτος, ἀλλὰ καὶ ἀπὸ τῆς τῶν ἀνθρώ-*
10 *πων σπουδῆς.*

Τὸν Ἰούδαν ὁ Θεὸς ἐξελέξατο καὶ εἰς τὸν ἅγιον ἐκεῖνον κατέλεξε χορὸν καὶ τὴν ἀποστολικὴν ἀξίαν μετὰ τῶν λοιπῶν ἐνεχείρισεν· ἔδωκε δέ τι καὶ τῶν ἄλλων πλέον αὐτῷ, τὴν τῶν χρημάτων οἰκονομίαν. Τί οὖν; Ἐπειδὴ τούτοις ἀμφοτέροις
15 *ἐναντίως ἐχρήσατο καὶ ὃν ἐπιστεύθη κηρύττειν προὔδωκε καὶ ἃ καλῶς διοικεῖν ἐνεχειρίσθη, ταῦτα ἀνήλωσε κακῶς, ἐξέφυγε τὴν τιμωρίαν; Δι' αὐτὸ μὲν οὖν τοῦτο καὶ χαλεπωτέραν ἑαυτῷ τὴν δίκην εἰργάσατο. Καὶ μάλα γε εἰκότως. Οὐ γὰρ εἰς τὸ τῷ Θεῷ προσκρούειν δεῖ κατακεχρῆσθαι ταῖς παρὰ Θεοῦ διδομέ-*
20 *ναις τιμαῖς, ἀλλ' εἰς τὸ μᾶλλον ἀρέσκειν αὐτῷ. Ὁ δέ, ἐπειδὴ πλέον τετίμηται, διὰ τοῦτο ἀξιῶν ἀποφυγεῖν, ἐν οἷς ἂν κολάζεσθαι δέῃ, παραπλήσιον ποιεῖ, ὥσπερ ἂν εἴ τις καὶ τῶν ἀπίστων Ἰουδαίων ἀκούσας τοῦ Χριστοῦ λέγοντος, ὅτι «εἰ μὴ ἦλθον καὶ ἐλάλησα αὐτοῖς, ἁμαρτίαν οὐκ εἶχον», καὶ «εἰ μὴ*
25 *τὰ σημεῖα ἐποίουν ἐν αὐτοῖς, ἃ μηδεὶς ἄλλος ἐποίησεν, ἁ-*

---

7. Αὐτ. 12, 3.
8. Ἐξ. 33, 11.
9. Οἱ ἀνάξιοι κληρικοί, κακῶς ἐκλεγέντες ὑπὸ τῶν ἐκκλ. προϊσταμένων, δὲν χειροτονοῦνται (ἐκλέγονται) ὑπὸ τοῦ Θεοῦ. Βλ. εἰς Β' Τιμ. 2, 3· «πάντας ὁ Θεὸς χειροτονεῖ καὶ τοὺς ἀναξίους; Πάντας μὲν ὁ Θεὸς οὐ χειροτονεῖ, διὰ πάντων δὲ ἐνεργεῖ».
10. Ἰω. 12, 6.

τόσον σκληρὰ ἄνθρωποι, οἱ ὁποῖοι ἠρνοῦντο τὴν κλῆσιν ἀπὸ αὐτὸν τὸν Θεόν, καὶ ἀφοῦ τίποτε δὲν κατώρθωσε ν' ἀπαλλάξῃ ἀπὸ τὸν κίνδυνον αὐτὸν οὔτε τὸν Ἀαρὼν οὔτε τὸν Ἠλὶ οὔτε τὸν μακάριον ἐκεῖνον ἄνθρωπον, τὸν ἅγιον, τὸν προφήτην, τὸν θαυμάσιον, τὸν πραότερον ἀπὸ ὅλους τοὺς ἀνθρώπους τῆς γῆς[7], ποὺ ὡμιλοῦσε πρὸς τὸν Θεὸν ὡς φίλος[8], πολὺ ὀλιγώτερον θ' ἀρκέσῃ πρὸς ἀπολογίαν ἡμῶν, ποὺ ἀπέχομεν τόσον πολὺ ἀπὸ τὴν ἀρετὴν ἐκείνου, ἡ συναίσθησις ὅτι δὲν ἐπεδιώξαμεν καθόλου τὴν κατάληψιν τοῦ ἀξιώματος αὐτοῦ καὶ μάλιστα, ὅταν συμβαίνῃ πολλαὶ ἀπὸ τὰς χειροτονίας αὐτὰς νὰ μὴ γίνωνται μ' ἔμπνευσιν τῆς θείας χάριτος, ἀλλ' ἀπὸ εἰσήγησιν ἀνθρωπίνων ὑπολογισμῶν[9].

Τὸν Ἰούδαν τὸν ἐξέλεξε καὶ τὸν κατέταξεν εἰς τὸν ἅγιον ἐκεῖνον χορὸν καὶ τοῦ ἔδωσε τὸ ἀποστολικὸν ἀξίωμα μαζὶ μὲ τοὺς ἄλλους ὁ Θεός· τοῦ ἔδωσε μάλιστα καὶ κάτι περισσότερον ἀπὸ τοὺς ἄλλους, τὴν χρηματικὴν διαχείρισιν[10]. Τί συνέβη λοιπόν; Ὅταν κατεχράσθη καὶ τὰς δύο αὐτὰς ὑπηρεσίας, ὅταν ἐπρόδωσε τὸν παραχωρήσαντα εἰς αὐτὸν τὸ δικαίωμα τοῦ κηρύγματος καὶ ἐσπατάλησε τὰ χρήματα ποὺ τοῦ ἔδωσε νὰ τὰ διαχειρίζεται τιμίως, μήπως ἐξέφυγεν ἀπὸ τὴν τιμωρίαν; Καθόλου· ἀκριβῶς λόγῳ τοῦ διπλοῦ ἀξιώματός του ὑπέστη σκληροτέραν τιμωρίαν καὶ πολὺ εὐλόγως. Διότι αἱ ὑπὸ τοῦ Θεοῦ προσφερόμεναι τιμαὶ πρέπει νὰ χρησιμοποιοῦνται ὄχι ὡς ἀφορμὴ προσβολῆς πρὸς τὸν Θεόν, ἀλλὰ μᾶλλον ὡς μέσον εὐαρεστήσεως πρὸς αὐτόν. Ὅποιος δὲ ἔχει τὴν ἀξίωσιν ν' ἀποφύγῃ τὴν τιμωρίαν τῶν παραπτωμάτων του διὰ μόνον τὸν λόγον ὅτι ἔχει ἀναλάβει θέσιν περισσότερον τιμητικήν, ἐνεργεῖ σὰν ἄπιστος Ἰουδαῖος, ὁ ὁποῖος εἰς τοὺς λόγους τοῦ Χριστοῦ, «ἐὰν δὲν ἠρχόμην νὰ τοὺς ἀνακοινώσω τὴν διδασκαλίαν μου, δὲν θὰ εἶχαν ἁμαρτίαν», καὶ «ἐὰν δὲν εἶχα διενεργήσει ἐμπρός των θαύματα ποὺ δὲν ἔκαμε κανεὶς ἄλλος, δὲν

μαρτίαν οὐκ εἶχον», ἐγκαλοίη τῷ Σωτῆρι καὶ εὐεργέτῃ λέγων· τί γὰρ ἤρχου καὶ ἐλάλεις; Τί δὲ ἐποίεις σημεῖα, ἵνα μειζόνως ἡμᾶς κολάσῃς; Ἀλλὰ μανίας τὰ ῥήματα ταῦτα καὶ τῆς ἐσχάτης παραπληξίας. Ὁ γὰρ ἰατρὸς οὐχ ἵνα σε κατακρίνῃ
5 ἦλθεν, ἀλλὰ μᾶλλον θεραπεύσων· οὐχ ἵνα σε νοσοῦντα παρίδῃ ἀλλ' ἵνα σε ἀπαλλάξῃ τῆς νόσου τέλεον. Σὺ δὲ σαυτὸν ἑκὼν ἀπεστέρησας τῶν ἐκείνου χειρῶν· δέχου τοίνυν χαλεπωτέραν τὴν τιμωρίαν. Ὥσπερ γὰρ εἰ εἶξας τῇ θεραπείᾳ καὶ τῶν προτέρων ἂν ἀπηλλάγης κακῶν, οὕτως, ἐπειδὴ παρα-
10 γενόμενον ἰδὼν ἔφυγες, οὐκ ἔτι ἀπονίψασθαι ταῦτα δυνήσῃ, μὴ δυνάμενος δὲ καὶ τούτων δώσεις τὴν τιμωρίαν. Καὶ ἀνθ' ὧν αὐτῷ ματαίαν τὴν σπουδὴν ἐποίησας, τό γε μέρος τὸ σόν, διὰ ταῦτα οὐκ ἴσην πρὸ τοῦ τιμηθῆναι παρὰ τοῦ Θεοῦ καὶ μετὰ τὰς τιμὰς τὴν βάσανον ὑπομένομεν, ἀλλὰ πολλῷ σφοδρο-
15 τέραν ὕστερον. Ὁ γὰρ μὴ τῷ παθεῖν εὖ γενόμενος ἀγαθὸς πικροτέρως δίκαιος ἂν εἴη κολάζεσθαι. Ἐπεὶ οὖν ἀσθενὴς ἡμῖν αὕτη ἡ ἀπολογία δέδεικται καὶ οὐ μόνον οὐ σῴζει τοὺς εἰς αὐτὴν καταφεύγοντας, ἀλλὰ καὶ προδίδωσι πλέον, ἑτέραν ἡμῖν ποριστέον ἀσφάλειαν.

20 2. ΒΑΣΙΛΕΙΟΣ. Ποίαν δὴ ταύτην; Ὁ Βασίλειος ἔφη· ὡς ἔγωγε οὐδὲ ἐν ἐμαυτῷ δύναμαι εἶναι νῦν· οὕτω με ἔμφοβον καὶ ἔντρομον τοῖς ῥήμασι κατέστησας τούτοις.

ΧΡΥΣΟΣΤΟΜΟΣ. Μή, δέομαι, ἔφην, καὶ ἀντιβολῶ, μὴ τοσοῦτον καταβάλῃς σαυτόν. Ἔστι γάρ, ἔστιν ἀσφάλεια τοῖς
25 μὲν ἀσθενέσιν ἡμῖν τὸ μηδέποτε ἐμπεσεῖν, ὑμῖν δὲ τοῖς ἰσχυροῖς τὸ τὰς ἐλπίδας τῆς σωτηρίας εἰς ἕτερον μὲν ἀνηρτῆσθαι μηδὲν μετὰ τὴν τοῦ Θεοῦ χάριν, ἀλλ' ἢ εἰς τὸ μηδὲν ἀνάξιον πράττειν τῆς δωρεᾶς ταύτης καὶ τοῦ δεδωκότος αὐτὴν

---

11. Αὐτ. 15, 22. 24.

θὰ εἶχαν ἁμαρτίαν»[11], θὰ κατηγοροῦσε τὸν Σωτῆρα καὶ εὐεργέτην καὶ θ' ἀντέλεγε· τότε διατί ἦλθες καὶ ἐδίδαξες; Καὶ διατί ἔκαμες θαύματα, ἂν μὲ τὸν τρόπον αὐτὸν μᾶς ἐπεφυλάσσετο μεγαλυτέρα τιμωρία; Ἀλλὰ βεβαίως τὰ λόγια αὐτὰ εἶναι ἐνδεικτικὰ μανιώδους συμπεριφορᾶς. Ὁ ἰατρὸς δὲν ἦλθε νὰ σὲ καταδικάσῃ, ἀλλ' ἀκριβῶς διὰ νὰ σὲ θεραπεύσῃ· ὄχι διὰ νὰ ἴδῃ περιφρονητικὰ τὴν ἀσθένειάν σου, ἀλλὰ διὰ νὰ σὲ ἀπαλλάξῃ ἀπὸ αὐτὴν τελείως. Ἐσὺ δὲ ἐστέρησες τὸν ἑαυτόν σου ἑκουσίως· δέξου λοιπὸν σκληροτέραν τιμωρίαν. Διότι, ὅπως θ' ἀπηλλάσσεσο καὶ ἀπὸ τὰ προηγούμενα δεινὰ ἂν ἐδέχεσο τὴν θεραπείαν, ἔτσι, ἐπειδὴ ἔφυγες μόλις τὸν εἶδες νὰ ἔρχεται, δὲν θὰ κατορθώσῃς πλέον νὰ θεραπευθῇς ἀπὸ αὐτά. Ἀφοῦ δὲ δὲν θὰ κατορθώσῃς, θὰ ὑποστῇς καὶ δι' αὐτὰ τὴν τιμωρίαν. Ἐπειδὴ δὲ καθιστᾷς μὲ τὰς πράξεις σου ἀνωφελὲς τὸ ἔργον του, ὅσον βεβαίως ἐξαρτᾶται ἀπὸ σέ, θὰ ὑποστῇς μετὰ τὴν τιμητικὴν ἐνέργειαν τοῦ Θεοῦ ὄχι ἴσην, ἀλλὰ βαρυτέραν τιμωρίαν ἀπὸ ὅσην θὰ ὑφίστασο πρὸ τῆς ἐκδηλώσεως τῆς τιμῆς αὐτῆς. Ὅποιος δὲν γίνεται καλύτερος διὰ τῶν εὐεργεσιῶν ἀξίζει νὰ τιμωρηθῇ πικρότερα. Ἐπειδὴ λοιπὸν ἡ δικαιολογία αὐτὴ ἀπεδείχθη ἀνίσχυρος καὶ ὄχι μόνον δὲν σώζει, ἀλλὰ καὶ καταστρέφει περισσότερον τοὺς καταφεύγοντας εἰς αὐτήν, ἂς εὕρωμεν ἄλλην ἀσφαλεστέραν.

2. ΒΑΣΙΛΕΙΟΣ. Ποῦ θὰ τὴν εὕρωμεν λοιπόν; Λέγει ὁ Βασίλειος· τόσον φόβον καὶ τρόμον μοῦ προεκάλεσαν οἱ λόγοι σου, ὥστε ἐγὼ τώρα εἶμαι ἐκτὸς ἑαυτοῦ.

ΧΡΥΣΟΣΤΟΜΟΣ. Μή, σὲ παρακαλῶ πολύ, μὴ χάνῃς τόσον εὔκολα τὸ θάρρος σου. Ἀναμφιβόλως ὑπάρχει ἀσφάλεια καὶ εἶναι δι' ἡμᾶς μὲν τοὺς ἀσθενεῖς ἡ παντοτινὴ ἀποφυγὴ τοῦ ἀξιώματος αὐτοῦ, διὰ σᾶς δὲ τοὺς ἰσχυροὺς ἡ ἀνάθεσις τῶν ἐλπίδων τῆς σωτηρίας μετὰ τὴν θείαν χάριν ὄχι εἰς τίποτε ἄλλο, παρὰ εἰς τὸ νὰ μὴ πράττετε τίποτε ἀνάξιον τῆς δωρεᾶς αὐτῆς καὶ τοῦ δωρήσαντος αὐ-

Θεοῦ. Μεγίστης μὲν γὰρ ἂν εἶεν κολάσεως ἄξιοι οἱ μετὰ τὸ δι' οἰκείας σπουδῆς ταύτης ἐπιτυχεῖν τῆς ἀρχῆς ἢ διὰ ῥᾳθυμίαν ἢ διὰ πονηρίαν ἢ καὶ δι' ἀπειρίαν κακῶς κεχρημένοι τῷ πράγματι. Οὐ μὴν διὰ τοῦτο τοῖς οὐκ ἐσπουδακόσι κατα- 5 *λείπεταί τις συγγνώμη, ἀλλὰ καὶ οὗτοι πάσης ἀπολογίας ἐστέρηνται. Δεῖ γάρ, οἶμαι, κἂν μυρίοι καλῶσι καὶ καταναγκάζωσι μὴ πρὸς ἐκείνους ὁρᾶν, ἀλλὰ πρότερον τὴν ἑαυτοῦ βασανίσαντα ψυχὴν καὶ πάντα διερευνησάμενον ἀκριβῶς, οὕτως εἶξαι τοῖς βιαζομένοις. Νῦν δὲ οἰκίαν μὲν οἰκοδομήσασθαι οὐ-* 10 *δεὶς ἂν ὑποσχέσθαι τολμήσειε τῶν οὐκ ὄντων οἰκοδομικῶν, οὐδὲ σωμάτων ἅψασθαι νενοσηκότων ἐπιχειρήσειεν ἄν τις τῶν ἰατρεύειν οὐκ εἰδότων, ἀλλὰ κἂν πολλοὶ οἱ πρὸς βίαν ὠθοῦντες ὦσι, παραιτήσεται καὶ οὐκ ἐρυθριάσει τὴν ἄγνοιαν. Ψυχῶν δὲ ἐπιμέλειαν μέλλων πιστεύεσθαι τοσούτων οὐκ ἐξετάσει* 15 *πρότερον ἑαυτόν, ἀλλά, κἂν ἁπάντων ἀπειρότατος ᾖ, δέξεται τὴν διακονίαν, ἐπειδὴ ὁ δεῖνα κελεύει καὶ ὁ δεῖνα βιάζεται καὶ ἵνα μὴ προσκρούσῃ τῷ δεῖνι; Καὶ πῶς οὐκ εἰς προὖπτον ἑαυτὸν μετ' ἐκείνων ἐμβαλεῖ κακόν; Ἐξὸν γὰρ αὐτῷ σῴζεσθαι καθ' ἑαυτόν, νῦν καὶ ἑτέρους προσαπόλλυσι μεθ' ἑαυτοῦ.* 20 *Πόθεν γὰρ ἔστιν ἐλπίσαι σωτηρίαν; πόθεν συγγνώμης τυχεῖν; Τίνες ἡμῖν παραστήσονται τότε; Οἱ βιαζόμενοι νῦν ἴσως καὶ πρὸς ἀνάγκην ἕλκοντες; Αὐτοὺς δὲ τούτους τίς κατ' ἐκεῖνον διασώσει τὸν καιρόν; Καὶ γὰρ καὶ αὐτοὶ προσδέονται ἑτέρων, ἵνα διαφύγωσι τὸ πῦρ.*

25 *Ὅτι δέ σε οὐ δεδιττόμενος ταῦτα λέγω νῦν, ἀλλ' ὡς ἔχει τὸ πρᾶγμα ἀληθείας, ἄκουε τί τῷ μαθητῇ φησιν ὁ μακάριος Παῦλος Τιμοθέῳ, τῷ γνησίῳ καὶ ἀγαπητῷ· «χεῖρας τα-*

τὴν Θεοῦ. Βεβαίως εἶναι ἄξιοι μεγίστης τιμωρίας ἐκεῖνοι πού, ἐνῷ ἀνέλαβαν αὐτὴν τὴν ἐξουσίαν δι' οἰκειοθελῶν προσπαθειῶν, ἀποτυγχάνουν εἰς τὸ ἔργον εἴτε λόγῳ ραθυμίας εἴτε λόγῳ πονηρίας εἴτε καὶ λόγῳ ἀπειρίας. Αὐτὸ ὅμως δὲν σημαίνει ὅτι ὑπάρχει περιθώριον συγγνώμης δι' ὅσους δὲν τὴν ἐπεδίωξαν· δὲν ἔχουν καμμίαν δικαιολογίαν καὶ αὐτοί. Διότι ὅσον πολλοὶ καὶ ἂν τὸν προκαλοῦν καὶ τὸν βιάζουν, νομίζω ὅτι δὲν πρέπει νὰ πείθεται εἰς αὐτούς, ἀλλὰ νὰ ἐλέγχῃ πρῶτα τὴν ψυχήν του, νὰ ἐξετάζῃ μὲ ἀκρίβειαν ὅλας τὰς διαθέσεις καὶ ροπάς της, καὶ ἔπειτα νὰ ὑποχωρῇ εἰς τοὺς παρακινοῦντας. Τὴν οἰκοδόμησιν οἰκίας δὲν θ' ἀνελάμβανε κανεὶς ἀνίδεος τῆς τέχνης καὶ τὴν θεραπείαν ἀσθενῶν δὲν θὰ ἐπιχειροῦσε κανεὶς ἀνίδεος τῆς ἰατρικῆς ἐπιστήμης, καὶ καθένας ἀπὸ αὐτοὺς θὰ παρῃτεῖτο καὶ δὲν θὰ ἐντρέπετο νὰ δηλώσῃ ἄγνοιαν, ἔστω καὶ ἂν τὸν ἐξεβίαζαν πολλοὶ νὰ δεχθῇ τὴν φροντίδα. Ὅταν δὲ πρόκειται ν' ἀναλάβῃ κάποιος τὴν ἐπιμέλειαν ψυχῶν πολλῶν, δὲν θὰ πρέπει νὰ ἐξετάσῃ προηγουμένως τὸν ἑαυτόν του, ἀλλὰ θὰ δεχθῇ τὴν ὑπηρεσίαν, ἀκόμη καὶ ἂν εἶναι ὁ ἀπειρότερος ἀπὸ ὅλους τοὺς ἀνθρώπους, ἐπειδὴ διατάσσει ὁ δεῖνα καὶ ἐκβιάζει ὁ δεῖνα, καὶ διὰ νὰ μὴ ἔλθῃ εἰς ἀντίθεσιν μὲ τὸν δεῖνα; Δὲν θὰ ρίψῃ ἔτσι τὸν ἑαυτόν του εἰς τρομερὸν κακὸν μαζὶ μὲ ἐκείνους; Διότι ἐνῷ ἠμποροῦσεν ὡς ἰδιώτης νὰ σώσῃ τὸν ἑαυτόν του, τώρα καταστρέφει μαζί του καὶ ἄλλους. Ποῦ ἠμπορεῖ νὰ ζητήσῃ σωτηρίαν; Ποῦ νὰ εὕρῃ συγγνώμην; Ποῖοι θὰ μᾶς ὑποστηρίξουν τότε; Μήπως αὐτοὶ ποὺ ἐκβιάζουν καὶ ἐξαναγκάζουν τώρα; Ἀλλ' αὐτοὺς ποῖος θὰ τοὺς σώσῃ ἐκείνην τὴν ὥραν; Διότι καὶ αὐτοὶ ἔχουν ἀνάγκην βοηθείας ἄλλων διὰ νὰ διαφύγουν τὸ πῦρ.

Καὶ ὅτι δὲν σοῦ τὰ λέγω αὐτὰ τώρα ἁπλῶς διὰ νὰ σὲ φοβίσω, ἀλλὰ διότι ἀποτελοῦν τὴν πραγματικότητα, ἄκουσε τί λέγει ὁ μακάριος Παῦλος εἰς τὸν Τιμόθεον, τὸ γνήσιον καὶ ἀγαπητὸν τέκνον του· «μὴ χειροτονῇς κανένα ἐ-

χέως μηδενὶ ἐπιτίθει, μηδὲ κοινώνει ἁμαρτίαις ἀλλοτρίαις». Εἶδες ὅσης τοὺς μέλλοντας ἡμᾶς ἐπὶ τοῦτο παράγειν, οὐ μέμψεως μόνον, ἀλλὰ καὶ τιμωρίας, τό γε ἡμέτερον ἀπηλλάξαμεν μέρος; Ὥσπερ γὰρ τοῖς αἱρεθεῖσιν οὐκ αὔταρκες πρὸς ἀπο-
5 *λογίαν τὸ λέγειν, οὐκ αὐτόκλητος ἦλθον, οὐδὲ προειδὼς οὐκ ἀπέφυγον· οὕτως οὐδὲ τοὺς χειροτονοῦντας ὠφελῆσαί τι δύναται εἰ λέγοιεν τὸν χειροτονηθέντα ἀγνοεῖν. Ἀλλὰ διὰ τοῦτο καὶ μεῖζον τὸ ἔγκλημα γίνεται, ὅτι ὃν ἠγνόουν παρήγαγον, καὶ ἡ δοκοῦσα εἶναι ἀπολογία αὔξει τὴν κατηγορίαν.*
10 *Πῶς γὰρ οὐκ ἄτοπον, ἀνδράποδον μὲν πρίασθαι βουλομένους καὶ ἰατροῖς ἐπιδεικνύναι καὶ τῆς πράσεως ἐγγυητὰς ἀπαιτεῖν καὶ γειτόνων πυνθάνεσθαι καὶ μετὰ ταῦτα πάντα μηδέπω θαρρεῖν, ἀλλὰ καὶ χρόνον πολὺν πρὸς δοκιμασίαν αἰτεῖν, εἰς δὲ τοσαύτην λειτουργίαν μέλλοντάς τινα ἐγγράφειν, ἁπλῶς*
15 *καὶ ὡς ἔτυχεν, ἂν τῷ δεῖνι δόξῃ πρὸς χάριν ἢ πρὸς ἀπέχθειαν ἑτέρων μαρτυρῆσαι, ἐγκρίνειν, μηδεμίαν ποιουμένους ἑτέραν ἐξέτασιν; Τίς οὖν ἡμᾶς ἐξαιτήσεται τότε τῶν ὀφειλόντων προστῆναι καὶ αὐτῶν προστατῶν δεομένων; Δεῖ μὲν οὖν καὶ τὸν χειροτονεῖν μέλλοντα πολλὴν ποιεῖσθαι τὴν ἔρευναν,*
20 *πολλῷ δὲ πλείονα τούτου τὸ χειροτονούμενον. Εἰ γὰρ καὶ κοινωνοὺς ἔχει τῆς κολάσεως τοὺς ἑλομένους, ἐν οἷς ἂν ἁμάρτῃ, ἀλλ' ὅμως οὐδὲ αὐτὸς ἀπήλλακται τῆς τιμωρίας, ἀλλὰ καὶ μείζονα δίδωσι, μόνον εἰ μὴ διά τινα ἀνθρωπίνην αἰτίαν παρὰ τὸ φανὲν αὐτοῖς εὔλογον ἔπραξαν οἱ ἑλόμενοι. Εἰ γὰρ*
25 *ἐν τούτῳ φωραθεῖεν καὶ τὸν ἀνάξιον εἰδότες διά τινα πρόφασιν αὐτὸν παρήγαγον, ἐξ ἴσης τὰ τῶν κολαστηρίων αὐτοῖς· τά-*

---

12. Α' Τιμ. 5, 52. Ὁ Χρυσόστομος εἰς τὴν οἰκείαν ἑρμηνείαν τοῦ χωρίου λέγει· «μὴ ἐκ πρώτης δοκιμασίας, μηδὲ δευτέρας, μηδὲ τρίτης, ἀλλὰ πολλάκις περισκεψάμενος...».

σπευσμένως, διὰ νὰ μὴ γίνῃς μέτοχος ξένων ἁμαρτιῶν». Βλέπεις ὅτι ἀπήλλαξα τοὺς μέλλοντας νὰ μὲ ὁδηγήσουν εἰς τὴν ἱερωσύνην ὄχι μόνον μομφῆς, ἀλλὰ καὶ μεγάλης τιμωρίας, ὅσον ἐξηρτᾶτο ἀπὸ ἐμέ; Ὅπως τοὺς ἐκλεγέντας δὲν θὰ τοὺς ὠφελήσῃ νὰ εἰποῦν, «δὲν ἦλθα οἰκειοθελῶς οὔτε προεγνώριζα τὰς δυσκολίας διὰ ν' ἀποφύγω τὸ ἀξίωμα», ἔτσι καὶ τοὺς χειροτονοῦντας δὲν θὰ τοὺς ὠφελήσῃ νὰ εἰποῦν ὅτι ἀγνοοῦσαν τὸν χειροτονηθέντα. Μάλιστα τὸ γεγονὸς ὅτι προεβίβασαν ἄνθρωπον ποὺ ἀγνοοῦσαν, καθιστᾷ τὸ ἔγκλημα μεγαλύτερον καὶ αὐτὸ ποὺ θεωροῦν ὡς στοιχεῖον ἐλαφρυντικὸν αὐξάνει τὴν κατηγορίαν. Διότι πῶς δὲν θὰ ἦτο ἄτοπον, ὅταν προτίθενται ν' ἀγοράσουν δοῦλον, νὰ τὸν ἐπιδεικνύουν εἰς τοὺς ἰατρούς, ν' ἀπαιτοῦν ἐγγυητὰς διὰ τὴν ἀγορὰν καὶ νὰ ζητοῦν πληροφορίας ἀπὸ τοὺς γείτονας, καὶ παρ' ὅλα αὐτὰ νὰ μὴ δίδουν ἀκόμη ἐμπιστοσύνην, ἀλλὰ νὰ ζητοῦν καὶ μακρὰν προθεσμίαν δοκιμασίας, ὅταν δὲ πρόκειται νὰ πληρώσουν μίαν θέσιν τόσον ὑψηλοῦ λειτουργήματος, νὰ ἐγκρίνουν ὁποιονδήποτε ὑποψήφιον ἁπλῶς καὶ ὡς ἔτυχε, μόνον ἐπειδὴ ὁ δεῖνα ἀπεφάσισε νὰ δώσῃ μαρτυρίαν πρὸς χάριν ἢ πρὸς δυσαρέσκειαν ἄλλων, χωρὶς νὰ προβοῦν εἰς καμμίαν ἄλλην ἐξέτασιν; Ποῖος λοιπὸν θὰ μεσιτεύσῃ δι' ἡμᾶς τότε, ὅταν αὐτοὶ ποὺ ἔπρεπε νὰ εἶναι ὑπερασπισταὶ χρειάζονται συνηγόρους οἱ ἴδιοι; Πρέπει λοιπὸν καὶ ὁ μέλλων νὰ χειροτονήσῃ νὰ προβαίνῃ εἰς προσεκτικὴν ἐξέτασιν τοῦ ὑποψηφίου, εἰς πολὺ προσεκτικωτέραν δὲ ὁ ἴδιος ὁ χειροτονούμενος[12]. Μολονότι θὰ ἔχῃ συμμετόχους εἰς τὴν τιμωρίαν διὰ τὰ ἁμαρτήματά του, δὲν θ' ἀπαλλαγῇ παρὰ ταῦτα καὶ ὁ ἴδιος τῆς τιμωρίας· μάλιστα θὰ ὑποστῇ τιμωρίαν μεγαλυτέραν ἀπὸ αὐτούς, εἰς ὅσας περιπτώσεις αὐτοὶ δὲν ἐνήργησαν τὴν ἐκλογὴν μὲ κριτήρια καθαρῶς ἀνθρώπινα παραβιάζοντες τὴν συνείδησίν των. Ἐὰν βεβαίως ἐνήργησαν καὶ ἐπ' αὐτοῦ παρὰ τὴν συνείδησίν των καὶ δι' ὁποιονδήποτε λόγον προεβίβασαν ὑποψήφιον ποὺ ἐγνώριζαν ὡς ἀνάξιον,

χα δὲ καὶ μείζονα τῷ τὸν οὐκ ἐπιτήδειον καταστήσαντι. Ὁ γὰρ τὴν ἐξουσίαν παρασχὼν τῷ βουλομένῳ διαφθεῖραι τὴν Ἐκκλησίαν, οὗτος ἂν εἴη τῶν ὑπ' ἐκείνου τολμηθέντων αἴτιος. Εἰ δὲ τούτων μὲν οὐδενὶ γένοιτο ὑπεύθυνος, ἀπὸ δὲ τῆς τῶν πολλῶν 5 ὑπολήψεως ἠπατῆσθαι λέγοι, ἀτιμώρητος μὲν οὐδὲ οὕτω μένει, ὀλίγῳ δὲ ἐλάττονα τοῦ χειροτονηθέντος δίδωσι δίκην. Τί δήποτε; Ὅτι τοὺς μὲν ἑλομένους εἰκὸς ὑπὸ δόξης ψευδοῦς ἀπατηθέντας ἐπὶ τοῦτο ἐλθεῖν, ὁ δὲ αἱρεθεὶς οὐκ ἔτι ἂν δύναιτο λέγειν ὅτι ἠγνόουν ἐμαυτόν, καθάπερ αὐτὸν ἕτεροι. Ὡς οὖν 10 βαρύτερον μέλλοντα κολάζεσθαι τῶν παραγαγόντων, οὕτως ἀκριβέστερον αὐτῶν χρὴ ποιεῖσθαι τὴν ἑαυτοῦ δοκιμασίαν· κἂν ἀγνοοῦντες ἕλκωσιν ἐκεῖνοι, προσιόντα διδάσκειν ἀκριβῶς τὰς αἰτίας, δι' ὧν ἠπατημένους παύσει καὶ ἀνάξιον ἑαυτὸν τῆς δοκιμασίας ἀποδείξας ἐκφεύξεται τοσούτων πραγμάτων 15 ὄγκον.

Διὰ τί γὰρ περὶ στρατείας καὶ ἐμπορίας καὶ γεωργίας καὶ τῶν ἄλλων τῶν βιωτικῶν βουλῆς προκειμένης, οὔτε ὁ γεωργὸς ἕλοιτ' ἂν πλεῖν, οὔτε ὁ στρατιώτης γεωργεῖν, οὔτε ὁ κυβερνήτης στρατεύεσθαι, κἂν μυρίους τις ἀπειλῇ θανάτους; 20 Ἢ δῆλον, ὅτι τὸν ἐκ τῆς ἀπειρίας προορώμενοι κίνδυνον ἕκαστος; Εἶτα, ὅπου μὲν ἡ ζημία περὶ μικρῶν, τοσαύτῃ χρησόμεθα προνοίᾳ καὶ οὐκ εἴξομεν τῇ τῶν βιαζομένων ἀνάγκῃ, ὅπου δὲ ἡ κόλασις αἰώνιος τοῖς οὐκ εἰδόσι μεταχειρίζειν ἱερωσύνην, ἁπλῶς καὶ ὡς ἔτυχε τοσοῦτον ἀναδεξόμεθα κίνδυνον, 25 τὴν ἑτέρων προβαλλόμενοι βίαν; Ἀλλ' οὐκ ἀνέξεται ταῦτα ὁ

ἡ τιμωρία καὶ αὐτῶν εἶναι ἴση, ἴσως δὲ καὶ μεγαλυτέρα, διότι ἐξέλεξαν πρόσωπον ἀκατάλληλον. Διότι ὁ παραχωρῶν τὴν ἐξουσίαν εἰς τὸν ἐπιθυμοῦντα νὰ καταστρέψῃ τὴν Ἐκκλησίαν γίνεται ὁ ἴδιος αἴτιος τῶν κακῶν πράξεων ἐκείνου. Ἐὰν ἀντιθέτως δὲν εἶναι ὑπεύθυνος διὰ τέτοιαν ἐνέργειαν, ἰσχυρίζεται δὲ ὅτι ἠπατήθη ἀπὸ τὴν γνώμην τοῦ πλήθους, δὲν μένει βεβαίως καὶ τότε ἀτιμώρητος, ἀλλὰ καταδικάζεται ὀλίγον ἐλαφρότερα ἀπὸ τὸν χειροτονηθέντα. Διατί; Διότι οἱ μὲν ἐκλέκτορες εἶναι δυνατὸν νὰ προβοῦν εἰς τὴν ἐκλογὴν ἀπατηθέντες ἀπὸ τὴν ψευδῆ φήμην τοῦ ὑποψηφίου, ὁ δὲ ἐκλεγεὶς δὲν ἠμπορεῖ νὰ ἰσχυρισθῇ ὅτι ἀγνοοῦσε τὸν ἑαυτόν του, ὅπως ἄλλοι ἀγνοοῦσαν αὐτόν. Ἀφοῦ λοιπὸν πρόκειται νὰ τιμωρηθῇ βαρύτερον ἀπὸ τοὺς ἐκλέγοντας, πρέπει νὰ ἐξετάζῃ τὸν ἑαυτόν του περισσότερον ἀπὸ ὅσον αὐτοί. Καὶ ἂν ἐκεῖνοι τὸν ἐκβιάζουν ἀπὸ ἄγνοιαν τῆς ἀνικανότητός του, πρέπει νὰ ἔλθῃ καὶ τοὺς διαφωτίσῃ ἐπὶ τῶν λόγων τῆς ἀρνήσεώς του, ὥστε νὰ διαλυθῇ ἡ ἀπατηλὴ γνώμη των, καὶ ἀποδεικνύων ὅτι εἶναι ἀκατάλληλος ν' ἀποφύγῃ τὸ βάρος τῆς μεγάλης αὐτῆς διακονίας.

Διατί εἰς τὴν περίπτωσιν τῆς στρατιωτικῆς τέχνης, τῶν ἐμπορικῶν ἐπιχειρήσεων, τῆς γεωργικῆς ἐργασίας καὶ ἄλλων βιωτικῶν ὑποθέσεων οὔτε ὁ γεωργὸς θ' ἀπεφάσιζε νὰ κυβερνήσῃ πλοῖον οὔτε ὁ στρατιώτης νὰ καλλιεργήσῃ τὴν γῆν οὔτε ὁ πλοίαρχος νὰ διευθύνῃ στρατόν, ἀκόμη καὶ ἂν τοὺς ἀπειλοῦσαν μὲ μυρίους θανάτους; Ἀσφαλῶς διότι ὅλοι προβλέπουν τὸν κίνδυνον λόγῳ τῆς ἀπειρίας των. Ὥστε ἐκεῖ ποὺ ἡ ἐνδεχομένη ζημία εἶναι ἀσήμαντος θὰ δείξωμεν τόσην πρόνοιαν καὶ δὲν θὰ ὑποχωρήσωμεν εἰς τὰς ἀπαιτήσεις τῶν καταναγκαζόντων, ἐδῶ δὲ ποὺ ἡ τιμωρία τῶν ἀγνοούντων τὴν διεξαγωγὴν τοῦ ἱερατικοῦ ἔργου εἶναι αἰώνιος θὰ δεχθῶμεν τὸν κίνδυνον χωρὶς καμμίαν ἀντίρρησιν, καλυπτόμενοι ὑπὸ τὴν ἐξασκηθεῖσαν πίεσιν ἀπὸ τοὺς ἄλλους; Ἀλλ' ὁ Κριτής μας ἐκείνην τὴν ἡ-

τότε κρίνων ἡμᾶς. Ἔδει μὲν γὰρ καὶ πολλῷ πλείω τῶν σαρκικῶν περὶ τὰ πνευματικὰ τὴν ἀσφάλειαν ἐπιδείξασθαι· νῦν δὲ οὐδὲ ἴσην εὑρισκόμεθα παρεχόμενοι. Εἰπὲ γάρ μοι, εἴ τινα ὑποπτεύσαντες ἄνδρα εἶναι τεκτονικὸν οὐκ ὄντα τεκτονικὸν
5 *πρὸς τὴν ἐργασίαν καλοῖμεν, αὐτὸς δὲ ἕποιτο, εἶτα ἀψάμενος τῆς πρὸς τὴν οἰκοδομὴν παρεσκευασμένης ὕλης, ἀφανίζοι μὲν ξύλα, ἀφανίζοι δὲ λίθους, ἐργάζοιτο δὲ τὴν οἰκίαν οὕτως, ὡς εὐθέως καταπεσεῖν· ἆρα ἀρκέσει πρὸς ἀπολογίαν αὐτῷ, τὸ παρ' ἑτέρων ἠναγκάσθαι καὶ μὴ αὐτεπάγγελτον ἥκειν; Οὐδα-*
10 *μῶς· καὶ μάλα γε εἰκότως καὶ δικαίως. Ἐχρῆν γὰρ καὶ ἑτέρων καλούντων ἀποπηδᾶν. Εἶτα τῷ μὲν ξύλα ἀφανίζοντι καὶ λίθους οὐδεμία ἔσται καταφυγὴ πρὸς τὸ δοῦναι δίκην, ὁ δὲ τὰς ψυχὰς ἀπολλὺς καὶ οἰκοδομῶν ἀμελῶς τὴν ἑτέρων ἀνάγκην ἀποχρῆν αὐτῷ πρὸς τὸ μὴ διαφυγεῖν οἴεται; Καὶ πῶς οὐ*
15 *λίαν εὔηθες; Οὔπω γὰρ προστίθημι, ὅτι τὸν μὴ βουλόμενον οὐδεὶς ἀναγκάσαι δυνήσεται. Ἀλλ' ἔστω μυρίαν αὐτὸν ὑπομεμενηκέναι βίαν καὶ μηχανὰς πολυτρόπους, ὥστε ἐμπεσεῖν· τοῦτο οὖν αὐτὸν ἐξαιρήσεται τῆς κολάσεως; Μή, παρακαλῶ, μὴ ἐπὶ τοσοῦτον ἀπατῶμεν ἑαυτούς, μηδὲ ὑποκρινώμεθα ἀγνο-*
20 *εῖν τὰ καὶ τοῖς ἄγαν παισὶ φανερά. Οὐ γὰρ δήπου καὶ ἐπὶ τῶν εὐθυνῶν αὕτη τῆς ἀγνοίας ἡ προσποίησις ἡμᾶς ὠφελῆσαι δυνήσεται. Οὐκ ἐσπούδασας αὐτὸς ταύτην δέξασθαι τὴν ἀρχήν, ἀσθένειαν σεαυτῷ συνειδώς; Εὖ καὶ καλῶς. Ἐχρῆν οὖν μετὰ τῆς αὐτῆς προαιρέσεως, καὶ ἑτέρων καλούντων, ἀποπη-*
25 *δᾶν. Ἤ, ὅτε μὲν οὐδεὶς ἐκάλει, ἀσθενὴς σὺ καὶ οὐκ ἐπιτήδειος· ἐπεὶ δὲ εὑρέθησαν οἱ δώσαντες τὴν τιμήν, γέγονας ἐξαίφνης ἰσχυρός; Γέλως ταῦτα καὶ λῆρος καὶ τῆς ἐσχάτης ἄξια*

μέραν δὲν πρόκειται νὰ ἀκούσῃ τέτοιας δικαιολογίας. Ἐνῶ ἔπρεπε νὰ εἴμεθα περισσότερον προσεκτικοὶ εἰς τὰ πνευματικὰ παρὰ εἰς τὰ κοσμικὰ ζητήματα, ἐμεῖς τώρα δὲν δεικνύομεν οὔτε ἴσην προσοχήν. Εἰπέ μου πραγματικὰ ἐὰν προσκαλέσωμεν ν' ἀναλάβῃ τὴν ἀνέγερσιν κτιρίου ἕνας ἄνθρωπος ποὺ ὑποθέτομεν ὅτι εἶναι ἀρχιτέκτων, χωρὶς νὰ εἶναι, καὶ αὐτὸς δεχθῇ, μόλις δὲ ἀρχίσῃ τὴν ἐργασίαν ἐπὶ τῶν οἰκοδομικῶν ὑλικῶν, καταστρέφῃ τὰ ξύλα καὶ τοὺς λίθους καὶ κατασκευάζῃ τὴν οἰκίαν κατὰ τέτοιον τρόπον, ὥστε νὰ κρημνισθῇ ἀμέσως, ἆρά γε θά τοῦ εἶναι ἐπαρκὴς ἡ δικαιολογία ὅτι δὲν ἦλθε μόνος του ν' ἀναλάβῃ τὸ ἔργον, ἀλλ' ἠναγκάσθη ἀπὸ ἄλλους; Ἀσφαλῶς ὄχι· καὶ πολὺ εὐλόγως καὶ δικαίως. Διότι ἔπρεπε νὰ ξεφύγῃ ἀκόμη καὶ ἂν τὸν ἐπροσκαλοῦσαν ἄλλοι. Ὥστε ἐκεῖνος ποὺ ἀφανίζει τὰ ξύλα καὶ τοὺς λίθους δὲν θὰ εὕρῃ καμμίαν δικαιολογίαν διὰ νὰ ξεφύγῃ τὴν καταδίκην, ἐκεῖνος δὲ ποὺ καταστρέφει ψυχὰς καὶ οἰκοδομεῖ τὴν Ἐκκλησίαν ἀμελῶς νομίζει ὅτι τοῦ ἀρκεῖ ἡ καταφυγὴ εἰς τὸν ἐξαναγκασμὸν ἀπὸ ἄλλους διὰ ν' ἀποφύγῃ τὴν τιμωρίαν; Δὲν εἶναι ἀνόητη παρομοία σκέψις; Ἀφήνω ὅτι ἐκεῖνον ποὺ δὲν θέλει κανεὶς δὲν ἠμπορεῖ νὰ τὸν ἐξαναγκάσῃ. Ἀλλ' ἂς ὑποθέσωμεν ὅτι ὑπέστη ἀνυπόφορον βίαν καὶ πολυειδεῖς ἀπάτας διὰ ν' ἀναδεχθῇ τὸ ἀξίωμα· θὰ τὸν ἀπαλλάξῃ αὐτὸ ἀπὸ τὴν τιμωρίαν; Ὄχι, ἂς μὴ ἐξαπατοῦμεν, παρακαλῶ, τοὺς ἑαυτούς μας· ἂς μὴ ὑποκρινώμεθα ὅτι ἀγνοοῦμεν πράγματα φανερὰ καὶ εἰς τὰ παιδάκια. Αὐτὴ ἡ προσποίησις τῆς ἀγνοίας τῶν εὐθυνῶν δὲν πρόκειται νὰ μᾶς ὠφελήσῃ. Δὲν ἐφρόντισες νὰ καταλάβῃς τὸ ἀξίωμα αὐτὸ μόνος σου, διότι συνῃσθάνεσο τὴν ἀδυναμίαν σου. Πολὺ καλά. Ἔπρεπεν ὅμως βάσει τῆς ἰδίας σκέψεως νὰ τὸ ἀποφύγῃς καὶ ὅταν σὲ ἐκάλεσαν ἄλλοι. Ἢ μήπως ὅταν δὲν σ' ἐκαλοῦσε κανείς, ἤσουν ἀσθενὴς καὶ ἀκατάλληλος, μόλις δὲ εὑρέθησαν ἄνθρωποι νὰ σοῦ δώσουν τὸ τιμητικὸν ἀξίωμα, ἔγινες ξαφνικὰ ἱκανός; Αὐταὶ αἱ παιδαριώδεις σκέψεις εἶ-

τιμωρίας. Διὰ γὰρ τοῦτο καὶ ὁ Κύριος παραινεῖ, μὴ πρότερον βάλλεσθαι θεμέλιον τὸν βουλόμενον πύργον οἰκοδομεῖν, πρὶν ἢ τὴν οἰκείαν ἀναλογίσασθαι δύναμιν, ἵνα μὴ δῷ τοῖς παριοῦσι μυρίας ἀφορμὰς χλευασίας τῆς εἰς αὐτόν. Ἀλλ' ἐκείνῳ
5 *μὲν μέχρι τοῦ γέλωτος ἡ ζημία· ἐνταῦθα δὲ ἡ κόλασις πῦρ ἄσβεστον καὶ σκώληξ ἀτελεύτητος καὶ βρυγμὸς ὀδόντων καὶ σκότος ἐξώτερον καὶ τὸ διχοτομηθῆναι καὶ τὸ ταγῆναι μετὰ τῶν ὑποκριτῶν.*

Ἀλλ' οὐδὲν τούτων ἐθέλουσιν ἰδεῖν οἱ κατηγοροῦντες ἡ-
10 *μῶν· ἢ γὰρ ἂν ἐπαύσαντο μεμφόμενοι τὸν οὐκ ἐθέλοντα ἀπολέσθαι μάτην. Οὐκ ἔστιν περὶ οἰκονομίας πυροῦ καὶ κριθῶν, οὐδὲ βοῶν καὶ προβάτων, οὐδὲ περὶ τοιούτων ἄλλων ἡ σκέψις ἡ προκειμένη νῦν· ἀλλ' ὑπὲρ αὐτοῦ τοῦ σώματος τοῦ Ἰησοῦ. Ἡ γὰρ Ἐκκλησία τοῦ Χριστοῦ κατὰ τὸν μακάριον Παῦλον*
15 *σῶμά ἐστι τοῦ Χριστοῦ καὶ δεῖ τὸν τοῦτο πεπιστευμένον εἰς εὐεξίαν αὐτὸν πολλὴν καὶ κάλλος ἀμήχανον ἐξασκεῖν, πανταχοῦ περισκοποῦντα, μή που σπῖλος ἢ ῥυτὶς ἤ τις ἄλλος μῶμος τοιοῦτος τὴν ὥραν ᾖ καὶ τὴν εὐπρέπειαν λυμαινόμενος ἐκείνην. Καὶ τί γὰρ ἀλλ' ἢ τῆς ἐπικειμένης αὐτῷ κεφαλῆς,*
20 *τῆς ἀκηράτου καὶ μακαρίας, ἄξιον αὐτὸ κατὰ δύναμιν τὴν ἀνθρωπείαν ἀποφαίνειν; Εἰ γὰρ τοῖς περὶ τὴν ἀθλητικὴν εὐεξίαν ἐσπουδακόσι καὶ ἰατρῶν χρεία καὶ παιδοτριβῶν καὶ διαίτης ἠκριβωμένης καὶ ἀσκήσεως συνεχοῦς καὶ μυρίας παρατηρήσεως ἑτέρας (καὶ γὰρ καὶ τὸ τυχὸν ἐν αὐτοῖς παρο-*
25 *φθὲν πάντα ἀνέτρεψε καὶ κατέβαλεν), οἱ τὸ σῶμα τοῦτο θεραπεύειν λαχόντες, τὸ τὴν ἄθλησιν οὐ πρὸς σώματα, ἀλλὰ πρὸς τὰς ἀοράτους δυνάμεις ἔχον, πῶς αὐτὸ δυνήσονται φυλάττειν ἀκέραιον καὶ ὑγιές, μὴ πολὺ τὴν ἀνθρωπίνην ὑπερβαίνοντες ἀρετὴν καὶ πᾶσαν ψυχῇ πρόσφορον ἐπιστάμενοι*
30 *θεραπείαν;*

---

13. Λουκᾶ 14, 28 ἑξ.
14. Ματθ. 3, 12· 24, 51. 25, 30. Ἠσ. 66, 24.
15. Κολ. 1, 18. Ἐφ. 5, 27.

ναι διὰ γέλοια καὶ ὁδηγοῦν εἰς τὴν χειροτέραν τιμωρίαν. Διὰ τοῦτο δὲ καὶ ὁ Κύριος προτρέπει νὰ μὴ θέτῃ θεμέλια ὅποιος θέλει νὰ κτίσῃ πύργον, προτοῦ ἀναλογισθῇ τὴν δύναμίν του, διὰ νὰ μὴ δώσῃ μυρίας ἀφορμὰς εἰρωνείας[13]. Ἀλλ' αὐτὸς ζημιώνεται εἰς εἰρωνικὰ γέλοια, ἐδῶ ὅμως ἡ τιμωρία εἶναι ἄσβεστον πῦρ καὶ ἀκατάπαυστος σκώληξ καὶ βρυγμὸς τῶν ὀδόντων καὶ σκότος ἐξώτερον καὶ ἀποχωρισμὸς καὶ κατάταξις μεταξὺ τῶν ὑποκριτῶν[14].

Ἀλλ' οἱ κατήγοροί μου δὲν θέλουν νὰ καταλάβουν τίποτε ἀπὸ αὐτὰ τὰ πράγματα· ἂν τὰ κατελάμβαναν, θὰ ἔπαυαν νὰ κατηγοροῦν ἐκεῖνον ποὺ δὲν θέλει νὰ χαθῇ χωρὶς λόγον. Ἡ ἰδική μας ἀπόφασις δὲν ἀναφέρεται εἰς τὴν διαχείρισιν σίτου καὶ κριθῆς ἢ βοῶν καὶ προβάτων ἢ ἄλλων ὁμοίων πραγμάτων, ἀναφέρεται εἰς τὴν ὑπηρεσίαν τοῦ σώματος τοῦ Ἰησοῦ. Διότι ἡ Ἐκκλησία τοῦ Χριστοῦ κατὰ τὸν μακάριον Παῦλον εἶναι σῶμα τοῦ Χριστοῦ καὶ πρέπει ὅποιος ἀναλαμβάνει τὴν ἐξυπηρέτησίν του νὰ ἐργάζεται διὰ νὰ τοῦ προσφέρῃ μεγάλην εὐρωστίαν καὶ ἐξαιρετικὸν κάλλος, καὶ νὰ προσέχῃ ἀπὸ παντοῦ μήπως ὑπάρχει κανένας σπῖλος, καμμία ρυτὶς ἢ κανένας ἄλλος παρόμοιος ψόγος[15] ποὺ καταστρέφει αὐτὴν τὴν ὡραιότητα καὶ τὴν εὐπρέπειαν. Καὶ τὸ ἔργον αὐτὸ δὲν ἰσοδυναμεῖ μὲ προσπάθειαν ν' ἀναδείξῃ κατὰ τὴν ἀνθρωπίνην δύναμιν τὸ σῶμα ἀντάξιον τῆς ὑπὲρ αὐτὸ ἀθανάτου καὶ ἁγίας κεφαλῆς; Ἐὰν δὲ οἱ φροντίζοντες διὰ τὴν ἀθλητικὴν ἐπίδοσιν ἔχουν ἀνάγκην ἰατρῶν καὶ προπονητῶν καὶ εἰδικῆς διαίτης καὶ συνεχοῦς ἀσκήσεως καὶ πολλῶν ἄλλων προφυλάξεων (διότι καὶ ἡ μικροτέρα παράβλεψις ἀνατρέπει καὶ παραλύει τὰς προσπαθείας των), αὐτοὶ ποὺ ἀνέλαβαν τὴν φροντίδα τῆς θεραπείας τοῦ σώματος τούτου, ποὺ ἔχει ν' ἀγωνισθῇ ὄχι μὲ ἄλλα σώματα, ἀλλὰ μὲ τὰς ἀοράτους δυνάμεις, πῶς θὰ κατορθώσουν νὰ τὸ φυλάξουν ἀκέραιον καὶ ὑγιές, ἂν δὲν ὑπερβάλλουν κατὰ πολὺ τὴν ἀνθρωπίνην ἀρετὴν καὶ ἂν δὲν γνωρίζουν κάθε θεραπείαν κατάλληλον διὰ τὴν ψυχήν;

3. Ἢ ἀγνοεῖς, ὅτι καὶ πλείοσι τῆς ἡμετέρας σαρκὸς καὶ νόσοις καὶ ἐπιβουλαῖς τοῦτο ὑπόκειται τὸ σῶμα καὶ θᾶττον αὐτοῦ φθείρεται καὶ σχολαίτερον ὑγιαίνει; Καὶ τοῖς μὲν ἐκεῖνα θεραπεύουσι τὰ σώματα καὶ φαρμάκων ἐξεύρηται ποικιλία καὶ ὀργάνων διάφοροι κατασκευαὶ καὶ τροφαὶ τοῖς νοσοῦσι κατάλληλοι· καὶ φύσις δὲ ἀέρων πολλάκις ἤρκεσε μόνη πρὸς τὴν τοῦ κάμνοντος ὑγείαν. Ἔστι δὲ ὅπου καὶ ὕπνος προσπεσὼν εἰς καιρόν, παντὸς πόνου ἀπήλλαξε τὸν ἰατρόν. Ἐνταῦθα δὲ οὐδὲν τούτων ἐπινοῆσαί ἐστιν· ἀλλὰ μία τις μετὰ τὰ ἔργα δέδοται μηχανὴ καὶ θεραπείας ὁδός, ἡ διὰ τοῦ λόγου διδασκαλία. Τοῦτο ὄργανον, τοῦτο τροφή, τοῦτο ἀέρων κρᾶσις ἀρίστη· τοῦτο ἀντὶ φαρμάκου, τοῦτο ἀντὶ πυρός, τοῦτο ἀντὶ σιδήρου· κἂν καῦσαι δέῃ καὶ τεμεῖν, τούτῳ χρήσασθαι ἀνάγκη· κἂν τοῦτο μηδὲν ἰσχύσῃ, πάντα οἴχεται τὰ λοιπά. Τούτῳ καὶ κειμένην ἐγείρομεν καὶ φλεγμαίνουσαν καταστέλλομεν τὴν ψυχὴν καὶ τὰ περιττὰ περικόπτομεν καὶ τὰ λείποντα πληροῦμεν καὶ τὰ ἄλλα ἅπαντα ἐργαζόμεθα, ὅσα εἰς τὴν τῆς ψυχῆς ὑγείαν ἡμῖν συντελεῖ. Πρὸς μὲν γὰρ βίου κατάστασιν ἀρίστην, βίος ἕτερος εἰς τὸν ἴσον ἂν ἐναγάγοι ζῆλον. Ὅταν δὲ περὶ δόγματα νοσῇ ἡ ψυχὴ τὰ νόθα, πολλὴ τοῦ λόγου ἐνταῦθα ἡ χρεία, οὐ πρὸς τὴν τῶν οἰκείων ἀσφάλειαν μόνον, ἀλλὰ καὶ πρὸς τοὺς ἔξωθεν πολέμους. Εἰ μὲν γάρ τις ἔχοι τὴν μάχαιραν τοῦ Πνεύματος καὶ θυρεὸν πίστεως τοσοῦτον, ὡς δύνασθαι θαυματουργεῖν καὶ διὰ τῶν τεραστίων τὰ τῶν ἀναισχύντων ἐμφράττειν στόματα, οὐδὲν ἂν δέοιτο τῆς ἀπὸ τοῦ λόγου βοηθείας, μᾶλλον δὲ οὐδὲ τότε ἄχρηστος ἡ τούτου φύσις, ἀλλὰ καὶ λίαν ἀναγκαία. Καὶ γὰρ ὁ μακάριος Παῦλος αὐτὸν

---

16. Βλ. Ὁμιλία Α' εἰς Τίτ. 2. «ὁ τὴν ἀρχὴν τῆς Ἐκκλησίας ἐμπεπιστευμένος καὶ τῇ τῆς ἐπισκοπῆς ἀξίᾳ τετιμημένος, ἂν μὴ διαγορεύῃ τῷ λαῷ τὰ πρακτέα, οὐκ ἀνεύθυνός ἐστιν». Πρβλ. καὶ Γρηγορίου Ἀπολογητικὸς 35-47. Ἱερωσύνη ἄνευ διδασκαλίας δὲν νοεῖται. Ὁ ἐπισκοπικὸς θρόνος καλεῖται διδασκαλικὸς θρόνος.

3. Ἢ ἀγνοεῖς ὅτι τὸ σῶμα αὐτὸ ὑπόκειται εἰς νόσους καὶ ἐπιβουλὰς περισσοτέρας ἀπὸ τὸ σαρκικόν μας σῶμα καὶ καταστρέφεται γρηγορώτερα καὶ θεραπεύεται δυσκολώτερα ἀπὸ αὐτό; Καὶ ὅσοι μὲν θεραπεύουν τὰ σαρκικὰ σώματα ἔχουν εἰς τὴν διάθεσίν των ποικιλίαν φαρμάκων καὶ διαφόρους συσκευὰς ὀργάνων καὶ καταλλήλους διὰ τοὺς ἀσθενεῖς τροφάς. Πολλάκις καὶ μόνη ἡ ἐπίδρασις τοῦ ἀέρος ἀρκεῖ διὰ τὴν θεραπείαν τοῦ ἀσθενοῦς, κάποτε δὲ καὶ ὁ ἐρχομὸς τοῦ ὕπνου εἰς τὴν ὥραν του ἀπαλλάσσει τὸν ἰατρὸν ἀπὸ κάθε κόπον. Ἐδῶ ὅμως δὲν εἶναι δυνατὴ ἡ ἐπινόησις παρομοίων μέσων· ὑπάρχει μόνον μία μηχανή, ἕνας τρόπος θεραπείας, ἡ διδασκαλία διὰ τοῦ λόγου[16]. Αὐτὴ εἶναι τὸ ὄργανον, αὐτὴ ἡ τροφή, αὐτὴ ἡ ἀρίστη κρᾶσις τοῦ ἀέρος· αὐτὴ χρησιμεύει ὡς φάρμακον, αὐτὴ ὡς πῦρ, αὐτὴ ὡς σιδηροῦν ἐργαλεῖον· καὶ ὅταν χρειάζεται νὰ καυτηριασθῇ καὶ ἀποκοπῇ ἕνα μέλος, αὐτὴ κατ' ἀνάγκην θὰ χρησιμοποιηθῇ· ἂν δὲ δὲν φέρῃ ἀποτελέσματα αὐτή, ὅλα τὰ ἄλλα μέσα εἶναι ἀνωφελῆ. Μὲ αὐτὴν σηκώνομεν τὴν ψυχὴν ὅταν κατάκειται καὶ τὴν καταπραΰνομεν ὅταν θερμαίνεται, μὲ αὐτὴν περικόπτομεν τὰ περιττὰ καὶ ἀναπληρώνομεν τὰς ἐλλείψεις καὶ προβαίνομεν εἰς ὅλας τὰς ἄλλας ἐνεργείας ποὺ συντελοῦν εἰς τὴν ὑγείαν τῆς ψυχῆς μας. Προκειμένου περὶ τῆς ἠθικῆς διαγωγῆς τὸ παράδειγμα τοῦ βίου τῶν κληρικῶν εἶναι ἱκανὸν νὰ ἐνδυναμώσῃ τὸν ζῆλον τῶν πιστῶν· ὅταν ὅμως ἡ ψυχὴ ἀσθενῇ εἰς τὰ δόγματα, ὑπάρχει μεγάλη ἀνάγκη τῆς δυνάμεως τοῦ λόγου, ὄχι μόνον διὰ τὴν στερέωσιν τῶν πιστῶν, ἀλλὰ καὶ διὰ τὴν καταπολέμησιν τῶν ἐξωτερικῶν ἐχθρῶν. Ἐὰν μὲν ἔχῃ κανεὶς τὴν μάχαιραν τοῦ πνεύματος καὶ θυρεὸν τῆς πίστεως τόσον στερεόν, ὥστε νὰ δύναται νὰ θαυματουργῇ καὶ μὲ τὰ θαυμάσια ἔργα του νὰ φράττῃ τὰ στόματα τῶν ἀναισχύντων, δὲν χρειάζεται τὴν βοήθειαν τοῦ λόγου, μολονότι ἡ ὑπηρεσία του δὲν θὰ ἦτο καὶ τότε ἄχρηστος, ἀλλὰ μᾶλλον πολὺ ἀναγκαία. Καὶ ὁ μακάριος Παῦ-

μετεχείρισε, καίτοι γε ἀπὸ τῶν σημείων πανταχοῦ θαυμαζόμενος. Καὶ ἕτερός τις τῶν ἀπ᾽ ἐκείνου τοῦ χοροῦ παραινεῖ ταύτης ἐπιμελεῖσθαι τῆς δυνάμεως λέγων· «ἕτοιμοι γίνεσθε πρὸς ἀπολογίαν παντὶ τῷ αἰτοῦντι ὑμᾶς λόγον περὶ τῆς ἐν 5 *ὑμῖν ἐλπίδος». Καὶ πάντες δὲ ὁμοῦ τότε δι᾽ οὐδὲν ἕτερον τοῖς περὶ Στέφανον τὴν τῶν χηρῶν ἐπέτρεψαν οἰκονομίαν, ἀλλ᾽ ἢ ἵνα αὐτοὶ τῇ τοῦ λόγου σχολάζωσι διακονίᾳ. Πλὴν ἀλλ᾽ οὐδὲ παραπλησίως αὐτὸν ἐπιζητήσομεν, τὴν ἀπὸ τῶν σημείων ἔχοντες ἰσχύν. Εἰ δὲ τῆς μὲν δυνάμεως ἐκείνης οὐδὲ ἴχνος* 10 *ὑπολέλειπται, πολλοὶ δὲ πανταχόθεν ἐφεστήκασιν οἱ πολέμιοι καὶ συνεχεῖς, τούτῳ λοιπὸν ἡμᾶς ἀνάγκη φράττεσθαι καὶ ἵνα μὴ βαλλώμεθα τοῖς τῶν ἐχθρῶν βέλεσι καὶ ἵνα μᾶλλον βάλλωμεν ἐκείνους. Διὸ πολλὴν χρὴ ποιεῖσθαι τὴν σπουδήν, ὥστε τὸν λόγον τοῦ Χριστοῦ ἐν ἡμῖν ἐνοικεῖν πλουσίως.*

15 *4. Οὐ γὰρ πρὸς ἓν εἶδος ἡμῖν μάχης ἡ παρασκευή, ἀλλὰ ποικίλος οὗτος ὁ πόλεμος καὶ ἐκ διαφόρων συγκροτούμενος τῶν ἐχθρῶν. Οὔτε γὰρ ὅπλοις ἅπαντες χρῶνται τοῖς αὐτοῖς, οὔτε ἑνὶ προσβάλλειν ἡμῖν μεμελετήκασι τρόπῳ. Καὶ δεῖ τὸν μέλλοντα τὴν πρὸς πάντας ἀναδέχεσθαι μάχην, τὰς ἁ-* 20 *πάντων εἰδέναι τέχνας, καὶ τὸν αὐτὸν τοξότην τε εἶναι καὶ σφενδονήτην καὶ ταξίαρχον καὶ λοχαγὸν καὶ στρατιώτην καὶ στρατηγὸν καὶ πεζὸν καὶ ἱππέα καὶ ναυμάχην καὶ τειχομάχην. Ἐπὶ μὲν γὰρ τῶν στρατιωτικῶν πολέμων, οἷον ἕκαστος ἂν ἔργον ἀπολάβῃ, τούτῳ τοὺς ἐπιόντας ἀμύνεται· ἐνταῦθα* 25 *δὲ τοῦτο οὐκ ἔστιν· ἀλλὰ ἂν μὴ πάσας ἐπιστάμενος ᾖ τῆς τέχνης τὰς ἰδέας ὁ μέλλων νικᾶν, οἶδεν ὁ διάβολος καὶ δι᾽ ἑνὸς μέρους, ὅταν ἠμελημένον τύχῃ, τοὺς πειρατὰς εἰσαγαγὼν τοὺς αὐτοῦ διαρπάσαι τὰ πρόβατα· ἀλλ᾽ οὐχ ὅταν διὰ πάσης ἡ-*

---

17. Α΄ Πέτ. 3, 15.
18. Πράξ. 6, 2 ἑξ.
19. Κολ. 3, 16.

λος τὸν ἐχρησιμοποίησε, μολονότι ἐθαυμάζετο παντοῦ διὰ τὰ θαυμαστὰ ἔργα του. Καὶ ἄλλος δὲ ἀπὸ τὸν ἀποστολικὸν χορὸν προτρέπει νὰ φροντίζωμεν διὰ τὴν δύναμιν τοῦ λόγου· «νὰ γίνεσθε ἕτοιμοι πρὸς διαφώτισιν κάθε ἀνθρώπου ποὺ ζητεῖ τὸν λόγον διὰ τὴν ἐλπίδα ποὺ τρέφετε»[17]. Καὶ ὅλοι δὲ οἱ Ἀπόστολοι ἄφησαν τὴν φροντίδα ἐξυπηρετήσεως τῶν χηρῶν ὄχι δι' ἄλλην αἰτίαν, παρὰ διὰ τὴν ἀπασχόλησιν εἰς τὴν ὑπηρεσίαν τῆς διδασκαλίας[18]. Ἀλλὰ βέβεια ἂν θὰ εἴχαμεν τὴν δύναμιν τῶν θαυμάτων, θὰ ᾐσθανόμεθα ὀλιγώτερον τὴν ἀνάγκην τοῦ λόγου. Ἀφοῦ ὅμως δὲν ἔχει μείνει οὔτε ἴχνος τῆς δυνάμεως τῶν θαυμάτων, οἱ δὲ ἐχθροὶ ἐπιτίθενται συνεχῶς ἀπὸ παντοῦ, εἶναι ἀνάγκη νὰ προφυλασσώμεθα μὲ τὴν δύναμιν τοῦ λόγου, ὥστε καὶ νὰ μὴ βαλλώμεθα ἀπὸ τὰ βέλη τῶν ἐχθρῶν καὶ νὰ βάλλωμεν μᾶλλον ἐκείνους. Διὰ τοῦτο εἶναι ἀνάγκη νὰ καταβάλλωμεν μεγάλην φροντίδα, ὥστε ὁ λόγος τοῦ Χριστοῦ νὰ κατοικῇ εἰς ἡμᾶς πλουσίως[19].

4. Διότι ἡμεῖς δὲν πρέπει νὰ παρασκευαζώμεθα δι' ἕνα μόνον εἶδος μάχης· ὁ πόλεμός μας εἶναι πολυμέτωπος καὶ ἡ ἀντίπαλος παράταξις συγκροτεῖται ἀπὸ ἐχθροὺς διαφόρων εἰδῶν. Δὲν χρησιμοποιοῦν δὲ ὅλοι τὰ ἴδια ὅπλα καὶ δὲν ἔχουν μόνον ἕνα τρόπον ἐπιθέσεως ἐναντίον μας. Πρέπει συνεπῶς ὁ μέλλων ν' ἀναλάβῃ τὴν μάχην πρὸς ὅλους αὐτοὺς νὰ γνωρίζῃ τὴν τακτικὴν ὅλων καὶ νὰ εἶναι ὁ ἴδιος καὶ τοξότης καὶ σφενδονήτης καὶ ταξίαρχος καὶ λοχαγὸς καὶ στρατιώτης καὶ στρατηγὸς καὶ πεζὸς καὶ ἱππεὺς καὶ ναυτικὸς καὶ τειχομάχος. Εἰς τοὺς στρατιωτικοὺς πολέμους ὁ καθένας ἀποκρούει τοὺς ἐπιτιθεμένους μὲ τὰ ὅπλα τῆς εἰδικότητός του. Ἐδῶ ὅμως δὲν εἶναι τὸ ἴδιον· ὅποιος θέλει ἐδῶ νὰ νικήσῃ πρέπει νὰ ξεύρῃ ὅλας τὰς λεπτομερείας τῆς πολεμικῆς τακτικῆς, διότι ὁ διάβολος γνωρίζει νὰ εἰσάγῃ τοὺς πειρατάς του πρὸς διαρπαγὴν τῶν προβάτων καὶ ἀπὸ τὸ μικρότερον μέρος ποὺ θὰ μείνῃ ἀφύ-

κοντα τῆς ἐπιστήμης τὸν ποιμένα αἴσθηται καὶ τὰς ἐπιβουλὰς αὐτοῦ καλῶς ἐπιστάμενον ἁπάσας. Διὸ χρὴ καλῶς ἐξ ὅλων φράττεσθαι τῶν μερῶν. Καὶ γὰρ πόλις, ἕως μὲν ἂν πανταχόθεν περιβεβλημένη τυγχάνῃ καταγελᾷ τῶν πολιορκούντων αὐ-
5 *τήν, ἐν ἀσφαλείᾳ μένουσα πολλῇ· ἐὰν δέ τις πυλίδος μόνον μέτρον διακόψῃ τὸ τεῖχος, οὐδὲν αὐτῇ λοιπὸν ὄφελος τοῦ περιβόλου γίνεται καί τοί γε τοῦ λοιποῦ παντὸς ἀσφαλῶς ἑστηκότος. Οὕτως οὖν καὶ ἡ τοῦ Θεοῦ πόλις, ὅταν μὲν αὐτὴν πανταχόθεν ἀντὶ τείχους ἡ τοῦ ποιμένος ἀγχίνοιά τε καὶ σύνεσις*
10 *περιβάλλῃ, πάντα εἰς αἰσχύνην καὶ γέλωτα τοῖς ἐχθροῖς τὰ μηχανήματα τελευτᾷ καὶ μένουσιν οἱ κατοικοῦντες ἔνδον ἀσινεῖς· ὅταν δέ τις αὐτὴν ἐκ μέρους καταλῦσαι δυνηθῇ, κἂν μὴ πᾶσαν καταβάλῃ, διὰ τοῦ μέρους ἅπαν, ὡς εἰπεῖν, λυμαίνεται τὸ λοιπόν.*

15 *Τί γάρ, ὅταν πρὸς Ἕλληνας μὲν ἀγωνίζηται καλῶς, συλῶσι δὲ αὐτὸν Ἰουδαῖοι; Ἢ τούτων μὲν ἀμφοτέρων κρατῇ, ἁρπάζωσι δὲ Μανιχαῖοι; Μετὰ δὲ τὸ περιγενέσθαι καὶ τούτων, οἱ τὴν εἱμαρμένην εἰσάγοντες ἔνδον ἑστῶτα τὰ πρόβατα σφάττωσιν; Καὶ τί δεῖ πάσας καταλέγειν τοῦ διαβόλου τὰς αἱρέ-*
20 *σεις; ἃς ἂν μὴ πάσας ἀποκρούεσθαι καλῶς ὁ ποιμὴν εἰδῇ, δύναιτ' ἂν καὶ διὰ μιᾶς τὰ πλείονα τῶν προβάτων καταφαγεῖν ὁ λύκος. Καὶ ἐπὶ μὲν τῶν στρατιωτῶν ἀπὸ τῶν ἑστώτων καὶ μαχομένων καὶ τὴν νίκην ἔσεσθαι καὶ τὴν ἧτταν προσδοκᾶν ἀεὶ χρή· ἐνταῦθα δὲ πολὺ τοὐναντίον. Πολλάκις γὰρ ἡ*
25 *πρὸς ἑτέρους μάχη τοὺς οὐδὲ τὴν ἀρχὴν συμβαλλόντας, οὐδὲ πονέσαντας ὅλως, ἡσυχάζοντας δὲ καὶ καθημένους νικῆσαι πεποίηκε· καὶ τῷ οἰκείῳ ξίφει περιπαρεὶς ὁ μὴ πολλὴν περὶ ταῦτα τὴν ἐμπειρίαν ἔχων καὶ τοῖς φίλοις καὶ τοῖς πολεμίοις καταγέλαστος γίνεται. Οἷον (πειράσομαι γάρ σοι καὶ ἐπὶ παρα-*
30 *δείγματος ὃ λέγω ποιῆσαι φανερὸν) τὸν ὑπὸ τοῦ Θεοῦ δοθέν-*

---

20. Ἀπαριθμοῦνται ἐδῶ μερικαὶ ἀπὸ τὰς αἱρέσεις καὶ τὰς ἄλλας θρησκείας, τῶν ὁποίων τὴν διδασκαλίαν ἀντεμετώπιζεν ἡ Ἐκκλησία.

λακτον. Ἀλλ' αὐτὸ δὲν θὰ τὸ ἐπιτύχῃ, ὅταν καταλάβῃ ὅτι ὁ ποιμὴν γνωρίζει ὅλην τὴν πολεμικὴν ἐπιστήμην καὶ ὅλας τὰς ἐπιβουλάς του. Μία πόλις, ἕως ὅτου περιβάλλεται ἀπὸ παντοῦ μὲ τείχη, περιπαίζει τοὺς πολιορκητάς της, διότι ἔχει πολλὴν ἀσφάλειαν· ἐὰν ὅμως κάμῃ κανεὶς εἰς τὸ τεῖχος μίαν μικρὰν τρύπαν, δὲν τὴν ὠφελεῖ καθόλου ὁ περίβολος, μολονότι τὸ ὑπόλοιπον τεῖχος εἶναι ἄθικτον. Ἔτσι λοιπὸν καὶ ἡ πόλις τοῦ Θεοῦ, ὅταν τὴν περιβάλλουν ἀπὸ παντοῦ σὰν τεῖχος ἡ ὀξυδέρκεια καὶ ἡ σύνεσις τοῦ ποιμένος, ὅλα τὰ μηχανήματα τῶν ἐχθρῶν καταντοῦν εἰς ἐντροπὴν καὶ γέλοια, καὶ οἱ κάτοικοί της μένουν μέσα ἀσφαλεῖς· ὅταν ὅμως κατορθώσῃ κανεὶς νὰ πατήσῃ ἕνα τμῆμά της, ἔστω καὶ ἂν δὲν τὴν καταλάβῃ ὁλόκληρον, συντρίβει μὲ βάσιν τὸ μέρος αὐτὸ καὶ ὁλόκληρον τὴν ἄλλην πόλιν.

Τί τὸ κέρδος ν' ἀγωνίζεται μὲν ἐπιτυχῶς κατὰ τῶν εἰδωλολατρῶν, νὰ τὸν αἰχμαλωτίζουν ὅμως οἱ Ἰουδαῖοι; Ἢ νὰ νικᾷ καὶ τοὺς δύο αὐτούς, νὰ τὸν ἁρπάζουν ὅμως οἱ Μανιχαῖοι; Ἢ ἂν νικήσῃ καὶ αὐτούς, νὰ σφάζουν τὰ πρόβατα οἱ ὀπαδοὶ τῆς μοιροκρατίας; Ἀλλὰ τί χρειάζεται ν' ἀπαριθμήσω ὅλας τὰς αἱρέσεις τοῦ διαβόλου[20]; Ἀρκεῖ νὰ εἰπῶ ὅτι ἂν ὁ ποιμὴν δὲν ξεύρῃ νὰ τὰς καταπολεμήσῃ ὅλας, ὁ λύκος ἠμπορεῖ νὰ καταφάγῃ ὅλα τὰ πρόβατα καὶ διὰ μέσου μιᾶς μόνον. Καὶ εἰς μὲν τοὺς στρατιωτικοὺς πολέμους μόνον οἱ στρατιῶται ποὺ συμμετέχουν εἰς τὴν μάχην δύνανται νὰ περιμένουν νίκην, ἐδῶ ὅμως συμβαίνει καὶ τὸ ἀντίθετον. Πολλάκις ἡ μάχη πρὸς ἄλλους φέρει νίκην εἰς ἐκείνους ποὺ οὔτε συμμετέσχον ἀπὸ τὴν ἀρχὴν οὔτε ἐκοπίασαν, ἀλλὰ παρέμεναν ἥσυχοι· ὁ δὲ ἄπειρος στρατιώτης, διαπερώμενος μὲ τὸ ἰδικόν του ξίφος, γίνεται καταγέλαστος καὶ εἰς τοὺς φίλους καὶ εἰς τοὺς ἐχθρούς. Θὰ προσπαθήσω δὲ νὰ χρησιμοποιήσω παραδείγματα διὰ νὰ καταστήσω τὰ λόγια μου σαφέστερα. Οἱ ἄνθρωποι ποὺ ἀκο-

---

Βεβαίως εἶναι διάφοροι οἱ ἐχθροὶ τῆς Ἐκκλησίας σήμερον.

τα τῷ Μωϋσῇ νόμοι οἱ τὴν Οὐαλεντίνου καὶ Μαρκίωνος διαδεξάμενοι φρενοβλάβειαν καὶ ὅσοι τὰ αὐτὰ νοσοῦσιν ἐκείνοις τοῦ καταλόγου τῶν θείων ἐκβάλλουσι Γραφῶν· Ἰουδαῖοι δὲ αὐτὸν οὕτω τιμῶσιν, ὡς καὶ τοῦ καιροῦ κωλύοντος φιλονεικεῖν
5 *ἅπαντα φυλάττειν παρὰ τῷ Θεῷ δοκοῦν. Ἡ δὲ Ἐκκλησία τοῦ Θεοῦ, τὴν ἀμφοτέρων ἀμετρίαν φεύγουσα, μέσην ἐβάδισε· καὶ οὔτε ὑποκεῖσθαι αὐτοῦ τῷ ζυγῷ πείθεται, οὔτε διαβάλλειν αὐτὸν ἀνέχεται· ἀλλὰ καὶ πεπαυμένον ἐπαινεῖ, διὰ τὸ χρησιμεῦσαί ποτε εἰς καιρόν. Δεῖ δὴ τὸν μέλλοντα πρὸς ἀμφοτέ-*
10 *ρους μάχεσθαι τὴν συμμετρίαν εἰδέναι ταύτην. Ἄν τε γὰρ Ἰουδαίους διδάξαι βουλόμενος, ὡς οὐκ ἐν καιρῷ τῆς παλαιᾶς ἔχονται νομοθεσίας, ἄρξηται κατηγορεῖν αὐτῆς ἀφειδῶς, ἔδωκε τοῖς διασύρειν βουλομένοις τῶν αἱρετικῶν λαβὴν οὐ μικράν· ἄν τε τούτους ἐπιστομίσαι σπουδάζων, ἀμέτρως αὐτὸν ἐπαίρῃ*
15 *καὶ ὡς ἀναγκαῖον ἐν τῷ παρόντι τυγχάνοντα θαυμάζῃ, τὰ τῶν Ἰουδαίων ἀνέῳξε στόματα. Πάλιν οἱ τὴν Σαβελλίου μαινόμενοι μανίαν καὶ οἱ τὰ Ἀρείου λυττῶντες ἐξ ἀμετρίας ἀμφότεροι τῆς ὑγιοῦς ἐξέπεσον πίστεως. Καὶ τὸ μὲν ὄνομα Χριστιανῶν ἀμφοτέροις ἐπίκειται· εἰ δέ τις τὰ δόγματα ἐξετά-*
20 *σειε, τοὺς μὲν οὐδὲν ἄμεινον Ἰουδαίων διακειμένους εὑρήσει, πλὴν ὅσον ὑπὲρ ὀνομάτων διαφέρονται μόνον, τοὺς δὲ πολλὴν τὴν ἐμφέρειαν πρὸς τὴν αἵρεσιν Παύλου τοῦ Σαμοσατέως ἔχοντας· ἀμφοτέρους δὲ τῆς ἀληθείας ἐκτός. Πολὺς οὖν κἀνταῦθα ὁ κίνδυνος καὶ στενὴ καὶ τεθλιμμένη ἡ*
25 *ὁδός, ἡ ὑπὸ κρημνῶν ἀμφοτέρωθεν ἀπειλημμένη· καὶ δέος οὐ μικρόν, μὴ τὸν ἕτερόν τις θέλων βαλεῖν ὑπὸ θατέρου πληγῇ. Ἄν τε γὰρ μίαν τις εἴπῃ θεότητα, πρὸς τὴν ἑαυ-*

λουθοῦν τὴν φρενοβλάβειαν τοῦ Οὐαλεντίνου καὶ τοῦ Μαρκίωνος καὶ ὅσοι ἐπηρεάζονται ἀπὸ αὐτοὺς ἐκβάλλουν ἀπὸ τὴν θείαν Γραφὴν τὸν Νόμον, ὁ ὁποῖος ἐδόθη ὑπὸ τοῦ Θεοῦ εἰς τὸν Μωϋσῆν. Οἱ Ἰουδαῖοι τὸν τιμοῦν τόσον πολύ, ὥστε, παρ' ὅλον ὅτι ἡ ἀπόλυτος ἰσχύς του ἔληξεν ἤδη, ὑπερηφανεύονται ὅτι τηροῦν ὅλας τὰς λεπτομερεῖς διατάξεις του ἀντιθέτως πρὸς τὴν θέλησιν τοῦ Θεοῦ. Ἡ Ἐκκλησία τοῦ Θεοῦ ὅμως, ἀποφεύγουσα τὰς ἀκρότητας καὶ τῶν δύο αὐτῶν τάξεων, βαδίζει τὴν μέσην ὁδὸν καὶ οὔτε δέχεται νὰ ὑποκύψῃ εἰς τὸν ζυγὸν τοῦ Νόμου οὔτε ἀνέχεται νὰ τὸν διαβάλῃ, ἀλλά, παρ' ὅλον ὅτι ἡ ἰσχύς του ἔληξε, τὸν ἐπαινεῖ, διότι κάποτε εἰς τὸν καιρόν του ἦτο χρήσιμος. Ὅποιος λοιπὸν πρόκειται ν' ἀποδυθῇ εἰς τὸν ἀγῶνα πρέπει νὰ γνωρίζῃ τὴν συμμετρίαν αὐτήν. Διότι ἂν ἀρχίσῃ νὰ τὸν κατηγορῇ ἀφειδῶς, μὲ σκοπὸν νὰ διδάξῃ τοὺς Ἰουδαίους ὅτι δὲν εἶναι καιρὸς πλέον νὰ τηροῦν τὴν νομοθεσίαν, δίδει εἰς τοὺς αἱρετικοὺς ποὺ εὐχαριστοῦνται νὰ τὸν διασύρουν ὅπλα ἰσχυρά· καὶ ἂν ἐπαινῇ τὸν Νόμον χωρὶς μέτρον καὶ τὸν θαυμάζῃ σὰν νὰ ἦτο ἀναγκαῖος καὶ διὰ τὴν ἐποχήν μας, μὲ σκοπὸν ν' ἀποστομώσῃ τοὺς αἱρετικούς, ἀνοίγει τὰ στόματα τῶν Ἰουδαίων. Οἱ ἀκολουθοῦντες πάλιν τὴν μανιακὴν διδασκαλίαν τοῦ Σαβελλίου καὶ τὰ λυσσώδη διδάγματα τοῦ Ἀρείου ἀπεμακρύνθησαν ἀπὸ τὴν ὀρθόδοξον πίστιν πρὸς τὰ δύο ἄκρα. Καὶ μολονότι οἱ ὀπαδοὶ καὶ τῶν δύο αὐτῶν παρατάξεων ἔχουν τὸ ὄνομα τῶν Χριστιανῶν, ἂν ἐξετάσωμεν τὴν διδασκαλίαν των, θὰ εὕρωμεν ὅτι οἱ μὲν πρῶτοι διαφέρουν ἀπὸ τοὺς Ἰουδαίους μόνον κατ' ὄνομα, οἱ δὲ δεύτεροι ἔχουν πολλὴν ὁμοιότητα πρὸς τὴν αἵρεσιν Παύλου τοῦ Σαμοσατέως, ὅτι πάντως ὅλοι εἶναι ἐκτὸς τῆς ἀληθείας. Πολὺς λοιπὸν κίνδυνος ὑπάρχει καὶ ἐδῶ, καὶ ὁ δρόμος εἶναι στενὸς καὶ δύσκολος καὶ ἀπόκρημνος καὶ ἀπὸ τὰ δύο μέρη· ὑπάρχει δὲ φόβος, μήπως θέλων κανεὶς νὰ βάλῃ τὸν ἕνα ἐχθρόν, κτυπηθῇ ἀπὸ τὸν ἄλλον. Διότι ἂν δεχθῇ μίαν θεότητα, προσελκύει τὴν φω-

τοῦ παροινίαν εὐθέως εἵλκυσε τὴν φωνὴν ὁ Σαβέλλιος· ἄν τε διέλῃ πάλιν, ἕτερον μὲν τὸν Πατέρα, ἕτερον δὲ τὸν Υἱὸν καὶ τὸ Πνεῦμα δὲ τὸ ἅγιον ἕτερον εἶναι λέγων, ἐφέστηκεν Ἄρειος, εἰς παραλλαγὴν οὐσίας ἕλκων τὴν ἐν τοῖς
5* *προσώποις διαφοράν. Δεῖ δὲ καὶ τὴν ἀσεβῆ σύγχυσιν ἐκείνου καὶ τὴν μανιώδη τούτου διαίρεσιν ἀποστρέφεσθαι καὶ φεύγειν, τὴν μὲν θεότητα Πατρὸς καὶ Υἱοῦ καὶ ἁγίου Πνεύματος μίαν ὁμολογοῦντας, προστιθέντας δὲ καὶ τὰς τρεῖς ὑποστάσεις· οὕτω γὰρ ἀποτειχίσαι δυνησόμεθα τὰς ἀμφο-*
10 *τέρων ἐφόδους. Πολλὰς δὲ καὶ ἑτέρας ἐνῆν σοι λέγειν συμπλοκάς· πρὸς ἃς ἂν μὴ γενναίως τις καὶ ἀκριβῶς μάχηται, μυρία λαβὼν ἄπεισι τραύματα.*

5. Τί ἄν τις λέγοι τὰς τῶν οἰκείων ἐρεσχελίας; Οὐ γάρ εἰσιν ἐλάττους αὗται τῶν ἔξωθεν προσβολῶν, ἀλλὰ καὶ πλεί-
15 *ονα τῷ διδάσκοντι παρέχουσι τὸν ἱδρῶτα. Οἱ μὲν γὰρ ὑπὸ πολυπραγμοσύνης ἁπλῶς καὶ εἰκῇ περιεργάζεσθαι θέλουσιν, ἃ μήτε μαθόντας ἐστὶ κερδᾶναι, μήτε μαθεῖν δυνατόν. Ἕτεροι πάλιν τῶν τοῦ Θεοῦ κριμάτων εὐθύνας αὐτὸν ἀπαιτοῦσι καὶ τὴν ἄβυσσον τὴν πολλὴν ἀναμετρεῖν βιάζονται. «Τὰ γὰρ*
20 *κρίματά σου», φησίν, «ἄβυσσος πολλή». Καὶ πίστεως μὲν πέρι καὶ πολιτείας ὀλίγους ἂν εὕροις σπουδάζοντας, τοὺς δὲ πλείους ταῦτα περιεργαζομένους καὶ ζητοῦντας, ἃ μήτε εὑρεῖν δυνατὸν καὶ τὸν Θεὸν παροξύνει ζητούμενα. Ὅταν γάρ, ἅπερ αὐτὸς ἡμᾶς οὐκ ἠθέλησεν εἰδέναι, ταῦτα βιαζώ-*
25 *μεθα μανθάνειν, οὔτε εἰσόμεθα (πῶς γὰρ τοῦ Θεοῦ μὴ βουλομένου;) καὶ τὸ κινδυνεύειν ἡμῖν ἐκ τοῦ ζητεῖν περιέσται μόνον. Ἀλλ' ὅμως καὶ τούτων τοιούτων ὄντων, ὅταν τις μετ' αὐθεντίας ἐπιστομίζῃ τοὺς τὰ ἄπορα ταῦτα ἐρευνῶντας, ἀπονοίας τε καὶ ἀμαθίας ἑαυτῷ προσετρίψατο δόξαν. Διὸ*

---

21. Ψαλμ. 35, 7. Προφανῶς ἐννοεῖ τοὺς Ἀνομοίους.

νήν του ὁ Σαβέλλιος πρὸς τὴν μανίαν του, ἂν δὲ διαιρέσῃ τὴν Τριάδα καὶ διδάξῃ ὅτι ἄλλος εἶναι ὁ Πατήρ, ἄλλος ὁ Υἱὸς καὶ ἄλλο τὸ ἅγιον Πνεῦμα, καταφθάνει ὁ Ἄρειος διὰ νὰ μετατρέψῃ τὴν διαφορὰν τῶν προσώπων εἰς διαφορὰν τῆς οὐσίας. Πρέπει δὲ ν' ἀποστρεφώμεθα καὶ ν' ἀποφεύγωμεν καὶ τὴν ἀσεβῆ σύγχυσιν ἐκείνου καὶ τὴν μανιακὴν διαίρεσιν τούτου, ὁμολογοῦντες μὲν ἑνιαίαν θεότητα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, προσθέτοντες δὲ καὶ τρεῖς ὑποστάσεις· μόνον ἔτσι θὰ κατορθώσωμεν ν' ἀποκλείσωμεν τὰς ἐφόδους καὶ τῶν δύο. Εἶναι δὲ δυνατὸν νὰ σοῦ ἀναφέρω καὶ πολλὰς ἄλλας συγκρούσεις, ἀπὸ τὰς ὁποίας παρασύρεται κανεὶς μὲ ἀναρίθμητα τραύματα, ἂν δὲν μάχεται μὲ γενναιότητα καὶ προσοχήν.

5. Πῶς δὲ νὰ περιγράψῃ κανεὶς τὰς ἐσωτερικὰς ἔριδας; Δὲν εἶναι ὀλιγώτεραι ἀπὸ τὰς ἐξωτερικὰς προσβολάς, ἀλλὰ καὶ προκαλοῦν περισσότερον ἱδρῶτα εἰς τὸν διδάσκαλον. Ἄλλοι μὲν ἀπὸ ἁπλῆν περιέργειαν πολυεξετάζουν πράγματα ποὺ οὔτε ἂν τὰ μάθουν θὰ κερδίσουν τίποτε, οὔτε εἶναι δυνατὸν νὰ τὰ μάθουν· ἄλλοι πάλιν ζητοῦν ἀπὸ τὸν Θεὸν εὐθύνας διὰ τὰς ἀποφάσεις του καὶ βιάζονται νὰ μετρήσουν τὴν μεγάλην ἄβυσσον τῶν κριμάτων του, ὅπως λέγει· «τὰ κρίματά σου εἶναι σὰν μεγάλη ἄβυσσος»[21]. Καὶ θὰ εὕρῃς ὀλίγους μὲν ν' ἀσχολοῦνται μὲ τὴν πίστιν καὶ τὴν διαγωγήν των, τοὺς δὲ περισσοτέρους νὰ περιεργάζωνται καὶ νὰ ζητοῦν πράγματα ποὺ δὲν εἶναι δυνατὸν νὰ εὑρεθοῦν καὶ ἀναζητούμενα προκαλοῦν τὴν ὀργὴν τοῦ Θεοῦ. Διότι ὅταν προσπαθοῦμεν νὰ μάθωμεν ὅσα δὲν ἠθέλησεν ὁ Θεὸς νὰ γνωρίσωμεν, δὲν θὰ τὰ μάθωμεν (πῶς εἶναι δυνατὸν νὰ γίνῃ αὐτὸ χωρὶς τὴν θέλησιν τοῦ Θεοῦ;) καὶ τὸ μόνον ἀποτέλεσμα θὰ εἶναι νὰ κινδυνεύσωμεν οἱ ἴδιοι λόγῳ τῆς περιεργείας μας. Πρὸ τῆς καταστάσεως αὐτῆς, ὅταν προσπαθῇ κανεὶς νὰ ἐπιβάλῃ μὲ τὴν αὐθεντίαν του σιγὴν εἰς τοὺς ἐρευνῶντας τὰ μυστήρια τῆς θεότητος, τὸν κατηγοροῦν ὡς ἀνόητον καὶ ἀμαθῆ. Διὰ τοῦτο ἀπαιτεῖ-

χρὴ κἀνταῦθα πολλῇ κεχρῆσθαι τῇ συνέσει, ὡς καὶ ἀπάγειν αὐτοὺς τῶν ἀτόπων ἐρωτήσεων τὸν προεστῶτα καὶ τὰς εἰρημένας ἐκφεύγειν αἰτίας. Πρὸς ἅπαντα δὲ ταῦτα ἕτερον μὲν οὐδέν, ἡ δὲ τοῦ λόγου βοήθεια δέδοται μόνη. Κἂν τις ταύ-
5 *της ἀπεστερημένος ᾖ τῆς δυνάμεως, οὐδὲν ἄμεινον τῶν χειριζομένων πλοίων διηνεκῶς αἱ ψυχαὶ τῶν ὑπ' αὐτῷ τεταγμένων ἀνδρῶν διακείσονται, τῶν ἀσθενεστέρων καὶ περιεργοτέρων λέγω. Διὸ χρὴ τὸν ἱερέα πάντα ποιεῖν ὑπὲρ τοῦ ταύτην κτήσασθαι τὴν ἰσχύν.*

10 *Καὶ ὁ ΒΑΣΙΛΕΙΟΣ. Τί οὖν ὁ Παῦλος, φησίν, οὐκ ἐσπούδασε ταύτην αὐτῷ κατορθωθῆναι τὴν ἀρετήν, οὐδὲ ἐγκαλύπτεται ἐπὶ τῇ τοῦ λόγου πενίᾳ, ἀλλὰ καὶ διαρρήδην ὁμολογεῖ ἰδιώτην ἑαυτὸν εἶναι καὶ ταῦτα Κορινθίοις ἐπιστέλλων τοῖς ἀπὸ τοῦ λέγειν θαυμαζομένοις καὶ μέγα ἐπὶ*
15 *τούτῳ φρονοῦσιν.*

6. ΧΡΥΣΟΣΤΟΜΟΣ. Τοῦτο γάρ, ἔφην, τοῦτό ἐστιν, ὃ τοὺς πολλοὺς ἀπώλεσε καὶ ῥαθυμοτέρους περὶ τὴν ἀληθῆ διδασκαλίαν ἐποίησεν. Μὴ γὰρ δυνηθέντες ἀκριβῶς ἐξετάσαι τῶν ἀποστολικῶν φρενῶν τὸ βάθος, μηδὲ συνιέναι τὴν
20 *τῶν ῥημάτων διάνοιαν διετέλεσαν τὸν ἅπαντα χρόνον νυστάζοντες καὶ χασμώμενοι καὶ τὴν ἀμαθίαν τιμῶντες ταύτην, οὐχ ἣν ὁ Παῦλός φησιν εἶναι ἀμαθής, ἀλλ' ἧς τοσοῦτον ἀπεῖχεν, ὅσον οὐδὲ ἄλλος τις τῶν ὑπὸ τὸν οὐρανὸν τοῦτον ἀνθρώπων. Ἀλλ' οὗτος μὲν ἡμᾶς εἰς καιρὸν ὁ λόγος ἀνα-*
25 *μενέτω· τέως δὲ ἐκεῖνό φημι· θῶμεν αὐτὸν εἶναι ἰδιώτην τοῦτο τὸ μέρος, ὅπερ αὐτοὶ βούλονται. Τί οὖν τοῦτο πρὸς τοὺς ἄνδρας τοὺς νῦν; Ἐκεῖνος μὲν γὰρ εἶχεν ἰσχὺν πολλῷ τοῦ λόγου μείζονα καὶ πλείονα δυναμένην κατορθοῦν· φαινόμενος μὲν γὰρ μόνον καὶ σιγῶν, τοῖς δαίμοσιν ἦν φοβε-*
30 *ρός· οἱ δὲ νῦν πάντες ὁμοῦ συνελθόντες μετὰ μυρίων εὐχῶν καὶ δακρύων, οὐκ ἂν δυνηθεῖεν ὅσα ἴσχυσε τὰ σιμικίνθια Παύλου ποτέ. Καὶ Παῦλος μὲν εὐχόμενος νεκροὺς ἀνίστη*

ται καὶ ἐδῶ νὰ ἔχῃ ὁ προεστὼς μεγάλην σύνεσιν, ὥστε καὶ τὰς ἀτόπους ἐρωτήσεις των νὰ περικόπτῃ καὶ τὰς ἀνωτέρω κατηγορίας ν' ἀποφεύγῃ. Δι' ὅλα δὲ αὐτὰ δὲν ὑπάρχει ἄλλο πρόσφορον μέσον πλὴν τῆς δυνάμεως τοῦ λόγου. Καὶ ἂν κανεὶς στερῆται τῆς δυνάμεως αὐτῆς, αἱ ψυχαὶ τῶν ὑπ' αὐτοῦ ἀρχομένων δὲν ταλαντεύονται ὀλιγώτερον ἀπὸ πλοῖα εἰς τρικυμίαν — ἐννοῶ τὰς ψυχὰς τῶν ἀσθενεστέρων καὶ περιεργοτέρων. Διὰ τοῦτο ὁ ἱερεὺς πρέπει νὰ κάμνῃ τὸ πᾶν διὰ ν' ἀποκτήσῃ τὴν τέχνην τοῦ λόγου.

Καὶ ὁ ΒΑΣΙΛΕΙΟΣ. Διατί λοιπόν, λέγει, ὁ Παῦλος δὲν ἐφρόντισε ν' ἀποκτήσῃ τὴν δύναμιν αὐτὴν καὶ δὲν ἐντρέπεται διὰ τὴν ἔλλειψιν εὐγλωττίας, ἀλλὰ ρητῶς ὁμολογεῖ ὅτι εἶναι ἀνίδεος τῆς ρητορικῆς τέχνης καὶ μάλιστα γράφων πρὸς τοὺς Κορινθίους ποὺ ἐθαυμάζοντο διὰ τὴν ρητορικήν των δεινότητα καὶ ὑπερηφανεύοντο δι' αὐτήν;

6. ΧΡΥΣΟΣΤΟΜΟΣ. Αὐτὴ ἡ γνώμη, ἀπήντησα, κατέστρεψε πολλοὺς καὶ τοὺς κατέστησεν ἀδιαφόρους πρὸς τὴν σπουδὴν τῆς ἀληθινῆς διδασκαλίας. Μὴ κατορθώσαντες νὰ ἐξετάσουν τὸ βάθος τῆς ἀποστολικῆς σκέψεως καὶ νὰ κατανοήσουν τὴν ἔννοιαν τῶν λόγων αὐτῶν, ἔμειναν νυσταλέοι καὶ χασμώμενοι διαπαντὸς καὶ ἀπέδωσαν τιμὴν εἰς τὴν ἀμάθειαν, διὰ τὴν ὁποίαν δὲν διεκρίνετο καθόλου ὁ Παῦλος, ἀλλ' ἀπὸ τὴν ὁποίαν ἀντιθέτως ἀπεῖχε τόσον πολὺ ὅσον κανεὶς ἄλλος ἀπὸ τοὺς ἀνθρώπους τῆς γῆς. Ἀλλ' ἡ ἐξέτασις τοῦ ζητήματος αὐτοῦ ἂς μείνῃ δι' ἀργότερον, τώρα δὲ θὰ εἰπῶ τοῦτο· ἂς ὑποθέσωμεν ὅτι ἦτο ἀνίδεος τῆς ρητορικῆς τέχνης, ὅπως θέλουν αὐτοί. Ποίαν σημασίαν ἔχει αὐτὸ διὰ τοὺς σημερινοὺς ἀνθρώπους; Διότι ἐκεῖνος εἶχε δύναμιν πολὺ ἀνωτέραν καὶ ἀποτελεσματικωτέραν ἀπὸ τὸν λόγον. Καὶ μόνον μὲ τὴν ἐμφάνισίν του καὶ χωρὶς νὰ ὁμιλῇ, ἦτο φοβερὸς εἰς τοὺς δαίμονας· ἐνῷ οἱ σημερινοὶ κληρικοί, καὶ ἂν συγκεντρωθοῦν ὅλοι μαζί, δὲν θὰ κατορθώσουν μὲ μυρίας προσευχὰς καὶ μὲ περισσότερα δάκρυα ὅσα κατώρθωσε κάποτε ἡ ζώνη τοῦ Παύλου. Ὁ Παῦλος

καὶ ἄλλα ἐθαυματούργει τοιαῦτα, ὡς καὶ θεὸς νομισθῆναι παρὰ τοῖς ἔξωθεν καὶ πρὶν ἢ τοῦ βίου μεταστῆναι τούτου, κατηξιώθη ἁρπαγῆναι ἕως τρίτου οὐρανοῦ καὶ ῥημάτων μετασχεῖν, ὧν οὐ θέμις ἀνθρωπείαν ἀκοῦσαι φύσιν. Οἱ δὲ 5 *νῦν ὄντες - ἀλλ' οὐδὲν δύναμαι δυσχερὲς εἰπεῖν, οὐδὲ βαρύ· καὶ γὰρ καὶ ταῦτα οὐκ ἐπεμβαίνων αὐτοῖς λέγω νῦν, ἀλλὰ θαυμάζων πῶς οὐ φρίττουσιν ἀνδρὶ τηλικούτῳ παραβάλλοντες ἑαυτούς.*

Εἰ γὰρ καὶ τὰ θαύματα ἀφέντες, ἐπὶ τὸν βίον ἔλθοι- 10 *μεν τοῦ μακαρίου καὶ τὴν πολιτείαν ἐξετάσαιμεν αὐτοῦ τὴν ἀγγελικὴν καὶ ἐν ταύτῃ μᾶλλον ἢ ἐν τοῖς σημείοις ὄψει νικῶντα τὸν ἀθλητὴν τοῦ Χριστοῦ. Τί γὰρ ἄν τις εἴποι τὸν ζῆλον, τὴν ἐπιείκειαν, τοὺς συνεχεῖς κινδύνους, τὰς ἐπαλλήλους φροντίδας, τὰς ἀδιαλείπτους ὑπὲρ τῶν Ἐκκλησιῶν* 15 *ἀθυμίας, τὸ πρὸς τοὺς ἀσθενεῖς συμπαθές, τὰς πολλὰς θλίψεις, τοὺς καινοτέρους διωγμούς, τοὺς καθημερινοὺς θανάτους; Τίς γὰρ τόπος τῆς οἰκουμένης, ποία ἤπειρος, ποία θάλαττα τοῦ δικαίου τούτου τοὺς ἄθλους ἠγνόησεν; Ἐκεῖνον καὶ ἡ ἀοίκητος ἔγνω, κινδυνεύοντα δεξαμένη πολλάκις. Πᾶν* 20 *γὰρ εἶδος ὑπέμεινεν ἐπιβουλῆς καὶ πάντα τρόπον ἐπῆλθε νίκης· καὶ οὔτε ἀγωνιζόμενος οὔτε στεφανούμενος διέλιπέ ποτε. Ἀλλὰ γὰρ οὐκ οἶδα πῶς τὸν ἄνδρα προήχθην ὑβρίζειν. Τὰ γὰρ κατορθώματα αὐτοῦ, πάντα μὲν ὑπερβαίνει λόγον, τὸν δὲ ἡμέτερον, τοσοῦτον ὅσον καὶ ἡμᾶς οἱ λέγειν* 25 *εἰδότες. Πλὴν ἀλλὰ καὶ οὕτως (οὐδὲ γὰρ ἀπὸ τῆς ἐκβάσεως, ἀλλ' ἀπὸ τῆς προαιρέσεως ἡμᾶς ὁ μακάριος κρινεῖ) οὐκ ἀποστήσομαι ἕως ἂν εἴπω τοῦτο, ὃ τοσούτῳ τῶν εἰρημένων κρεῖττόν ἐστιν, ὅσον ἁπάντων ἀνθρώπων ἐκεῖνος. Τί οὖν τοῦτό ἐστιν; Μετὰ τοσαῦτα κατορθώματα, μετὰ τοὺς*

---

22. Πράξ. 19, 11. 20, 9 ἑξ. 14, 11. Β' Κορ. 12, 2.
23. Β' Κορ. 11, 26 ἑξ. Α' Κορ. 9, 12. Ὁ Χρυσόστομος ἀποδεικνύει ὅτι τὰ ἀξιοθαύμαστα ἔργα τοῦ Παύλου ἠδύναντο ν' ἀναπληρώσουν καὶ τὴν ἔλλειψιν τοῦ λόγου.

μὲ τὴν προσευχὴν ἀνιστοῦσε νεκροὺς καὶ ἐνεργοῦσε καὶ ἄλλα παρόμοια θαύματα, ὥστε ὑπὸ τῶν εἰδωλολατρῶν νὰ νομισθῇ καὶ θεός. Καὶ προτοῦ ἀποθάνῃ, ἠξιώθη ν' ἁρπαγῇ μέχρι τοῦ τρίτου οὐρανοῦ καὶ ν' ἀκούσῃ λόγια ποὺ δὲν ἐπιτρέπεται ν' ἀκούσῃ ἀνθρωπίνη φύσις[22]. Ἐνῷ οἱ σημερινοὶ κληρικοὶ — ἀλλὰ δὲν ἠμπορῶ νὰ εἰπῶ τίποτε προσβλητικὸν καὶ βαρύ· ἄλλωστε καὶ αὐτὰ δὲν τὰ λέγω τώρα διὰ νὰ τοὺς ὑποτιμήσω, ἀλλ' ἐπειδὴ ἀπορῶ πῶς δὲν φρίττουν συγκρίνοντες τὸν ἑαυτόν των μὲ τόσον σπουδαῖον ἄνδρα.

Ἐὰν δὲ ἀπὸ τὰ θαύματα ἔλθωμεν εἰς τὸν βίον τοῦ μακαρίου καὶ ἐξετάσωμεν τὴν ἀγγελικήν του διαγωγὴν καὶ δρᾶσιν, θὰ ἰδῇς ὅτι ὁ ἀθλητὴς τοῦ Χριστοῦ ἐπιτυγχάνει εἰς αὐτὴν νίκην εὐκολωτέραν ἀπὸ ὅσον ἐπέτυχεν εἰς τὰ θαύματα. Πῶς νὰ περιγράψῃ κανεὶς τὸν ζῆλον, τὴν ἐπιείκειαν, τοὺς συνεχεῖς κινδύνους, τὰς ἀλλεπαλλήλους φροντίδας, τὴν ἀκατάπαυστον στενοχωρίαν διὰ τὰς Ἐκκλησίας, τὴν συμπάθειαν πρὸς τοὺς ἀσθενεῖς, τὰς πολλὰς θλίψεις, τοὺς διαρκῶς ἀνανεουμένους διωγμούς, τοὺς καθημερινοὺς θανάτους[23]; Ποῖος τόπος τῆς οἰκουμένης, ποία στερεά, ποία θάλασσα δὲν ἐγνώρισε τὰ κατορθώματα τοῦ δικαίου αὐτοῦ; Ἀκόμη καὶ ἡ ἔρημος τὸν ἐγνώρισε καὶ τὸν ἐδέχθη πολλάκις, ὅταν ἐκινδύνευεν. Ὑπέμεινεν ἐπιβουλὰς κάθε εἴδους καὶ ἐκέρδισε νίκας κάθε μορφῆς καὶ ποτὲ δὲν ἔπαυσε ν' ἀγωνίζεται καὶ νὰ θριαμβεύῃ. Ἀλλὰ χωρὶς νὰ τὸ καταλάβω ἤρχισα νὰ ὑβρίζω τὸν ἄνδρα. Διότι τὰ κατορθώματά του ὑπερβαίνουν τὴν δύναμιν κάθε λόγου γενικῶς, εἰδικώτερα δὲ τὸν ἰδικόν μου τόσον πολύ, ὅσον ὑπερτεροῦν ἐμὲ οἱ δόκιμοι ρήτορες Παρ' ὅλα αὐτὰ ὅμως (ἐπειδὴ ξεύρω ὅτι ὁ μακάριος θὰ μὲ κρίνῃ ὄχι ἀπὸ τὰ ἀποτελέσματα τῆς προσπαθείας μου, ἀλλ' ἀπὸ τὴν προαίρεσίν μου) δὲν θὰ σιωπήσω ἕως ὅτου εἰπῶ τοῦτο, τὸ ὁποῖον εἶναι τόσον ἀνώτερον ἀπὸ τὰ λεχθέντα, ὅσον ἀνώτερος εἶναι ἐκεῖνος ἀπὸ ὅλους τοὺς ἀνθρώπους. Ποῖον εἶναι λοιπὸν αὐτό; Ἔπειτα ἀπὸ τόσα κατορθώματα, ἔπειτα ἀπὸ τοὺς ἀναριθμήτους στε-

μυρίους στεφάνους, ηὔξατο εἰς γέενναν ἀπελθεῖν καὶ αἰωνίῳ παραδοθῆναι κολάσει, ὑπὲρ τοῦ τοὺς πολλάκις αὐτὸν καὶ λιθάσαντας καὶ ἀνελόντας, τό γε αὐτῶν μέρος, Ἰουδαίους σωθῆναι καὶ τῷ Χριστῷ προσελθεῖν. Τίς οὕτως ἐπόθησε τὸν Χριστόν; εἴγε πόθον αὐτὸν δεῖ καλεῖν, ἀλλ' οὐχ ἕτερόν τι τοῦ πόθου πλέον. Ἔτι οὖν ἑαυτοὺς ἐκείνῳ παραβαλοῦμεν, μετὰ τὴν τοσαύτην χάριν, ἣν ἔλαβεν ἄνωθεν, μετὰ τὴν τοσαύτην ἀρετήν, ἣν οἴκοθεν ἐπεδείξατο; Καὶ τί τούτου γένοιτ' ἂν τολμηρότερον;

Ὅτι δὲ οὐδὲ οὕτως ἦν ἰδιώτης, ὡς οὗτοι νομίζουσι, καὶ τοῦτο λοιπὸν ἀποδεῖξαι πειράσομαι. Οὗτοι μὲν γὰρ οὐ μόνον τὸν οὐκ ἠσκημένον τὴν τῶν ἔξωθεν λόγων τερθρείαν ἰδιώτην καλοῦσιν, ἀλλὰ καὶ τὸν οὐκ εἰδότα μάχεσθαι ὑπὲρ τῶν τῆς ἀληθείας δογμάτων· καὶ καλῶς νομίζουσιν. Ὁ δὲ Παῦλος οὐκ ἐν ἀμφοτέροις ἔφησεν ἰδιώτης εἶναι, ἀλλ' ἐν θατέρῳ μόνον. Καὶ τοῦτο ἀσφαλιζόμενος τὸν διορισμὸν ἀκριβῶς πεποίηται, λέγων τῷ λόγῳ ἰδιώτης εἶναι, ἀλλ' οὐ τῇ γνώσει. Ἐγὼ δὲ εἰ μὲν τὴν λειότητα Ἰσοκράτους ἀπῄτουν καὶ τὸν Δημοσθένους ὄγκον καὶ τὴν Θουκυδίδου σεμνότητα καὶ τὸ Πλάτωνος ὕψος, ἔδει φέρειν εἰς μέσον ταύτην τοῦ Παύλου τὴν μαρτυρίαν. Νῦν δὲ ἐκεῖνα μὲν πάντα ἀφίημι καὶ τὸν περίεργον τῶν ἔξωθεν καλλωπισμόν· καὶ οὐδέν μοι φράσεως, οὐδὲ ἀπαγγελίας μέλει. Ἀλλ' ἐξέστω καὶ τῇ λέξει πτωχεύειν καὶ τὴν συνθήκην τῶν ὀνομάτων ἁπλῆν τινα εἶναι καὶ ἀφελῆ, μόνον μὴ τῇ γνώσει τις καὶ τῇ τῶν δογμάτων ἀκριβείᾳ ἰδιώτης ἔστω· μηδ' ἵνα τὴν οἰκείαν ἀργίαν ἐπικαλύψῃ, τὸν μακάριον ἐκεῖνον ἀφαιρείσθω τὸ μέγιστον τῶν ἀγαθῶν καὶ τὸ τῶν ἐγκωμίων κεφάλαιον.

---

24. Ρωμ. 9, 3.
25. Β' Κορ. 11, 6.

φάνους ηὐχήθη ν' ἀπέλθῃ εἰς τὴν γέενναν καὶ νὰ παραδοθῇ εἰς τὴν αἰωνίαν τιμωρίαν ὑπὲρ τῆς σωτηρίας καὶ τῆς ἐπιστροφῆς τῶν Ἰουδαίων, οἱ ὁποῖοι πολλάκις τὸν ἐλιθοβόλησαν καὶ προσεπάθησαν νὰ τὸν φονεύσουν[24]. Ποῖος ἐπόθησε τόσον πολὺ τὸν Χριστόν; — ἐὰν φυσικὰ ἐπιτρέπεται νὰ καλοῦμεν τὸ αἴσθημα αὐτὸ πόθον καὶ ὄχι κάτι ὑψηλότερον τοῦ πόθου. Θὰ ἐξακολουθήσωμεν λοιπὸν νὰ παραβάλλωμεν τοὺς ἑαυτούς μας μ' ἐκεῖνον μετὰ τὴν πλουσίαν χάριν ποὺ ἔλαβεν ἄνωθεν, μετὰ τὴν ὑψηλὴν ἀρετὴν ποὺ ἐπέδειξεν ὡς ἀνταπόκρισιν εἰς τὴν χάριν; Δὲν εἶναι τέτοια σκέψις ὑπερβολικῶς τολμηρά;

Καὶ τώρα θὰ προσπαθήσω ν' ἀποδείξω ὅτι παρὰ ταῦτα ὁ Παῦλος δὲν ἦτο ἰδιώτης, ὅπως νομίζουν. Αὐτοὶ μὲν ὀνομάζουν «ἰδιώτην» ὄχι μόνον τὸν ἀνίδεον τῆς κοσμικῆς σοφίας, ἀλλὰ καὶ τὸν ἀγνοοῦντα νὰ μάχεται ὑπὲρ τῆς ἀληθείας τῶν δογμάτων· καὶ ἔχουν δίκαιον. Ὁ Παῦλος δὲ δὲν λέγει ὅτι εἶναι ἰδιώτης καὶ εἰς τὰ δύο, ἀλλὰ μόνον εἰς τὸ ἕνα· πρὸς πρόληψιν παρεξηγήσεως ἀκριβῶς ἔκαμε τὴν διάκρισιν αὐτήν, ὅταν ἔλεγεν ὅτι εἶναι ἰδιώτης εἰς τὴν τέχνην τοῦ λόγου, ὄχι ὅμως καὶ εἰς τὴν διδασκαλίαν τῆς χριστιανικῆς πίστεως[25]. Θὰ ἦτο δὲ δυνατὸν ν' ἀντιταχθῇ ἡ μαρτυρία αὐτὴ τοῦ Παύλου, ἂν ἐγὼ ἀπαιτοῦσα τὴν λεπτότητα τοῦ Ἰσοκράτους, τὴν δύναμιν τοῦ Δημοσθένους, τὴν σοβαρότητα τοῦ Θουκυδίδου καὶ τὸ ὕψος τοῦ Πλάτωνος· τώρα ὅμως τὰ παραβλέπω ὅλα αὐτὰ καὶ δὲν μ' ἐνδιαφέρει ἡ ἐξεζητημένη καλλιέπεια τῶν κοσμικῶν συγγραφέων οὔτε τὸ ὕφος καὶ ἡ ἀπαγγελία. Ἂς ἔχῃ κανεὶς πτωχὸν λεξιλόγιον, ἁπλῆν καὶ ἀφελῆ κατασκευὴν τῆς φράσεως, ἀρκεῖ νὰ μὴ εἶναι ἀνίδεος τῆς ὀρθῆς Χριστιανικῆς διδασκαλίας καὶ νὰ μὴ ἀφαιρῇ, πρὸς συγκάλυψιν τῆς ἰδικῆς του ἀδρανείας, ἀπὸ τὸν μακάριον Παῦλον τὸ μεγαλύτερον προτέρημά του, διὰ τὸ ὁποῖον ἀξίζει νὰ ἐγκωμιάζεται.

7. *Πόθεν γάρ, εἰπέ μοι, τοὺς Ἰουδαίους συνέχεε τοὺς ἐν Δαμασκῷ κατοικοῦντας, οὐδέπω τῶν σημείων ἀρξάμενος; Πόθεν τοὺς Ἑλληνιστὰς κατεπάλαισε; Διὰ τί δὲ εἰς Ταρσὸν ἐξεπέμπετο; Οὐκ ἐπειδὴ κατὰ κράτος ἐνίκα τῷ λόγῳ καὶ*
5 *εἰς τοσοῦτον αὐτοὺς ἤλαυνεν, ὡς καὶ εἰς φόνον παροξυνθῆναι, μὴ φέροντας τὴν ἧτταν; Ἐνταῦθα γὰρ οὐδέπω τοῦ θαυματουργεῖν ἤρξατο· οὐδ' ἂν ἔχοι τις εἰπεῖν, ὅτι ἀπὸ τῆς περὶ τὰ τεράστια δόξης θαυμαστὸν αὐτὸν ἡγοῦντο οἱ πολλοὶ καὶ οἱ μαχόμενοι πρὸς αὐτὸν ἀπὸ τῆς ὑπολήψεως*
10 *ἐπηρεάζοντο τοῦ ἀνδρός. Τέως γὰρ ἀπὸ τοῦ λέγειν μόνον ἐκράτει. Πρὸς δὲ τοὺς ἰουδαΐζειν ἐπιχειροῦντας ἐν Ἀντιοχείᾳ, πόθεν ἠγωνίζετο καὶ συνεζήτει; Ὁ δὲ Ἀρεοπαγίτης ἐκεῖνος, ὁ ἀπὸ τῆς δεισιδαιμονεστάτης πόλεως ἐκείνης, οὐκ ἀπὸ δημηγορίας μόνης ἠκολούθησεν αὐτῷ μετὰ τῆς γυναι-*
15 *κός; Ὁ δὲ Εὔτυχος πῶς κατέπεσεν ἀπὸ τῆς θυρίδος; οὐκ ἐπειδὴ μέχρι βαθείας νυκτὸς εἰς τὸν τῆς διδασκαλίας αὐτοῦ ἀπησχολεῖτο λόγον; Τί δὲ ἐν Θεσσαλονίκῃ καὶ ἐν Κορίνθῳ; Τί δὲ ἐν Ἐφέσῳ καὶ ἐν αὐτῇ τῇ Ῥώμῃ; Οὐχ ὅλας ἡμέρας καὶ νύκτας ἀνήλισκεν ἐφεξῆς εἰς τὴν ἐξήγησιν τῶν*
20 *Γραφῶν; Τί ἄν τις λέγοι τὰς πρὸς τοὺς Ἐπικουρείους διαλέξεις καὶ Στωϊκούς; Εἰ γὰρ ἅπαντα θέλοιμεν καταλέγειν, εἰς μακρὸν ἐκπεσεῖται μῆκος ὁ λόγος. Ὅταν οὖν καὶ πρὸ τῶν σημείων καὶ ἐν μέσοις αὐτοῖς φαίνηται πολλῷ κεχρημένος τῷ λόγῳ, πῶς ἔτι τολμήσουσιν ἰδιώτην εἰπεῖν, τὸν*
25 *καὶ ἀπὸ τοῦ διαλέγεσθαι καὶ δημηγορεῖν μάλιστα θαυμασθέντα παρὰ πᾶσιν; Διὰ τί γὰρ Λυκάονες αὐτὸν ὑπέλαβον εἶναι Ἑρμῆν; Τὸ μὲν γὰρ θεοὺς αὐτοὺς νομισθῆναι ἀπὸ τῶν σημείων ἐγένετο· τὸ δὲ τοῦτον Ἑρμῆν, οὐκ ἔτι ἀπ' ἐκείνων*

7. Εἰπέ μου πραγματικά, μὲ ποῖον μέσον ἀντέκρουσε τοὺς Ἰουδαίους τῆς Δαμασκοῦ, προτοῦ ἀρχίσῃ τὴν θαυματουργίαν του; Μὲ ποῖον μέσον κατενίκησε τοὺς Ἰουδαίους τῆς ἑλληνικῆς Διασπορᾶς; Καὶ διὰ ποῖον λόγον ἐστάλη εἰς Ταρσόν; Δὲν ἐστάλη διότι τοὺς κατενίκησε καὶ τοὺς κατετρόπωσε τόσον ἀποτελεσματικῶς, ὥστε ἐξερεθισθέντες ἀπὸ τὴν συντριπτικὴν ἧττάν των νὰ σχεδιάσουν τὴν δολοφονίαν του; Ἐδῶ δὲν εἶχεν ἀκόμη ἀρχίσει τὴν θαυματουργίαν καὶ δὲν ἠμπορεῖ νὰ εἰπῇ κανεὶς ὅτι τὸ πλῆθος τὸν ἐθεωροῦσε θαυμαστὸν λόγῳ τῆς διενεργείας θαυμάτων καὶ ὅτι οἱ πολεμοῦντες ἐναντίον του ἐπηρεάζοντο ἀπὸ τὴν ἐκτίμησιν ποὺ τοῦ εἶχεν ὁ λαός. Τὴν ἐποχὴν αὐτὴν ἐνικοῦσε μόνον μὲ τὸν λόγον. Μὲ ποῖον δὲ μέσον ἠγωνίζετο καὶ ἐσυζητοῦσε μὲ τοὺς Ἰουδαΐζοντας τῆς Ἀντιοχείας; Καὶ ἐκεῖνος ὁ Ἀρεοπαγίτης τῆς δεισιδαιμονεστάτης πόλεως τῶν Ἀθηνῶν, δὲν ἔγινεν ὀπαδός του μαζὶ μὲ τὴν γυναῖκα μόνον ἀπὸ τὴν δημηγορίαν του; Ὁ δὲ Εὔτυχος πῶς ἔπεσεν ἀπὸ τὸ παράθυρον; Δὲν ἔπεσε διότι ἠσχολεῖτο εἰς τὴν ἀκρόασιν τῆς διδασκαλίας του μέχρι βαθείας νυκτός; Τί ἔκαμε δὲ εἰς τὴν Θεσσαλονίκην καὶ τὴν Κόρινθον; Τί ἔκαμεν εἰς τὴν Ἔφεσον καὶ εἰς αὐτὴν τὴν Ρώμην; Δὲν ἀφιέρωνε διαρκῶς ὅλας τὰς ἡμέρας καὶ τὰς νύκτας εἰς τὴν ἐξήγησιν τῶν Γραφῶν; Τί θὰ ἐλέγαμεν δὲ διὰ τὰς συζητήσεις πρὸς τοὺς Ἐπικουρείους καὶ τοὺς Στωϊκούς; Ἐὰν θὰ ἤθελα νὰ τ' ἀναφέρω ὅλα, θὰ ἐμάκρυνα πολὺ τὸν λόγον. Ἀφοῦ καὶ χωρὶς τὰ θαύματα καὶ μαζὶ μὲ τὰ θαύματα ἀποδεικνύεται ὅτι ἐχρησιμοποιοῦσεν ἐπιτυχῶς τὸν λόγον, πῶς θὰ τολμήσουν νὰ καλοῦν ἀκόμη ἰδιώτην αὐτόν, ὁ ὁποῖος ἐθαυμάσθη ἐξαιρετικῶς ἀπὸ ὅλον τὸν κόσμον καὶ διὰ τὰς συζητήσεις καὶ διὰ τὰς δημιουργίας του; Διατί οἱ Λυκάονες τὸν ἐξέλαβαν ὡς τὸν Ἑρμῆν; Τὸ ὅτι τοὺς ἐθεώρησαν ὡς θεοὺς ὀφείλεται εἰς τὰ θαύματα, τὸ ὅτι δὲ ἐθεώρησαν αὐτὸν ὡς τὸν Ἑρμῆν ὀφείλεται ὄχι εἰς τὰ θαύματα, ἀλλ'

ἐγένετο, ἀλλ' ἀπὸ τοῦ λόγου. Τίνι δὲ καὶ τῶν ἄλλων Ἀποστόλων ἐπλεονέκτησεν ὁ μακάριος οὗτος καὶ πόθεν ἀνὰ τὴν οἰκουμένην ἅπασαν πολὺς ἐν τοῖς ἁπάντων ἐστὶ στόμασιν; Πόθεν οὐ παρ' ἡμῖν μόνον, ἀλλὰ καὶ παρὰ Ἰουδαίοις 5 *καὶ Ἕλλησι μάλιστα πάντων θαυμάζεται; Οὐκ ἀπὸ τῆς τῶν ἐπιστολῶν ἀρετῆς, δι' ἧς οὐ τοὺς τότε μόνον πιστούς, ἀλλὰ καὶ τοὺς ἐξ ἐκείνου μέχρι τῆς σήμερον γενομένους καὶ τοὺς μέλλοντας δὲ ἔσεσθαι μέχρι τῆς ἐσχάτης τοῦ Χριστοῦ παρουσίας ὠφέλησέ τε καὶ ὠφελήσει καὶ οὐ παύσεται* 10 *τοῦτο ποιῶν, ἕως ἂν τὸ τῶν ἀνθρώπων διαμένῃ γένος; Ὥσπερ γὰρ τεῖχος ἐξ ἀδάμαντος κατασκευασθέν, οὕτω τὰς πανταχοῦ τῆς οἰκουμένης Ἐκκλησίας τὰ τούτου τειχίζει γράμματα. Καὶ καθάπερ τις ἀριστεὺς γενναιότατος ἕστηκε καὶ νῦν μέσος, αἰχμαλωτίζων πᾶν νόημα εἰς τὴν ὑπακοὴν* 15 *τοῦ Χριστοῦ καὶ καθαιρῶν λογισμοὺς καὶ πᾶν ὕψωμα ἐπαιρόμενον κατὰ τῆς γνώσεως τοῦ Θεοῦ. Ταῦτα δὲ πάντα ἐργάζεται, δι' ὧν ἡμῖν κατέλιπεν ἐπιστολῶν τῶν θαυμασίων καὶ τῆς θείας πεπληρωμένων σοφίας. Οὐ πρὸς δογμάτων δὲ μόνον, νόθων τε ἀνατροπὴν καὶ γνησίων ἀσφάλειαν, ἐπι-* 20 *τήδεια ἡμῖν αὐτοῦ τὰ γράμματα, ἀλλὰ καὶ πρὸς τὸ βιοῦν εὖ οὐκ ἐλάχιστον ἡμῖν συντελεῖ μέρος. Τούτοις γὰρ ἔτι καὶ νῦν οἱ τῶν Ἐκκλησιῶν προεστῶτες χρώμενοι, τὴν ἁγνὴν παρθένον, ἣν ἡρμόσατο τῷ Χριστῷ, ῥυθμίζουσί τε καὶ πλάττουσι καὶ πρὸς τὸ πνευματικὸν ἄγουσι κάλλος. Τούτοις καὶ* 25 *τὰ ἐπισκήπτοντα αὐτῇ νοσήματα ἀποκρούονται καὶ τὴν προσγινομένην διατηροῦσιν ὑγείαν. Τοιαῦτα ἡμῖν ὁ ἰδιώτης κατέλιπε φάρμακα, τοσαύτην ἔχοντα δύναμιν, ὧν ἴσασι τὴν πεῖραν καλῶς οἱ χρώμενοι συνεχῶς.*

8. Καὶ ὅτι μὲν πολλὴν αὐτὸς ἐποιεῖτο τοῦ μέρους τού- 30 *του σπουδήν, ἐκ τούτων δῆλον. Ἄκουε δὲ καὶ τῷ μαθητῇ*

---

26. Τὰς εἰς τὴν Κ.Δ. ἀναφορὰς τῆς παραγράφου αὐτῆς βλ. κατὰ σειρὰν ἐν Πράξ. 9, 22. 9, 29. 30. Γαλ. 2, 11. Πράξ. 17, 34. 20, 9. 14, 11. 14, 12. Β' Κορ. 10, 5. 11, 2.

εἰς τὴν δύναμιν τοῦ λόγου. Μὲ ποῖον μέσον ὑπερτέρησεν ὁ μακάριος αὐτοὺς τοὺς ἄλλους Ἀποστόλους καὶ διατί θεωρεῖται μέγας εἰς τὰ στόματα τῶν ἀνθρώπων ὁλοκλήρου τῆς οἰκουμένης; Διατί ὄχι μόνον ἀπὸ ἡμᾶς, ἀλλὰ καὶ ἀπὸ τοὺς Ἰουδαίους καὶ τοὺς εἰδωλολάτρας θαυμάζεται περισσότερον ἀπὸ ὅλους; Δὲν θαυμάζεται ἀπὸ τὴν ὑπέροχον δύναμιν τῶν Ἐπιστολῶν του, μὲ τὴν ὁποίαν ὄχι μόνον τοὺς συγχρόνους, ἀλλὰ καὶ τοὺς μεταγενεστέρους ἕως σήμερα καὶ τοὺς μέλλοντας Χριστιανοὺς μέχρι τῆς δευτέρας παρουσίας τοῦ Χριστοῦ ὠφέλησε καὶ θὰ ὠφελῇ καὶ δὲν θὰ παύσῃ νὰ ὠφελῇ ἕως ὅτου ὑπάρχῃ τὸ ἀνθρώπινον γένος; Τὰ συγγράμματά του προστατεύουν τὰς Ἐκκλησίας τῆς Οἰκουμένης σὰν τεῖχος ἀδαμάντινον. Καὶ ὁ συγγραφεύς των στέκεται καὶ τώρα εἰς τὸ μέσον των σὰν γενναιότατος ἀγωνιστὴς καὶ αἰχμαλωτίζει κάθε νόησιν εἰς τὸν ζυγὸν τῆς ὑπακοῆς τοῦ Χριστοῦ καὶ καταλύει τοὺς διαλογισμοὺς ποὺ ὁδηγοῦν εἰς ἔπαρσιν κατὰ τῆς γνώσεως τοῦ Θεοῦ. Καὶ ὅλα αὐτὰ τὰ ἐπιτυγχάνει μὲ τὰς θαυμασίας ἐπιστολὰς ποὺ μᾶς ἄφησε καὶ ποὺ εἶναι γεμᾶται ἀπὸ τὴν θείαν σοφίαν. Δὲν εἶναι δὲ τὰ συγγράμμά του μόνον ἱκανὰ ν' ἀνατρέπουν τὰς ψευδεῖς διδασκαλίας καὶ νὰ στερεώνουν τὴν ὀρθὴν πίστιν, ἀλλὰ καὶ συντελοῦν ἐξαιρετικῶς εἰς τὴν κατοχύρωσιν τῆς ἠθικῆς μας διαγωγῆς. Χρησιμοποιοῦντες αὐτὰ ἀκόμη καὶ τώρα οἱ ἀρχηγοὶ τῶν Ἐκκλησιῶν, ρυθμίζουν καὶ διαπλάττουν καὶ καλλωπίζουν τὴν ἁγίαν παρθένον, τὴν ὁποίαν συνέζευξεν ὁ Παῦλος μὲ τὸν Χριστόν. Μὲ αὐτὰ ἀποκρούονται αἱ ἀσθένειαι ποὺ τὴν προσβάλλουν καὶ διατηρεῖται ἡ ὑπάρχουσα ὑγεία. Τέτοια φάρμακα μᾶς ἄφησεν ὁ ἰδιώτης, φάρμακα μὲ ἐξαιρετικὴν δύναμιν, τὴν ὁποίαν γνωρίζουν καλὰ ὅσοι τὰ χρησιμοποιοῦν συνεχῶς[26].

8. Καὶ ὅτι μὲν ὁ ἴδιος ὁ Ἀπόστολος ἐφρόντιζε πολὺ διὰ τὴν ἀπόκτησιν τῆς δυνάμεως αὐτῆς ἀποδεικνύεται ἀπὸ τὰ λεχθέντα. Ἄκουσε δὲ τί λέγει καὶ πρὸς τὸν μαθητήν

τί φησιν ἐπιστέλλων· «πρόσεχε τῇ ἀναγνώσει, τῇ παρακλήσει, τῇ διδασκαλίᾳ». Καὶ τὸν ἀπὸ τούτου καρπὸν προστίθησι λέγων· «τοῦτο γὰρ ποιῶν καὶ σεαυτὸν σώσεις καὶ τοὺς ἀκούοντάς σου». Καὶ πάλιν· «δοῦλον δὲ Κυρίου οὐ δεῖ μάχε-
5 *σθαι, ἀλλ' ἤπιον εἶναι πρὸς πάντας, διδακτικόν, ἀνεξίκακον». Καὶ προϊὼν δέ φησι· «σὺ δὲ μένε ἐν οἷς ἔμαθες καὶ ἐπιστεύθης, εἰδὼς παρὰ τίνος ἔμαθες καὶ ὅτι ἀπὸ βρέφους τὰ ἱερὰ γράμματα οἶδας τὰ δυνάμενά σε σοφίσαι εἰς σωτηρίαν». Καὶ πάλιν· «πᾶσα γραφὴ θεόπνευστος, φησί, καὶ*
10 *ὠφέλιμος πρὸς διδασκαλίαν, πρὸς ἔλεγχον, πρὸς ἐπανόρθωσιν, πρὸς παίδευσιν τὴν ἐν δικαιοσύνῃ, ἵνα ἄρτιος ᾖ ὁ τοῦ Θεοῦ ἄνθρωπος». Ἄκουε δὲ καὶ τῷ Τίτῳ περὶ τῆς τῶν ἐπισκόπων καταστάσεως διαλεγόμενος τί προτίθησι· «δεῖ γάρ, φησίν, εἶναι τὸν ἐπίσκοπον ἀντεχόμενον τοῦ κατὰ*
15 *τὴν διδαχὴν πιστοῦ λόγου, ἵνα δυνατὸς ᾖ καὶ τοὺς ἀντιλέγοντας ἐλέγχειν». Πῶς οὖν ἰδιώτης τις ὤν, ὥς οὗτοί φασι, τοὺς ἀντιλέγοντας ἐλέγχειν δυνήσεται καὶ ἐπιστομίζειν; Τίς δὲ χρεία προσέχειν τῇ ἀναγνώσει καὶ ταῖς Γραφαῖς, εἰ ταύτην δεῖ τὴν ἰδιωτείαν ἀσπάζεσθαι; Σκήψεις*
20 *ταῦτα καὶ προφάσεις καὶ ῥαθυμίας καὶ ὄκνου προσχήματα.*

Ἀλλὰ τοῖς ἱερεῦσι, φησί, ταῦτα διατάττεται· καὶ γὰρ περὶ ἱερέων ἡμῖν ὁ λόγος νῦν. Ὅτι δὲ καὶ τοῖς ἀρχομένοις, ἄκουε τί πάλιν ἑτέροις ἐν ἑτέρᾳ ἐπιστολῇ παραινεῖ· «ὁ λόγος τοῦ Χριστοῦ ἐνοικείτω ἐν ὑμῖν πλουσίως, ἐν πάσῃ σο-
25 *φίᾳ». Καὶ πάλιν «ὁ λόγος ὑμῶν πάντοτε ἐν χάριτι, ἅλατι ἠρτυμένος, εἰδέναι πῶς δεῖ ἑνὶ ἑκάστῳ ἀποκρίνεσθαι». Καὶ τὸ πρὸς ἀπολογίαν ἑτοίμους εἶναι ἅπασιν εἴρηται. Θεσσαλονικεῦσι δὲ*

του εἰς τὴν ἐπιστολήν. «Πρόσεχε εἰς τὴν ἀνάγνωσιν, εἰς τὴν παράκλησιν, εἰς τὴν διδασκαλίαν». Καὶ προσθέτει τὴν ὠφέλειαν ἀπὸ τὴν φροντίδα αὐτήν· «μὲ αὐτὴν τὴν προσπάθειαν θὰ σώσῃς καὶ τὸν ἑαυτόν σου καὶ τοὺς ἀκροατάς σου». Καὶ πάλιν· «ὁ δοῦλος δὲ τοῦ Κυρίου δὲν πρέπει νὰ ἐρίζῃ ἀλλὰ νὰ εἶναι πρὸς ὅλους ἤπιος, διδακτικός, ἀνεξίκακος». Καὶ κατωτέρω· «ἐσὺ δὲ νὰ μείνῃς σταθερὸς εἰς ὅσα ἔμαθες καὶ σοῦ ἐνεπιστεύθησαν, ἀναλογιζόμενος ἀπὸ ποῖον τὰ ἔμαθες καὶ ὅτι γνωρίζεις ἀπὸ τὴν βρεφικήν σου ἡλικίαν τὰ ἱερὰ γράμματα ποὺ ἠμποροῦν νὰ σὲ διαφωτίσουν, ὥστε νὰ εὕρῃς τὴν σωτηρίαν». Καὶ πάλιν· «ὁλόκληρος ἡ Γραφὴ εἶναι θεόπνευστος καὶ ὠφέλιμος πρὸς διδασκαλίαν, πρὸς ἔλεγχον, πρὸς ἀπόκτησιν τῆς δικαιοσύνης καὶ γενικῶς πρὸς τελείαν κατάρτισιν τοῦ ἀνθρώπου τοῦ Θεοῦ». Ἄκουσε δὲ τί προτάσσει πρὸς τὸν Τίτον, ὅταν ὁμιλῇ περὶ τῶν καθηκόντων τῶν ἐπισκόπων· «ὁ ἐπίσκοπος πρέπει νὰ κατέχῃ τὴν ἱκανότητα τῆς διδασκαλίας τῶν χριστιανικῶν ἀληθειῶν καὶ νὰ εἶναι ἱκανὸς ν' ἀποστομώνῃ τοὺς ἀντιλέγοντας». Πῶς λοιπὸν θὰ κατορθώσῃ κανείς, ἂν εἶναι ἰδιώτης, ὅπως θέλουν αὐτοί, νὰ ἐλέγχῃ καὶ ἀποστομώνῃ τοὺς ἀντιλέγοντας; Ποία δὲ ἀνάγκη ὑπάρχει τῆς προσοχῆς εἰς τὴν ἀνάγνωσιν τῶν Γραφῶν, ἐὰν προτιμήσωμεν τὴν ἀπαιδευσίαν; Αὐτὰ εἶναι ἀφορμαὶ καὶ προφάσεις καὶ προσχήματα ῥαθυμίας καὶ ὀκνηρίας.

Αὐτὰ ὅμως, ἀπαντοῦν, τὰ παραγγέλλει πρὸς τοὺς ἱερεῖς· ἀλλὰ καὶ ἡμεῖς τώρα διὰ τοὺς ἱερεῖς συζητοῦμεν. Ὅτι δὲ ἀναφέρονται καὶ εἰς τοὺς λαϊκούς, ἄκουσε τί προτρέπει πάλιν ἄλλους εἰς ἄλλην ἐπιστολήν· «ὁ λόγος τοῦ Χριστοῦ ἂς κατοικῇ μέσα σας πλούσιος καὶ γεμᾶτος σοφίαν». Καὶ πάλιν· «ὁ λόγος σας νὰ εἶναι πάντοτε γεμᾶτος χάριν καὶ διαποτισμένος μὲ ἅλας, ὥστε νὰ γνωρίζετε πῶς νὰ ὁμιλῆτε εἰς τὸν καθένα». Καὶ ἡ ἐντολὴ νὰ εἶναι ἕτοιμοι ἐδόθη πρὸς ὅλους τοὺς Χριστιανούς. Γράφων δὲ πρὸς τοὺς Θεσσαλονι-

ἐπιστέλλων, «οἰκοδομεῖτε», φησίν, «εἷς τὸν ἕνα, καθὼς καὶ ποιεῖτε». Ὅταν δὲ περὶ ἱερέων διαλέγηται· «οἱ καλῶς προεστῶτες πρεσβύτεροι διπλῆς τιμῆς ἀξιούσθωσιν, μάλιστα οἱ κοπιῶντες ἐν λόγῳ καὶ διδασκαλίᾳ». Καὶ γὰρ οὗτος τελε-
5 *ώτατος τῆς διδασκαλίας ὅρος, ὅταν καὶ δι' ὧν πράττουσι καὶ δι' ὧν λέγουσι τοὺς μαθητευομένους ἐνάγωσι πρὸς τὸν μακάριον βίον, ὃν ὁ Χριστὸς διετάξατο. Οὐ γὰρ ἀρκεῖ τὸ ποιεῖν πρὸς τὸ διδάσκειν· καὶ οὐκ ἐμὸς ὁ λόγος, ἀλλ' αὐτοῦ τοῦ Σωτῆρος. «Ὃς γὰρ ἄν», φησί, «ποιήσῃ καὶ διδάξῃ,*
10 *οὗτος μέγας κληθήσεται». Εἰ δὲ τὸ ποιῆσαι διδάξαι ἦν, περιττῶς τὸ δεύτερον ἔκειτο. Καὶ γὰρ ἤρκει εἰπεῖν, ὃς ἂν ποιήσῃ μόνον. Νῦν δὲ τῷ διελεῖν ἀμφότερα δείκνυσιν, ὅτι τὸ μὲν τῶν ἔργων ἐστί, τὸ δὲ τοῦ λόγου, καὶ ἀλλήλων δεῖται ἑκάτερα πρὸς τελείαν οἰκοδομήν. Ἦ οὐκ ἀκούεις, τί*
15 *φησι τοῖς πρεσβυτέροις Ἐφεσίων τὸ τοῦ Χριστοῦ σκεῦος τὸ ἐκλεκτόν; «Διὸ γρηγορεῖτε, μνημονεύοντες, ὅτι τριετίαν νύκτα καὶ ἡμέραν οὐκ ἐπαυσάμην μετὰ δακρύων νουθετῶν ἕνα ἕκαστον ὑμῶν». Τίς γὰρ χρεία τῶν δακρύων ἢ τῆς διὰ τῶν λόγων νουθεσίας, τοῦ βίου οὕτως αὐτῷ λάμποντος τοῦ*
20 *ἀποστολικοῦ; Ἀλλὰ πρὸς μὲν τὴν τῶν ἐντολῶν ἐργασίαν, δύναιτ' ἂν ἡμῖν οὗτος πολὺ συμβαλέσθαι μέρος· οὐδὲ γὰρ ἐκεῖ μόνον αὐτὸν τὸ πᾶν κατορθοῦν φαίην ἄν.*

9. Ὅταν δὲ ὑπὲρ δογμάτων ἀγὼν κινῆται καὶ πάντες ἀπὸ τῶν αὐτῶν μάχωνται γραφῶν, ποίαν ἰσχὺν ὁ βίος ἐν-
25 *ταῦθα ἐπιδεῖξαι δυνήσεται; Τί τῶν πολλῶν ὄφελος ἱδρώτων, ὅταν μετὰ τοὺς μόχθους ἐκείνους, ἀπὸ τῆς πολλῆς τις ἀπειρίας εἰς αἵρεσιν ἐκπεσών, ἀποσχισθῇ τοῦ σώματος τῆς Ἐκκλησίας; Ὅπερ οἶδα πολλοὺς παθόντας ἐγώ. Ποῖον αὐτῷ κέρδος τῆς καρτερίας; Οὐδέν· ὥσπερ οὖν οὐδὲ ὑγιοῦς*

---

27. Τὰ γραφικὰ χωριὰ τῆς παραγράφου αὐτῆς βλ. ἐν Α' Τιμ. 4, 13. 16. Β' Τιμ. 2, 24. 3, 15. 16. Τίτ. 1, 7. 9. Κολ. 3, 16. 4, 6. Α' Πέτρ. 3, 15. Α' Θεσσ. 5, 11. Α' Τιμ. 5, 17.

κεῖς λέγει· «νὰ οἰκοδομῆτε ὁ ἕνας τὸν ἄλλον, ὅπως καὶ πράττετε». Ὅταν δὲ ὁμιλῇ ἰδιαιτέρως διὰ τοὺς ἱερεῖς, λέγει: «οἱ πρεσβύτεροι ποὺ κυβερνοῦν τὴν Ἐκκλησίαν ν' ἀπολαύουν διπλῆς τιμῆς καὶ μάλιστα ὅσοι κοπιάζουν εἰς τὸν λόγον καὶ τὴν διδασκαλίαν». Ἄλλωστε ὁ κυριώτατος ὅρος τῆς ἐπιτυχίας τῆς διδασκαλίας εἶναι αὐτός· καὶ μὲ τὰ ἔργα καὶ μὲ τοὺς λόγους νὰ ὁδηγοῦν τοὺς μαθητὰς εἰς τὸν εὐτυχῆ βίον ποὺ ἔχει ἑτοιμάσει ὁ Χριστός. Δὲν εἶναι ἀρκετὰ πρὸς διδασκαλίαν μόνα τὰ ἔργα. Αὐτὸ δὲν τὸ λέγω, ἐγώ, τὸ λέγει ὁ Κύριος· «ὅποιος ἐφαρμόζει καὶ διδάσκει τὸν λόγον μου θὰ καταλάβῃ μεγάλην θέσιν». Ἐὰν ἡ ἐφαρμογὴ τῶν ἐντολῶν ἦτο ἀρκετή, θὰ ἐπερίττευε τὸ δεύτερον σκέλος τῆς προτάσεως· θ' ἀρκοῦσε νὰ εἰπῇ μόνον, «ὅποιος ἐφαρμόζει». Τώρα ὅμως μὲ τὴν σαφῆ διάκρισιν μεταξὺ τῶν δύο ὑποχρεώσεων ἀποδεικνύει ὅτι ἄλλο εἶναι ἡ ἐφαρμογὴ διὰ τῶν ἔργων καὶ ἄλλο ἡ διδασκαλία διὰ τοῦ λόγου καὶ ὅτι χρειάζεται ὁ συνδυασμὸς καὶ τῶν δύο διὰ τὴν τελείαν οἰκοδομήν. Ἢ δὲν ἤκουσες τί λέγει τὸ ἐκλεκτὸν σκεῦος τοῦ Χριστοῦ πρὸς τοὺς πρεσβυτέρους τῶν Ἐφεσίων; «Διὰ τοῦτο νὰ ἐπαγρυπνῆτε καὶ νὰ ἐνθυμῆσθε ὅτι ἐπὶ τρία χρόνια νύκτα καὶ ἡμέραν δὲν ἔπαυσα νὰ νουθετῶ καθένα ἀπὸ σᾶς μὲ δάκρυα»[27]. Τί ἐχρειάζοντο τὰ δάκρυα καὶ ἡ νουθεσία μὲ τοὺς λόγους ἀφοῦ ὁ ἀποστολικός του βίος εἶχε τόσην λάμψιν; Ἀλλὰ τὸ παράδειγμα τοῦ βίου εἰς μὲν τὴν ἐκτέλεσιν τῶν ἐντολῶν δύναται νὰ συμβάλῃ κατὰ πολύ, χωρὶς φυσικὰ νὰ κατορθώνῃ τὸ πᾶν μόνον του.

9. Ὅταν ὅμως ὑπάρχῃ ἀγὼν περὶ τῶν δογμάτων, εἰς τὸν ὁποῖον οἱ ἀντίπαλοι χρησιμοποιοῦν ὡς ὅπλα τὴν ἰδίαν Γραφήν, ποίαν ἀποτελεσματικότητα ἠμπορεῖ νὰ ἔχῃ ὁ βίος; Τί ὠφελοῦν οἱ πολλοὶ ἱδρῶτες ὅταν μετὰ τοὺς κόπους αὐτοὺς ἀποσχισθῇ κάποιος ἀπὸ τὸ σῶμα τῆς Ἐκκλησίας, διὰ παρεκκλίσεως πρὸς αἵρεσιν λόγῳ τῆς πολλῆς ἀγνοίας; Γνωρίζω δὲ ἐγὼ πολλοὺς ποὺ ἔπαθαν κάτι τέτοιον. Ποῖον

πίστεως, τῆς πολιτείας διεφθαρμένης. Διὰ δὲ ταῦτα μάλιστα πάντων ἔμπειρον εἶναι δεῖ τῶν τοιούτων ἀγώνων τὸν διδάσκειν τοὺς ἄλλους λαχόντα. Εἰ γὰρ καὶ αὐτὸς ἕστηκεν ἐν ἀσφαλείᾳ, μηδὲν ὑπὸ τῶν ἀντιλεγόντων βλαπτόμενος, ἀλ-
5 *λὰ τὸ τῶν ἀφελεστέρων πλῆθος, τὸ ταττόμενον ὑπ' ἐκείνῳ, ὅταν ἴδῃ τὸν ἡγούμενον ἡττηθέντα καὶ οὐδὲν ἔχοντα πρὸς τοὺς ἀντιλέγοντας εἰπεῖν, οὐ τὴν ἀσθένειαν τὴν ἐκείνου τῆς ἥττης, ἀλλὰ τὴν τοῦ δόγματος αἰτιῶνται σαθρότητα· καὶ διὰ τὴν τοῦ ἑνὸς ἀπειρίαν ὁ πολὺς λεὼς εἰς ἔσχατον ὄλε-*
10 *θρον καταφέρεται. Κἂν γὰρ μὴ πάντῃ γένωνται τῶν ἐναντίων, ἀλλ' ὅμως, ὑπὲρ ὧν θαρρεῖν εἶχον, ἀμφιβάλλειν ἀναγκάζονται· καὶ οἷς μετὰ πίστεως προσήεσαν ἀκλινοῦς, οὐκ ἔτι μετὰ τῆς αὐτῆς δύνανται προσέχειν στερρότητος· ἀλλὰ τοσαύτη ζάλη ταῖς ἐκείνων εἰσοικίζεται ψυχαῖς ἀπὸ τῆς*
15 *ἥττης τοῦ διδασκάλου, ὡς καὶ εἰς ναυάγιον τελευτῆσαι τὸ κακόν. Ὅσος δὲ ὄλεθρος καὶ ὅσον συνάγεται πῦρ εἰς τὴν ἀθλίαν κεφαλὴν ἐκείνου καθ' ἕκαστον τῶν ἀπολλυμένων τούτων, οὐδὲν δεήσῃ παρ' ἐμοῦ μαθεῖν, ἅπαντα αὐτὸς εἰδὼς ἀκριβῶς. Τοῦτο οὖν ἀπονοίας, τοῦτο κενοδοξίας, τὸ μὴ θε-*
20 *λῆσαι τοσαύτης ἀπωλείας αἴτιον γενέσθαι, μηδὲ ἐμαυτῷ μείζονα προξενῆσαι τιμωρίαν τῆς νῦν ἀποκειμένης ἐκεῖ; Καὶ τίς ἂν ταῦτα φήσειεν; Οὐδείς, πλὴν εἰ μή τις μάτην μέμφεσθαι βούλοιτο καὶ ἐν ταῖς ἀλλοτρίαις φιλοσοφεῖν συμφοραῖς.*

τὸ κέρδος του ἀπὸ τὴν καρτερίαν; Κανέν· ὅπως ἀκριβῶς τίποτε δὲν ὠφελεῖ ἡ ὑγιὴς πίστις, ὅταν ἡ διαγωγὴ εἶναι διεφθαρμένη. Διὰ τοῦτο λοιπὸν ὁ ἔχων ὡς ἔργον νὰ διδάσκῃ τοὺς ἄλλους ὀφείλει νὰ εἶναι πρὸ πάντων ἔμπειρος εἰς τοὺς κατὰ τῶν αἱρετικῶν ἀγῶνας[28]. Ἐὰν ὁ ἴδιος εὑρίσκεται εἰς ἀσφάλειαν καὶ δὲν βλάπτεται ἀπὸ τοὺς ἀντιλέγοντας, τὸ πλῆθος ὅμως τῶν ἁπλοϊκωτέρων ποὺ κυβερνᾶται ἀπὸ αὐτόν, ὅταν ἰδῇ τὸν ἀρχηγόν του νὰ νικᾶται καὶ νὰ μὴ ἔχῃ ν' ἀντείπῃ τίποτε εἰς τοὺς ἀντιλέγοντας, θεωρεῖ ὡς αἰτίαν τῆς ἥττης του ὄχι τὴν ἰδικήν του ἀδυναμίαν, ἀλλὰ τὴν ἀδυναμίαν τῶν δογμάτων. Καὶ ἔτσι λόγῳ τῆς ἀπειρίας ἑνὸς ἀνθρώπου ὁ πολὺς κόσμος ὁδηγεῖται εἰς τὴν χειροτέραν καταστροφήν. Διότι καὶ ἂν ἀκόμη δὲν μεταπηδήσουν ὁριστικῶς εἰς τοὺς αἱρετικούς, ἀλλ' ὅμως ἀναγκάζονται ν' ἀμφιβάλλουν διὰ τὴν διδασκαλίαν εἰς τὴν ὁποίαν εἶχαν πεποίθησιν καὶ δὲν δεικνύουν πλέον τὴν ἰδίαν σταθερότητα εἰς τὰς ἀληθείας ποὺ ἐπίστευαν ἀκλονήτως. Ἡ τρικυμία ποὺ εἰσέρχεται εἰς τὰς ψυχάς των ἀπὸ τὴν ἧτταν τοῦ διδασκάλου των εἶναι τόσον δυνατή, ὥστε τὸ κακὸν νὰ ὁδηγῇ καὶ εἰς ναυάγιον. Καὶ δὲν χρειάζεται νὰ μάθῃς ἀπὸ ἐμέ, διότι γνωρίζεις, πόση καταστροφὴ καὶ πόση φωτιὰ συγκεντρώνεται εἰς τὴν κεφαλὴν ἐκείνου διὰ κάθε ἕνα ἀπὸ τοὺς ἀνθρώπους αὐτοὺς ποὺ χάνονται. Ὥστε τὸ ὅτι δὲν ἠθέλησα νὰ γίνω αἴτιος τῆς καταστροφῆς τόσων ἀνθρώπων καὶ νὰ ἐπιφέρω εἰς τὸν ἑαυτόν μου περισσοτέραν ἀπὸ ὅσην μὲ περιμένει τιμωρίαν, εἶναι δεῖγμα ὑπερηφανείας καὶ ματαιοδοξίας; Ποῖος θὰ ἐδικαιοῦτο νὰ ἰσχυρισθῇ τέτοιον πρᾶγμα; Κανείς, ἐκτὸς ἐκείνων ποὺ ἀρέσκονται νὰ κατηγοροῦν χωρὶς λόγον καὶ νὰ ἐπιδεικνύουν σοφίαν εἰς τὰς συμφορὰς τῶν ἄλλων.

---

28. Βλ. καὶ Ὁμ. 15 εἰς Α' Τιμ. «μέγα τοῦτο, μέγα πρὸς Ἐκκλησίας οἰκοδομὴν καὶ πολὺ συντελεῖ τὸ διδακτικοὺς εἶναι τοὺς προεστῶτας· κἂν τοῦτο μὴ παρῇ, πολλὰ τῶν ταῖς Ἐκκλησίαις οἴχεται».

ΛΟΓΟΣ Ε΄.

1. Ὅσης μὲν ἐμπειρίας τῷ διδασκάλῳ δεῖ πρὸς τοὺς ὑπὲρ τῆς ἀληθείας ἀγῶνας, ἱκανῶς ἡμῖν ἀποδέδεικται. Ἔχω δέ τι καὶ πρὸς τούτοις ἕτερον μυρίων αἴτιον κινδύνων
5 εἰπεῖν· μᾶλλον δὲ οὐκ ἐκεῖνο εἴποιμ' ἂν αἴτιον ἔγωγε, ἀλλὰ τοὺς οὐκ εἰδότας αὐτῷ χρῆσθαι καλῶς· ἐπεὶ τό γε πρᾶγμα αὐτὸ σωτηρίας τε καὶ πολλῶν γίνεται πρόξενον ἀγαθῶν, ὅταν τοὺς διακονουμένους εὕρῃ σπουδαίους τε ἄνδρας καὶ ἀγαθούς. Τί οὖν τοῦτό ἐστιν; Ὁ πολὺς πόνος ὁ περὶ τὰς
10 διαλέξεις τὰς κοινῇ πρὸς τὸν λαὸν γινομένας ἀναλισκόμενος. Πρῶτον μὲν γὰρ τὸ πλέον τῶν ἀρχομένων οὐκ ἐθέλουσιν ὡς πρὸς διδασκάλους διοικεῖσθαι τοὺς λέγοντας, ἀλλὰ τὴν τῶν μαθητῶν τάξιν ὑπερβάντες, ἀντιλαμβάνουσι τὴν τῶν θεατῶν τῶν ἐν τοῖς ἔξωθεν καθεζομένων ἀγῶσιν. Καὶ
15 καθάπερ ἐκεῖ τὸ πλῆθος μερίζεται καὶ οἱ μὲν τούτῳ, οἱ δὲ ἐκείνῳ προσμένουσιν ἑαυτούς, οὕτω δὴ καὶ ἐνταῦθα διαιρεθέντες, οἱ μὲν μετὰ τούτου, οἱ δὲ μετὰ ἐκείνου γίνονται, πρὸς χάριν ἢ πρὸς ἀπέχθειαν ἀκούοντες τῶν λεγομένων. Καὶ οὐ τοῦτο μόνον ἐστὶ τὸ χαλεπόν, ἀλλὰ καὶ ἕτερον, οὐ-
20 δὲν ἔλαττον τούτου. Ἢν γάρ τινα συμβῇ τῶν λεγόντων μέρος τι τῶν ἑτέροις πονηθέντων ἐνυφῆναι τοῖς λόγοις αὐτοῦ, πλείονα τῶν τὰ χρήματα κλεπτόντων ὑφίσταται ὀνείδη. Πολλάκις δὲ οὐδὲ λαβὼν παρ' οὐδενὸς οὐδέν, ἀλλ' ὑποπτευθεὶς μόνον, τὰ τῶν ἑαλωκότων ἔπαθεν. Καὶ τί λέγω
25 τῶν ἑτέροις πεπονημένων; Αὐτὸν τοῖς εὑρήμασι τοῖς ἑαυτοῦ συνεχῶς χρήσασθαι οὐκ ἔνι. Οὐ γὰρ πρὸς ὠφέλειαν, ἀλλὰ πρὸς τέρψιν ἀκούειν εἰθίσθησαν οἱ πολλοί, καθάπερ

ΛΟΓΟΣ Ε΄.

1. Ἀπέδειξα ἤδη ἱκανοποιητικῶς πόσην ἐμπειρίαν χρειάζεται ὁ διδάσκαλος εἰς τοὺς ἀγῶνας ὑπὲρ τῆς ἀληθινῆς πίστεως. Ἀλλ' ἔχω ν' ἀναφέρω ἐκτὸς αὐτοῦ καὶ ἄλλο αἴτιον μυρίων κινδύνων. Μᾶλλον ὅμως δὲν θὰ ἔπρεπε νὰ ὀνομάσω αἴτιον κινδύνων αὐτό, ἀλλὰ τοὺς μὴ γνωρίζοντας νὰ τὸ χρησιμοποιήσουν καταλλήλως· διότι τὸ πρᾶγμα καθ' ἑαυτὸ γίνεται πρόξενον σωτηρίας καὶ πολλῶν ἀγαθῶν, ὅταν οἱ ἀσχολούμενοι μὲ αὐτὸ εἶναι ἐπιμελεῖς καὶ ἀγαθοί. Ποῖον δὲ εἶναι; Ὁ πολὺς κόπος ποὺ ἀφιερώνεται εἰς τὰς προοριζομένας διὰ τὸν λαὸν διαλέξεις. Καὶ κατὰ πρῶτον οἱ περισσότεροι ἀπὸ τοὺς ἀρχομένους δὲν ἔχουν διάθεσιν νὰ θεωρήσουν τοὺς ἱεροκήρυκας ὡς διδασκάλους των, ἀλλ' ὑπερβαίνοντες τὴν τάξιν τῶν μαθητῶν καταλαμβάνουν τὴν θέσιν τῶν θεατῶν ποὺ παρακολουθοῦν κοσμικοὺς ἀγῶνας. Καὶ ὅπως ἐκεῖ τὸ πλῆθος χωρίζεται καὶ λαμβάνουν ἄλλοι τὸ μέρος τούτου καὶ ἄλλοι ἐκείνου τοῦ ἀγωνιστοῦ, ἔτσι καὶ ἐδῶ, διαιρούμενοι γίνονται θιασῶται ἄλλοι τούτου καὶ ἄλλοι ἐκείνου τοῦ ἱεροκήρυκος καὶ κρίνουν τὰ λεγόμενα ἀναλόγως τῆς εὐμενοῦς ἢ δυσμενοῦς διαθέσεως. Καὶ δὲν εἶναι μόνον εἰς αὐτὸ ἡ δυσκολία, ἀλλ' ὑπάρχει καὶ ἄλλο ὄχι μικροτέρας σημασίας. Ἂν δηλαδὴ συμβῇ κάποιος ὁμιλητὴς νὰ χρησιμοποιήσῃ εἰς τοὺς λόγους του χωρία ἄλλων διδασκάλων, ὑφίσταται περισσοτέραν καταισχύνην ἀπὸ τοὺς κλέπτας χρημάτων. Πολλάκις δὲ χωρὶς νὰ ἔχῃ χρησιμοποιήσει χωρία κανενός, ἀλλὰ μόνον ἀπὸ ἁπλῆν ὑποψίαν, ὑφίσταται προσβολὰς σὰν πραγματικὸς λογοκλόπος. Καὶ τί μνημονεύομεν μόνον τὰ χωρία ἄλλων; Οὔτε τὰ ἰδικά του ρητορικὰ προϊόντα δὲν ἠμπορεῖ νὰ χρησιμοποιῇ διαρκῶς. Διότι οἱ περισσότεροι ἄνθρωποι συνήθισαν ν' ἀκούουν ὄχι πρὸς ὠφέλειαν, ἀλλὰ πρὸς τέρψιν, σὰν νὰ εἶναι κριταὶ τραγῳ-

τραγῳδῶν ἢ κιθαρῳδῶν καθήμενοι δικασταί. Καὶ ἡ τοῦ λόγου δύναμις, ἣν ἐξεβάλομεν νῦν, οὕτως ἐνταῦθα γίνεται ποθεινή, ὡς οὐδὲ τοῖς σοφισταῖς, ὅταν πρὸς ἀλλήλους ἀγωνίζεσθαι ἀναγκάζωνται.

5 *2. Γενναίας οὖν δεῖ κἀνταῦθα ψυχῆς καὶ πολὺ τὴν ἡμετέραν ὑπερβαινούσης σμικρότητα, ἵνα τὴν ἄτακτον καὶ ἀνωφελῆ τοῦ πλήθους ἡδονὴν κολάζῃ καὶ πρὸς τὸ ὠφελιμώτερον μετάγειν δύνηται τὴν ἀκρόασιν, ὡς αὐτῷ τὸν λαὸν ἕπεσθαι καὶ εἴκειν, ἀλλὰ μὴ αὐτὸν ταῖς ἐκείνων ἄγεσθαι ἐπι-*
10 *θυμίαις. Τούτου δὲ οὐδαμῶς ἔστιν ἐπιτυχεῖν ἀλλ' ἢ διὰ τούτοιν τοῖν δυοῖν, τῆς τε τῶν ἐπαίνων ὑπεροψίας καὶ τῆς ἐν τῷ λέγειν δυνάμεως. Κἂν γὰρ τὸ ἕτερον ἀπῇ, τὸ λειπόμενον ἄχρηστον γίνεται τῇ διαζεύξει θατέρου. Ἄν τε γὰρ ἐπαίνων ὑπερορῶν μὴ προσφέρῃ διδασκαλίαν τὴν ἐν χάριτι*
15 *καὶ ἅλατι ἠρτυμένην, εὐκαταφρόνητος ὑπὸ τῶν πολλῶν γίνεται, οὐδὲν ἀπὸ τῆς μεγαλοψυχίας κερδάνας ἐκείνης. Ἄν τε τοῦτο καλῶς κατορθώσας τὸ μέρος, τῆς ἀπὸ τῶν κρότων δόξης ἡττώμενος τύχῃ, εἰς ταὐτὸν πάλιν περιΐσταται τὰ τῆς ζημίας αὐτῷ τε καὶ τοῖς πολλοῖς, πρὸς χάριν τῶν*
20 *ἀκουόντων μᾶλλον ἢ πρὸς ὠφέλειαν λέγειν μελετῶντι διὰ τὴν τῶν ἐπαίνων ἐπιθυμίαν. Καὶ καθάπερ ὁ μήτε πάσχων τι πρὸς τὰς εὐφημίας μήτε λέγειν εἰδὼς οὔτε εἴκει ταῖς τοῦ πλήθους ἡδοναῖς, οὔτε ὠφελεῖν ἀξιόλογόν τινα δύναται ὠφέλειαν, τῷ μηδὲν ἔχειν εἰπεῖν· οὕτω καὶ ὁ τῷ πόθῳ*
25 *τῶν ἐγκωμίων ἑλκόμενος, ἔχων ἀφ' ὧν ἀμείνους ἐργάσασθαι δυνήσεται τοὺς πολλούς, ἀντὶ τούτων παρέχει τὰ τέρψαι δυνάμενα μᾶλλον, διὰ τούτων τοὺς ἐν τοῖς κρότοις θορύβους ὠνούμενος.*

3. Ἀμφοτέρωθεν οὖν ἰσχυρὸν εἶναι τὸν ἄριστον ἄρχον-
30 *τα δεῖ, ἵνα μὴ θατέρῳ θάτερον ἀνατρέπηται. Ὅταν γὰρ ἀναστὰς ἐν τῷ μέσῳ, λέγῃ τὰ τοὺς ῥαθύμως ζῶντας ἐπι-*

---

1. Βλ. Κολ. 4, 6.

δῶν ἢ κιθαρῳδῶν. Καὶ ἡ καλλιέπεια, τὴν ὁποίαν πρὸ ὀλίγου ἀπερρίψαμεν, γίνεται ἐδῶ τόσον ποθητή, ὅσον δὲν εἶναι εἰς τοὺς σοφιστάς, ὅταν ἀναγκάζωνται ν' ἀγωνισθοῦν μεταξύ των.

2. Χρειάζεται λοιπὸν καὶ ἐδῶ ψυχὴ γενναία καὶ ἀνωτέρα τῆς ἰδικῆς μας μικρότητος, διὰ νὰ παιδεύῃ τὴν διεστραμμένην καὶ στεῖραν ἡδονὴν τοῦ πλήθους καὶ νὰ δυνηθῇ νὰ καταστήσῃ τὴν ἀκρόασιν ὠφελιμωτέραν, ὥστε ν' ἀκολουθῇ καὶ πειθαρχῇ ὁ λαὸς εἰς αὐτὸν καὶ νὰ μὴ καθοδηγῆται αὐτὸς ἀπὸ τὰς ἐπιθυμίας ἐκείνων. Ἠμπορεῖ δὲ νὰ τὸ ἐπιτύχῃ αὐτὸ μὲ τὰ ἑξῆς δύο μέσα, τὴν περιφρόνησιν τῶν ἐπαίνων καὶ τὴν ρητορικὴν δεινότητα. Ἐὰν δὲ λείπῃ τὸ ἕνα, τὸ παραμένον γίνεται ἄχρηστον μὲ τὴν ἀπουσίαν τοῦ ἄλλου. Καὶ ἂν δηλαδὴ περιφρονῇ τοὺς ἐπαίνους, ἀλλὰ δὲν προσφέρῃ διδασκαλίαν ἠρτυμένην μὲ χάριν καὶ ἅλας[1], γίνεται ἀξιοκαταφρόνητος εἰς τοὺς πολλοὺς καὶ δὲν κερδίζει τίποτε ἀπὸ τὴν μεγαλοψυχίαν ἐκείνην· καὶ ἂν ἀντεπεξέρχεται ἀπ' αὐτὴν τὴν ἄποψιν ἐπιτυχῶς, συμβῇ ὅμως νὰ ὑποκύπτῃ εἰς τοὺς κολακευτικοὺς ἐπαίνους, προκαλεῖται ἡ ἰδία ζημία καὶ δι' αὐτὸν καὶ διὰ τὸν λαόν, ἐφ' ὅσον λόγῳ τῆς ἐπιθυμίας τῶν ἐπαίνων συνθέτει τοὺς λόγους πρὸς εὐχαρίστησιν καὶ ὄχι πρὸς ὠφέλειαν τῶν ἀκροατῶν. Καὶ ὅπως ὁ ἀνώτερος ματαιοδοξίας, ἀλλὰ καὶ ἀδόκιμος ὁμιλητής, οὔτε ὑποχωρεῖ εἰς τὰς ἀπαιτήσεις ἱκανοποιήσεως τοῦ πλήθους, ἀλλὰ οὔτε δύναται νὰ προσφέρῃ ἀξιόλογον ὠφέλειαν, ἐφ' ὅσον δὲν ἔχει νὰ εἰπῇ τίποτε, ἔτσι καὶ ὁ ποθῶν τὰ ἐγκώμια ἐνῷ ἔχει τὰ μέσα νὰ καταστήσῃ τοὺς πολλοὺς καλυτέρους, ἀντὶ αὐτῶν προσφέρει ὅσα δύνανται νὰ τέρψουν, κερδίζων δι' αὐτῶν τοὺς θορυβώδεις ἐπαίνους.

3. Συνεπῶς ὁ ἄριστος ἄρχων πρέπει νὰ εἶναι ἰσχυρὸς καὶ κατὰ τὰ δύο προσόντα, διὰ νὰ μὴ ἀνατρέπεται τὸ ἕνα ἀπὸ τὴν ἔλλειψιν τοῦ ἄλλου. Ὅταν π.χ. σηκωθῇ κάποιος ὁμιλητὴς καὶ λέγῃ πράγματα ποὺ ἠμποροῦν νὰ ἐλέγξουν

στῦψαι δυνάμενα, εἶτα προσπταίῃ καὶ διακόπτηται καὶ ὑπὸ τῆς ἐνδείας ἐρυθριᾶν ἀναγκάζηται, διερρύη τὸ κέρδος τῶν λεχθέντων εὐθέως. Οἱ γὰρ ἐπιτιμηθέντες, ἀλγοῦντες τοῖς εἰρημένοις καὶ οὐκ ἔχοντες αὐτὸν ἑτέρως ἀμύνασθαι, τοῖς 5 *τῆς ἀμαθίας αὐτὸν βάλλουσι σκώμμασι, τούτοις οἰόμενοι τὰ ἑαυτῶν συσκιάζειν ὀνείδη. Διὸ χρή, καθάπερ τινὰ ἡνίοχον ἄριστον, εἰς ἀκρίβειαν τούτων ἀμφοτέρων ἥκειν τῶν καλῶν, ἵνα ἀμφότερα πρὸς τὸ δέον αὐτῷ μεταχειρίζειν ἐξῇ. Καὶ γὰρ ὅταν αὐτὸς ἀνεπίληπτος ἅπασι γένηται, τότε δυ-* 10 *νήσεται μεθ' ὅσης βούλεται ἐξουσίας καὶ κολάζειν καὶ ἀνιέναι τοὺς ὑπ' αὐτῷ ταττομένους ἅπαντας. Πρὸ δὲ τούτου οὐκ εὐμαρὲς ταῦτα ποιεῖν. Τὴν δὲ μεγαλοψυχίαν οὐ μέχρι τῆς τῶν ἐπαίνων ὑπεροψίας δείκνυσθαι χρὴ μόνον, ἀλλὰ καὶ περαιτέρω προάγειν, ἵνα μὴ πάλιν ἀτελὲς ᾖ τὸ κέρδος.*

15 *4. Τίνος οὖν δεῖται καὶ ἑτέρου καταφρονεῖν; Βασκανίας καὶ φθόνου. Τὰς δὲ ἀκαίρους κατηγορίας (καὶ γὰρ ἀνάγκη τὸν προεστῶτα μέμψεις ὑπομένειν ἀλόγους) οὔτε ἀμέτρως δεδοικέναι καὶ τρέμειν, οὔτε ἁπλῶς παρορᾶν καλόν· ἀλλὰ χρή, κἂν ψευδεῖς τυγχάνωσιν οὖσαι, κἂν παρὰ τῶν* 20 *τυχόντων ἡμῖν ἐπάγωνται, πειρᾶσθαι σβεννύναι ταχέως αὐτάς. Οὐδὲν γὰρ οὕτως αὔξει φήμην πονηράν τε καὶ ἀγαθήν, ὡς τὸ πλῆθος τὸ ἄτακτον. Ἀβασανίστως γὰρ καὶ ἀκούειν καὶ ἐκλαλεῖν εἰωθός, ἁπλῶς τὸ ἐπελθὸν ἅπαν φθέγγεται, τῆς ἀληθείας οὐδένα ποιούμενον λόγον. Διὰ ταῦτα οὐ δεῖ τῶν* 25 *πολλῶν καταφρονεῖν, ἀλλὰ ἀρχομένας εὐθέως ἐκκόπτειν τὰς ὑποψίας τὰς πονηράς, πείθοντα τοὺς ἐγκαλοῦντας, κἂν ἀλογώτατοι πάντων εἶεν, καὶ μηδὲν ὅλως ἐλλείπειν τῶν ἀφανίσαι δυναμένων δόξαν οὐκ ἀγαθήν. Ἢν δέ, πάντα ποιούντων ἡμῶν, μὴ θέλωσιν οἱ μεμφόμενοι πείθεσθαι, τὸ*

τοὺς ζῶντας μὲ ρᾳθυμίαν, ἔπειτα ὅμως ἀρχίζῃ νὰ παραπαίῃ, καὶ διακόπτῃ καὶ ἀναγκάζεται νὰ κοκκινίσῃ ἀπὸ τὴν ἔλλειψιν εὐφραδίας, ἀμέσως ἐξαφανίζεται τὸ κέρδος ἀπὸ τὰ λεχθέντα. Διότι οἱ ἐπιτιμηθέντες προσβάλλονται ἀπὸ τοὺς λόγους του καὶ μὴ ἔχοντες ἄλλον τρόπον νὰ τὸν ἀποκρούσουν, τὸν περιπαίζουν δι᾽ ἀμάθειαν, νομίζοντες ὅτι ἔτσι ἀποκρύπτουν τὸ ἰδικόν των ὄνειδος. Διὰ τοῦτο πρέπει νὰ κατέχῃ μὲ περίσσειαν καὶ τὰ δύο αὐτὰ προσόντα, σὰν ἡνίοχος ἄριστος, ὥστε νὰ δύναται νὰ τὰ μεταχειρισθῇ ὅπως χρειάζεται. Διότι θὰ δυνηθῇ νὰ τιμωρῇ καὶ νὰ συγχωρῇ τοὺς ἐμπιστευμένους εἰς αὐτὸν μὲ ὅσην ἐξουσίαν θέλει, μόνον ὅταν ὁ ἴδιος εἶναι ἀνεπίληπτος εἰς τὴν συνείδησιν ὅλων. Χωρὶς αὐτὸ ὅμως δὲν εἶναι εὔκολον νὰ συμπεριφέρεται ἔτσι. Δὲν πρέπει δὲ νὰ ἐπιδεικνύῃ τὴν μεγαλοψυχίαν μόνον εἰς τὴν περιφρόνησιν τῶν ἐπαίνων, ἀλλὰ καὶ νὰ τὴν προάγῃ περισσότερον, ὥστε νὰ μὴ μένῃ τὸ κέρδος ἀτελές.

4. Τί ἄλλο δὲ πρέπει νὰ καταφρονῇ; Τὴν ζηλοτυπίαν καὶ τὸν φθόνον. Νὰ μὴ φοβῆται καὶ τρέμῃ, ἀλλ᾽ οὔτε νὰ παραβλέπῃ τελείως τὰς ἀστηρίκτους κατηγορίας, διότι κατ᾽ ἀνάγκην ὁ κληρικὸς εἶναι ἐκτεθειμένος εἰς παραλόγους ἐλέγχους· πρέπει νὰ φροντίζωμεν νὰ τὰς σβήνωμεν γρήγορα, ἔστω καὶ ἂν εἶναι ψευδεῖς, ἔστω καὶ ἂν ἐκτοξεύωνται ἐναντίον μας ἀπὸ τὸν τυχαῖον ὄχλον. Διότι τίποτε δὲν μεγαλοποιεῖ τόσον τὴν φήμην, εἴτε πονηρὰν εἴτε ἀγαθήν, ὅσον τὸ ἀσυνάρτητον πλῆθος, τὸ ὁποῖον δὲν εἶναι συνηθισμένον νὰ ἐλέγχῃ ὅσα ἀκούει καὶ λέγει, τὸ ὁποῖον διαλαλεῖ ὅ,τι ἤκουσε χωρὶς νὰ ἐνδιαφερθῇ ἂν εἶναι ἀληθινόν. Διὰ τοῦτο δὲν πρέπει νὰ περιφρονῇ τὸ πλῆθος, ἀλλὰ νὰ ξερριζώνῃ τὰς πονηρὰς ὑποψίας μόλις γεννηθοῦν, διαφωτίζων τοὺς κατηγοροῦντας, ἔστω καὶ ἂν εἶναι οἱ πλέον παράλογοι ἀπὸ ὅλους τοὺς ἀνθρώπους, καὶ προβαίνων εἰς κάθε ἐνέργειαν πρὸς ἐξάλειψιν τῆς κακῆς φήμης. Ἐὰν ὅμως, παρ᾽ ὅλα τὰ μέσα ποὺ μετεχειρίσθημεν, οἱ κατήγοροι

τηνικαῦτα καταφρονεῖν. Ὡς ἐὰν φθάσῃ τις ταπεινοῦσθαι τοῖς συμπτώμασι τούτοις, οὐ δυνήσεταί ποτε γενναῖόν τι καὶ θαυμαστὸν ἀποτεκεῖν. Ἡ γὰρ ἀθυμία καὶ αἱ συνεχεῖς φροντίδες δειναὶ καταβαλεῖν ψυχῆς δύναμιν καὶ εἰς ἀσθένει-
5 *αν καταγαγεῖν τὴν ἐσχάτην. Οὕτως οὖν χρὴ τὸν ἱερέα διακεῖσθαι πρὸς τοὺς ἀρχομένους, ὥσπερ ἂν εἴ τις πατὴρ πρὸς παῖδας ἄγαν νηπίους διακέοιτο. Καὶ καθάπερ ἐκείνων οὔτε ὑβριζόντων, οὔτε πληττόντων, οὔτε ὀδυρομένων ἐπιστρεφόμεθα, ἀλλ' οὐδέ, ἡνίκα ἂν γελῶσι καὶ προσχαίρωσιν ἡμῖν,*
10 *μέγα ἐπὶ τούτῳ φρονοῦμέν ποτε, οὕτω καὶ τούτων μήτε τοῖς ἐπαίνοις ἐξογκοῦσθαι, μήτε καταπίπτειν τοῖς ψόγοις, ὅταν ἀκαίρως γίνωνται παρ' αὐτῶν. Χαλεπὸν δὲ τοῦτο, ὦ μακάριε, τάχα δὲ οἶμαι ὅτι καὶ ἀδύνατον. Τὸ γὰρ μὴ χαίρειν ἐπαινούμενον, οὐκ οἶδα εἴ τινι ἀνθρώπων ποτὲ κατώρ-*
15 *θωται. Τὸν δὲ χαίροντα εἰκὸς καὶ ἐπιθυμεῖν ἀπολαύειν αὐτῶν· τὸν δὲ ἀπολαύειν ἐπιθυμοῦντα πάντως καὶ ἐν ταῖς τούτων ἀποτυχίαις λυπεῖσθαι καὶ ἐκκλίνειν καὶ ἀνιᾶσθαι καὶ ἀλγεῖν ἀνάγκη. Ὥσπερ γὰρ οἱ γαννύμενοι τῷ πλουτεῖν, ἡνίκα ἂν καταπέσωσιν εἰς πενίαν, ἄχθονται καὶ οἱ τρυφᾶν*
20 *εἰωθότες οὐκ ἂν ἀνάσχοιντο ζῆν εὐτελῶς, οὕτω καὶ οἱ τῶν ἐγκωμίων ἐρῶντες, οὐχ ὅταν ψέγωνται μόνον εἰκῇ, ἀλλὰ καὶ ὅταν μὴ ἐπαινῶνται συνεχῶς, καθάπερ λιμῷ τινι διαφθείρονται τὴν ψυχὴν καὶ μάλιστα ὅταν αὐτοῖς ἐντραφέντες τύχωσιν ἢ καὶ ἑτέρους ἐπαινουμένους ἀκούωσιν. Τὸν δὲ*
25 *μετὰ ταύτης τῆς ἐπιθυμίας εἰς τὸν τῆς διδασκαλίας ἀγῶνα παρελθόντα, πόσα πράγματα καὶ πόσας ἔχειν οἴει τὰς ἀλγηδόνας; Οὔτε τὴν θάλαττάν ἐστι κυμάτων ἐκτὸς εἶναί ποτε, οὔτε τὴν ἐκείνου ψυχὴν φροντίδων καὶ λύπης.*

5. Καὶ γὰρ ὅταν πολλὴν ἐν τῷ λέγειν δύναμιν ἔ-
30 *χῃ (τοῦτο δὲ ἐν ὀλίγοις εὕροι τις ἄν), οὐδὲ οὕτω τοῦ πο-*

δὲν θέλουν νὰ πεισθοῦν, τότε πλέον χρειάζεται ἡ περιφρόνησις. Ἐὰν ἀφεθῇ κανεὶς νὰ ὑποδουλωθῇ ἀπὸ τὰς περιστάσεις αὐτάς, δὲν θὰ κατορθώσῃ ποτὲ νὰ ἐπιτύχῃ τίποτε γενναῖον καὶ ἀξιοθαύμαστον· διότι ἡ ἀθυμία καὶ αἱ συνεχεῖς φροντίδες εἶναι ἱκαναὶ νὰ καταβάλουν τὴν δύναμιν τῆς ψυχῆς καὶ νὰ τὴν ὁδηγήσουν εἰς τὸ ἔσχατον στάδιον ἐξασθενήσεως. Ὁ ἱερεὺς λοιπὸν πρέπει νὰ ἀντιμετωπίζῃ τοὺς ἀρχομένους σὰν ὁ πατὴρ τὰ μικρὰ παιδιά. Ὅπως δὲν προσέχομεν ὅταν ἐκεῖνα ὑβρίζουν, κτυποῦν, κλαίουν, ἀλλὰ καὶ δὲν αἰσθανόμεθα ὑπερηφάνειαν ὅταν μᾶς φέρωνται γελαστὰ καὶ πρόσχαρα, ἔτσι καὶ ὁ ἱερεὺς δὲν ἐπιτρέπεται οὔτε ἀπὸ τοὺς ἐπαίνους των νὰ ἐπαίρεται οὔτε ἀπὸ τὰς κατηγορίας των νὰ ἀθυμῇ, ὅταν ἀπευθύνωνται ἀβασανίστως. Εἶναι δὲ τοῦτο, ἀγαπητέ, δύσκολον καί, τείνω νὰ πιστεύσω, ἀδύνατον. Διότι δὲν γνωρίζω ἂν κατώρθωσε ποτὲ κανεὶς ἄνθρωπος νὰ μὴ χαίρεται, ὅταν τοῦ ἀπευθύνουν ἐπαίνους· ὅποιος δὲ χαίρεται διὰ τοὺς ἐπαίνους, φυσικὰ ἐπιθυμεῖ καὶ νὰ τοὺς ἀπολαύσῃ· καὶ ὅποιος ἐπιθυμεῖ νὰ τοὺς ἀπολαύσῃ ὁπωσδήποτε, ἂν δὲν τοὺς ἐπιτυγχάνῃ, λυπεῖται καὶ συγχύζεται καὶ στενοχωρεῖται καὶ πονεῖ. Ὅπως δηλαδὴ ὅσοι εἶναι εὐτυχισμένοι εἰς τὸν πλοῦτον, ὅταν πτωχύνουν, στενοχωροῦνται, καὶ ὅπως οἱ συνηθισμένοι εἰς τὴν τρυφὴν δὲν ἀνέχονται νὰ ζοῦν πτωχικά, ἔτσι καὶ οἱ ἀγαπῶντες τὰ ἐγκώμια βασανίζονται ἀπὸ ψυχικὴν ἀσθένειαν, ὄχι μόνον ὅταν κατηγοροῦνται ἀδίκως, ἀλλὰ καὶ ὅταν δὲν ἐπαινοῦνται συνεχῶς, καὶ ἰδίως ἐὰν ἔχουν ἀνατραφῇ ἀνάμεσα εἰς ἐπαίνους ἢ ἐὰν ἀκούουν ἄλλους νὰ ἐπαινοῦνται. Πόσας ἐνοχλήσεις καὶ πόσους πόνους, νομίζεις, δοκιμάζει ὅποιος κατέρχεται εἰς τοὺς ἀγῶνας τοῦ κηρύγματος κατεχόμενος ἀπὸ τέτοιον πάθος; Οὔτε ἡ θάλασσα ἠμπορεῖ ποτὲ ν' ἀποφύγῃ τὰ κύματα οὔτε ἡ ψυχὴ ἐκείνου τὰς φροντίδας καὶ τὴν λύπην.

5. Ἀκόμη καὶ ἂν ἔχῃ πολλὴν δύναμιν λόγου (θὰ εὕρῃς δὲ τὸ προτέρημα αὐτὸ εἰς ὀλίγους), καὶ πάλιν δὲν

νεῖσθαι διηνεκῶς ἀπήλλακται. Ἐπειδὴ γὰρ οὐ φύσεως, ἀλλὰ μαθήσεως τὸ λέγειν, κἂν εἰς ἄκρον αὐτοῦ τις ἀφίκηται, τότε αὐτὸν ἀφίησιν ἔρημον, ἂν μὴ συνεχεῖ σπουδῇ καὶ γυμνασίᾳ ταύτην θεραπεύῃ τὴν δύναμιν. Ὥστε τοῖς σοφωτέροις 5 *μᾶλλον ἢ τοῖς ἀμαθεστέροις μείζων ὁ πόνος. Οὐδὲ γὰρ ὑπὲρ τῶν αὐτῶν ἡ ζημία ἀμελοῦσι τούτοις κἀκείνοις, ἀλλὰ τοσοῦτον αὕτη πλείων, ὅσον καὶ τῆς κτήσεως ἑκατέρας τὸ μέσον. Κἀκείνοις μὲν οὐδ᾽ ἂν ἐγκαλέσειέ τις, μηδὲν ἄξιον λόγου παρέχουσιν· οὗτοι δέ, εἰ μὴ μείζονα τῆς δόξης,* 10 *ἧς ἅπαντες ἔχουσι περὶ αὐτῶν, ἀεὶ προφέροιεν, πολλὰ παρὰ πάντων ἕπεται τὰ ἐγκλήματα. Πρὸς δὲ τούτοις ἐκεῖνοι μὲν καὶ ἐπὶ μικροῖς μεγάλων ἂν τύχοιεν τῶν ἐπαίνων· τὰ δὲ τούτων, ἂν μὴ λίαν ᾖ θαυμαστὰ καὶ ἔκπληκτα, οὐ μόνον ἐγκωμίων ἐστέρηται, ἀλλὰ καὶ τοὺς μεμφομένους ἔχει πολ-* 15 *λούς. Οὐ γὰρ τοῖς λεγομένοις ὡς ταῖς τῶν λεγόντων δόξαις κάθηνται δικάζοντες οἱ ἀκροαταί. Ὥστε ὅταν κρατῇ τις ἁπάντων ἐν τῷ λέγειν, τότε μάλιστα πάντων αὐτῷ δεῖ πεπονημένης σπουδῆς. Οὐδὲ γὰρ τοῦτο, ὃ κοινὸν τῆς ἀνθρωπείας φύσεώς ἐστι, τὸ μὴ πάντα ἐπιτυγχάνειν, ἔξεστιν* 20 *ἐκείνῳ παθεῖν· ἀλλ᾽, ἂν μὴ δι᾽ ὅλου συμφωνῇ τῷ μεγέθει τῆς ὑπολήψεως αὐτοῦ τὰ λεγόμενα, σκώμματα μυρία καὶ μέμψεις λαβὼν ἄπεισι παρὰ τῶν πολλῶν. Καὶ οὐδεὶς ἐκεῖνο λογίζεται πρὸς αὐτόν, ὅτι καὶ ἀθυμία προσπεσοῦσα καὶ ἀγωνία καὶ φροντίς, πολλάκις δὲ καὶ θυμὸς ἐπεσκότησε* 25 *τῷ τῆς διανοίας καθαρῷ καὶ τὰ τικτόμενα οὐκ ἀφῆκε προελθεῖν εἰλικρινῆ· καὶ ὅτι ὅλως ἄνθρωπον ὄντα, οὐκ ἔστι διὰ παντὸς εἶναι τὸν αὐτόν, οὐδὲ ἐν ἅπασιν εὐημερεῖν, ἀλλ᾽*

2. Διὰ τὴν ἀνάγκην προετοιμασίας τοῦ ἱεροκήρυκος βλ. καὶ Ε΄ 1. Ὁ Χρυσόστομος ἐννοεῖ ἐδῶ κυρίως μελέτην τῆς Γραφῆς, φαίνεται ὅμως ὅτι ἀπαιτεῖ καὶ ἐγκυκλοπαιδικὴν μόρφωσιν. Ἄλλωστε καὶ αὐτὸς καὶ ἄλλοι μεγάλοι πατέρες τῆς Ἐκκλησίας εἶχον ἀποκτήσει λαμπρὰν ἐπιστημονικὴν κατάρτισιν εἰς κοσμικὰς Σχολάς.

ἀπαλλάσσεται ἀπὸ τὴν διαρκῆ προσπάθειαν. Ἐπειδὴ δὲν εἶναι φυσικὸν χάρισμα, ἀλλὰ καρπὸς μαθήσεως ἡ ρητορικὴ δεινότης, ἀκόμη καὶ ἂν φθάσῃ κανεὶς εἰς τὸν ὑψηλότερον βαθμόν της, τὸν ἐγκαταλείπει, ἐὰν δὲν καλλιεργῇ τὴν ἱκανότητα αὐτὴν μὲ συνεχῆ σπουδὴν καὶ ἄσκησιν. Συνεπῶς ἡ προσπάθεια εἶναι περισσότερον ἀπαραίτητος εἰς τοὺς σοφωτέρους, παρὰ εἰς τοὺς ἀμαθεστέρους[2]. Διότι καὶ ἡ ζημία δὲν εἶναι ὁμοία εἰς αὐτοὺς καὶ εἰς ἐκείνους, ἀλλὰ εἶναι εἰς αὐτοὺς τόσον μεγαλυτέρα, ὅση εἶναι ἡ ἀπόστασις μεταξὺ τῶν ἐπιδόσεών των. Καὶ ἐκείνους μὲν κανεὶς δὲν θὰ τοὺς κατηγορήσῃ, ἐὰν δὲν παρέχουν εἰς τοὺς ἀκροατὰς τίποτε ἀξιόλογον· αὐτοὶ ὅμως ἐὰν δὲν ἀπαγγέλλουν λόγους ἀνωτέρους πάντοτε ἀπὸ τὴν γνώμην ποὺ ἔχει τὸ πλῆθος δι' αὐτούς, ὑφίστανται πολλὰς κατηγορίας ἀπὸ ὅλους. Ἐπὶ πλέον δὲ ἐκεῖνοι εἶναι δυνατὸν νὰ ἐπιτύχουν μεγάλους ἐπαίνους καὶ μὲ μετρίους λόγους, οἱ ἰδικοί των ὅμως λόγοι, ἐὰν δὲν εἶναι ἀξιοθαύμαστοι καὶ μεγαλειώδεις, ὄχι μόνον στεροῦνται τῶν ἐγκωμίων, ἀλλὰ καὶ εὑρίσκουν πολλοὺς κατηγόρους. Διότι οἱ ἀκροαταὶ δὲν κρίνουν σύμφωνα μὲ τὰ λεγόμενα τόσον, ὅσον κρίνουν σύμφωνα μὲ τὴν φήμην τῶν ρητόρων. Ὥστε ὅταν ὑπερέχῃ κανεὶς ἀπὸ ὅλους κατὰ τὸν λόγον, τότε χρειάζεται νὰ καταβάλλῃ περισσοτέραν σπουδὴν ἀπὸ ὅλους. Διότι αὐτὸς δὲν ἐπιτρέπεται νὰ ὑποστῇ κάτι ποὺ εἶναι κοινὸν εἰς τὴν ἀνθρωπίνην φύσιν, δηλαδὴ νὰ μὴ ἐπιτυγχάνῃ πάντοτε· ἂν οἱ λόγοι του δὲν εἶναι ἀπολύτως ἀντάξιοι τοῦ μεγέθους τῆς ὑπολήψεώς του, φεύγει φορτωμένος μὲ ἀφθόνους ἐμπαιγμοὺς καὶ μομφὰς ἀπὸ τὸ πλῆθος. Καὶ κανεὶς δὲν συλλογίζεται ὅτι καὶ μία στιγμιαία ἀθυμία καὶ ἀγωνία καὶ φροντίς, πολλάκις δὲ καὶ θυμὸς σκοτίζει τὴν διαύγειαν τῆς διανοίας καὶ δὲν ἀφήνει τὰς γεννωμένας σκέψεις νὰ ἐξέλθουν ἀνόθευτοι, καὶ ὅτι πάντως ἀφοῦ εἶναι ἄνθρωπος, δὲν ἠμπορεῖ νὰ εἶναι πάντοτε ὁ ἴδιος οὔτε νὰ ἐπιτυγχάνῃ εἰς

εἰκός ποτε καὶ διαμαρτεῖν καὶ ἐλάττονα τῆς οἰκείας δειχθῆναι δυνάμεως. Τούτων οὐδέν, ὅπερ ἔφην, ἐννοῆσαι βούλονται, ἀλλ' ὥσπερ ἀγγέλῳ δικάζοντες ἐπάγουσι τὰς αἰτίας. Καὶ ἄλλως δὲ πέφυκεν ἄνθρωπος τὰ μὲν κατορθώματα τοῦ 5 *πλησίον, καὶ πολλὰ ὄντα καὶ μεγάλα παρορᾶν· ἢν δὲ ἐλάττωμά που φανῇ, κἂν τὸ τυχὸν ᾖ κἂν διὰ πολλοῦ συμβεβηκός, καὶ ἐπαισθάνεται ταχέως καὶ ἐπιλαμβάνεται προχείρως καὶ μέμνηται διὰ παντός· καὶ τὸ μικρὸν τοῦτο καὶ εὐτελὲς τὴν τῶν πολλῶν καὶ μεγάλων ἠλάττωσε δόξαν πολ-* 10 *λάκις.*

6. Ὁρᾷς, ὦ γενναῖε, ὅτι μάλιστα τῷ λέγειν δυναμένῳ πλείονος δεῖ τῆς σπουδῆς, πρὸς δὲ τῇ σπουδῇ καὶ ἀνεξικακίας τοσαύτης, ὅσης οὐδὲ ἅπαντες, ὅσους πρότερόν σοι διῆλθον, ἐδέοντο. Πολλοὶ γὰρ αὐτῷ συνεχῶς ἐπιφύονται μά- 15 *την καὶ εἰκῇ καὶ οὐδὲν ἔχοντες ἐγκαλεῖν, πλὴν τοῦ παρὰ πᾶσιν εὐδοκιμεῖν, ἀπεχθάνονται. Καὶ δεῖ γενναίως φέρειν τὴν πικρὰν τούτων βασκανίαν. Τὸ γὰρ ἐπάρατον τοῦτο μῖσος, ὅπερ εἰκῇ συλλέγουσιν, οὐ στέγοντες κρύπτειν, καὶ λοιδοροῦνται καὶ μέμφονται καὶ διαβάλλουσι λάθρα καὶ* 20 *πονηρεύονται φανερῶς. Ψυχὴ δὲ ἀρξαμένη καθ' ἕκαστον τούτων ἀλγεῖν καὶ παροξύνεσθαι, οὐκ ἂν φθάσειε διαφθαρεῖσα τῇ λύπῃ. Καὶ γὰρ οὐ δι' ἑαυτῶν αὐτὸν ἀμύνονται μόνον, ἀλλὰ καὶ δι' ἑτέρων τοῦτο ποιεῖν ἐπιχειροῦσιν. Καὶ πολλάκις τινὰ τῶν οὐδὲν δυναμένων εἰπεῖν ἐκλεξάμενοι,* 25 *τοῖς ἐπαίνοις ἐπαίρουσι καὶ θαυμάζουσιν ὑπὲρ τὴν ἀξίαν, οἱ μὲν μανίᾳ μόνον, οἱ δὲ καὶ ἀμαθίᾳ καὶ φθόνῳ τοῦτο ποιοῦντες, ἵνα τὴν δόξαν τούτου καθέλωσιν, οὐχ ἵνα δείξωσι θαυμαστὸν τὸν οὐκ ὄντα τοιοῦτον. Οὐ πρὸς τούτους δὲ μόνον ἐκείνῳ τῷ γενναίῳ ὁ ἀγών, ἀλλὰ καὶ πρὸς ἀπειρίαν ὅλου*

ὅλα, ἀλλ' εἶναι φυσικὸν ν' ἀποτυγχάνῃ καὶ νὰ παρουσιάζεται κατώτερος τοῦ ἑαυτοῦ του κάποτε. Τίποτε ἀπὸ αὐτὰ δὲν θέλουν νὰ σκεφθοῦν, ὅπως εἶπα, ἀλλὰ τοῦ ἀπευθύνουν τὰς κατηγορίας σὰν νὰ ἔκριναν ἄγγελον. Ἄλλωστε ὁ ἄνθρωπος ἐκ φύσεως τὰ μὲν προτερήματα τοῦ πλησίον, ὅσον πολλὰ καὶ μεγάλα καὶ ἂν εἶναι, τὰ παραβλέπει, ἐὰν δὲ παρουσιασθῇ πουθενὰ κανένα ἐλάττωμα, ὁσονδήποτε μικρὸν καὶ παλαιὸν καὶ ἂν εἶναι, τὸ ἀντιλαμβάνεται ἀμέσως, τὸ ἐκμεταλλεύεται χωρὶς δισταγμὸν καὶ τὸ ἐνθυμεῖται διὰ παντός· καὶ πολλάκις αὐτὸ τὸ μικρὸν καὶ εὐτελὲς ἐλάττωμα μειώνει τὴν δόξαν πολλῶν μεγάλων ἀνδρῶν.

6. Βλέπεις, σπουδαῖε φίλε μου, ὅτι πρὸ πάντων ὁ δόκιμος ρήτωρ χρειάζεται νὰ καταβάλλῃ προσπάθειαν μαζὶ δὲ μὲ τὴν προσπάθειαν καὶ ἀνεξικακίαν τόσην, ὅσην δὲν θὰ ἐχρειάζοντο ὅλοι ὅσους σοῦ ἀνέφερα προηγουμένως. Διότι πολλοὶ τὸν προσβάλλουν συνεχῶς καὶ τὸν ἀπεχθάνονται χωρὶς αἰτίαν καὶ λόγον, ἐνῷ δὲν ἔχουν νὰ τὸν κατηγορήσουν διὰ τίποτε, ἐκτὸς τοῦ ὅτι ἐκτιμᾶται ἀπὸ ὅλους. Καὶ πρέπει νὰ ὑπομένῃ τὸν πικρὸν φθόνον των. Διότι αὐτοὶ δὲν ἠμποροῦν νὰ κρύψουν τὸ ἐπάρατον μῖσος ποὺ τρέφουν χωρὶς λόγον καὶ διὰ τοῦτο περιπαίζουν καὶ κατηγοροῦν, διαβάλλουν κρυφὰ καὶ ἐπιβουλεύονται φανερά. Ἡ δὲ ψυχή, ποὺ θ' ἀρχίσῃ νὰ λυπῆται καὶ νὰ ἐρεθίζεται διὰ κάθε τέτοιαν προβολήν, γρήγορα θὰ ἀφανισθῇ ἀπὸ τὴν λύπην. Καὶ δὲν τὸν καταπολεμοῦν μόνοι των, ἀλλ' ἐνεργοῦν καὶ διὰ μέσου ἄλλων καὶ πολλάκις ἐκλέγουν κάποιον ρήτορα, ποὺ δὲν κατορθώνει νὰ εἰπῇ τίποτε, καὶ τὸν ἐξαίρουν μ' ἐπαίνους καὶ τὸν θαυμάζουν παρ' ἀξίαν. Ἐνεργοῦν ἔτσι ἄλλοι μόνον ἀπὸ ἀνοησίαν, ἄλλοι ἀπὸ ἀμάθειαν καὶ ἄλλοι ἀπὸ φθόνον, μὲ σκοπὸν ν' ἀμαυρώσουν τὴν δόξαν αὐτοῦ, ὄχι νὰ δείξουν ὡς θαυμαστὸν ἐκεῖνον ποὺ δὲν εἶναι. Ὁ δὲ γενναῖος ἀθλητὴς δὲν ἔχει ν' ἀντιμετωπίσῃ μόνον αὐτοὺς τοὺς φθονερούς, ἀλλὰ πολλάκις καὶ τὴν ἀπει-

δήμου πολλάκις. Ἐπειδὴ γὰρ οὐκ ἔνεστιν ἐξ ἐλλογίμων ἀνδρῶν συλλέγεσθαι τοὺς συνερχομένους ἅπαντας, ἀλλὰ τὸ πλέον τῆς Ἐκκλησίας μέρος ἐξ ἰδιωτῶν συνῆχθαι συμβαίνει, τοὺς δὲ λοιποὺς καὶ αὐτοὺς ἐκείνων μὲν εἶναι συνετω-
5 *τέρους, τῶν δὲ λόγους κρῖναι δυναμένων λείπεσθαι πολλῷ πλέον ἢ ὅσον ἐκείνων οἱ λοιποὶ πάντες, ἕνα δὲ μόλις ἢ δεύτερον καθῆσθαι τὸν ταύτην κεκτημένον τὴν ἀρετήν, ἀνάγκη τὸν ἄμεινον εἰπόντα ἐλάττονας ἀπενέγκασθαι κρότους, ἔστι δὲ ὅτε μηδὲ ἐπαινεθέντα ἀπελθεῖν. Καὶ δεῖ πρὸς ταύτας*
10 *γενναίως παρεσκευάσθαι τὰς ἀνωμαλίας, καὶ τοῖς μὲν δι' ἀμαθίαν ταῦτα πάσχουσι συγγινώσκειν, τοὺς δὲ διὰ φθόνον τοῦτο ὑπομένοντας δακρύειν, ὡς ἀθλίους ὄντας καὶ ἐλεεινούς, μηδετέρῳ δὲ τούτων ἐλάττω τὴν αὐτοῦ νομίζειν γεγενῆσθαι δύναμιν. Οὐδὲ γάρ, εἰ ζωγράφος ὢν ἄριστος καὶ*
15 *πάντων κατὰ τὴν τέχνην κρατῶν τὴν μετὰ πολλῆς ἀκριβείας ἀναγεγραμμένην εἰκόνα ὑπὸ τῶν τῆς τέχνης ἀπείρων σκωπτομένην ἑώρα, ἔδει καταπεσεῖν καὶ τῇ κρίσει τῶν οὐκ εἰδότων φαύλην ἡγεῖσθαι τὴν γραφήν, ὥσπερ οὐδὲ τὴν ὄντως φαύλην, θαυμαστήν τινα καὶ ἐπέραστον ἀπὸ τῆς τῶν*
20 *ἀτέχνων ἐκπλήξεως.*

7. Ὁ γὰρ ἄριστος δημιουργός, αὐτὸς ἔστω καὶ κριτὴς τῶν αὐτοῦ τεχνημάτων καὶ καλὰ καὶ φαῦλα ταύτῃ τιθέσθω τὰ γινόμενα, ὅταν ὁ τεχνησάμενος αὐτὰ νοῦς ταύτας φέρῃ τὰς ψήφους· τὴν δὲ τῶν ἔξωθεν δόξαν, τὴν πεπλανημένην
25 *καὶ ἄτεχνον μηδὲ εἰς νοῦν βαλέσθω ποτέ. Μὴ τοίνυν μήτε ὁ τῆς διδασκαλίας ἀναδεξάμενος τὸν ἀγῶνα τοῖς τῶν ἔξωθεν εὐφημίαις προσεχέτω, μηδὲ ἀπὸ τούτων τὴν ἑαυτοῦ καταβαλλέτω ψυχήν, ἀλλ' ἐργαζόμενος τοὺς λόγους, ὡς ἂν*

---

3. Τὸ ἐκκλησίασμα συνήθιζε τότε νὰ ἐπιδοκιμάζῃ τοὺς μεγάλους ἱεροκήρυκας μὲ λόγους καὶ χειρονομίας καὶ κρότους. Βλ. περὶ Ἀκαταλήπτου Α΄ 7 Γρηγορίου, Λόγος Συντακτήριος (ἐπίλογος) κ.ἄ.

ρίαν ὅλου τοῦ πλήθους. Πραγματικὰ δὲ δὲν εἶναι δυνατὸν ν' ἀποτελῆται ἀπὸ ἄνδρας λογίους ὁλόκληρος ἡ συνάθροισις, ἀλλὰ συνήθως τὰ περισσότερα μέλη τῆς Ἐκκλησίας εἶναι ἄνθρωποι ἀπαίδευτοι, οἱ δὲ ὑπόλοιποι εἶναι μὲν λογιώτεροι ἀπὸ τοὺς προηγουμένους, ἀλλὰ καὶ αὐτοὶ ὑπολείπονται ἀπὸ τοὺς ἱκανοὺς νὰ κρίνουν τοὺς λόγους περισσότερον, παρ' ὅσον ὑπολείπονται ἀπὸ αὐτοὺς ὅλοι οἱ ἄλλοι, καὶ μόνον ἕνας-δύο ἀπὸ τοὺς παρακαθημένους ἔχουν αὐτὴν τὴν ἱκανότητα. Διὰ τοῦτο συμβαίνει ν' ἀπέρχεται ὁ καλύτερος ἱεροκήρυξ μὲ ὀλιγωτέρους ἐπαίνους ἢ καὶ χωρὶς ἐπαίνους καθόλου[3]. Πρέπει λοιπὸν νὰ εἶναι προητοιμασμένος διὰ τὴν ἀντιμετώπισιν τῶν ἀνωμαλιῶν αὐτῶν καὶ τοὺς μὲν ἐνεργοῦντας ἔτσι ἀπὸ ἀμάθειαν νὰ συγχωρῇ, τοὺς δὲ τηροῦντας τὴν στάσιν αὐτὴν ἀπὸ φθόνον νὰ λυπῆται ὡς ἀθλίους καὶ ἐλεεινούς, νὰ μὴ ὑποθέσῃ δὲ ὅτι ἡ δύναμίς του ἔχει μειωθῆ ἀπὸ τὰς δύο αὐτὰς κατηγορίας ἀνθρώπων. Ἄλλωστε καὶ ζωγράφος νὰ ἦτο ἄριστος καὶ ἀνώτερος ὅλων εἰς τὴν τέχνην, ἂν ἔβλεπε πίνακά του ζωγραφισμένον μὲ πολλὴν δεξιοτεχνίαν νὰ γίνεται ἀντικείμενον εἰρωνείας ἐκ μέρους τῶν ἀδαῶν, δὲν θὰ ἔπρεπε ν' ἀποθαρρυνθῇ καὶ λόγῳ τῆς κρίσεως τῶν ἀδαῶν νὰ θεωρήσῃ τὸν πίνακά του εὐτελῆ, ὅπως δὲν θὰ ἐθεωροῦσε λόγῳ τοῦ θαυμασμοῦ τῶν ἀτέχνων ἕνα πραγματικὰ εὐτελῆ πίνακα ὡς θαυμάσιον καὶ ἀξιοπρόσεκτον.

7. Ὁ ἄριστος καλλιτέχνης πρέπει νὰ εἶναι ὁ ἴδιος κριτὴς τῶν ἔργων του καὶ τὰ καλλιτεχνήματα νὰ θεωροῦνται ἐπιτυχῆ ἢ ἀνεπιτυχῆ κατὰ τὴν κρίσιν τοῦ νοῦ ποὺ τὰ ἐφιλοτέχνησε. Δὲν πρέπει δὲ νὰ λαμβάνῃ καθόλου ὑπ' ὄψιν τὰς ξένας γνώμας, τὰς πλανημένας καὶ ἀτέχνους. Συνεπῶς ὁ ἀναλαβὼν τὸ ἔργον τῆς διδασκαλίας τῆς πίστεως δὲν πρέπει οὔτε εἰς τὰς ἐπευφημίας τῶν ἄλλων νὰ δίδῃ μεγάλην σημασίαν οὔτε ἀπὸ τὴν σιωπήν των ν' ἀποθαρρύνεται, ἀλλὰ νὰ παρασκευάζῃ τοὺς λόγους του μὲ γνώμονα ν' ἀρέ-

ἀρέσειε τῷ Θεῷ (οὗτος γὰρ αὐτῷ κανὼν καὶ ὅρος ἔστω μόνος τῆς ἀρίστης δημιουργίας ἐκείνων· μὴ κρότοι, μηδὲ εὐφημίαι), εἰ μὲν ἐπαινοῖτο καὶ παρὰ τῶν ἀνθρώπων, μὴ διακρουέσθω τὰ ἐγκώμια, μὴ παρεχόντων δὲ αὐτὰ τῶν ἀκροατῶν, μὴ ζητείτω, μηδὲ ἀλγείτω. Ἱκανὴ γὰρ αὐτῷ παραμυθία τῶν πόνων καὶ πάντων μείζων, ὅταν ἑαυτῷ συνειδέναι δύνηται, πρὸς ἀρέσκειαν τοῦ Θεοῦ συντιθεὶς καὶ ῥυθμίζων τὴν διδασκαλίαν.

8. Καὶ γὰρ ἂν φθάσῃ τῇ τῶν ἀλόγων ἐπαίνων ἐπιθυμίᾳ ἁλῶναι, οὐδὲν αὐτῷ τῶν πολλῶν πόνων ὄφελος, οὐδὲ τῆς ἐν τῷ λέγειν δυνάμεως. Τὰς γὰρ ἀνοήτους τῶν πολλῶν καταγνώσεις μὴ δυναμένη φέρειν ψυχή, ἐκλύεται καὶ τὴν περὶ τὸ λέγειν ῥίπτει σπουδήν. Διὰ τοῦτο χρὴ μάλιστα πάντων πεπαιδεῦσθαι ἐπαίνων ὑπερορᾶν. Οὐ γὰρ ἀρκεῖ τὸ λέγειν εἰδέναι πρὸς τὴν ταύτης τῆς δυνάμεως φυλακήν, ἂν μὴ καὶ τοῦτο προσῇ. Εἰ δέ τις ἀκριβῶς ἐξετάζειν ἐθέλοι καὶ τὸν ἐν ἐνδείᾳ καθεστῶτα ταύτης τῆς ἀρετῆς, εὑρήσει δεόμενον τοῦ τῶν ἐπαίνων καταφρονεῖν οὐχ ἧττον ἢ τοῦτον· καὶ γὰρ πολλὰ ἁμαρτάνειν ἀναγκασθήσεται τῆς τῶν πολλῶν δόξης ἥττων γενόμενος· Ἀτονῶν γὰρ ἐξισωθῆναι τοῖς εὐδοκιμοῦσι κατὰ τὴν τοῦ λέγειν ἀρετήν, ἐπιβουλεύειν τε καὶ διαφθονεῖσθαι αὐτοῖς καὶ μέμφεσθαι μάτην καὶ πολλὰ τοιαῦτα ἀσχημονεῖν οὐ παραιτήσεται, ἀλλὰ πάντα τολμήσει, κἂν τὴν ψυχὴν ἀπολέσαι δέῃ, ὑπὲρ τοῦ τὴν ἐκείνων δόξαν εἰς τὴν τῆς ἰδίας εὐτελείας καταγαγεῖν ταπεινότητα. Πρὸς δὲ τούτοις καὶ τῶν ἱδρώτων ἀποστήσεται τῶν περὶ τὸ πονεῖν, νάρκης ὥσπερ τινὸς κατασκεδασθείσης αὐτοῦ τῇ ψυχῇ· Τὸ γὰρ πολλὰ μοχθοῦντα ἐλάττονα καρποῦσθαι ἐγκώμια, ἱκανὸν καταβαλεῖν καὶ τρέψαι πρὸς ὕπνον βαθὺν τὸν

σουν εἰς τὸν Θεὸν — αὐτὸς δὲ νὰ εἶναι ὁ μοναδικός του κανὼν καὶ ὅρος διὰ τὴν καλυτέραν σύνταξίν των, ὄχι τὰ χειροκροτήματα καὶ αἱ ἐπευφημίαι. Καὶ ἂν μὲν ἐπαινῆται καὶ ἀπὸ τοὺς ἀνθρώπους, νὰ μὴ ἀποκρούῃ τὰ ἐγκώμια, ἂν ὅμως δὲν τοῦ τὰ παρέχουν οἱ ἀκροαταί, νὰ μὴ τὰ ἐπιζητῇ καὶ νὰ μὴ στενοχωρῆται· διότι εἶναι ἀρκετὴ παρηγορία διὰ τοὺς κόπους του, καὶ μάλιστα ἀνωτέρα ἀπὸ ὅλας, νὰ ἔχῃ τὴν συναίσθησιν ὅτι συντάσσει καὶ ρυθμίζει τὴν διδασκαλίαν του μὲ σκοπὸν ν' ἀρέσῃ εἰς τὸν Θεόν.

8. Ἐὰν κυριευθῇ ἀπὸ τὸν πόθον τῶν παραλόγων ἐπαίνων, τίποτε δὲν θὰ τὸν ὠφελήσουν οἱ πολλοὶ κόποι καὶ ἡ ρητορικὴ δεινότης. Ὅταν ἡ ψυχὴ δὲν κατορθώνῃ νὰ ὑπομένῃ τὴν ἀνόητον δυσμενῆ κριτικὴν τοῦ πλήθους, παραλύει καὶ ἐγκαταλείπει τὴν φροντίδα τῆς καλλιεργείας τῆς ρητορικῆς ἱκανότητος. Διὰ τοῦτο πρέπει ἐπάνω ἀπὸ ὅλα νὰ εἶναι ἕτοιμος νὰ περιφρονῇ τοὺς ἐπαίνους· διότι χωρὶς τὴν προσπάθειαν αὐτήν, ἡ εὐφράδεια δὲν ἀρκεῖ πρὸς διατήρησιν τῆς ρητορικῆς δυνάμεως. Ἐὰν δὲ θέλῃ κανεὶς νὰ ἐξετάσῃ τὰ πράγματα μὲ ἀκρίβειαν, θὰ εὕρῃ ὅτι ὁ ὑστερῶν εἰς τὴν ρητορικὴν ἱκανότητα δὲν ἔχει ὀλιγωτέραν ἀνάγκην περιφρονήσεως τῶν ἐπαίνων ἀπὸ τὸν δόκιμον ρήτορα. Διότι, ὅταν ὑποταχθῇ εἰς τὴν δόξαν τῶν πολλῶν, θ' ἀναγκασθῇ νὰ περιπίπτῃ εἰς πολλὰ σφάλματα. Ἐπειδὴ δὲν ἠμπορεῖ νὰ ἐξισωθῇ μὲ τοὺς δοκίμους εἰς τὴν ἀρετὴν τῆς ρητορείας, δὲν θὰ διστάσῃ νὰ τοὺς ἐπιβουλεύεται, νὰ τοὺς φθονῇ, νὰ τοὺς κατηγορῇ ἀναιτίως καὶ νὰ προβαίνῃ εἰς ἄλλας παρομοίας ἐνεργείας· θὰ τολμήσῃ τὰ πάντα, ἀκόμη καὶ ἂν πρόκειται νὰ χάσῃ τὴν ψυχήν του, διὰ νὰ κατεβάσῃ τὴν δόξαν ἐκείνων εἰς τὴν ταπεινότητα τῆς ἰδικῆς του μικρότητος. Ἐπὶ πλέον θ' ἀποφύγῃ καὶ τοὺς ἱδρῶτας εἰς τὴν ἐργασίαν του, σὰν νὰ ἔπεσε νάρκη εἰς τὴν ψυχήν του. Τὸ νὰ κερδίζῃ ὀλιγώτερα ἐγκώμια ὅποιος κοπιάζει πολὺ εἶναι ἱκανὸν νὰ τὸν καταβάλῃ καὶ νὰ τὸν ὁδη-

οὐ δυνάμενον ἐγκωμίων καταφρονεῖν. Ἐπεὶ καὶ ὁ γεωργός, ὅταν εἰς λεπτόγειον κάμνῃ χωρίον καὶ πέτρας ἀναγκάζηται γεωργεῖν, ταχέως ἀφίσταται τοῦ πονεῖν, ἢν μὴ πολλὴν περὶ τὸ πρᾶγμα κεκτημένος ᾖ τὴν προθυμίαν ἢ λιμοῦ δέος 5 ἐπικείμενον ἔχῃ. Εἰ γὰρ οἱ μετὰ πολλῆς τῆς ἐξουσίας δυνάμενοι λέγειν τοσαύτης δέονται τῆς γυμνασίας πρὸς τὴν τῆς κτήσεως φυλακήν, ὁ μηδὲν ὅλως συναγαγών, ἀλλ' ἐν τοῖς ἀγῶσιν ἀναγκαζόμενος μελετᾶν, πόσην ὑποστήσεται τὴν δυσχέρειαν, πόσον θόρυβον, πόσην ταραχήν, ἵνα πολλῷ τῷ 10 μόχθῳ μικρόν τι συναγαγεῖν δυνηθῇ;

Ἐὰν δέ τις καὶ τῶν μετ' αὐτὸν τεταγμένων καὶ τὴν ἐλάττω τάξιν λαχόντων ἐν τῷ μέρει τούτῳ μᾶλλον ἐκείνου διαφανῆναι δυνηθῇ, θείας τινὸς δεῖ ψυχῆς ἐνταῦθα, ὥστε μὴ ἁλῶναι βασκανίᾳ, μηδὲ ὑπὸ ἀθυμίας καταπεσεῖν. Τὸ 15 γὰρ ὑπὸ τῶν ἐλαττόνων παρευημερεῖσθαι αὐτὸν ἐν ἀξιώματι καθεστῶτα μείζονι καὶ φέρειν γενναίως, οὐ τῆς τυχούσης, οὐδὲ τῆς ἡμετέρας, ἀλλά τινος ἀδαμαντίνης ἂν εἴη ψυχῆς. Κἂν μὲν ἐπιεικὴς ᾖ καὶ μέτριος ἄγαν ὁ παρευδοκιμῶν, φορητὸν ὁπωσοῦν γίνεται τὸ πάθος· ἂν δὲ καὶ θρασὺς καὶ 20 ἀλαζὼν καὶ φιλόδοξος, θάνατον ἐκείνῳ καθ' ἑκάστην εὐκτέον ἡμέραν· οὕτως αὐτῷ πικρὰν καταστήσει τὴν ζωήν, ὑπερβαίνων φανερῶς, καταμωκώμενος λάθρα, τῆς ἐξουσίας πολλὰ παρασπῶν τῆς ἐκείνου, πάντα αὐτὸς εἶναι βουλόμενος. Μεγίστην δὲ ἐν ἅπασι τούτοις τὴν ἀσφάλειαν τὴν 25 ἐν τῷ λέγειν κέκτηται παρρησίαν καὶ τὴν τοῦ πλήθους περὶ αὐτὸν σπουδὴν καὶ τὸ φιλεῖσθαι παρὰ τῶν ἀρχομένων ἁπάντων. Ἢ οὐκ εἶδας, ὅσος ταῖς τῶν χριστιανῶν ψυχαῖς λόγων ἔρως εἰσεκώμασε νῦν; Καὶ ὅτι μάλιστα πάντων οἱ

4. Οἱ Χριστιανοὶ τῶν χρόνων τοῦ Χρυσοστόμου ἔτρεφαν ἰδιαιτέραν ἀγάπην πρὸς τοὺς λόγους.

γήση εἰς βαθὺν ὕπνον, ἐφ' ὅσον δὲν ἠμπορεῖ νὰ καταφρονήσῃ τὰ ἐγκώμια. Συμβαίνει ὅ,τι καὶ μὲ τὸν γεωργόν, ὁ ὁποῖος, ὅταν ἐργάζεται εἰς ἄγονον τόπον καὶ ἀναγκάζεται νὰ καλλιεργῇ πετρῶδες ἔδαφος, γρήγορα ἐγκαταλείπει τὸ ἔργον, ἂν δὲν τὸν διακρίνῃ ἰδιαιτέρα προθυμία ἢ δὲν φοβῆται ἐνδεχομένην πεῖναν. Ἐὰν δὲ καὶ οἱ δόκιμοι ρήτορες ἔχουν ἀνάγκην τόσης ἀσκήσεως πρὸς διατήρησιν τῆς ἀποκτηθείσης ἱκανότητος, ἐκεῖνος ποὺ δὲν ἔχει κανένα ὑλικὸν ἀποθηκευμένον εἰς τὸν νοῦν του, ἀλλ' ἀναγκάζεται νὰ μελετᾷ τὸν καιρὸν τῶν διδακτικῶν του ἀγώνων, πόσην δυσχέρειαν, πόσον θόρυβον, πόσην ταραχὴν δὲν θὰ ὑποστῇ, διὰ νὰ κατορθώσῃ νὰ συγκεντρώσῃ ὀλίγα στοιχεῖα μὲ πολὺν μόχθον;

Ἐὰν δὲ κανεὶς ἀπὸ τοὺς ὑφισταμένους τοῦ ἐπισκόπου κατορθώσῃ ν' ἀναδειχθῇ εἰς τὸ πεδίον τῆς ρητορείας περισσότερον ἀπὸ αὐτόν, τότε χρειάζεται θείαν ψυχήν, διὰ νὰ μὴ κυριευθῇ ἀπὸ φθόνον καὶ καταπέσῃ ἀπὸ ἀθυμίαν. Διὰ νὰ ὑπομένῃ μὲ γενναιότητα αὐτὸς ὁ ἀνώτερος εἰς τὸ ἀξίωμα τὴν ἐπισκίασιν ἀπὸ κατωτέρους του, χρειάζεται ψυχὴν ὄχι τυχαίαν, σὰν τὴν ἰδικήν μας, ἀλλ' ἀδαμαντίνην. Καὶ ἂν μὲν ὁ ἀναδεικνυόμενος εἶναι ἤπιος καὶ μετριόφρων, τὸ κακὸν εἶναι ὁπωσδήποτε ὑποφερτόν· ἂν ὅμως εἶναι θρασὺς καὶ ἀλαζὼν καὶ φιλόδοξος, ἐκεῖνος θὰ ηὔχετο κάθε ἡμέραν τὸν θάνατον — τόσον πικρὰν θὰ τοῦ καταστήσῃ τὴν ζωὴν ὁ ἄλλος, ἐξευτελίζων φανερά, ἐμπαίζων κρυφά, ὑφαρπάζων πολλὰς ἀπὸ τὰς δικαιοδοσίας του, ἐπιθυμῶν νὰ ρυθμίζῃ αὐτὸς τὰ πάντα. Εἰς ὅλα δὲ αὐτὰ ἔχει ὡς ἀσφάλειαν τὴν ρητορικὴν εὐχέρειαν, τὸ δι' αὐτὸν ἐνδιαφέρον τοῦ λαοῦ καὶ τὴν ἀγάπην ὅλων τῶν ἀρχομένων. Ἢ δὲν γνωρίζεις πόσος ζῆλος πρὸς τοὺς λόγους εἰσεχώρησε τώρα εἰς τὰς ψυχὰς τῶν χριστιανῶν καὶ πόσον πολὺ τιμῶνται οἱ ρήτορες ὄχι μόνον ἀπὸ τοὺς κοσμικούς, ἀλλὰ καὶ ἀπὸ τοὺς χριστιανούς[4]; Πῶς λοιπὸν νὰ ὑποφέρῃ κανεὶς τόσην ἐντροπήν, ἐάν, ὅταν ὁμιλῇ αὐτός, ὅλοι σιω-

τούτους ἀσκοῦντες ἐν τιμῇ, οὐ παρὰ τοῖς ἔξωθεν μόνον, ἀλλὰ καὶ παρὰ τοῖς τῆς πίστεως οἰκείοις; Πῶς οὖν ἄν τις ἐνέγκοι τοσαύτην αἰσχύνην, ὅταν αὐτοῦ μὲν φθεγγομένου πάντες σιγῶσι καὶ διενοχλεῖσθαι νομίζωσιν καὶ τοῦ λόγου 5 τὸ τέλος, ὥσπερ τινὰ πόνων ἀνάπαυσιν περιμένωσι, θατέρου δὲ καὶ μακρὰ λέγοντος μετὰ προθυμίας ἀκούωσι καὶ παύσεσθαι μέλλοντος δυσχεραίνωσι καὶ σιγᾶν βουλομένου παροξύνωνται;

Ταῦτα γὰρ εἰ καὶ μικρά σοι δοκεῖ νῦν εἶναι καὶ 10 εὐκαταφρόνητα διὰ τὸ ἀπείρατον, ἀλλ' ἱκανά γε ἐστι προθυμίαν σβέσαι καὶ ψυχῆς παραλῦσαι δύναμιν, ἢν μὴ πάντων τις ἑαυτὸν τῶν ἀνθρωπίνων ἀνασπάσας παθῶν, ὁμοίως ταῖς ἀσωμάτοις μελετήσῃ διακεῖσθαι δυνάμεσιν, αἳ μήτε φθόνῳ, μήτε δόξης ἔρωτι, μήτε ἑτέρῳ τινὶ τοιούτῳ θηρῶνται νοσή- 15 ματι. Εἰ μὲν οὖν τις ἐστὶν ἀνθρώπων τοιοῦτος, ὡς δύνασθαι τὸ δυσθήρατον τοῦτο καὶ ἀκαταγώνιστον καὶ ἀνήμερον θηρίον, τὴν τῶν πολλῶν δόξαν, καταπατεῖν καὶ τὰς πολλὰς αὐτῆς ἐκτεμεῖν κεφαλάς, μᾶλλον δὲ μηδὲ φῦναι τὴν ἀρχὴν συγχωρεῖν, δυνήσεται εὐκόλως καὶ τὰς πολλὰς ταύτας ἀπο- 20 κρούεσθαι προσβολὰς καὶ εὐδίου τινὸς ἀπολαύειν λιμένος. Ταύτης δὲ οὐκ ἀπηλλαγμένος πόλεμόν τινα πολυειδῆ καὶ θόρυβον συνεχῆ καὶ ἀθυμίας καὶ τῶν λοιπῶν παθῶν τὸν ὄχλον κατασκευάζει τῆς ἑαυτοῦ ψυχῆς. Τί δεῖ τὰς λοιπὰς καταλέγειν δυσκολίας, ἃς οὔτε εἰπεῖν οὔτε μαθεῖν δυνήσε- 25 ταί τις, μὴ ἐπὶ τῶν πραγμάτων γενόμενος αὐτῶν;

ποῦν καὶ αἰσθάνωνται στενοχωρίαν καὶ περιμένουν τὸ τέλος τοῦ λόγου ὡς μέσον ἀναπαύσεως ἀπὸ κόπους, ὅταν δὲ ὁμιλῇ ἄλλος, καὶ μάλιστα διὰ μακρῶν, τὸν ἀκούουν μὲ προθυμίαν καὶ στενοχωροῦνται ὅταν πρόκειται νὰ τελειώσῃ καὶ ἐρεθίζωνται ὅταν θέλῃ νὰ σιωπήσῃ;

Ἴσως τώρα αὐτὰ σοῦ φαίνονται μικρὰ καὶ ἀσήμαντα ἀπὸ ἔλλειψιν πείρας, εἶναι ὅμως ἱκανὰ νὰ σβήσουν τὴν προθυμίαν καὶ νὰ παραλύσουν τὴν δύναμιν τῆς ψυχῆς, ἐὰν δὲν ἀνυψώσῃ κανεὶς τὸν ἑαυτόν του ἐπάνω ἀπὸ τὰ ἀνθρώπινα πάθη καὶ φροντίσῃ νὰ ὁμοιάσῃ μὲ τὰς ἀσωμάτους δυνάμεις, ποὺ δὲν κυριεύονται οὔτε ἀπὸ φθόνον οὔτε ἀπὸ φιλοδοξίαν οὔτε ἀπὸ κανένα ἄλλο παρόμοιον νόσημα. Ἐὰν λοιπὸν ὑπάρχῃ ἄνθρωπος τόσον ἄξιος ὥστε νὰ καταπατήσῃ αὐτὸ τὸ ἀπλησίαστον καὶ ἀκαταγώνιστον καὶ ἀνήμερον θηρίον, τὴν μεταξὺ τοῦ πλήθους δόξαν, καὶ ν' ἀποκόψῃ τὰς κεφαλάς του, ἢ μᾶλλον ἀπὸ τὴν ἀρχὴν νὰ τὰς ἐμποδίσῃ νὰ φυτρώσουν, εὔκολα θὰ κατορθώσῃ καὶ τὰς πολλὰς αὐτὰς προσβολὰς ν' ἀποκρούσῃ καὶ εἰς ὑπήνεμον λιμένα νὰ προσαράξῃ. Ὅποιος ὅμως δὲν εἶναι ἀπηλλαγμένος ἀπὸ αὐτὴν τὴν κακίαν φέρει εἰς τὴν ψυχήν του πολυμέτωπον πόλεμον καὶ ἀδιάκοπον ταραχὴν καὶ ἐνοχλήσεις τῆς ἀθυμίας καὶ τῶν ἄλλων παθῶν. Εἶναι ἀνάγκη ν' ἀπαριθμήσω τὰς ἄλλας δυσκολίας ποὺ δὲν ἠμπορεῖ κανεὶς ν' ἀναφέρῃ οὔτε νὰ μάθῃ, ἂν δὲν ἀποκτήσῃ προσωπικὴν πεῖραν τῶν πραγμάτων.

ΛΟΓΟΣ ΣΤ΄

1. Καὶ τὰ μὲν ἐνταῦθα τοιαῦτα, οἷάπερ ἤκουσας· τὰ δὲ ἐκεῖ πῶς οἴσομεν, ὅταν καθ᾽ ἕκαστον τῶν πιστευθέντων ἀναγκαζώμεθα τὰς εὐθύνας ὑπέχειν; Οὐ γὰρ μέχρις αἰσχύ-
5 *νης ἡ ζημία, ἀλλὰ καὶ αἰώνιος ἐκδέχεται κόλασις. Τὸ γάρ, «πείθεσθε τοῖς ἡγουμένοις ὑμῶν καὶ ὑπείκετε, ὅτι αὐτοὶ ἀγρυπνοῦσιν ὑπὲρ τῶν ψυχῶν ὑμῶν, ὡς λόγον ἀποδώσοντες», εἰ καὶ πρότερον εἶπον, ἀλλ᾽ οὐδὲ νῦν σιωπήσομαι. Ὁ γὰρ φόβος ταύτης τῆς ἀπειλῆς συνεχῶς κατασείει μου τὴν*
10 *ψυχήν. Εἰ γὰρ τῷ μόνον ἕνα σκανδαλίζοντι καὶ ἐλάχιστον συμφέρει ἵνα μύλος ὀνικὸς κρεμασθῇ εἰς τὸν τράχηλον αὐτοῦ καὶ καταποντισθῇ εἰς τὴν θάλατταν καὶ πάντες οἱ τὴν συνείδησιν τῶν ἀδελφῶν τύπτοντες εἰς αὐτὸν ἁμαρτάνουσι τὸν Χριστόν, οἱ μὴ μόνον ἕνα καὶ δύο καὶ τρεῖς, ἀλλὰ πλήθη*
15 *τοσαῦτα ἀπολλύντες, τί ποτε ἄρα πείσονται καὶ ποίαν δώσουσι δίκην; Οὐδὲ γὰρ ἀπειρίαν ἐστὶν αἰτιάσασθαι, οὐδὲ εἰς ἄγνοιαν καταφυγεῖν, οὐδὲ ἀνάγκην προβαλέσθαι καὶ βίαν· ἀλλὰ θᾶττον ἄν τις τῶν ἀρχομένων, εἴγε ἐνῆν, ἐν ταῖς οἰκείαις ἁμαρτίαις ἐχρήσατο ταύτῃ τῇ καταφυγῇ, ἢ ἐν ταῖς*
20 *ἑτέρων οἱ προεστῶτες. Τί δήποτε; Ὅτι ὁ ταχθεὶς τὰς τῶν ἄλλων ἀγνοίας ἐπανορθοῦν καὶ τὸν διαβολικὸν πόλεμον προμηνύειν ἐρχόμενον, οὐ δυνήσεται προβαλέσθαι τὴν ἄγνοιαν οὐδὲ εἰπεῖν· οὐκ ἤκουσα τῆς σάλπιγγος, οὐ προῄδειν τὸν πόλεμον. Ἐπὶ τούτῳ γὰρ ἐκάθισεν, ὡς ὁ Ἰεζεκιὴλ φησιν,*
25 *ἵνα καὶ τοῖς ἄλλοις σαλπίζῃ, καὶ προμηνύῃ τὰ μέλλοντα δυσ-*

---

1. Ἑβρ. 13, 7.
2. Ματθ. 18, 6. Α΄ Κορ. 8, 12.
3. Ἰεζ. 33, 6.

ΛΟΓΟΣ ΣΤ΄

1. Αὐταὶ ποὺ ἤκουσες εἶναι αἱ δυσκολίαι εἰς τὴν παροῦσαν ζωήν. Τῆς μελλούσης ὅμως ζωῆς τὰς δυσκολίας πῶς θὰ τὰς ὑποφέρωμεν, ὅταν ἀναγκαζώμεθα ν' ἀποδώσωμεν ἀπολογισμὸν διὰ καθένα ἀπὸ τοὺς ἀνθρώπους ποὺ μᾶς ἐνεπιστεύθησαν; Ἡ ζημία δὲν περιορίζεται εἰς τὴν ἐντροπήν, ἀλλ' ἀκολουθεῖ καὶ αἰώνιος τιμωρία. Ἀνέφερα πρωτύτερα τὸ χωρίον, «νὰ ὑπακούετε καὶ ν' ἀκολουθῆτε τοὺς ἄρχοντάς σας, διότι αὐτοὶ ἀγρυπνοῦν ὑπὲρ τῶν ψυχῶν σας καὶ θ' ἀποδώσουν λόγον δι' αὐτάς»[1], ἀλλὰ τὸ ἐπαναλαμβάνω πάλιν, διότι ὁ φόβος τῆς ἀπειλῆς αὐτῆς μοῦ ταράσσει τὴν ψυχὴν διαρκῶς. Ἐὰν συμφέρῃ νὰ κρεμασθῇ μύλος ὀνικὸς εἰς τὸν τράχηλον ἐκείνου ποὺ σκανδαλίζει ἕνα μόνον ἄνθρωπον, καὶ μάλιστα τὸν μικρότερον, καὶ νὰ καταποντισθῇ εἰς τὴν θάλασσαν, ἐὰν ὅλοι ὅσοι σκανδαλίζουν τὴν συνείδησιν τῶν ἀδελφῶν ἁμαρτάνουν εἰς αὐτὸν τὸν Χριστόν[2], ἐκεῖνοι ποὺ ὁδηγοῦν εἰς τὴν καταστροφὴν ὄχι ἕνα καὶ δύο, ἀλλὰ πλήθη μεγάλα, τί πρόκειται νὰ πάθουν καὶ ποίαν τιμωρίαν θὰ λάβουν; Δὲν ἐπιτρέπεται δὲ νὰ ἐπικαλεσθοῦν ἀπειρίαν οὔτε νὰ καταφύγουν εἰς ἄγνοιαν οὔτε νὰ προβάλουν ἀνάγκην καὶ βίαν. Ἐὰν εὐσταθοῦσε τέτοια δικαιολογία, περισσότερον θὰ κατέφευγεν εἰς αὐτὴν ὁποιοσδήποτε ἀπὸ τοὺς ἀρχομένους διὰ τὰς προσωπικάς του ἁμαρτίας παρὰ οἱ προϊστάμενοι διὰ τὰς ἁμαρτίας τῶν ἄλλων. Διατί; Διότι ὁ ὁρισθεὶς νὰ ἐπανορθώνῃ τὰς ἐξ ἀγνοίας παραβάσεις τῶν ἄλλων καὶ νὰ παραγγέλλῃ τὴν ἔλευσιν τοῦ διαβολικοῦ πολέμου, δὲν ἠμπορεῖ νὰ προβάλῃ ἄγνοιαν καὶ νὰ εἰπῇ, «δὲν ἤκουσα τὴν σάλπιγγα, δὲν προέβλεπα τὸν πόλεμον». Ἀλλ' ἀκριβῶς δι' αὐτὸ ἐκάθησεν, ὅπως λέγει καὶ ὁ Ἰεζεκιήλ[3], νὰ σαλπίζῃ καὶ πρὸς τοὺς ἄλλους καὶ νὰ προμηνύῃ τὰς μελλοντικὰς δυσχερείας. Καὶ διὰ τοῦτο ἡ τιμω-

χερῇ. Καὶ διὰ τοῦτο ἀπαραίτητος ἡ κόλασις, κἂν εἷς ὢν ὁ ἀπολωλὼς τύχῃ. Ἐὰν γὰρ τῆς ῥομφαίας ἐρχομένης, μὴ σαλπίσῃ τῷ λαῷ, μηδὲ σημάνῃ, φησίν, ὁ σκοπός, καὶ ἐλθοῦσα ἡ ῥομφαία λάβῃ ψυχήν, αὐτὴ μὲν διὰ τὴν ἀνομίαν αὐτῆς
5 *ἐλήφθη, τὸ δὲ αἷμα αὐτῆς ἐκ χειρὸς τοῦ σκοποῦ ἐκζητήσω. Παῦσαι τοίνυν ἡμᾶς ὠθῶν εἰς οὕτως ἄφυκτον δίκην. Οὐ γὰρ ὑπὲρ στρατηγίας, οὐδὲ ὑπὲρ βασιλείας ἡμῖν ὁ λόγος, ἀλλ' ὑπὲρ πράγματος ἀγγελικῆς ἀρετῆς δεομένου. Καὶ γὰρ τῶν ἀκτίνων αὐτῶν καθαρωτέραν τῷ ἱερεῖ τὴν ψυχὴν εἶναι*
10 *δεῖ, ἵνα μηδέποτε ἔρημον αὐτὸν καταλιμπάνῃ τὸ Πνεῦμα τὸ ἅγιον· ἵνα δύνηται λέγειν «ζῶ δὲ οὐκ ἔτι ἐγώ, ζῇ δὲ ἐν ἐμοὶ Χριστός».*

2. Εἰ γὰρ οἱ τὴν ἔρημον οἰκοῦντες καὶ πόλεως καὶ ἀγορᾶς καὶ τῶν ἐκεῖθεν ἀπηλλαγμένοι θορύβων καὶ διαπαν-
15 *τὸς λιμένων καὶ γαλήνης ἀπολαύοντες οὐκ ἐθέλουσι θαρρεῖν τῇ τῆς διαίτης ἐκείνης ἀσφαλείᾳ, ἀλλὰ καὶ μυρίας ἑτέρας προστιθέασι φυλακάς, πάντοθεν ἑαυτοὺς περιφράττοντες καὶ μετὰ πολλῆς τῆς ἀκριβείας καὶ λέγειν ἅπαντα καὶ πράττειν σπουδάζοντες, ἵνα μετὰ παρρησίας καὶ καθαρότη-*
20 *τος εἰλικρινοῦς, ὅσον εἰς ἀνθρωπείαν ἧκε δύναμιν, προσιέναι τῷ Θεῷ δύνωνται· πόσης οἴει δεῖν τῷ ἱερωμένῳ καὶ δυνάμεως καὶ βίας, ὥστε δυνηθῆναι παντὸς ἐξαρπάσαι μολυσμοῦ τὴν ψυχὴν καὶ ἀσινὲς τὸ πνευματικὸν τηρῆσαι κάλλος; Καὶ γὰρ πολλῷ μείζονος αὐτῷ δεῖ καθαρότητος, ἢ ἐ-*
25 *κείνοις· καὶ ᾧ μείζονος δεῖ, οὗτος πλείοσιν ἀνάγκαις ἐκείνων ὑπόκειται ταῖς δυναμέναις αὐτὸν ῥυποῦν, ἢν μὴ τῇ διηνεκεῖ νήψει καὶ τῷ πολλῷ τόνῳ χρησάμενος, ἄβατον αὐταῖς ἐργάζηται τὴν ψυχήν. Καὶ γὰρ προσώπων εὐμορφία*

---

4. Γαλ. 2, 20.

5. Τὸ ἔργον τοῦ ἱερέως εἶναι δυσχερέστερον ἀπὸ τοῦ μοναχοῦ, διότι αὐτὸς ἔχει ἐπιφορτισθῆ μὲ τὴν σωτηρίαν ὄχι μόνον τῆς ἰδικῆς του ψυχῆς, ἀλλὰ καὶ τῶν ψυχῶν τῶν ποιμαινομένων καὶ διότι ζῇ εἰς τὴν κοινωνίαν, ἡ ὁποία εἶναι γεμάτη πειρασμούς. Οἱ μοναχοὶ φροντίζουν μόνον διὰ τὰς ἀτομικὰς ψυχάς των κατὰ τὸ ἐπικρατῆσαν εἰς τὴν Ἀνατολὴν σύστημα.

ρία εἶναι ἀπαραίτητος, ἔστω καὶ ἂν ἀπολεσθῇ ἕνας μόνον. Λέγει· ἐὰν ὁ σκοπὸς δὲν σαλπίσῃ καὶ δὲν σημάνῃ πρὸς τὸν λαόν, ὅταν ἔρχεται ἡ ρομφαία, καὶ ἔλθῃ λοιπὸν ἡ ρομφαία καὶ παραλάβῃ τὴν ψυχήν, αὐτὴ μὲν παραλαμβάνεται ἐξ αἰτίας τῆς ἀνομίας της, τὸ αἷμά της ὅμως θὰ τὸ ζητήσω ἀπὸ τὸ χέρι τοῦ σκοποῦ. Παῦσε λοιπὸν νὰ μᾶς ὠθῇς εἰς τόσον ἀναπόφευκτον τιμωρίαν. Ἐδῶ δὲν πρόκειται δι' ἀρχιστρατηγίαν ἢ βασιλείαν, ἀλλὰ δι' ἐξουσίαν ποὺ ἀπαιτεῖ ἀγγελικὴν ἀρετήν. Καὶ πραγματικὰ ἡ ψυχὴ τοῦ ἱερέως πρέπει νὰ εἶναι καθαρωτέρα καὶ ἀπὸ τὰς ἀκτῖνας, ὥστε νὰ μὴ τὸν ἐγκαταλείπῃ ποτὲ ἔρημον τὸ ἅγιον Πνεῦμα, ὥστε νὰ ἔχῃ δικαίωμα νὰ λέγῃ, «δὲν ζῶ πλέον ἐγὼ ὁ ἴδιος, ἀλλὰ μέσα του ζῇ ὁ Χριστός»[4].

2. Ὅσοι κατοικοῦν εἰς τὴν ἐρημίαν[5] μακρυὰ ἀπὸ τὴν πόλιν καὶ τὴν ἀγοράν, ἀπηλλαγμένοι ἀπὸ τοὺς θορύβους των καὶ προσαραγμένοι εἰς γαληνίους λιμένας, δὲν ἀναθαρροῦν ἀπὸ τὴν ἀσφάλειαν τῆς ζωῆς αὐτῆς, ἀλλὰ λαμβάνουν καὶ μυρίας ἄλλας προφυλάξεις· περιφράσσονται ἀπὸ παντοῦ καὶ φροντίζουν μὲ πολλὴν προσοχὴν νὰ λέγουν καὶ νὰ κάμνουν ὅλα ὅσα παρέχουν παρρησίαν καὶ πραγματικὴν καθαρότητα, ὥστε νὰ ἠμπορέσουν νὰ προσεγγίσουν τὸν Θεόν, ὅσον ἐπιτρέπεται εἰς τὴν ἀνθρωπίνην δύναμιν. Πόσην δύναμιν λοιπὸν καὶ προσπάθειαν χρειάζεται ὁ ἱερωμένος διὰ νὰ κατορθώσῃ ν' ἁρπάσῃ τὴν ψυχήν του ἀπὸ κάθε μολυσμὸν καὶ νὰ διατηρήσῃ ἀνέπαφον τὸ πνευματικόν του κάλλος; Ἀσφαλῶς χρειάζεται περισσότερον καθαρότητα αὐτὸς ἀπὸ ἐκείνους· καὶ ἀφοῦ χρειάζεται περισσοτέραν, ὑπόκειται καὶ εἰς περισσοτέρους κινδύνους μολυσμοῦ αὐτὸς ἀπὸ ἐκείνους, ἂν δὲν καταστήσῃ τὴν ψυχήν του ἄβατον δι' αὐτοὺς μὲ τὴν συνεχῆ νῆψιν καὶ τὴν πολλὴν ἔντασιν. Ὑπάρχουν πολλὰ πράγματα ἱκανὰ νὰ συνταράξουν τὴν ψυχήν, ἂν δὲν νεκρωθοῦν αἱ αἰσθήσεις δι' αὐστηρᾶς σωφροσύνης· ἡ εὐμορφία προσώπων, αἱ προκλητι-

καὶ κινημάτων διάθρυψις καὶ βαδίσεως ἐπιτήδευσις καὶ φωνῆς διάκλασις καὶ ὀφθαλμῶν ὑπογραφαὶ καὶ παρειῶν ἐπιγραφαὶ καὶ πλεγμάτων συνθέσεις καὶ τριχῶν βαφαὶ καὶ ἱματίων πολυτέλεια καὶ χρυσίων ποικιλία καὶ λίθων κάλλος καὶ μύρων εὐοδία καὶ τἄλλα πάντα, ἃ τὸ γυναικεῖον ἐπιτηδεύει γένος, ἱκανὰ θορυβῆσαι ψυχήν, ἣν μὴ πολλῇ τῇ τῆς σωφροσύνης αὐστηρότητι ἀπεσκληκυῖα τύχῃ. Ἀλλὰ τὸ μὲν ὑπὸ τούτων ταράττεσθαι θαυμαστὸν οὐδέν· τὸ δὲ καὶ διὰ τῶν τούτοις ἐναντίων δύνασθαι βάλλειν τὸν διάβολον καὶ κατατοξεύειν τὰς τῶν ἀνθρώπων ψυχάς, τοῦτό ἐστι τὸ πολλῆς ἐκπλήξεως καὶ ἀπορίας μεστόν. Ἤδη γάρ τινες ταῦτα ἐκφυγόντες τὰ θήρατρα, τοῖς πολὺ τούτων ἀφεστηκόσιν ἑάλωσαν. Καὶ γὰρ καὶ ἠμελημένη ὄψις καὶ αὐχμῶσα κόμη καὶ ῥυπῶσα στολὴ καὶ σχῆμα ἀνεπίπλαστον καὶ ἦθος ἁπλοῦν καὶ ῥῆμα ἀφελὲς καὶ βάδισις ἀνεπιτήδευτος καὶ ἀσχημάτιστος φωνὴ καὶ τὸ πενίᾳ συζῆν καὶ τὸ καταφρονεῖσθαι καὶ τὸ ἀπροστάτευτον καὶ ἡ μόνωσις, πρῶτον μὲν εἰς ἔλεον τὸν ὁρῶντα, ἀπ᾽ ἐκείνου δὲ εἰς τὸν ἔσχατον ἤγαγεν ὄλεθρον.

3. Καὶ πολλοὶ τὰ πρότερα ἐκφυγόντες δίκτυα, τὰ διὰ τῶν χρυσίων καὶ τῶν μύρων καὶ τῶν ἱματίων καὶ τῶν λοιπῶν ὧν εἶπον συγκείμενα, τούτοις τοῖς τοσοῦτον αὐτῶν ἀφεστηκόσιν εὐκόλως ἐνέπεσον καὶ ἀπώλοντο. Ὅταν οὖν διὰ πενίας καὶ διὰ πλούτου καὶ διὰ καλλωπισμοῦ καὶ διὰ σχήματος εἰκῇ κειμένου καὶ διὰ τρόπων τῶν τε ἐπιτηδευτῶν καὶ τῶν ἀπλάστων καὶ διὰ πάντων ἁπλῶς, ὧν ἀπηριθμησάμην, ὁ πόλεμος ἀναρριπίζηται τῇ τοῦ θεωμένου ψυχῇ καὶ τὰ μηχανήματα αὐτὸν περιστοιχίζῃ πανταχόθεν, πόθεν ἀναπνεῦσαι δυνήσεται, τοσούτων κύκλῳ περικειμένων παγίδων; Ποίαν κατάδυσιν εὑρεῖν, οὐ λέγω πρὸς τὸ μὴ κατὰ κράτος ἁλῶναι (τοῦτο μὲν γὰρ οὐ πάνυ χαλεπόν), ἀλλὰ καὶ πρὸς τὸ ἀτάραχον τῶν μιαρῶν λογισμῶν τὴν ἑαυτοῦ φυλάξαι ψυχήν; Καὶ παρίημι τὰς τιμάς, τὰς τῶν μυρίων αἰτίας κακῶν. Αἱ

καὶ κινήσεις, τὸ ἐπιτηδευμένον βάδισμα, τὸ ξέσυρμα τῆς φωνῆς, τὸ χρωμάτισμα τῶν βλεφαρίδων καὶ τῶν παρειῶν, αἱ ἐπιμελεῖς κομμώσεις, ἡ βαφὴ τῶν μαλλιῶν, τὰ πολυτελῆ ἐνδύματα, τὰ ποικιλόμορφα χρυσᾶ κοσμήματα, οἱ ὡραῖοι πολύτιμοι λίθοι, τὰ εὐώδη μῦρα, καὶ ὅλα τὰ ἄλλα ποὺ μεταχειρίζεται τὸ γυναικεῖον φῦλον. Ἀλλὰ δὲν εἶναι παράδοξον νὰ ἐπηρεάζωνται ἀπὸ αὐτὰ τὰ πράγματα· τὸ ἐκπληκτικὸν καὶ παράδοξον εἶναι ὅτι ἠμπορεῖ ὁ διάβολος νὰ προσβάλλῃ καὶ νὰ τοξεύῃ τὰς ψυχὰς τῶν ἀνθρώπων καὶ μὲ τὰ ἀντίθετα ἀπὸ τὰ παραπάνω μέσα. Καὶ πραγματικὰ μερικοὶ ποὺ διέφυγαν ἀπὸ τὸ κυνηγητὸν αὐτῶν, συνελήφθησαν ἀπὸ τὰ τελείως ἀντίθετά των. Ἡ παραμελημένη ὄψις, ἡ ἀκτένιστος κόμη, ἡ ἀκάθαρτος ἐνδυμασία, ἡ ἀπροσποίητος ἐμφάνισις, ὁ ἁπλοϊκὸς τρόπος, ἡ ἀφελὴς ὁμιλία, τὸ ἀνεπιτήδευτον βάδισμα, τὸ ἀκατέργαστον τῆς φωνῆς, ἡ πτωχικὴ διαβίωσις καὶ ἡ καταφρόνησις καὶ ἡ ἔλλειψις προστασίας καὶ ἡ μόνωσις, κατὰ πρῶτον μὲν προκαλοῦν τὸν οἶκτον τοῦ βλέποντος, ἔπειτα ὅμως τὸν φέρουν εἰς τὴν χειροτέραν καταστροφήν.

3. Καὶ πολλοὶ ποὺ ἐξέφυγαν τὰ προηγούμενα δίκτυα, τὰ κατασκευασμένα μὲ τὰ χρυσᾶ κοσμήματα καὶ τὰ μῦρα καὶ τὰ ἐνδύματα καὶ τὰ ἄλλα ποὺ ἀνέφερα, ἔπεσαν εὔκολα εἰς αὐτὰ τὰ ἐντελῶς διάφορα δίκτυα καὶ κατεστράφησαν. Ὅταν λοιπὸν ὁ πόλεμος εἰς τὴν ψυχὴν τοῦ βλέποντος τροφοδοτῆται καὶ μὲ τὴν πτωχείαν καὶ μὲ τὸν πλοῦτον, καὶ μὲ τὸν καλλωπισμὸν καὶ μὲ τὴν ἀπεριποίητον ἐμφάνισιν, μὲ τρόπους καὶ ἐπιτηδευμένους καὶ ἀνεπιτηδεύτους, καὶ μὲ ὅλα γενικῶς ὅσα ἀπηρίθμησα, καὶ αἱ πολεμικαὶ μηχαναὶ τὸν περιστοιχίζουν ἀπὸ ὅλας τὰς πλευράς, ἀπὸ ποῦ θὰ ἠμπορέσῃ νὰ ἀναπνεύσῃ, ἀφοῦ γύρω εἶναι στημέναι τόσαι παγῖδες; Ποῦ θὰ εὕρῃ καταφύγιον, ὄχι βέβαια διὰ νὰ μὴ κυριευθῇ ὁλοκληρωτικὰ (διότι αὐτὸ δὲν εἶναι πολὺ δύσκολον), ἀλλὰ διὰ νὰ διατηρήσῃ τὴν ἀταραξίαν τῆς ψυχῆς του ἀπὸ τοὺς μιαροὺς λογισμούς; Καὶ παραλείπω τὰς ἀπο-

μὲν γὰρ παρὰ τῶν γυναικῶν γινόμεναι τῷ τῆς σωφροσύνης λυμαίνονται τόνῳ καὶ καταβάλλουσι δὲ πολλάκις, ὅταν τις μὴ διαπαντὸς ἀγρυπνεῖν εἰδῇ πρὸς τὰς τοιαύτας ἐπιβουλάς. Τὰς δὲ παρὰ τῶν ἀνδρῶν, ἢν μὴ μετὰ πολλῆς τις 5 *δέξηται τῆς μεγαλοψυχίας, δύο τοῖς ἐναντίοις ἁλίσκεται πάθεσι, τῇ τε τῆς θωπείας δουλοπρεπείᾳ καὶ τῇ τῆς ἀλαζονείας ἀνοίᾳ, τοῖς μὲν θεραπεύουσιν αὐτὸν ὑποκύπτειν ἀναγκαζόμενος, διὰ δὲ τὰς παρ' ἐκείνων τιμὰς κατὰ τῶν ἐλαττόνων ἐξογκούμενος καὶ εἰς τὸ τῆς ἀπονοίας ὠθούμε-* 10 *νος βάραθρον.*

Ταῦτα εἴρηται μὲν παρ' ἡμῶν· ὅσην δὲ ἔχει τὴν βλάβην, οὐκ ἄν τις ἄνευ τῆς πείρας μάθοι καλῶς. Οὐ γὰρ δὴ ταῦτα μόνον, ἀλλὰ καὶ τὰ τούτων πολλῷ πλείονα καὶ σφαλερώτερα τῷ ἐν μέσῳ στρεφομένῳ συμπίπτειν ἀνάγκη γέ- 15 *νοιτ' ἄν. Ὁ δὲ τὴν ἐρημίαν στέργων, πάντων μὲν ἔχει τὴν ἀτέλειαν· εἰ δέ ποτε αὐτῷ καὶ λογισμὸς ἄτοπος ὑπογράψειέ τι τοιοῦτον, ἀλλ' ἀσθενὴς ἡ φαντασία καὶ ταχέως σβεσθῆναι δυναμένη, διὰ τὸ μὴ προσκεῖσθαι ἔξωθεν τὴν ἀπὸ τῆς θεωρίας ὕλην τῇ φλογί. Καὶ ὁ μὲν μοναχὸς ὑπὲρ ἑαυτοῦ* 20 *μόνου δέδοικεν· εἰ δὲ καὶ ἑτέρων φροντίζειν ἀναγκασθείη, ἀλλ' εὐαριθμήτων λίαν. Εἰ δὲ καὶ πλείονες εἶεν, ἀλλὰ τῶν ἐν ταῖς Ἐκκλησίαις ἐλάττους τέ εἰσι καὶ τὰς ὑπὲρ ἑαυτῶν φροντίδας πολλῷ κουφοτέρας παρέχουσι τῷ προστάτῃ, οὐ διὰ τὴν ὀλιγότητα μόνον, ἀλλ' ὅτι καὶ πάντες τῶν κοσμικῶν* 25 *εἰσιν ἀπηλλαγμένοι πραγμάτων καὶ οὔτε παῖδας, οὔτε γυναῖκα, οὔτε ἄλλο τι μεριμνᾶν ἔχουσι τοιοῦτο. Τοῦτο δὲ αὐτοὺς λίαν τε εἶναι εὐπειθεῖς τοῖς ἡγουμένοις, καὶ τὸ κοινὴν τὴν οἴκησιν ἔχειν ἐποίησεν, ὡς δύνασθαι αὐτῶν τὰ πταίσματα ἀκριβῶς συνορᾶν τε καὶ ἐπανορθοῦν, ὅπερ οὐ μικρὸν* 30 *πρὸς ἀρετῆς ἐπίδοσιν.*

---

6. Ὁ Χρυσόστομος καὶ ἄλλοι Πατέρες τονίζουν τὸν ἠθικὸν κίνδυνον διὰ τοὺς κληρικοὺς ἀπὸ τὴν συναναστροφὴν μὲ γυναῖκας. Βλ. καὶ ΣΤ' 8.

διδομένας τιμὰς ποὺ γίνονται αἰτίαι μυρίων κακῶν. Καὶ ὅσαι μὲν προέρχονται ἀπὸ γυναῖκας βλάπτουν τὴν δύναμιν τῆς σωφροσύνης καὶ πολλάκις καταβάλλουν, ὅταν κανεὶς δὲν ξεύρῃ ν' ἀγρυπνῇ ἐμπρὸς εἰς παρομοίας ἐπιβουλάς[6]. Ἀπὸ ἐκείνας δὲ ποὺ προέρχονται ἀπὸ ἄνδρας, ἂν κανεὶς δὲν τὰς δέχεται μὲ πολλὴν μεγαλοψυχίαν, ἀποκτᾷ δύο ἐνάντια πάθη, τὴν κολακευτικὴν δουλοπρέπειαν καὶ τὴν ἀνόητον ἀλαζονείαν, διότι ἀπὸ τὸ ἕνα μέρος ἀναγκάζεται νὰ ὑποκύπτῃ εἰς τοὺς ὑποστηρικτάς του, ἀπὸ τὸ ἄλλο δὲ ἐπαίρεται πρὸ τῶν κατωτέρων του λόγῳ τῶν τιμῶν ποὺ τοῦ ἀποδίδουν ἐκεῖνοι, καὶ ἔτσι ὁδηγεῖται πρὸς τὸ βάραθρον τῆς ὑπερηφανείας.

Ἐγὼ βέβαια τὰ εἶπα αὐτὰ θεωρητικῶς, ἀλλὰ τὸ μέγεθος τῆς βλάβης δὲν ἠμπορεῖ νὰ τὸ ἀντιληφθῇ κανεὶς χωρὶς τὴν πεῖραν. Διότι ὁ συναναστρεφόμενος μὲ τὸν κόσμον εἶναι ὑποχρεωμένος νὰ δοκιμάσῃ ὄχι μόνον αὐτά, ἀλλὰ καὶ ἄλλα περισσότερα καὶ βαρύτερα. Ἐκεῖνος ὅμως ποὺ ἐπροτίμησε τὴν ἐρημίαν τὰ ἀποφεύγει ὅλα, καὶ ἂν καμμιὰ φορὰ ὁ κακὸς λογισμός του σχηματίσῃ κάποιαν εἰκόνα, πρόκειται δι' ἀσθενῆ φαντασίωσιν ποὺ ἠμπορεῖ νὰ σβεσθῇ εὔκολα, διότι δὲν χορηγοῦνται εἰς τὴν φλόγα ὑλικὰ ἀπὸ τὸν αἰσθητὸν κόσμον διὰ τῆς ὁράσεως. Ἄλλωστε ὁ μοναχὸς φοβεῖται μόνον διὰ τὸν ἑαυτόν του καὶ ἂν ἀναγκασθῇ νὰ φροντίσῃ καὶ δι' ἄλλους, θὰ πρόκειται δι' ὀλίγους· ἀλλὰ ἂν εἶναι πολλοί, πάντως θὰ εἶναι ὀλιγώτεροι ἀπὸ τὰ μέλη τῆς Ἐκκλησίας καὶ θὰ παρέχουν εἰς τὸν προϊστάμενον πολὺ ἐλαφροτέρας φροντίδας, ὄχι μόνον διότι εἶναι ὀλίγοι, ἀλλὰ καὶ διότι εἶναι ὅλοι ἀπηλλαγμένοι ἀπὸ τὰς κοσμικὰς ὑποθέσεις καὶ οὔτε διὰ παιδιὰ οὔτε διὰ γυναῖκα οὔτε διὰ τίποτε ἄλλο παρόμοιον ἔχουν νὰ φροντίσουν. Αὐτὸ δὲ τοὺς καθιστᾷ πολὺ εὐπειθεῖς εἰς τοὺς ἡγουμένους των, ἡ δὲ κοινὴ διαβίωσις ἐπιτρέπει εἰς τοὺς ἡγουμένους τὴν δυνατότητα νὰ παρατηροῦν καὶ διορθώνουν τὰ πταίσματά των, πρᾶγμα ποὺ συντελεῖ πολὺ εἰς τὴν ἠθικὴν προκοπήν.

4. Τῶν δὲ ὑπὸ τῷ ἱερεῖ τεταγμένων τὸ πλέον βιωτικαῖς πεπέδηται φροντίσι καὶ τοῦτο αὐτοὺς ἀργοτέρους πρὸς τὴν τῶν πνευματικῶν ἐργασίαν καθίστησιν. Ὅθεν ἀνάγκη τῷ διδασκάλῳ σπείρειν καθ' ἑκάστην, ὡς εἰπεῖν, ἡμέραν,
5 *ἵνα τῇ γοῦν συνεχείᾳ δυνηθῇ κρατηθῆναι παρὰ τοῖς ἀκούουσι τῆς διδασκαλίας ὁ λόγος. Καὶ γὰρ πλοῦτος ὑπέρογκος καὶ δυναστείας μέγεθος καὶ ῥαθυμία ἀπὸ τρυφῆς προσγινομένη καὶ πολλὰ ἕτερα πρὸς τούτοις συμπνίγει τὰ καταβαλλόμενα σπέρματα. Πολλάκις δὲ ἡ τῶν ἀκανθῶν πυκνότης*
10 *οὐδὲ μέχρι τῆς ἐπιφανείας ἀφίησι τὸ σπειρόμενον πεσεῖν. Ἤδη δὲ καὶ θλίψεως ὑπερβολὴ καὶ πενίας ἀνάγκη καὶ ἐπήρειαι συνεχεῖς καὶ ἄλλα τοιαῦτα τοῖς προτέροις ἐναντία ἀπάγει τῆς περὶ τὰ θεῖα σπουδῆς. Τῶν δὲ ἁμαρτημάτων οὐδὲ τὸ πολλοστὸν αὐτῆς μέρος δυνατὸν γενέσθαι καταφανές.*
15 *Πῶς γάρ, ὧν τοὺς πλείονας οὐδὲ ἐκ προσόψεως ἴσασιν; Καὶ τὰ μὲν πρὸς τὸν λαὸν αὐτῷ τοσαύτην ἔχει τὴν ἀμηχανίαν. Εἰ δέ τις τὰ πρὸς τὸν Θεὸν ἐξετάσειεν, οὐδὲν ὄντα εὑρήσει ταῦτα· οὕτω μείζονος καὶ ἀκριβεστέρας ἐκεῖνα δεῖται τῆς σπουδῆς. Τὸν γὰρ ὑπὲρ ὅλης τῆς πόλεως, καὶ τί*
20 *λέγω πόλεως; πάσης μὲν οὖν τῆς οἰκουμένης πρεσβεύοντα καὶ δεόμενον ταῖς ἁπάντων ἁμαρτίαις ἵλεων γενέσθαι τὸν Θεόν, οὐ τῶν ζώντων μόνον, ἀλλὰ καὶ τῶν ἀπελθόντων, ὁποῖόν τινα εἶναι χρή; Ἐγὼ μὲν γὰρ καὶ τὴν Μωϋσέως καὶ τὴν Ἠλιοὺ παρρησίαν οὐδέπω πρὸς τὴν τοσαύτην ἱκετη-*
25 *ρίαν ἀρκεῖν ἡγοῦμαι. Καὶ γὰρ ὥσπερ τὸν ἅπαντα κόσμον πεπιστευμένος καὶ αὐτὸς ὢν ἁπάντων πατήρ, οὕτω πρόσεισι τῷ Θεῷ, δεόμενος τοὺς ἁπανταχοῦ πολέμους σβεσθῆναι, λυθῆναι τὰς ταραχάς, εἰρήνην, εὐετηρίαν, πάντων τῶν ἑκάστῳ κακῶν ἐπικειμένων καὶ ἰδίᾳ καὶ δημοσίᾳ ταχεῖαν αἰτῶν*
30 *ἀπαλλαγήν. Δεῖ δὲ πάντων αὐτόν, ὑπὲρ ὧν δεῖται, τοσοῦτο*

7. Ταῦτα ὑπενθυμίζουν τὴν Συναπτήν. Εἰς πολλὰ σημεῖα τῆς πραγματείας διαφαίνεται τὸ λειτουργικὸν ἐνδιαφέρον τοῦ Χρυσοστόμου.

4. Ἀντιθέτως οἱ περισσότεροι ἀπὸ τοὺς ἀνατεθειμένους εἰς τὴν φροντίδα τοῦ ἱερέως εἶναι ἀφωσιωμένοι εἰς τὰς βιωτικὰς φροντίδας, καὶ αὐτὸ τοὺς καθιστᾷ νωθροτέρους εἰς τὴν πνευματικὴν ἐργασίαν. Διὰ τοῦτο ὁ διδάσκαλος πρέπει νὰ σπείρῃ καθημερινῶς, θὰ ἔλεγα, ὥστε διὰ τῆς συχνότητος νὰ κατορθώσῃ νὰ διατηρηθῇ ὁ θεῖος λόγος ἀπὸ τοὺς ἀκροατάς. Διότι οἱ καταβαλλόμενοι σπόροι συμπνίγονται ἀπὸ τὸν ἄφθονον πλοῦτον, τὴν μεγάλην ἐξουσίαν, τὴν ραθυμίαν ποὺ φέρει ἡ καλοπέρασις καὶ ἀπὸ ἄλλα παρόμοια. Πολλάκις δὲ ἡ πυκνότης τῶν ἀκανθῶν δὲν ἀφήνει τοὺς σπόρους νὰ πέσουν οὔτε ἕως τὴν ἐπιφάνειαν. Ταυτοχρόνως ὅμως καὶ ἡ ὑπερβολικὴ θλῖψις καὶ αἱ συνεχεῖς ἀγωνίαι καὶ ἄλλαι αἰτίαι ἀντίθετοι πρὸς τὰς προηγουμένας ἀπομακρύνουν ἀπὸ τὴν ἀφοσίωσιν εἰς τὰ θεῖα. Ἀπὸ τὰ ἁμαρτήματά των δὲ δὲν γίνεται φανερὸν οὔτε τὸ πολλοστημόριον, ἐφ' ὅσον μάλιστα τοὺς περισσοτέρους δὲν τοὺς γνωρίζουν οἱ ἱερεῖς οὔτε ἐξ ὄψεως. Αὐταὶ εἶναι αἱ δυσκολίαι ποὺ θὰ συναντήσῃ ὁ ἱερεὺς εἰς τὰς ὑποχρεώσεις του πρὸς τὸν λαόν. Ἐὰν ὅμως ἐξετάσῃ κανεὶς τὰς ὑποχρεώσεις του πρὸς τὸν Θεόν, θὰ εὕρῃ ὅτι αἱ δυσκολίαι αὐταὶ εἶναι μηδαμιναί· τόσον μεγαλύτερον καὶ ἀκριβέστερον ζῆλον ἀπαιτοῦν ἐκεῖναι. Πόσον ἄξιος πρέπει νὰ εἶναι ὁ ἄνθρωπος ποὺ πρεσβεύει ὑπὲρ ὁλοκλήρου τῆς οἰκουμένης καὶ παρακαλεῖ τὸν Θεὸν νὰ εἶναι εὔσπλαγχνος πρὸς τὰς ἁμαρτίας ὅλων, ὄχι μόνον τῶν ζώντων, ἀλλὰ καὶ τῶν ἀποθανόντων[7]; Ἐγὼ προσωπικῶς νομίζω ὅτι δὲν ἀρκεῖ οὔτε τοῦ Μωϋσέως καὶ τοῦ Ἠλίου ἡ παρρησία διὰ παρομοίαν ἱκεσίαν. Διότι προσέρχεται εἰς τὸν Θεὸν σὰν νὰ ἔχῃ ἀναλάβει τὴν φροντίδα ὅλου τοῦ κόσμου καὶ σὰν νὰ εἶναι πατὴρ ὅλων, ἱκετεύων νὰ καταπαύσουν οἱ πόλεμοι παντοῦ, νὰ σταματήσουν αἱ ταραχαί, καὶ ζητῶν εἰς ἰδιαιτέρας καὶ δημοσίας προσευχὰς εἰρήνην, ἀφθονίαν ἀγαθῶν καὶ ἀπαλλαγὴν κάθε ἀνθρώπου ἀπὸ τὰ κακὰ ποὺ τὸν ἐνοχλοῦν. Πρέπει δὲ νά διαφέρῃ αὐτὸς εἰς

διαφέρειν ἐν ἅπασιν, ὅσον τὸν προεστῶτα τῶν προστατευομένων εἰκός.

Ὅταν δὲ καὶ τὸ Πνεῦμα τὸ ἅγιον καλῇ καὶ τὴν φρικωδεστάτην ἐπιτελῇ θυσίαν καὶ τοῦ κοινοῦ πάντων συνεχῶς
5 *ἐφάπτηται Δεσπότου, ποῦ τάξομεν αὐτόν, εἰπέ μοι; Πόσην δὲ αὐτὸν ἀπαιτήσομεν καθαρότητα καὶ πόσην εὐλάβειαν; Ἐννόησον γάρ, ὁποίας τὰς ταῦτα διακονουμένας χεῖρας εἶναι χρή, ὁποίαν τὴν γλῶτταν τὴν ἐκεῖνα προχέουσαν τὰ ῥήματα, τίνος δὲ οὐ καθαρωτέραν καὶ ἁγιωτέραν τὴν τοσοῦτον Πνεῦ-*
10 *μα ὑποδεξαμένην ψυχήν. Τότε καὶ ἄγγελοι παρεστήκασι τῷ ἱερεῖ καὶ οὐρανίων δυνάμεων ἅπαν τάγμα βοᾷ καὶ ὁ περὶ τὸ θυσιαστήριον πληροῦται τόπος εἰς τιμὴν τοῦ κειμένου. Καὶ τοῦτο ἱκανὸν μὲν καὶ ἐξ αὐτῶν πεισθῆναι τῶν ἐπιτελουμένων τότε. Ἐγὼ δὲ καί τινος ἤκουσα διηγουμένου ποτέ, ὅτι αὐτῷ*
15 *τις πρεσβύτης, θαυμαστὸς ἀνὴρ καὶ ἀποκαλύψεις ὁρᾶν εἰωθώς, ἔλεγεν ὄψεως ἠξιῶσθαι ταύτης ποτὲ καὶ κατὰ τὸν καιρὸν ἐκεῖνον ἄφνω πλῆθος ἀγγέλων ἰδεῖν, ὡς αὐτῷ δυνατὸν ἦν, στολὰς ἀναβεβλημένων λαμπρὰς καὶ τὸ θυσιαστήριον κυκλούντων καὶ κάτω νευόντων, ὡς ἂν εἴ τις στρατιώτας πα-*
20 *ρόντος βασιλέως ἑστηκότας ἴδοι. Καὶ ἔγωγε πείθομαι. Καὶ ἕτερος δέ τις ἐμοὶ διηγήσατο, οὐ παρ' ἑτέρου μαθών, ἀλλ' αὐτὸς ἰδεῖν ἀξιωθεὶς καὶ ἀκοῦσαι, ὅτι τοὺς μέλλοντας ἐνθένδε ἀπαίρειν, ἂν τύχωσι τῶν μυστηρίων μετασχόντες ἐν καθαρᾷ συνειδήσει, ὅταν ἀποπνεῖν μέλλωσι, δορυφοροῦντες αὐ-*
25 *τούς, δι' ἐκεῖνο τὸ ληφθέν, ἀπάγουσιν ἐνθένδε ἄγγελοι.*

Σὺ δὲ οὔπω φρίττεις, εἰς οὕτως ἱερὰν τελετὴν τοιαύτην εἰσάγων ψυχὴν καὶ τὸν τὰ ῥυπαρὰ ἐνδεδυμένον ἱμάτια εἰς τὸ

ὅλα ἀπὸ ὅλους τοὺς ἀνθρώπους, ὑπὲρ τῶν ὁποίων προσεύχεται, τόσον, ὅσον φυσικὰ διαφέρει ὁ προστάτης ἀπὸ τὸν προστατευόμενον.

Ὅταν δὲ προσκαλῇ τὸ ἅγιον Πνεῦμα καὶ ἐπιτελῇ τὴν φρικωδεστάτην θυσίαν καὶ ἔρχεται εἰς συχνὴν κοινωνίαν μὲ τὸν κοινὸν Δεσπότην ὅλων, ποῦ νὰ τὸν κατατάξωμεν, εἰπέ μου; Καὶ πόσην καθαρότητα καὶ εὐλάβειαν θὰ τοῦ ζητήσωμεν; Σκέψου ποῖα πρέπει νὰ εἶναι τὰ χέρια ποὺ τελοῦν τὰ μυστήρια αὐτά, ποία πρέπει νὰ εἶναι ἡ γλῶσσα ποὺ προσφέρει ἐκεῖνα τὰ λόγια καὶ ἡ ψυχὴ ποὺ ἠξιώθη τέτοιαν χάριν, ἀπὸ ποίαν ἄλλην δὲν πρέπει νὰ εἶναι καθαρωτέρα καὶ ἁγιωτέρα. Τότε καὶ οἱ ἄγγελοι παραστέκουν εἰς τὸν ἱερέα καὶ ὅλον τὸ τάγμα τῶν οὐρανίων δυνάμεων βοᾷ καὶ γεμίζει ὁ τόπος γύρῳ εἰς τὸ θυσιαστήριον πρὸς τιμὴν τοῦ θυσιαζομένου. Περὶ αὐτοῦ ἠμπορεῖ νὰ πεισθῇ κανεὶς καὶ ἀπὸ τὰ τελούμενα μυστήρια καθ' ἑαυτά. Ἐγὼ ὅμως ἤκουσα κάποιον νὰ διηγῆται ὅτι τοῦ ἔλεγεν ἕνας θαυμάσιος γέρων, ποὺ ἔβλεπε συχνὰ ἀποκαλύψεις, ὅτι κάποτε ἠξιώθη νὰ ἰδῇ τέτοιον θέαμα· κατὰ τὴν τέλεσιν τῶν μυστηρίων ἐξαφνικὰ εἶδεν, ὅπως τοῦ ἦτο δυνατόν, πλῆθος ἀγγέλων μὲ λαμπρὰς στολὰς ποὺ περιεκύκλωναν τὸ θυσιαστήριον καὶ ἔστρεφαν τὰ πρόσωπα πρὸς τὰ κάτω, ὅπως βλέπομεν νὰ στέκωνται οἱ στρατιῶται παρουσίᾳ τοῦ βασιλέως. Καὶ ἐγὼ πιστεύω ὅτι συνέβη αὐτό. Καὶ ὅποιος ἄλλος δέ, ποὺ δὲν ἐπληροφορήθη ἀπὸ δεύτερον, ἀλλὰ ἠξιώθη ὁ ἴδιος νὰ ἰδῇ καὶ ν' ἀκούσῃ, μοῦ διηγήθη ὅτι οἱ μέλλοντες ν' ἀποδημήσουν ἀπὸ τὸν κόσμον αὐτόν, ἂν μεταλάβουν τῶν ἀχράντων μυστηρίων, ὅταν πρόκειται νὰ ἐκπνεύσουν, μὲ καθαρὰν συνείδησιν, συνοδεύονται καὶ μεταφέρονται ἀπὸ ἐδῶ ἀπὸ ἀγγέλους χάριν τῆς θείας αὐτῆς κοινωνίας.

Ἐσὺ δὲ δὲν φρίττεις ποὺ εἰσάγεις τέτοιαν ψυχὴν εἰς τόσον ἱερὰν τελετὴν καὶ ἀνεβάζεις εἰς τὸ ἀξίωμα τῶν ἱερέων ἄνθρωπον ἐνδεδυμένον μὲ ἀκάθαρτα ἐνδύματα, ἐνῷ

τῶν ἱερέων ἀναφέρων ἀξίωμα, ὃν καὶ τοῦ λοιποῦ τῶν δαιτυμόνων χοροῦ ἐξέωσεν ὁ Χριστός; Φωτὸς γὰρ δίκην τὴν οἰκουμένην καταυγάζοντος λάμπειν δεῖ τοῦ ἱερέως τὴν ψυχήν, ἡ δὲ ἡμετέρα τοσοῦτον ἔχει περικείμενον αὐτῇ σκότος ἐκ τῆς 5 *πονηρᾶς συνειδήσεως, ὡς ἀεὶ καταδύεσθαι καὶ μηδέποτε δύνασθαι μετὰ παρρησίας εἰς τὸν αὐτῆς ἀτενίσαι Δεσπότην. Οἱ ἱερεῖς τῆς γῆς εἰσὶν ἅλες· τὴν δὲ ἡμετέραν ἄνοιαν καὶ τὴν ἐν ἅπασιν ἀπειρίαν τίς ἂν ἐνέγκοι ῥᾳδίως, πλὴν ὑμῶν τῶν καθ' ὑπερβολὴν ἡμᾶς ἀγαπᾶν εἰθισμένων; Οὐ γὰρ μόνον* 10 *καθαρὸν οὕτως, ὡς τηλικαύτης ἠξιωμένον διακονίας, ἀλλὰ καὶ λίαν συνετὸν καὶ πολλῶν ἔμπειρον εἶναι δεῖ, καὶ πάντα μὲν εἰδέναι τὰ βιωτικά, τῶν ἐν μέσῳ στρεφομένων οὐχ ἧττον, πάντων δὲ ἀπηλλάχθαι μᾶλλον τῶν τὰ ὄρη κατειληφότων μοναχῶν. Ἐπειδὴ γὰρ ἀνδράσιν αὐτὸν ὁμιλεῖν ἀνάγκη καὶ* 15 *γυναῖκας ἔχουσι καὶ παῖδας τρέφουσι καὶ θεράποντας κεκτημένοις καὶ πλοῦτον περιβεβλημένοις πολὺν καὶ δημόσια πράττουσι καὶ ἐν δυναστείαις οὖσι, ποικίλον αὐτὸν εἶναι δεῖ. Ποικίλον δὲ λέγω, οὐχ ὕπουλον, οὐ κόλακα, οὐχ ὑποκριτήν, ἀλλὰ πολλῆς μὲν ἐλευθερίας καὶ παρρησίας ἀνάμεστον, εἰδότα δὲ καὶ* 20 *συγκατιέναι χρησίμως, ὅταν ἡ τῶν πραγμάτων ὑπόθεσις τοῦτο ἀπαιτῇ, καὶ χρηστὸν εἶναι ὁμοῦ καὶ αὐστηρόν. Οὐ γάρ ἐστιν ἑνὶ τρόπῳ χρῆσθαι τοῖς ἀρχομένοις ἅπασιν, ἐπειδὴ μηδὲ ἰατρῶν παισὶν ἑνὶ νόμῳ τοῖς κάμνουσι προσφέρεσθαι καλόν, μηδὲ κυβερνήτην μίαν ὁδὸν εἰδέναι τῆς πρὸς* 25 *τὰ πνεύματα μάχης. Καὶ γὰρ καὶ ταύτην τὴν ναῦν συνεχεῖς περιστοιχίζονται χειμῶνες. Οἱ δὲ χειμῶνες οὗτοι οὐκ ἔξωθεν προσβάλλουσι μόνον, ἀλλὰ καὶ ἔνδοθεν τίκτονται· καὶ πολλῆς χρεία καὶ συγκαταβάσεως καὶ ἀκριβείας. Πάντα*

---

8. Ματθ. 22, 13.
9. Πρβλ. καὶ Β' 4. Ὁ ἱερεὺς πρέπει νὰ ἐλέγχῃ τὰς παρεκτροπὰς τῶν χριστιανῶν, ἀλλὰ νὰ μὴ τοὺς πικραίνῃ ὑπερβολικά. Πρέπει νὰ εἶναι «ποικίλος», δηλαδὴ ἱκανὸς νὰ εὑρίσκῃ τὴν κατάλληλον μέθοδον ἐνεργείας εἰς κάθε περίπτωσιν, ὅπως ὁ ἰατρὸς καὶ ὁ κυβερνήτης.

ὁ Χριστὸς τὸν ἐξεδίωξε καὶ ἀπὸ τὸν χορὸν τῶν ἁπλῶν συνδαιτυμόνων[8]; Ἡ ψυχὴ τοῦ ἱερέως πρέπει νὰ λάμπῃ σὰν φῶς καταυγάζον τὴν οἰκουμένην· ἡ ἰδική μου δὲ ψυχὴ περιβάλλεται λόγῳ τῆς πονηρίας τῆς συνειδήσεώς μου ἀπὸ τόσον σκότος, ὥστε πάντοτε ἀποκρύπτεται καὶ δὲν ἠμπορεῖ ποτὲ ν' ἀντικρύσῃ μὲ παρρησίαν τὸν Δεσπότην της. Οἱ ἱερεῖς εἶναι τὸ ἅλας τῆς γῆς· τὴν ἰδικήν μου δὲ ἄγνοιαν καὶ ὁλοκληρωτικὴν ἀπειρίαν ποῖος θὰ ὑπέφερεν εὔκολα, ἐκτὸς ἀπὸ σὲ ποὺ συνήθισες νὰ μ' ἀγαπᾷς ὑπερβολικά; Καὶ δὲν ἐπιβάλλεται νὰ εἶναι μόνον καθαρὸς κατ' ἀναλογίαν πρὸς τὴν ὑψηλὴν διακονίαν ποὺ ἠξιώθη, ἀλλὰ καὶ πολὺ συνετὸς καὶ πολὺ ἔμπειρος, καὶ νὰ γνωρίζῃ ὅλας τὰς βιωτικὰς ὑποθέσεις ὄχι ὀλιγώτερον ἀπὸ τοὺς συναναστρεφομένους μὲ τὸν κόσμον, νὰ εἶναι ὅμως ἀπηλλαγμένος ἀπὸ αὐτὰς περισσότερον ἀπὸ τοὺς μοναχοὺς τῶν ἐρημικῶν ὀρέων. Πρέπει νὰ εἶναι ποικίλος, ἐπειδὴ εἶναι ὑποχρεωμένος νὰ συναναστρέφεται ἄνδρας, οἱ ὁποῖοι καὶ γυναῖκας ἔχουν καὶ παιδιὰ ἀνατρέφουν καὶ δούλους ὁρίζουν καὶ πλοῦτον πολὺν διαθέτουν καὶ εἰς τὴν πολιτικὴν ἀναμιγνύονται καὶ ἀξιώματα κατέχουν. Μὲ τὴν λέξιν δὲ «ποικίλον» δὲν ἐννοῶ τὸν ὕπουλον, τὸν κόλακα, τὸν ὑποκριτήν, ἀλλὰ ἐκεῖνον ποὺ ἐνεργεῖ μὲν μὲ πλήρη ἐλευθερίαν καὶ παρρησίαν, ἀλλὰ γνωρίζει ἐπίσης νὰ συγκαταβαίνῃ ἐπωφελῶς, ὅταν τὸ ἀπαιτοῦν αἱ περιστάσεις· ἐκεῖνον ποὺ κατορθώνει νὰ εἶναι ταυτοχρόνως καὶ καλὸς καὶ αὐστηρός[9]. Δὲν ἐπιτρέπεται νὰ μεταχειρίζεται ὅλους τοὺς πιστοὺς μὲ τὸν ἴδιον τρόπον, ὅπως δὲν εἶναι ὀρθὸν οὔτε οἱ ἰατροὶ νὰ μεταχειρίζωνται μίαν μόνον μέθοδον θεραπείας ἐπὶ τῶν ἀσθενῶν οὔτε ὁ κυβερνήτης νὰ γνωρίζῃ ἕνα μόνον χειρισμὸν δι' ἀπόκρουσιν τῶν ἀνέμων. Καὶ τοῦτο δὲ τὸ πλοῖον, τὴν Ἐκκλησίαν, τὸ περικυκλώνουν διαρκῶς κακοκαιρίαι. Αἱ δὲ κακοκαιρίαι αὐταὶ δὲν προσβάλλουν μόνον ἀπ' ἔξω, ἀλλὰ σηκώνονται καὶ μέσα· καὶ χρειάζεται πολλὴ συγκατάβασις καὶ προσοχή. Ὅλαι

δὲ ταῦτα τὰ διάφορα εἰς ἓν τέλος ὁρᾷ, τοῦ Θεοῦ τὴν δόξαν, τῆς Ἐκκλησίας τὴν οἰκοδομήν.

5. Μέγας ὁ τῶν μοναχῶν ἀγὼν καὶ πολὺς ὁ μόχθος· ἀλλ' εἴ τις τῇ καλῶς διοικουμένῃ ἱερωσύνῃ τοὺς ἐκεῖθεν
5 *ἱδρῶτας παραβάλοι τοσοῦτον εὑρήσει τὸ διάφορον, ὅσον ἰδιώτου καὶ βασιλέως τὸ μέσον. Ἐκεῖ μὲν γάρ, εἰ καὶ πολὺς ὁ πόνος, ἀλλὰ κοινὸν τῆς ψυχῆς καὶ τοῦ σώματος τὸ ἀγώνισμα, μᾶλλον δὲ τὸ πλέον τῇ τοῦ σώματος κατορθοῦται κατασκευῇ. Κἂν μὴ τοῦτο ἰσχυρὸν ᾖ, μένει καθ' ἑαυτὴν ἡ*
10 *προθυμία, οὐκ ἔχουσα εἰς ἔργον ἐξελθεῖν. Καὶ γὰρ καὶ νηστεία σύντονος καὶ χαμευνία καὶ ἀγρυπνία καὶ ἀλουσία καὶ ὁ πολὺς ἱδρὼς καὶ τὰ λοιπά, ὅσα πρὸς τὴν τοῦ σώματος ἐπιτηδεύουσι ταλαιπωρίαν, πάντα οἴχεται, τοῦ κολάζεσθαι μέλλοντος οὐκ ὄντος ἰσχυροῦ. Ἐνταῦθα δὲ καθαρὰ τῆς ψυχῆς*
15 *ἡ τέχνη· καὶ οὐδὲν τῆς τοῦ σώματος εὐεξίας προσδεῖται, ὥστε δεῖξαι τὴν αὐτῆς ἀρετήν. Τί γὰρ ἡμῖν ἡ τοῦ σώματος ἰσχὺς συμβάλλεται πρὸς τὸ μήτε αὐθάδεις εἶναι μήτε ὀργίλους μήτε προπετεῖς, ἀλλὰ νηφαλίους καὶ σώφρονας καὶ κοσμίους καὶ τἄλλα πάντα, δι' ὧν ἡμῖν ὁ μακάριος Παῦλος*
20 *τὴν τοῦ ἀρίσταυ ἱερέως ἀνεπλήρωσεν εἰκόνα; Ἀλλ' οὐκ ἐπὶ τῆς τοῦ μονάζοντος ἀρετῆς ἔχοι τις ἂν τοῦτο εἰπεῖν.*

6. ,Ἀλλὰ καθάπερ τοῖς μὲν θαυματοποιοῖς ὀργάνων δεῖ πολλῶν καὶ τροχῶν καὶ σχοινίων καὶ μαχαιρῶν, ὁ δὲ φιλόσοφος ἅπασαν ἐν τῇ ψυχῇ κειμένην ἔχει τὴν τέχνην, τῶν
25 *ἔξωθεν οὐδὲν δεόμενος· οὕτω δὴ καὶ ἐνταῦθα. Ὁ μὲν γὰρ μοναχὸς καὶ τῆς σωματικῆς εὐπαθείας προσδεῖται καὶ τόπων πρὸς τὴν διαγωγὴν ἐπιτηδείων, ἵνα μήτε ἄγαν ἀπῳκισμέ-*

---

10. Α' Τιμ. 3, 2.

δὲ αὐταὶ αἱ ποικίλαι μέθοδοι ἐνεργείας ἀποβλέπουν εἰς ἕνα σκοπόν· τὴν δόξαν τοῦ Θεοῦ, τὴν οἰκοδόμησιν τῆς Ἐκκλησίας.

5. Τῶν μοναχῶν ὁ ἀγὼν εἶναι μεγάλος καὶ ὁ κόπος πολύς. Ἀλλ' ἂν παραβάλῃ κανεὶς τοὺς ἰδικούς των ἱδρῶτας μὲ τοὺς κόπους ποὺ ἐπιβάλλει ἡ εὐσυνείδητος ἐκτέλεσις τῶν ἱερατικῶν καθηκόντων, θὰ εὕρῃ τόσην διαφοράν, ὅση ὑπάρχει μεταξὺ ἁπλοῦ πολίτου καὶ βασιλέως. Καὶ εἰς ἐκείνους ὁ κόπος εἶναι πολύς, ἀλλὰ πρόκειται περὶ ἀγῶνος κοινοῦ καὶ διὰ τὴν ψυχὴν καὶ διὰ τὸ σῶμα, καὶ μᾶλλον τὸ μεγαλύτερον μέρος τῆς ἐπιτυχίας ὀφείλεται εἰς τὴν κατασκευὴν τοῦ σώματος. Ἐὰν δὲ αὐτὸ δὲν εἶναι ἰσχυρόν, μένει μόνη της ἡ προθυμία, μὴ δυναμένη νὰ ἐκδηλωθῇ εἰς ἔργα. Ἡ συχνὴ νηστεία, ὁ ὕπνος κατὰ γῆς, ἡ ἀγρυπνία, ἡ ἀπλυστία, τὸ πολὺ ἵδρωμα καὶ τὰ ἄλλα μέσα ποὺ χρησιμοποιοῦν διὰ τὴν ταλαιπωρίαν τοῦ σώματος, ἐγκαταλείπονται ὅλα, ἐὰν τὸ σῶμα ποὺ πρόκειται νὰ τὰ ὑποστῇ δὲν εἶναι ἰσχυρόν. Ἐδῶ ὅμως, εἰς τὴν ἱερωσύνην, πρόκειται καθαρῶς περὶ τέχνης τῆς ψυχῆς, ἡ ὁποία δὲν χρειάζεται καθόλου τὴν σωματικὴν εὐρωστίαν διὰ νὰ δείξῃ τὴν ἀρετήν της. Εἰς τί θὰ συνέβαλλεν ἡ δύναμις τοῦ σώματος, ὥστε νὰ μὴ εἴμεθα αὐθάδεις οὔτε ὀργίλοι οὔτε προπετεῖς, ἀλλὰ νηφάλιοι καὶ σώφρονες καὶ κόσμιοι καὶ νὰ ἔχωμεν ὅλα τὰ ἄλλα χαρίσματα, μὲ τὰ ὁποῖα ὁ μακάριος Παῦλος μᾶς ἐζωγράφισε τὴν εἰκόνα τοῦ ἱερέως[10]; Τοῦτο δὲν θὰ ἠμποροῦσε νὰ τὸ εἴπῃ κανεὶς διὰ τὴν ἀρετὴν τοῦ μοναχοῦ.

6. Συμβαίνει ἀκριβῶς καὶ ἐδῶ ὅ,τι μὲ τοὺς θαυματοποιούς, οἱ ὁποῖοι χρειάζονται ὄργανα πολλὰ καὶ τροχοὺς καὶ σχοινία καὶ μαχαίρας, ἐνῷ ὁ φιλόσοφος ἔχει ὅλην τὴν τέχνην εἰς τὴν ψυχὴν καὶ δὲν χρειάζεται κανένα ἐξωτερικὸν μέσον. Οἱ μὲν μοναχοὶ χρειάζονται σωματικὴν ὑγείαν καὶ τόπους καταλλήλους διὰ τὴν διαβίωσίν των, ὥστε

νοι τῆς τῶν ἀνθρώπων ὦσιν ὁμιλίας καὶ τὴν ἀπὸ τῆς ἐρημίας ἔχωσιν ἡσυχίαν, ἔτι δὲ καὶ τῆς ἀρίστης μὴ ἀμοιρῶσι κράσεως τῶν ὡρῶν. Οὐδὲν γὰρ οὕτως ἀφόρητον τῷ κατατρυχομένῳ νηστείαις, ὡς ἡ τῶν ἀέρων ἀνωμαλία. Τῆς δὲ τῶν ἱματίων κατασκευῆς καὶ διαίτης ἕνεκεν ὅσα πράγματα ἔχειν ἀναγκάζονται, πάντα αὐτουργεῖν αὐτοὶ φιλονεικοῦντες, οὐδὲν δέομαι λέγειν νῦν. Ὁ δὲ ἱερεὺς οὐδενὸς τούτων εἰς τὴν ἑαυτοῦ δεήσεται χρείαν ἀλλ' ἀπερίεργος καὶ κοινὸς ἐν ἅπασίν ἐστι τοῖς οὐκ ἔχουσι βλάβην, τὴν ἐπιστήμην ἅπασαν ἐν τοῖς τῆς ψυχῆς θησαυροῖς ἀποκειμένην ἔχων. Εἰ δέ τις τὸ μένειν ἐφ' ἑαυτῷ καὶ τὰς τῶν πολλῶν ὁμιλίας ἐκτρέπεσθαι θαυμάζοι, τῆς καρτερίας μὲν τοῦτο δεῖγμα καὶ αὐτὸς εἶναι φαίην ἄν, οὐ μὴν ἁπάσης τῆς ἀνδρείας τῆς ἐν τῇ ψυχῇ τεκμήριον ἱκανόν. Ὁ μὲν γὰρ εἴσω λιμένων ἐπὶ τῶν οἰάκων καθήμενος οὔπω τῆς τέχνης ἀκριβῆ δίδωσι βάσανον· τὸν δ' ἐν μέσῳ τῷ πελάγει καὶ τῷ χειμῶνι δυνηθέντα διασῶσαι τὸ σκάφος, οὐδεὶς ὅστις οὐκ ἂν εἶναι φαίη κυβερνήτην ἄριστον.

7. Οὐ τοίνυν ἡμῖν οὐδὲ τὸν μοναχὸν θαυμαστέον ἂν εἴη λίαν καὶ μεθ' ὑπερβολῆς ὅτι μένων ἐφ' ἑαυτοῦ οὐ ταράττεται, οὐδὲ διαμαρτάνει πολλὰ καὶ μεγάλα ἁμαρτήματα· οὐδὲ γὰρ ἔχει τὰ παρακνίζοντα καὶ διεγείροντα τὴν ψυχήν. Ἀλλ' εἴς τις πλήθεσιν ὅλοις ἑαυτὸν ἐκδεδωκὼς καὶ τὰς τῶν πολλῶν φέρειν ἁμαρτίας ἀναγκασθείς, ἔμεινεν ἀκλινὴς καὶ στερρός, ὥσπερ ἐν γαλήνῃ τῷ χειμῶνι τὴν ψυχὴν διακυβερνῶν, οὗτος κροτεῖσθαι καὶ θαυμάζεσθαι παρὰ πάντων ἂν εἴη δίκαιος· ἱκανὴν γὰρ τῆς οἰκείας ἀνδρείας τὴν δοκιμασίαν ἐπεδείξατο.

Μὴ τοίνυν μηδὲ αὐτὸς θαυμάσῃς, εἰ τὴν ἀγορὰν φεύγοντες ἡμεῖς καὶ τὰς τῶν πολλῶν συνουσίας, οὐκ ἔχομεν

καὶ ὑπερβολικὰ ἀπομακρυσμένοι ἀπὸ τὴν συναναστροφὴν τοῦ κόσμου νὰ μὴ εἶναι καὶ τὴν ἥσυχίαν τῆς ἐρημίας ν' ἀπολαμβάνουν· ἐπίσης δὲ νὰ μένουν καὶ εἰς κλῖμα εὔκρατον, διότι ἡ ἀτμοσφαιρικὴ ἀνωμαλία εἶναι τὸ ἐνοχλητικώτερον πρᾶγμα εἰς τὸν ταλαιπωρούμενον μὲ νηστείας. Δὲν εἶναι δὲ ἀνάγκη ν' ἀναφέρω τώρα πόσας δυσκολίας εὑρίσκουν εἰς τὴν κατασκευὴν τῶν ἱματίων καὶ τὴν διατροφήν, ἐπειδὴ ἀγωνίζονται νὰ τὰ ἐξασφαλίσουν μόνοι των. Ὁ ἱερεὺς ὅμως δὲν χρειάζεται τίποτε ἀπὸ αὐτά· ἐπειδὴ εἶναι ἀπερίσπαστος καὶ ἀπολαμβάνει ὅλα τὰ πλεονεκτήματα τῆς κοινωνίας ποὺ δὲν βλάπτουν, ἔχει ὅλην του τὴν ἐπιστήμην ἀποταμιευμένην εἰς τοὺς θησαυροὺς τῆς ψυχῆς. Ἐὰν θαυμάζουν τὴν μοναξιὰν καὶ τὴν ἀποφυγὴν τῶν πολλῶν συναναστροφῶν, παραδέχομαι καὶ ἐγώ, ὅτι τοῦτο εἶναι δεῖγμα καρτερίας, ὄχι ὅμως καὶ ἐπαρκὴς ἀπόδειξις ὡλοκληρωμένης ψυχικῆς ἀνδρείας. Ὅποιος κάθεται ἐπὶ τοῦ πηδαλίου μέσα εἰς τὸ λιμάνι δὲν ἔδωσεν ἀκόμη εὐκαιρίαν ἀκριβοῦς ἀποδείξεως τῆς ἱκανότητός του, κανεὶς ὅμως δὲν θ' ἀρνηθῇ ὅτι εἶναι ἄριστος κυβερνήτης ἐκεῖνος ποὺ ἔσωσε τὸ σκάφος εἰς τὸ μέσον τοῦ πελάγους εἰς καιρὸν τρικυμίας.

7. Δὲν πρέπει λοιπὸν νὰ θαυμάζωμεν ὑπερβολικὰ οὔτε τὸν μοναχόν, ποὺ δὲν ταράσσεται ἀπὸ πάθη καὶ δὲν διαπράττει πολλὰ καὶ μεγάλα ἁμαρτήματα, ἀφοῦ ζῇ μόνος καὶ δὲν ἔχει ἐλατήρια ἐρεθίζοντα καὶ διεγείροντα τὴν ψυχήν. Ἀντιθέτως εἶναι δίκαιον νὰ χειροκροτῆται καὶ νὰ θαυμάζεται ἀπὸ ὅλους ὁ ἄνθρωπος ποὺ ἔμεινεν ἀκλόνητος καὶ σταθερός, κυβερνῶν τὴν ψυχὴν εἰς τὴν τρικυμίαν σὰν νὰ ἦτο γαλήνη, ἐνῷ ἔζη περικυκλωμένος ἀπὸ ὁλόκληρα πλήθη καὶ ἠναγκάσθη νὰ βαστάζῃ τὰς ἁμαρτίας τοῦ λαοῦ· αὐτὸς ἐπέδειξε τὴν ἀνδρείαν του κατόπιν ἐπαρκοῦς δοκιμασίας.

Καὶ σὺ λοιπὸν μὴ θαυμάσῃς ποὺ δὲν ἔχω πολλοὺς κατηγόρους, ἀφοῦ ἀπέφευγα τὴν ἀγορὰν καὶ τὴν συναναστροφὴν τοῦ κόσμου, ὅπως δὲν θὰ ἔπρεπε νὰ θαυμάσῃς

τοὺς κατηγοροῦντας πολλούς. Οὐδὲ γὰρ εἰ καθεύδων οὐχ ἥμαρτανον, οὐδ' εἰ μὴ παλαίων οὐκ ἔπιπτον, οὐδ, εἰ μὴ μαχόμενος οὐκ ἐκβαλλόμην, θαυμάζειν ἐχρῆν. Τίς γάρ, εἰπέ, τίς δυνήσεται κατειπεῖν καὶ ἀποκαλύψαι τὴν μοχθηρίαν τὴν
5 ἐμήν; Ὁ ὄροφος οὗτος καὶ ὁ οἰκίσκος; Ἀλλ' οὐκ ἂν δύναιντο ῥῆξαι φωνήν. Ἀλλ' ἡ μήτηρ μάλιστα πάντων εἰδυῖα τὰ ἐμά; Μάλιστα μὲν οὐδὲ πρὸς αὐτὴν ἐστὶ μοί τι κοινόν, οὐδὲ εἰς φιλονικείαν ἤλθομεν πώποτε. Εἰ δὲ καὶ τοῦτο ἦν συμβάν, οὐδεμία οὕτως ἐστὶ μήτηρ ἄστοργος καὶ μισότεκνος,
10 ὡς τοῦτον, ὃν ὤδινε καὶ ἔθρεψε, μηδεμιᾶς ἀναγκαζούσης προφάσεως, μηδὲ βιαζομένου τινός, κακίζειν καὶ διαβάλλειν παρὰ πᾶσιν. Ἐπεὶ ὅτι γε, εἴ τις τὴν ἡμετέραν πρὸς ἀκρίβειαν ἐθέλοι βασανίζειν ψυχήν, πολλὰ αὐτῆς εὑρήσει τὰ σαθρά, οὐδὲ αὐτὸς ἀγνοεῖς, ὁ μάλιστα πάντων ἡμᾶς τοῖς
15 ἐγκωμίοις ἐπαίρειν παρὰ πᾶσιν εἰωθώς. Καὶ ὅτι γε οὐ μετριάζων ταῦτα λέγω νῦν, ἀνάμνησον σαυτόν, ὁσάκις εἶπον πρὸς σέ, λόγου τοιούτου γενομένου πολλάκις ἡμῖν, ὅτι, εἴ τις αἵρεσίν μοι προὐτίθει, ποῦ μᾶλλον βουλοίμην εὐδοκιμεῖν, ἐν τῇ τῆς Ἐκκλησίας προστασίᾳ ἢ κατὰ τὸν τῶν μοναχῶν
20 βίον, μυρίαις ἂν ψήφοις τὸ πρότερον ἐδεξάμην ἔγωγε. Οὐ γὰρ διέλιπόν ποτε μακαρίζων πρὸς σὲ τοὺς ἐκείνης τῆς διακονίας προστῆναι δυνηθέντας καλῶς. Ὅτι δέ, ὅπερ ἐμακάριζον, οὐκ ἂν ἔφυγον, ἱκανῶς ἔχων μετελθεῖν, οὐδεὶς ἀντερεῖ. Ἀλλὰ τί πάθω; Οὐδὲν γὰρ οὕτως ἄχρηστον εἰς
25 Ἐκκλησίας προστασίαν, ὡς αὕτη ἡ ἀργία καὶ ἡ ἀμελετησία, ἣν ἕτεροι μὲν ἄσκησίν τινα θαυμαστὴν εἶναι νομίζουσιν, ἐγὼ δὲ αὐτὴν ὡσπερεὶ παραπέτασμα τῆς οἰκείας ἔχω φαυλότητος, τὰ πλείονα τῶν ἐλαττωμάτων τῶν ἐμαυτοῦ ταύτῃ συγκαλύπτων καὶ οὐκ ἐῶν φαίνεσθαι. Ὁ γὰρ ἐνεθισθεὶς το-
30 σαύτης ἀπολαύειν ἀπραγμοσύνης καὶ ἐν ἡσυχίᾳ διάγειν πολλῇ, κἂν μεγάλης ᾖ φύσεως, ὑπὸ τῆς ἀνασκησίας θορυβεῖται καὶ ταράττεται καὶ τῆς οἰκείας δυνάμεως περικόπτει μέρος οὐ μικρὸν τὸ ἀγύμναστον. Ὅταν δὲ ὁμοῦ καὶ βραδείας ᾖ

πού δὲν θὰ ἡμάρτανα ἐνῷ θὰ ἐκοιμώμην, πού δὲν θὰ ἔπιπτα ἐνῷ δὲν θὰ ἐπάλαια, πού δὲν θὰ ἐπληγωνόμην ἐνῷ δὲν θὰ ἐπολεμοῦσα. Εἰπέ μου, ποῖος ἠμπορεῖ νὰ καταγγείλῃ καὶ φανερώσῃ τὴν ἰδικήν μου μοχθηρίαν; Αὐτὴ ἡ στέγη καὶ τὸ σπιτάκι; Ἀλλ' αὐτὰ δὲν ἔχουν φωνήν. Μήπως ἡ μητέρα μου πού μὲ γνωρίζει καλύτερα ἀπὸ ὅλους; Ἀλλὰ μὲ αὐτὴν δὲν εἶχα νὰ χωρίσω τίποτε οὔτε ἦλθα ποτὲ εἰς φιλονεικίαν. Ἀλλὰ καὶ αὐτὸ ἂν εἶχε συμβῆ, καμμία μητέρα δὲν θὰ ἦτο τόσον ἄστοργος καὶ μισότεκνος, ὥστε νὰ κακολογήσῃ καὶ διαβάλῃ δημοσίᾳ τὸ παιδὶ πού ἐγέννησε καὶ ἀνέθρεψε, χωρὶς νὰ τὴν ἀναγκάζῃ καμμία ἀφορμὴ οὔτε νὰ τὴν βιάζῃ κανείς. Ἀσφαλῶς ἂν θελήσῃ κανεὶς νὰ ἐξετάσῃ μὲ ἀκρίβειαν τὴν ψυχήν μου, θὰ εὕρῃ εἰς αὐτὴν πολλὰς κακίας, ὅπως ξεύρεις καὶ σύ, μολονότι συνηθίζεις νὰ μ' ἐκθειάζῃς δημοσίᾳ περισσότερον ἀπὸ ὅλους. Καὶ ὅτι αὐτὰ δὲν τὰ λέγω ἀπὸ μετριοφροσύνην, θυμήσου πόσας φοράς, ὅταν πολὺ συχνὰ τὸ ἔφερεν ἡ συζήτησις, σοῦ εἶπα ὅτι, ἐὰν μοῦ ἐπρότεινε κανεὶς ποῦ θέλω ν' ἀναδειχθῶ, εἰς τὴν διοίκησιν τῆς Ἐκκλησίας ἢ εἰς τὸν μοναχικὸν βίον, θὰ ἐδεχόμην μυρίας φορὰς τὸ πρῶτον. Δὲν παρέλειπα δὲ ποτὲ νὰ καλοτυχίζω ἐμπρός σου ὅσους ἐπετέλεσαν ἐπιτυχῶς τὰ καθήκοντα τῆς διακονίας ἐκείνης. Κανεὶς δὲν θὰ ἀρνηθῇ ὅτι δὲν θὰ ἀπέφευγα τὴν ὑπηρεσίαν πού ἐμακάριζα, ἂν εἶχα τὴν ἱκανότητα νὰ τὴν διεξαγάγω ἐπιτυχῶς. Τί νὰ κάμω ὅμως; Τίποτε δὲν εἶναι τόσον ἄχρηστον εἰς τὴν διοίκησιν τῆς Ἐκκλησίας ὅσον αὐτὴ ἡ ἀργία καὶ ἀμεριμνησία, τὴν ὁποίαν ἄλλοι μὲν θεωροῦν ὡς θαυμασίαν ἄσκησιν, ἐγὼ δὲ ὡς παραπέτασμα τῆς φαυλότητός μου, διὰ νὰ σκεπάζω τὰ περισσότερα ἐλαττώματά μου καὶ νὰ μὴ τ' ἀφήνω νὰ φαίνωνται. Διότι ὅποιος συνήθισε νὰ ζῇ μὲ τόσην ἀπραγμοσύνην καὶ ἡσυχίαν, ἀκόμη καὶ ἂν ἔχῃ μεγάλα φυσικὰ προτερήματα, καταλαμβάνεται ἀπὸ θόρυβον καὶ ταραχὴν ὡς ἄπειρος εἰς τὰ προβλήματα τῆς ζωῆς, ἡ ἀγυμνασία δὲ αὐτὴ ἀφαιρεῖ μεγάλον μέρος τῆς ἱκανότητός του. Ὅταν δὲ εἶναι

διανοίας καὶ τῶν τοιούτων λόγων καὶ ἀγώνων ἄπειρος (τοῦτο δὴ τὸ ἡμέτερον), τῶν λιθίνων οὐδὲν διοίσει, ταύτην δεξάμενος τὴν οἰκονομίαν. Διὰ τοῦτο τῶν ἐξ ἐκείνης ἐρχομένων τῆς παλαίστρας εἰς τοὺς ἀγῶνας τούτους ὀλίγοι διαφαίνονται, οἱ δὲ πλείους ἐλέγχονται καὶ καταπίπτουσι καὶ πράγματα ὑπομένουσιν ἀηδῆ καὶ χαλεπά. Καὶ οὐδὲν ἀπεικός. Ὅταν γὰρ μὴ περὶ τῶν αὐτῶν οἵ τε ἀγῶνες ὦσι καὶ τὰ γυμνάσια, τῶν ἀγυμνάστων ὁ ἀγωνιζόμενος οὐδὲν διενήνοχεν. Δόξης μάλιστα δεῖ καταφρονεῖν τὸν εἰς τοῦτο ἐρχόμενον τὸ στάδιον, ὀργῆς ἀνώτερον εἶναι, συνέσεως ἔμπλεων πολλῆς. Τούτῳ δὲ τῷ τὸν μονήρη στέργοντι βίον οὐδεμία γυμνασίας ὑπόθεσις πρόκειται. Οὔτε γὰρ τοὺς παροξύνοντας ἔχει πολλούς, ἵνα μελετήσῃ κολάζειν τοῦ θυμοῦ τὴν δύναμιν, οὔτε τοὺς μακαρίζοντας καὶ κροτοῦντας, ἵνα παιδευθῇ τοὺς παρὰ τῶν πολλῶν διαπτύειν ὧδε ἐπαίνους· τῆς τε ἐν ταῖς Ἐκκλησίαις ἀπαιτουμένης συνέσεως, οὐ πολὺς αὐτοῖς ὁ λόγος. Ὅταν οὖν ἔλθωσιν εἰς τοὺς ἀγῶνας, ὧν μὴ μεμελετήκασι τὴν πεῖραν, ἀποροῦνται, ἰλιγγιῶσιν, εἰς ἀμηχανίαν ἐκπίπτουσι, καὶ πρὸς τὸ μηδὲν ἐπιδοῦναι πρὸς ἀρετήν, καὶ ἅπερ ἔχοντες ἦλθον πολλοὶ πολλάκις ἀπώλεσαν.

8. Καὶ ὁ ΒΑΣΙΛΕΙΟΣ. Τί οὖν; Τοὺς ἐν τῷ μέσῳ στρεφομένους καὶ πραγμάτων φροντίζοντας βιωτικῶν καὶ τετριμμένους πρὸς μάχας καὶ λοιδορίας καὶ μυρίας δεινότητος γέμοντας καὶ τρυφᾶν εἰδότας ἐπιστήσομεν τῇ τῆς Ἐκκλησίας οἰκονομίᾳ;

ΧΡΥΣΟΣΤΟΜΟΣ. Εὐφήμει, ἔφην, ὦ μακάριε σύ. Τούτους γὰρ οὐδ' εἰς νοῦν βάλλεσθαι δεῖ, ὅταν ἱερέων ἐξέτασις ᾖ· ἀλλ' εἴ τις μετὰ τοῦ πᾶσιν ὁμιλεῖν καὶ συναναστρέ-

---

11. Ἡ διαβίωσις εἰς τὴν κοινωνίαν δύναται νὰ χαλυβδώσῃ τὸν χαρακτῆρα τῶν συνετῶν, ἐνῷ οἱ ζῶντες εἰς τὴν ἐρημίαν δὲν ἔχουν εὐκαιρίαν ἀσκήσεως εἰς τὰς ἀρετάς. Βλ. καὶ Βασίλειον, Ὅροι κατὰ Πλάτ. 4, 4· «ἐν τίνι γὰρ τὴν ταπεινοφροσύνην ἐπιδείξεται, μηδενὶ ἔχων, οὗ ταπεινότερον ἑαυτὸν ἀποδείξει; Ἐν τίνι τὴν εὐσπλαγχνίαν, ἀποτετμημένος τῆς κοινωνίας τῶν πλειόνων; Πρὸς μακροθυμίαν δὲ πῶς ἑαυτὸν

συγχρόνως καὶ βραδύνους καὶ ἄπειρος εἰς τὸν ἀγῶνα τοῦ κηρύγματος, ὅπως ἐγώ, δὲν θὰ διαφέρῃ ἀπὸ λίθον, ἂν δεχθῇ τὴν λειτουργίαν αὐτήν. Διὰ τοῦτο ὀλίγοι ἀπὸ τοὺς εἰσερχομένους εἰς τοὺς ἀγῶνας αὐτοὺς ἀπὸ ἐκείνην τὴν μοναχικὴν παλαίστραν ἀναδεικνύονται· οἱ περισσότεροι ἐλέγχονται ἀνάξιοι, ὑφίστανται κατάπτωσιν καὶ δοκιμάζουν ἀηδίαν καὶ φρίκην. Καὶ εὐλόγως. Ἐφ' ὅσον οἱ ἀγῶνες καὶ τὰ γυμνάσια τῆς ἱερωσύνης εἶναι διαφορετικά, ὁ ἀθλητὴς δὲν διαφέρει ἀπὸ τὸν ἀγύμναστον. Ὁ ἐρχόμενος εἰς τὸ στάδιον αὐτὸ πρέπει νὰ περιφρονῇ τὴν δόξαν, νὰ εἶναι ἀνώτερος ὀργῆς, γεμᾶτος σύνεσιν. Ὁ δὲ ἐρημίτης δὲν ἔχει καμμίαν εὐκαιρίαν ἀσκήσεως εἰς αὐτά. Διότι δὲν ἔχει ἀνθρώπους οὔτε νὰ τὸν ἐρεθίζουν διὰ νὰ ἀσκηθῇ εἰς τὴν χαλιναγώγησιν τῆς ὁρμῆς τοῦ θυμοῦ, οὔτε νὰ τὸν ἐπαινοῦν καὶ τὸν χειροκροτοῦν διὰ νὰ μάθῃ νὰ περιφρονῇ τοὺς ἐδῶ ἐπαίνους τοῦ πλήθους[11]· καὶ διὰ τὴν σύνεσιν δὲ ποὺ ἀπαιτεῖται εἰς τὴν διοίκησιν τῶν Ἐκκλησιῶν ὀλίγον φροντίζουν. Ὅταν λοιπὸν ἔλθουν εἰς τοὺς ἀγῶνας ποὺ δὲν ἔχουν δοκιμάσει πρωτύτερα, εὑρίσκονται εἰς ἀπορίαν, ζαλίζονται, πίπτουν εἰς ἀμηχανίαν καὶ ὄχι μόνον καμμίαν ἠθικὴν ἐπίδοσιν δὲν δεικνύουν, ἀλλ' ἀντιθέτως πολλοὶ πολλάκις ἔχασαν καὶ ὅσα ἐφόδια εἶχαν προτοῦ ἔλθουν.

8. ΒΑΣΙΛΕΙΟΣ. Τότε λοιπὸν θὰ τοποθετήσωμεν ἐπὶ κεφαλῆς τῆς ἐκκλησιαστικῆς διοικήσεως ἀνθρώπους κοσμικούς, ποὺ φροντίζουν δι' ὑποθέσεις βιωτικὰς καὶ κατατρίβονται εἰς ἔριδας καὶ ὕβρεις, ποὺ εἶναι γεμᾶτοι πονηρίαν καὶ συνηθισμένοι εἰς τὴν καλοπέρασιν;

ΧΡΥΣΟΣΤΟΜΟΣ. Τί εἶναι αὐτὰ ποὺ λέγεις, καλέ μου φίλε; Αὐτοὺς δὲν πρέπει οὔτε νὰ τοὺς σκεφθοῦμεν κἄν, ὅταν γίνεται ἐξέτασις τῶν ὑποψηφίων διὰ τὴν ἱερωσύνην. Θὰ ἐκλέξωμεν ἐκεῖνον ποὺ ἠμπορεῖ μέσα εἰς τὴν ἐπαφὴν καὶ συναναστροφὴν μὲ ὅλον τὸν κόσμον νὰ διατη-

---

γυμνάσει, μηδενὸς ἀνθισταμένου αὐτοῦ τοῖς θελήμασιν;».

φεσθαι δύναιτο τὴν καθαρότητα καὶ τὴν ἀταραξίαν, τήν τε ἁγιωσύνην καὶ τὴν καρτερίαν καὶ νῆψιν, καὶ τὰ ἄλλα τοῖς μοναχοῖς προσόντα ἀγαθά, φυλάττειν ἀκέραια καὶ ἀπαρασάλευτα μᾶλλον τῶν μεμονωμένων ἐκείνων. Ὡς ὅ γε πολλὰ
5 *μὲν ἔχων ἐλαττώματα, δυνάμενος δὲ αὐτὰ τῇ μονώσει καλύπτειν καὶ ποιεῖν ἄπρακτα τῷ μηδενὶ καταμιγνῦναι ἑαυτόν, οὗτος εἰς μέσον ἐλθών, οὐδὲν ἕτερον ἢ τὸ καταγέλαστος γενέσθαι κερδανεῖ καὶ κινδυνεύσει μειζόνως — ὃ μικροῦ δεῖν ἐπάθομεν ἂν ἡμεῖς, εἰ μὴ ἡ τοῦ Θεοῦ κηδεμονία τὸ πῦρ*
10 *ταχέως ἀνέσχε τῆς ἡμετέρας κεφαλῆς. Οὐ γάρ ἔστι λαθεῖν τὸν οὕτω διακείμενον, ὅταν ἐν τῷ φανερῷ καταστῇ, ἀλλὰ πάντοτε ἐλέγχεται, καὶ καθάπερ τὰς μεταλλικὰς ὕλας δοκιμάζει τὸ πῦρ, οὕτω καὶ ἡ τοῦ κλήρου βάσανος τὰς τῶν ἀνθρώπων διακρίνει ψυχάς· κἂν ὀργίλος τις ᾖ, κἂν μικρόψυ-*
15 *χος, κἂν φιλόδοξος, κἂν ἀλαζών, κἂν ὅ,τι δήποτε ἕτερον, ἅπαντα ἐκκαλύπτει καὶ γυμνοῖ ταχέως τὰ ἐλαττώματα· οὐ γυμνοῖ δὲ μόνον, ἀλλὰ καὶ χαλεπώτερα καὶ ἰσχυρότερα αὐτὰ καθίστησιν. Καὶ γὰρ τὰ τοῦ σώματος τραύματα, προστριβόμενα, δυσίατα γίνεται, καὶ τὰ τῆς ψυχῆς πάθη, κνιζόμενα*
20 *καὶ παροξυνόμενα, μᾶλλον ἀγριαίνεσθαι πέφυκε καὶ τοὺς ἔχοντας αὐτὰ πλείονα ἁμαρτάνειν βιάζεται. Καὶ γὰρ εἰς ἔρωτα δόξης ἐπαίρει τὸν μὴ προσέχοντα καὶ εἰς ἀλαζονείαν καὶ εἰς χρημάτων ἐπιθυμίαν· ὑποσύρει δὲ καὶ εἰς τρυφὴν καὶ εἰς ἄνεσιν καὶ ῥαθυμίαν καὶ κατὰ μικρὸν εἰς*
25 *τὰ περαιτέρω τούτων καὶ ἐκ τούτων τικτόμενα κακά. Πολλὰ γάρ ἐστιν ἐν τῷ μέσῳ τὰ δυνάμενα ψυχῆς ἀκρίβειαν ἐλκῦσαι καὶ τὸν ἐπὶ Θεὸν διακόψαι δρόμον· καὶ πρῶτον ἁπάντων αἱ πρὸς τὰς γυναῖκας ὁμιλίαι. Οὐδὲ γάρ ἔστιν τὸν προεστῶτα καὶ παντὸς τοῦ ποιμνίου κηδόμενον τοῦ μὲν τῶν ἀνδρῶν ἐπι-*
30 *μελεῖσθαι μέρους, τὸ δὲ τῶν γυναικῶν παρορᾶν, ὃ μάλιστα*

ρῇ τὴν καθαρότητα καὶ ἀταραξίαν, τὴν ἁγιωσύνην καὶ τὴν καρτερίαν καὶ τὴν ἐγρήγορσιν καὶ τὰς ἄλλας ἀρετὰς τῶν μοναχῶν ἀκεραίας καὶ ἀμεταβλήτους περισσότερον ἀπὸ ἐκείνους ποὺ ζοῦν εἰς τὴν ἐρημίαν. Διότι ἐκεῖνος ποὺ ἔχει μὲν πολλὰ ἐλαττώματα, ἀλλὰ κατορθώνει νὰ τὰ καλύπτῃ καὶ νὰ τὰ νεκρώνῃ μὲ τὴν στέρησιν τῆς συναναστροφῆς, μόλις ἔλθῃ εἰς τὴν κοινωνίαν τίποτε ἄλλο δὲν κερδίζει ἐκτὸς τοῦ ὅτι γίνεται καταγέλαστος καὶ περιέρχεται εἰς μεγάλον κίνδυνον — πρᾶγμα ποὺ θὰ ἐπάθαινα παρ' ὀλίγον ἐγώ, ἂν δὲν ἀπεμάκρυνε γρήγορα τὴν φωτιὰν ἀπὸ τὴν κεφαλήν μου ἡ πρόνοια τοῦ Θεοῦ. Δὲν εἶναι δυνατὸν νὰ διαφύγῃ τὴν προσοχὴν ὅποιος ἔχει παρόμοια ἐλαττώματα ὅταν τοποθετηθῇ εἰς θέσιν περίοπτον, ἀλλὰ φανερώνεται πάντοτε. Καὶ ὅπως ἡ φωτιὰ δοκιμάζει τὰς μεταλλικὰς ὕλας, ἔτσι καὶ ἡ δοκιμασία τῶν κληρικῶν ξεχωρίζει τὰς ψυχὰς τῶν ἀνθρώπων, καὶ ἂν τύχῃ νὰ εἶναι ὀργίλος ἢ μικρόψυχος ἢ φιλόδοξος ἢ ἀλαζὼν ἢ ὁ,τιδήποτε ἄλλο, τὸν ξεσκεπάζει καὶ γρήγορα ἀπογυμνώνει τὰ ἐλαττώματα, ὄχι δὲ μόνον τ' ἀπογυμνώνει ἀλλὰ καὶ τὰ καθιστᾷ βαρύτερα καὶ ἰσχυρότερα. Καὶ τοῦτο συμβαίνει διότι ὅπως τὰ σωματικὰ τραύματα, ὅταν προστρίβωνται, γίνονται δυσίατα, ἔτσι καὶ τὰ ψυχικὰ πάθη, ὅταν ἐρεθίζωνται καὶ ὀξύνωνται, ἀγριαίνουν περισσότερον καὶ ὁδηγοῦν τοὺς πάσχοντας ἀπ' αὐτὰ εἰς περισσοτέρας ἁμαρτίας. Διεγείρουν τὸν ἀπρόσεκτον εἰς δοξομανίαν καὶ εἰς ἀλαζονείαν καὶ εἰς φιλοχρηματίαν, παρασύρουν δὲ καὶ εἰς ἀγάπην τῆς τρυφῆς, τῆς ἀνέσεως καὶ τῆς ρᾳθυμίας, καὶ κατ' ὀλίγον εἰς ἄλλας κακίας ποὺ γεννῶνται ἀπ' αὐτάς. Ὑπάρχουν δὲ πολλὰ μέσα ποὺ ἠμποροῦν νὰ παραλύσουν τὴν προσοχὴν τῆς ψυχῆς καὶ ν' ἀποκόψουν τὸν δρόμον πρὸς τὸν Θεόν, καὶ πρὶν ἀπὸ ὅλα ἡ συναναστροφὴ μὲ τὰς γυναῖκας. Δὲν ἐπιτρέπεται ὁ ἐπιφορτισμένος μὲ ὁλόκληρον τὸ ποίμνιον κληρικὸς νὰ φροντίζῃ διὰ τοὺς ἄνδρας, νὰ παραμελῇ δὲ τὰς γυναῖκας, ὅταν μάλιστα τὸ γυναικεῖον φῦλον ἔχῃ ἀνάγκην μεγαλυτέρας με-

δεῖται προνοίας πλείονος διὰ τὸ πρὸς τὰς ἁμαρτίας εὐόλισθον. Ἀλλὰ δεῖ καὶ τῆς τούτων ὑγιείας, εἰ καὶ μὴ ἐκ πλείονος, ἀλλ᾽ οὖν ἐξ ἴσης φροντίζειν τῆς μοίρας τὸν λαχόντα τὴν ἐπισκοπὴν διοικεῖν. Καὶ γὰρ ἐπισκοπεῖσθαι αὐτάς, ἡνίκα ἂν 5 *κάμνωσι, καὶ παρακαλεῖν, ἡνίκα ἂν πενθῶσιν, καὶ ἐπιπλήττειν ῥαθυμούσαις καὶ βοηθεῖν καταπονουμέναις ἀνάγκη. Τούτων δὲ γινομένων, πολλὰς ἂν εὕροι τὰς παρεισδύσεις ὁ πονηρός, εἰ μὴ ἠκριβωμένη τις ἑαυτὸν τειχίσειε φυλακῇ. Καὶ γὰρ ὀφθαλμὸς βάλλει καὶ θορυβεῖ ψυχήν, οὐχ ὁ τῆς ἀκολάστου μό-* 10 *νον, ἀλλὰ καὶ ὁ τῆς σώφρονος, καὶ κολακεῖαι μαλάσσουσι καὶ τιμαὶ καταδουλοῦνται· καὶ ἀγάπη ζέουσα (τοῦτο δὴ τὸ πάντων αἴτιον τῶν ἀγαθῶν) μυρίων αἴτιον γέγονε κακῶν τοῖς οὐκ ὀρθῶς χρησαμένοις αὐτῇ. Ἤδη δὲ καὶ φροντίδες συνεχεῖς ἤμβλυναν τὸ τῆς διανοίας ὀξὺ καὶ μολύβδου βαρύτερον* 15 *τὸν πτηνὸν ἀπειργάσαντο· καὶ θυμὸς δὲ προσπεσὼν καπνοῦ δίκην τὰ ἔνδον κατέσχεν ἅπαντα. Τί ἂν τις λέγοι τὰς λοιπὰς βλάβας, τὰς ὕβρεις, τὰς ἐπηρείας, τὰς μέμψεις, τὰς παρὰ τῶν μειζόνων, τὰς παρὰ τῶν ἐλαττόνων, τὰς παρὰ τῶν συνετῶν, τὰς παρὰ τῶν ἀσυνέτων; Τοῦτο γὰρ δὴ μάλιστα τὸ* 20 *γένος τῶν ὀρθῆς ἀποστερημένων κρίσεως μεμψίμοιρόν τέ ἐστι, καὶ οὐκ ἂν εὐκόλως ἀπολογίας ἀνάσχοιτό ποτε.*

9. Τὸν δὲ προεστῶτα καλῶς οὐδὲ τούτων δεῖ καταφρονεῖν, ἀλλὰ πρὸς ἅπαντας, περὶ ὧν ἂν ἐγκαλῶσι, διαλύεσθαι μετὰ πολλῆς τῆς ἐπιεικείας καὶ πραότητος, συγγιγνώσκοντα 25 *μᾶλλον αὐτοῖς τῆς ἀλόγου μέμψεως, ἢ ἀγανακτοῦντα καὶ ὀργιζόμενον. Εἰ γὰρ ὁ μακάριος Παῦλος, μὴ κλοπῆς ὑπόνοιαν λάβῃ παρὰ τοῖς μαθηταῖς, ἔδεισε καὶ διὰ τοῦτο προσέλαβε καὶ ἑτέρους εἰς τὴν τῶν χρημάτων διακονίαν, «ἵνα μή τις ἡμᾶς μωμήσηται, φησίν, ἐν τῇ ἁδρότητι ταύτῃ τῇ διακονου-* 30 *μένῃ ὑφ᾽ ἡμῶν», πῶς ἡμᾶς οὐ πάντα δεῖ ποιεῖν, ὥστε τὰς πονηρὰς ἀναιρεῖν ὑποψίας, κἂν ψευδεῖς κἂν ἀλόγιστοι τυγχάνωσιν οὖσαι κἂν σφόδρα τῆς ἡμετέρας ἀπέχωσι δόξης;*

---

12. Β΄ Κορ. 7, 20.

ρίμνης ὡς περισσότερον εὐόλισθον πρὸς τὴν ἁμαρτίαν. Ὀφείλει λοιπὸν ὁ ἐπίσκοπος νὰ φροντίζῃ καὶ δι' αὐτὸ ἂν ὄχι περισσότερον, τοὐλάχιστον ἐξ ἴσου. Εἶναι ἀνάγκη νὰ τὰς ἐπισκέπτεται ὅταν ἀσθενοῦν, νὰ τὰς παρηγορῇ ὅταν πενθοῦν, νὰ τὰς ἐπιτιμᾷ ὅταν εἶναι ῥάθυμοι καὶ νὰ τὰς βοηθῇ ὅταν δυστυχοῦν. Κατὰ τὴν ἐκπλήρωσιν τῶν καθηκόντων αὐτῶν πολλὰς εὐκαιρίας διεισδύσεως ἠμπορεῖ νὰ εὕρῃ ὁ πονηρός, ἂν δὲν περιτειχισθῇ ὁ ἐπίσκοπος μὲ μεγάλην προσοχήν. Διότι ὁ ὀφθαλμὸς ὄχι μόνον τῆς ἀκολάστου, ἀλλὰ καὶ τῆς σώφρονος κτυπᾷ καὶ ταράσσει τὴν ψυχήν, αἱ κολακεῖαι ἀποχαυνώνουν καὶ αἱ τιμαὶ ὑποδουλώνουν· ἡ δὲ θερμὴ ἀγάπη, ἡ πηγὴ ὅλων τῶν ἀγαθῶν, γίνεται αἰτία καὶ μυρίων κακῶν, ὅταν δὲν τὴν μεταχειρίζωνται καλά. Κάποτε δὲ καὶ αἱ συνεχεῖς φροντίδες ἀμβλύνουν τὴν ὀξύνοιαν καὶ καθιστοῦν βαρύτερον ἀπὸ μόλυβδον τὸν εὐκίνητον. Τέλος ὅταν ἐπιπέσῃ εἰς τὴν ψυχὴν θυμός, τὴν συμπνίγει ὁλόκληρον σὰν καπνός. Τί νὰ εἰπῇ δὲ κανεὶς διὰ τὰς ἄλλας βλάβας, τὰς ὕβρεις, τὰς ἐνοχλήσεις, τὰς κατηγορίας, ἀπὸ ἀνωτέρους ἢ ἀπὸ κατωτέρους, ἀπὸ φρονίμους ἢ ἀπὸ ἀνοήτους; Μάλιστα δὲ ἡ τάξις αὐτὴ τῶν στερουμένων εὐθικρισίας διακρίνεται διὰ μεμψιμοιρίαν καὶ δὲν δέχεται εὔκολα δικαιολογίας.

9. Ὁ δὲ καλὸς Ἱεράρχης δὲν πρέπει νὰ περιφρονῇ οὔτε αὐτούς, ἀλλὰ ν' ἀναιρῇ πρὸς ὅλους τὰς κατηγορίας μὲ πολλὴν ἐπιείκειαν καὶ πραότητα, συγχωρῶν μᾶλλον τὰς ἀδικαιολογήτους μομφάς των παρὰ ἀγανακτῶν καὶ ὀργιζόμενος. Ἀφοῦ ὁ μακάριος Παῦλος ἐφοβήθη μὴ τὸν ὑποπτευθοῦν οἱ μαθηταί του διὰ κλοπὴν καὶ διὰ τοῦτο παρέλαβε καὶ ἄλλους εἰς τὴν μεταφορὰν τοῦ χρηματικοῦ ἐράνου, «διά νὰ μὴ μᾶς κατηγορήσῃ κανεὶς ἐξ ἀφορμῆς τοῦ πλουσίου ἐράνου ποὺ ἐνεργῶ», ὅπως λέγει[12], πῶς δὲν πρέπει ἐμεῖς νὰ κάμνωμεν τὸ πᾶν διὰ ν' ἀναιροῦμεν τὰς καχυποψίας, ἔστω καὶ ἂν εἶναι ψευδεῖς καὶ παράλογοι, ἔστω καὶ ἂν ἀπέχουν πολὺ ἀπὸ τὴν ὑπόληψίν μας; Ἄλλωστε ἐμεῖς δὲν

Οὐδενὸς γὰρ ἁμαρτήματος τοσοῦτον ἡμεῖς ἀφεστήκαμεν, ὅ-σον κλοπῆς ὁ Παῦλος· ἀλλ' ὅμως καὶ τοσοῦτον ἀφεστηκὼς τῆς πονηρᾶς ταύτης πράξεως, οὐδὲ οὕτως ἠμέλησε τῆς τῶν πολλῶν ὑπονοίας, καίτοι λίαν οὔσης ἀλόγου καὶ μανιώδους.
5 *Μανία γὰρ ἦν τοιοῦτον ὑποπτεῦσαί τι περὶ τῆς μακαρίας καὶ θαυμαστῆς ἐκείνης κεφαλῆς. Ἀλλ' ὅμως οὐδὲν ἧττον καὶ ταύτης τῆς ὑποψίας, τῆς οὕτως ἀλόγου καὶ ἣν οὐδεὶς ἂν μὴ παραπαίων ὑπώπτευσε, πόρρωθεν ἀναιρεῖ τὰς αἰτίας· καὶ οὐ διέπτυσε τὴν τῶν πολλῶν ἄνοιαν, οὐδὲ εἶπε· τίνι γὰρ ἂν*
10 *ἐπέλθοι ποτὲ τοιαῦτα περὶ ἡμῶν ὑπονοεῖν καὶ ἀπὸ τῶν σημείων καὶ ἀπὸ τῆς ἐπιεικείας τῆς ἐν τῷ βίῳ πάντων ἡμᾶς καὶ τιμώντων καὶ θαυμαζόντων; Ἀλλ' ἅπαν τοὐναντίον καὶ ὑπείδετο καὶ προσεδόκησε ταύτην τὴν πονηρὰν ὑπόνοιαν καὶ πρόρριζον αὐτὴν ἀνέσπασε, μᾶλλον δὲ οὐδὲ φῦναι ἀρ-*
15 *χὴν ἀφῆκεν. Διὰ τί; «Προνοοῦμεν γάρ, φησι, καλὰ οὐ μόνον ἐνώπιον Κυρίου, ἀλλὰ καὶ ἐνώπιον ἀνθρώπων». Τοσαύτῃ δεῖ, μᾶλλον δὲ καὶ πλείονι κεχρῆσθαι σπουδῇ, ὥστε μὴ μόνον αἰρόμενα κατασπᾶν καὶ κωλύειν τὰς φήμας τὰς οὐκ ἀγαθάς, ἀλλὰ καὶ πόρρωθεν, ὅθεν ἂν γένοιντο, προορᾶν*
20 *καὶ τὰς προφάσεις ἐξ ὧν τίκτονται προαναιρεῖν καὶ μὴ περιμένειν αὐτὰς συστῆναι καὶ ἐν τοῖς τῶν πολλῶν διαθρυλληθῆναι στόμασιν. Τηνικαῦτα γὰρ οὔτε εὔπορον αὐτὸς ἀφανίσαι λοιπόν, ἀλλὰ καὶ λίαν δυσχερές, τάχα δὲ καὶ ἀδύνατον· οὔτε ἀζήμιον τῷ μετὰ τὴν τῶν πολλῶν βλάβην τοῦτο γε-*
25 *νέσθαι. Ἀλλὰ γὰρ μέχρις τίνος οὐ στήσομαι διώκων ἀκίχητα; Τὸ γὰρ ἁπάσας τὰς ἐκεῖ δυσχερείας καταλέγειν, οὐδὲν ἕτερόν ἐστιν ἢ πέλαγος ἀναμετρεῖν. Καὶ γάρ, ὅταν τις αὐτὸς παντὸς καθαρεύσῃ πάθους, ὃ τῶν ἀδυνάτων ἐστίν, ἵνα τὰ τῶν ἄλλων ἐπανορθώσῃ πταίσματα, μυρία ὑπομένειν ἀ-*
30 *ναγκάζεται δεινά. Προστεθέντων δὲ καὶ τῶν οἰκείων νοσημάτων, θέα τὴν ἄβυσσον τῶν πόνων καὶ τῶν φροντίδων καὶ*

---

13. Ρωμ. 12, 17.

ἀπέχομεν ἀπὸ κανένα ἁμάρτημα τόσον, ὅσον ἀπεῖχεν ὁ Παῦλος ἀπὸ τὴν κλοπήν. Καὶ ὅμως μολονότι ἀπεῖχε τόσον ἀπὸ τὴν πονηρὰν αὐτὴν πρᾶξιν, πάλιν δὲν ἠδιαφόρησε διὰ τὴν ὑποψίαν τῶν πολλῶν, ποὺ ἦτο πολὺ παράλογος καὶ μανιώδης — διότι μανία θὰ ἦτο παρομοία ὑποψία διὰ τὸν μακάριον καὶ θαυμαστὸν ἐκεῖνον ἄνδρα. Μ' ὅλα ταῦτα ἔσπευσε ν' ἀφαιρέσῃ ἐκ τῶν προτέρων τὰς ἀφορμὰς καὶ αὐτῆς τῆς παραλόγου ὑποψίας, τὴν ὁποίαν κανεὶς φρόνιμος δὲν θὰ ἐσχημάτιζε· καὶ δὲν περιεφρόνησε τὴν ἀνοησίαν τῶν πολλῶν οὔτε εἶπε, «ποῖος ἠμπορεῖ ποτὲ νὰ σκεφθῇ τέτοιον πρᾶγμα δι' ἐμέ, ἀφοῦ ὅλοι μὲ τιμοῦν καὶ μὲ θαυμάζουν καὶ διὰ τὰ θαύματα καὶ διὰ τὸν ἐνάρετον βίον;». Ἀντιθέτως ἐθεώρησεν ὡς ἐνδεχομένην καὶ πιθανὴν τὴν πονηρὰν αὐτὴν ὑποψίαν καὶ διὰ τοῦτο τὴν ἀπέσπασεν ἀπὸ τὴν ρίζαν ἢ μᾶλλον δὲν τὴν ἄφησε νὰ φυτρώσῃ καθόλου. Διατί; «Διότι, λέγει, λαμβάνομεν πρόνοιαν νὰ ἐργαζώμεθα τὸ καλὸν ὄχι μόνον ἐνώπιον τοῦ Θεοῦ, ἀλλὰ καὶ ἐνώπιον τῶν ἀνθρώπων»[13]. Τέτοιαν καὶ ἀκόμη μεγαλυτέραν προσπάθειαν χρειάζεται κανείς, ὥστε ὄχι μόνον ν' ἀποσπᾷ καὶ συγκρατῇ τὰς κακὰς φήμας, ἀλλὰ καὶ νὰ προβλέπῃ ἐκ τῶν προτέρων ἀπὸ ποῦ εἶναι δυνατὸν νὰ προέλθουν καὶ νὰ ἀφαιρῇ ἐκ τῶν προτέρων τὰς προφάσεις ἀπὸ τὰς ὁποίας γεννῶνται, νὰ μὴ περιμένῃ δὲ νὰ δημιουργηθοῦν καὶ νὰ διαδοθοῦν ἀπὸ τὰ στόματα τῶν πολλῶν. Τότε πλέον δὲν εἶναι εὔκολον νὰ τὰς ἀφανίσῃ, εἶναι πολὺ δύσκολον, ἴσως δὲ καὶ ἀδύνατον· καὶ ἂν κατορθώσῃ δέ, δὲν εἶναι τοῦτο ἀζήμιον, διότι ἤδη ἡ διάδοσις ἔβλαψε πολλούς. Πότε ὅμως θὰ σταματήσω νὰ ἐπιδιώκω τ' ἀκατόρθωτα; Τὸ ν' ἀναφέρῃς ὅλας τὰς δυσχερείας τοῦ ἐπισκοπικοῦ ἔργου εἶναι σὰν νὰ μετρῇς τὸ πέλαγος. Διότι καὶ ὅταν ἀπαλλαγῇ ὁ ἴδιος ἀπὸ κάθε πάθος (πρᾶγμα ἀδύνατον), πάλιν ἀναγκάζεται νὰ ὑπομείνῃ μυρία δεινὰ διὰ νὰ ἐπανορθώσῃ τὰ πταίσματα τῶν ἄλλων. Ἐὰν δὲ προστεθοῦν καὶ αἱ ἰδικαί του ἀσθένειαι, ἰδὲ τότε τὴν ἄβυσον τῶν κόπων καὶ τῶν φροντίδων καὶ

ὅσα πάσχειν ἀνάγκη τῶν τε οἰκείων καὶ τῶν ἀλλοτρίων βουλόμενον περιγενέσθαι κακῶν.

10. ΒΑΣΙΛΕΙΟΣ. Νῦν δέ, φησίν, οὐδείς σοι τῶν πόνων τούτων ἀγών, οὐδὲ φροντίδας ἔχεις κατὰ σαυτὸν ὤν.

5 *ΧΡΥΣΟΣΤΟΜΟΣ. Ἔχω μέν, ἔφην, καὶ νῦν. Πῶς γὰρ ἔστιν ἄνθρωπον ὄντα καὶ τὸν πολύμοχθον τοῦτον βιοῦντα βίον, φροντίδων ἀπηλλάχθαι καὶ ἀγωνίας; Ἀλλ' οὐκ ἔστιν ἴσον εἰς πέλαγος ἄπειρον ἐμπεσεῖν καὶ ποταμὸν παραπλεῖν· τοσοῦτον γὰρ τούτων κἀκείνων τῶν φροντίδων τὸ*
10 *μέσον. Νῦν μὲν γὰρ εἰ μὲν δυνηθείην καὶ ἑτέροις γενέσθαι χρήσιμος, βουλοίμην ἂν καὶ αὐτὸς καὶ πολλῆς μοι τοῦτο ἔργον εὐχῆς· εἰ δὲ οὐκ ἔστιν ἕτερον ὀνῆσαι, ἐμαυτὸν γοῦν ἐὰν ἐγγένηται διασῶσαι καὶ τοῦ κλύδωνος ἐξελεῖν, ἀρκεσθήσομαι τούτῳ.*

15 *ΒΑΣΙΛΕΙΟΣ. Εἶτα, τοῦτο οἴει μέγα, φησίν, εἶναι, ὁ Βασίλειος, ὅλως δὲ καὶ σωθήσεσθαι νομίζεις, ἑτέρῳ μηδενὶ γενόμενος χρήσιμος;*

ΧΡΥΣΟΣΤΟΜΟΣ. Εὖ καὶ καλῶς, ἔφην, εἴρηκας· οὐδὲ γὰρ αὐτὸς τοῦτο πιστεύειν ἔσω, ὅτι σώζεσθαι ἔνεστι
20 *τὸν οὐδὲν εἰς τὴν τοῦ πλησίον κάμνοντα σωτηρίαν. Οὐδὲ γὰρ ἐκεῖνον τὸν δείλαιον ὤνησέ τι τὸ μὴ μειῶσαι τὸ τάλαντον, ἀλλὰ καὶ ἀπώλεσε τῷ μὴ πλεονάσαι καὶ διπλοῦν προσενεγκεῖν. Πλὴν ἀλλ' ἐπιεικεστέραν μοι τὴν τιμωρίαν οἶμαι ἔσεσθαι ἐγκαλουμένῳ, διὰ τί μὴ καὶ ἑτέρους ἔσωσα, ἢ εἰ*
25 *καὶ ἑτέρους καὶ ἐμαυτὸν προσαπώλεσα, πολὺ χείρων γενόμενος μετὰ τὴν τοσαύτην τιμήν. Νῦν μὲν γὰρ τοσαύτην ἔσεσθαί μοι πιστεύω τὴν κόλασιν, ὅσην ἀπαιτεῖ τῶν ἁμαρτημάτων τὸ μέγεθος· μετὰ δὲ τὸ δέξασθαι τὴν ἀρχήν, οὐ διπλῆν μόνον καὶ τριπλῆν, ἀλλὰ καὶ πολλαπλασίονα, τῷ τε*
30 *πλείονας σκανδαλίσαι καὶ τῷ μετὰ μείζονα τιμὴν προσκροῦσαι τῷ τετιμηκότι Θεῷ.*

---

14. Ματθ. 25, 24 ἑξ.

τῶν παθημάτων, εἰς τὰ ὁποῖα ρίπτεται ἀπὸ τὴν ἐπιθυμίαν του νὰ ὑπερνικήσῃ καὶ τὰς ἰδικάς του καὶ τὰς ξένας κακίας.

10. ΒΑΣΙΛΕΙΟΣ. Τώρα πάντως δὲν διεξάγεις κανένα ἀπὸ τοὺς κοπιώδεις αὐτοὺς ἀγῶνας οὔτε ἔχεις φροντίδας ἀφοῦ ζῇς μόνος σου.

ΧΡΥΣΟΣΤΟΜΟΣ. Ἀσφαλῶς ἔχω καὶ τώρα· πῶς εἶναι δυνατόν, ἀφοῦ εἶμαι ἄνθρωπος καὶ ζῶ τὸν κοπιώδη αὐτὸν βίον, νὰ εἶμαι ἀπηλλαγμένος ἀπὸ φροντίδας καὶ ἀγωνίας. Ἀλλὰ δὲν εἶναι τὸ ἴδιον νὰ πέσω εἰς τὸ ἀπέραντον πέλαγος καὶ νά διαπλέω ἕνα ποταμὸν — τόση δὲ εἶναι ἡ διαφορὰ μεταξὺ αὐτῶν καὶ ἐκείνων τῶν φροντίδων. Τώρα λοιπόν, θὰ ἐπιθυμοῦσα πολὺ καὶ θὰ ηὐχόμην νὰ γίνω χρήσιμος καὶ εἰς ἄλλους, ἀλλ' ἂν δὲν κατορθώσω νὰ ὠφελήσω ἄλλους, θ' ἀρκεσθῶ ν' ἀπαλλάξω ἀπὸ τὴν τρικυμίαν τὸν ἑαυτόν μου καὶ νὰ τὸν σώσω.

ΒΑΣΙΛΕΙΟΣ. Καὶ νομίζεις ὅτι αὐτὸ εἶναι σπουδαῖον; Νομίζεις ὅτι ἠμπορεῖς νὰ σωθῇς ἂν δὲν φανῇς χρήσιμος εἰς κανένα ἄλλον;

ΧΡΥΣΟΣΤΟΜΟΣ. Πολὺ σωστὴ ἡ γνώμη σου. Δὲν πιστεύω καὶ ἐγὼ ὅτι εἶναι δυνατὸν νὰ σωθῇ ὅποιος δὲν φροντίζει καθόλου διὰ τὴν σωτηρίαν τοῦ πλησίον. Οὔτε ἐκεῖνον τὸν δυστυχῆ τὸν ὠφέλησε τίποτε ποὺ δὲν ἠλάττωσε τὸ τάλαντον· ἀντιθέτως ἡ ἀνικανότης νὰ τὸ αὐξήσῃ καὶ διπλασιάσῃ τὸν κατέστρεψεν[14]. Πάντως ὅμως νομίζω ὅτι θὰ ὑποστῶ ἐπιεικεστέραν τιμωρίαν ἂν κατηγορηθῶ διότι δὲν ἔσωσα καὶ ἄλλους, ἀπὸ ὅσην ἐὰν ἀπολέσω καὶ ἄλλους καὶ τὸν ἑαυτόν μου, καὶ γίνω πολὺ χειρότερος μετὰ τὴν ἀνάληψιν τοῦ τιμητικοῦ αὐτοῦ ἀξιώματος. Τώρα πιστεύω ὅτι ἡ τιμωρία μου θὰ εἶναι ἀνάλογος μὲ τὸ μέγεθος τῶν ἁμαρτημάτων· μετὰ τὴν ἀνάληψιν τοῦ ἀξιώματος ὅμως θὰ εἶναι ὄχι μόνον διπλῆ καὶ τριπλῆ, ἀλλὰ πολλαπλῆ, ἐπειδὴ θὰ ἐσκανδάλιζα περισσοτέρους καὶ ἐπειδὴ θὰ ἡμάρτανα πρὸς τὸν τιμήσαντα Θεόν, ἀφοῦ ἐδέχθην μεγαλυτέραν τιμήν.

11. Διά τοι τοῦτο καὶ τῶν Ἰσραηλιτῶν σφοδρότερον κατηγορῶν, τούτῳ δείκνυσιν αὐτοὺς μείζονος ὄντας κολάσεως ἀξίους, τῷ μετὰ τὰς παρ' αὐτοῦ γενομένας εἰς αὐτοὺς τιμὰς ἁμαρτεῖν, ποτὲ μὲν λέγων, «πλὴν ὑμᾶς ἔγνων ἐκ πα-
5 *σῶν τῶν φυλῶν τῆς γῆς, διὰ τοῦτο ἐκδικήσω ἐφ' ὑμῶν», ποτὲ δέ, «ἔλαβον ἐκ τῶν υἱῶν ὑμῶν εἰς προφήτας καὶ ἐκ τῶν νεανίσκων ὑμῶν εἰς ἁγιασμόν». Καὶ πρὸ τῶν προφητῶν, ἐπὶ τῶν θυσιῶν δεῖξαι βουλόμενος ὅτι τὰ ἁμαρτήματα μείζονα ἐκδέχεται πολλῷ τὴν τιμωρίαν, ὅταν ὑπὸ τῶν ἱε-*
10 *ρέων γίνηται ἢ ὅταν ὑπὸ τῶν ἰδιωτῶν, προστάττει τοσαύτην ὑπὲρ τῶν ἱερέων προσάγεσθαι τὴν θυσίαν, ὅσην ὑπὲρ παντὸς τοῦ λαοῦ. Τοῦτο δὲ οὐδὲν ἕτερον δηλοῦντός ἐστιν, ἢ ὅτι μείζονος βοηθείας δεῖται τὰ τοῦ ἱερέως τραύματα καὶ τοσαύτης, ὅσης ὁμοῦ τὰ παντὸς τοῦ λαοῦ. Μείζονος δὲ οὐκ*
15 *ἂν ἐδεῖτο, εἰ μὴ χαλεπώτερα ἦν, χαλεπώτερα δὲ γίνεται οὐ τῇ φύσει, ἀλλὰ τῇ ἀξίᾳ τοῦ τολμῶντος αὐτὰ ἱερέως βαρούμενα. Καὶ τί λέγω τοὺς ἄνδρας τοὺς τὴν λειτουργίαν μετιόντας; Αἱ γὰρ θυγατέρες τῶν ἱερέων, αἷς οὐδεὶς πρὸς τὴν ἱερωσύνην λόγος, ὅμως διὰ τὸ πατρικὸν ἀξίωμα τῶν*
20 *αὐτῶν ἁμαρτημάτων πολὺ πικροτέραν ὑπέχουσι τιμωρίαν. Καὶ τὸ μὲν πλημμέλημα ἴσον αὐταῖς καὶ ταῖς τῶν ἰδιωτῶν θυγατράσι (πορνεία γὰρ ἀμφότερα), τὸ δὲ ἐπιτίμιον πολλῷ τούτων χαλεπώτερον.*

12. Ὁρᾷς μεθ' ὅσης σοι δείκνυσιν ὑπερβολῆς ὁ Θεός,
25 *ὅτι πολλῷ πλείονα τῶν ἀρχομένων ἀπαιτεῖ τὸν ἄρχοντα τιμωρίαν; Οὐ γὰρ δήπου ὁ τὴν ἐκείνου θυγατέραν δι' ἐκεῖνον μειζόνως τῶν ἄλλων κολάζων, τὸν καὶ ἐκείνῃ τῆς προσθήκης τῶν βασάνων αἴτιον ἴσην τοῖς πολλοῖς εἰσπράξεται δίκην, ἀλλὰ πολλῷ μείζονα. Καὶ μάλα γε εἰκότως. Οὐ γὰρ*
30 *εἰς αὐτὸν περιΐσταται μόνον ἡ ζημία, ἀλλὰ καὶ τὰς τῶν*

---

15. Ἀμ. 3, 2. 2, 11.
16. Λευϊτ. 4, 3, 14.

11. Διὰ τοῦτο ὁ Θεός, ὅταν κατηγορῇ τοὺς Ἰσραηλίτας βαρύτερα, τοὺς κρίνει ἀξίους μεγαλυτέρας τιμωρίας ἀκριβῶς διὰ τὸ ὅτι ἡμάρτησαν ἔπειτα ἀπὸ τὰς τιμὰς ποὺ τοὺς ἔκαμε. Καὶ ἄλλοτε μὲν λέγει, «ἐπειδὴ σᾶς διεχώρισα ἀπὸ ὅλας τὰς φυλάς τῆς γῆς, διὰ τοῦτο θὰ ἐκδικηθῶ ἐναντίον σας τὰς ἀσεβείας σας», ἄλλοτε δέ, «ἐξέλεξα ἀπὸ τοὺς υἱούς σας προφήτας καὶ ἀπὸ τὰ παιδιά σας ἱερεῖς»[15]. Καὶ προτοῦ ἀποσταλοῦν οἱ προφῆται, διατάσσει νὰ προσφέρεται ὑπὲρ τῶν ἱερέων τόση θυσία, ὅση δι' ὁλόκληρον τὸν λαόν, διὰ νὰ δείξῃ ὅτι τὰ ἁμαρτήματα ἐπιφέρουν πολὺ βαρυτέραν τιμωρίαν, ὅταν διαπράττωνται ἀπὸ τοὺς ἱερεῖς, ἀπὸ ὅσην, ὅταν διαπράττωνται ἀπὸ τοὺς λαϊκούς[16]. Τοῦτο δὲ ἀναμφιβόλως φανερώνει ὅτι τὰ τραύματα τοῦ ἱερέως ἀπαιτοῦν μεγαλυτέραν βοήθειαν, τόσην, ὅσην τὰ τραύματα ὁλοκλήρου τοῦ λαοῦ. Δὲν ἐχρειάζοντο δὲ μεγαλυτέραν, ἂν δὲν ἦσαν βαρύτερα, βαρύτερα δὲ γίνονται ὄχι ἀπὸ τὴν φύσιν των, ἀλλ' ἀπὸ τὸ ἀξίωμα τοῦ ἱερέως ποὺ τὰ διαπράττει. Καὶ διατί περιορίζομαι εἰς τοὺς ἄνδρας ποὺ ἔχουν τὸ ἱερατικὸν ἀξίωμα; Καὶ αἱ θυγατέρες τῶν ἱερέων, ποὺ δὲν ἔχουν καμμίαν σχέσιν μὲ τὴν ἱερωσύνην, ὑφίστανται πολὺ βαρυτέραν τιμωρίαν τῶν ἰδίων ἁμαρτημάτων ἐξ αἰτίας τοῦ πατρικοῦ ἀξιώματος· τὸ μὲν ἁμάρτημά των ἦτο τὸ ἴδιον μὲ τῶν θυγατέρων τῶν λαϊκῶν (πορνεία καὶ εἰς τὰς δύο περιπτώσεις)[17], ἡ δὲ ποινὴ ἦτο εἰς αὐτὰς πολὺ σκληροτέρα.

12. Βλέπεις μὲ πόσην ἀκρίβειαν σοῦ δεικνύει ὁ Θεὸς ὅτι ζητεῖ ἀπὸ τὸν ἄρχοντα πολὺ μεγαλυτέραν τιμωρίαν παρ' ὅσην ἀπὸ τοὺς ἀρχομένους; Ἀσφαλῶς ὁ Θεός, ποὺ ἐξ αἰτίας ἐκείνου ἐτιμώρησε τὴν θυγατέρα του περισσότερον ἀπὸ τοὺς ἄλλους, δὲν θὰ τιμωρήσῃ ἐξ ἴσου, ἀλλὰ βαρύτερα ἐκεῖνον ποὺ ἦτο αἴτιος τῆς βαρυτέρας τιμωρίας καὶ ἐκείνης· καὶ πολὺ εὐλόγως. Διότι ἡ ζημία ἀπὸ τὰ ἁμαρτήματά του δὲν περιορίζεται μόνον εἰς αὐτόν, ἀλλὰ ἐπεκτεί-

17. Λευϊτ. 21, 9. Δευτ. 20 ἑξ.

ἀσθενεστέρων καὶ εἰς αὐτὸν βλεπόντων καταβάλλει ψυχάς. Τοῦτο καὶ ὁ Ἰεζεκιὴλ διδάξαι βουλόμενος, διΐστησιν ἀπ' ἀλλήλων τὴν τῶν κριῶν καὶ τὴν τῶν προβάτων κρίσιν.

Ἀρά σοι δοκοῦμεν λόγον ἔχοντα πεφοβῆσθαι φόβον; 5 *Πρὸς γὰρ τοῖς εἰρημένοις νῦν μέν, εἰ καὶ πολλοῦ μοι δεῖ πόνου, πρὸς τὸ μὴ δὴ καταγωνισθῆναι τέλεον ὑπὸ τῶν τῆς ψυχῆς παθῶν, ἀλλ' ὅμως ἀνέχομαι τὸν πόνον καὶ οὐ φεύγω τὸν ἀγῶνα. Καὶ γὰρ ὑπὸ κενοδοξίας ἁλίσκομαι μὲν καὶ νῦν, ἀναφέρω δὲ πολλάκις, καὶ ὅτι ἑάλων συνορῶ· ἔστι δὲ* 10 *ὅτε ἐπιτιμῶ τῇ δουλωθείσῃ ψυχῇ. Ἐπιθυμίαι μοι προσπίπτουσι μὲν ἄτοποι καὶ νῦν, ἀλλ' ἀργοτέραν ἀνάπτουσι τὴν φλόγα, τῶν ὀφθαλμῶν τῶν ἔξωθεν οὐκ ἐχόντων ἐπιλαβέσθαι τῆς τοῦ πυρὸς ὕλης. Τοῦ δὲ κακῶς τὸν δεῖνα λέγειν καὶ λεγόμενον ἀκούειν ἀπήλλαγμαι παντελῶς, τῶν διαλε-* 15 *γομένων οὐ παρόντων. Οὐ γὰρ δὴ οὗτοι οἱ τοῖχοι δύναιντ' ἂν ἀφεῖναι φωνήν. Ἀλλ' οὐχὶ καὶ τὴν ὀργὴν ὁμοίως δυνατὸν διαφυγεῖν, καίτοι γε τῶν παροξυνόντων οὐκ ὄντων. Μνήμη γὰρ πολλάκις ἀνδρῶν ἀτόπων προσπεσοῦσα καὶ τῶν ὑπ' αὐτῶν γενομένων ἐξοιδεῖν μοι τὴν καρδίαν ποιεῖ, πλὴν* 20 *ἀλλ' οὐκ εἰς τέλος· ταχέως γὰρ αὐτὴν φλεγμαίνουσαν καταστέλλομεν καὶ πείθομεν ἡσυχάζειν εἰπόντες, ὅτι λίαν ἀσύμφωνον καὶ τῆς ἐσχάτης ἀθλιότητος, τὰ οἰκεῖα ἀφέντας κακά, τὰ τῶν πλησίον περιεργάζεσθαι. Ἀλλ' οὐκ εἰς τὸ πλῆθος ἐλθὼν καὶ ταῖς μυρίαις ἀποληφθεὶς ταραχαῖς, δυνήσομαι* 25 *ταύτης ἀπολαύειν τῆς νουθεσίας, οὐδὲ τοὺς ταῦτα παιδαγωγοῦντας λογισμοὺς εὑρεῖν. Ἀλλ' ὥσπερ οἱ κατὰ κρημνῶν ὑπό τινος ῥεύματος ἢ καὶ ἑτέρως ὠθούμενοι τὴν μὲν ἀπώλειαν, εἰς ἣν τελευτῶσι, προορᾶν δύνανται, βοήθειαν δέ τινα ἐπινοεῖν οὐκ ἔχουσιν· οὕτω καὶ αὐτὸς εἰς τὸν πολὺν τῶν* 30 *παθῶν θόρυβον ἐμπεσών, τὴν μὲν κόλασιν καθ' ἑκάστην αὐξομένην μοι τὴν ἡμέραν δυνήσομαι συνορᾶν, ἐν ἐμαυτῷ*

---

18. Ἰεζ. 34, 17.

νεται καὶ εἰς τὰς ψυχὰς τῶν ἀσθενεστέρων ποὺ ἀποβλέπουν εἰς αὐτόν. Καὶ ὁ Ἰεζεκιὴλ ἐπιθυμῶν νὰ διδάξῃ τὸ ἴδιον ξεχωρίζει τὴν δίκην τῶν κριῶν ἀπὸ τῶν προβάτων[18].

Ἀντιλαμβάνεσαι λοιπὸν ὅτι εἶχα λόγον νὰ φοβηθῶ; Ἐκτὸς δὲ ἀπὸ ὅσα εἶπα, τώρα μέν, ἂν καὶ χρειάζομαι πολὺν κόπον διὰ νὰ καταβληθῶ τελείως ἀπὸ τὰ πάθη τῆς ψυχῆς, πάντως ὑποφέρω τὸν κόπον καὶ δὲν ἀποφεύγω τὸν ἀγῶνα. Εἶναι ἀλήθεια ὅτι καὶ τώρα κυριεύομάι ἀπὸ κενοδοξίαν, ἀλλά συχνὰ συνέρχομαι καὶ ἀντιλαμβάνομαι ὅτι ἐκυριεύθην· ἐνίοτε δὲ καὶ ἐπιτιμῶ τὴν ὑποδουλωθεῖσαν ψυχήν. Μὲ προσβάλλουν μὲν καὶ τώρα παράλογοι ἐπιθυμίαι, ἀλλ' ἀνάπτουν ἀσθενεστέραν φλόγα, διότι οἱ ἐξωτερικοὶ ὀφθαλμοὶ δὲν βλέπουν ἀντικείμενα ὡς τροφὴν διὰ τὴν φωτιάν· εἶμαι δὲ τελείως ἀπηλλαγμένος ἀπὸ τὸ νὰ κακολογῶ ἢ νὰ κακολογοῦμαι, διότι δὲν ἔχω συζητητάς, ἀφοῦ αὐτοὶ ἐδῶ οἱ τοῖχοι δὲν ὁμιλοῦν. Δὲν εἶναι ὅμως δυνατὸν ν' ἀπαλλαγῶ ὁμοίως καὶ ἀπὸ τὴν ὀργήν, ἂν καὶ δὲν ἔχω ἀνθρώπους νὰ μ' ἐρεθίζουν. Καὶ τοῦτο διότι, ὅταν ἐνθυμοῦμαι τὰς πράξεις ἀδίκων ἀνθρώπων, ταράσσεται ἡ καρδία μου, ἀλλὰ πάντως ὄχι πολλὴν ὥραν· γρήγορα σβήνω τὴν φλόγα της καὶ τὴν καταφέρω νὰ ἡσυχάσῃ, λέγων ὅτι εἶναι ἀνάρμοστον καὶ χαρακτηριστικὸν καταπτώσεως ν' ἀφήνω τὰς ἰδικάς μου κακίας καὶ νὰ ἐξετάζω τὰς ξένας. Ἀλλά δὲν θὰ ἠμπορῶ ν' ἀκολουθῶ τὴν συμβουλὴν αὐτὴν οὔτε νὰ ἐπανεύρω τὰς παιδαγωγούσας αὐτὰς σκέψεις, ἐὰν ἔλθω εἰς τὴν κοινωνίαν καὶ εἰσέλθω εἰς τὰς πολυπληθεῖς ταραχάς της. Ἀντιθέτως θὰ εἶμαι σὰν τοὺς συρομένους ἀπὸ κάποιον ρεῦμα ἢ ὅ,τι δήποτε ἄλλο πρὸς τὸν κρημνόν, οἱ ὁποῖοι προβλέπουν μὲ τὴν καταστροφήν, ἀλλὰ δὲν ἠμποροῦν νὰ ἐπινοήσουν κανένα μέσον πρὸς βοήθειαν· ἔτσι καὶ ἐγώ, ἐὰν πέσω εἰς τὸν πολὺν θόρυβον τῶν παθῶν, θὰ ἠμπορῶ μὲν νὰ διακρίνω ὅτι ἡ τιμωρία μου θὰ αὐξάνῃ καθημερινῶς, δὲν

δὲ γενέσθαι, καθάπερ καὶ νῦν, καὶ ἐπιτιμῆσαι λυττῶσι πάντοθεν τοῖς νοσήμασι τούτοις οὐκ ἔτο ὁμοίως εὔπορον καθάπερ καὶ πρότερον. Ἐμοὶ γὰρ ψυχή τίς ἐστιν ἀσθενὴς καὶ μικρὰ καὶ εὐχείρωτος οὐ τούτοις μόνον τοῖς πάθεσιν, ἀλλὰ καὶ τῷ 5 πάντων πικροτέρῳ φθόνῳ, καὶ οὔτε ὕβρεις, οὔτε τιμὰς μετρίως ἐπίσταται φέρειν, ἀλλὰ μεθ' ὑπερβολῆς αὗταί τε ἐπαίρουσιν αὐτὴν καὶ ταπεινοῦσιν ἐκεῖναι.

Ὥσπερ οὖν θηρία χαλεπά, ὅταν μὲν ἐνσωματῇ καὶ σφριγᾷ, τῶν πρὸς αὐτὰ μαχομένων κρατεῖ καὶ μάλιστα ὅταν 10 ἀσθενεῖς ὦσι καὶ ἄπειροι, εἰ δέ τις αὐτὰ λιμῷ κατατήξειε, τόν τε θυμὸν αὐτοῖς ἐκοίμισε καὶ τῆς δυνάμεως τὸ πλέον ἔσβεσεν, ὡς καὶ τὸν μὴ λίαν γενναῖον ἀναδέξασθαι τὸν πρὸς ταῦτα ἀγῶνα καὶ πόλεμον· οὕτω καὶ τὰ πάθη τῆς ψυχῆς, ὁ μὲν ἀσθενῆ ποιῶν ὑπὸ τοῖς ὀρθοῖς αὐτὰ τίθησι λογισμοῖς, 15 ὁ δὲ τρέφων ἐπιμελῶς χαλεπωτέραν αὐτῷ τὴν πρὸς αὐτὰ καθίστησι μάχην καὶ οὕτως αὐτῷ φοβερὰ ἀπεργάζεται, ὡς ἐν δουλείᾳ καὶ δειλίᾳ τὸν πάντα χρόνον βιοῦν. Τίς οὖν τῶν θηρίων τούτων ἡ τροφή; Κενοδοξίας μὲν τιμαὶ καὶ ἔπαινοι, ἀπονοίας δὲ ἐξουσίας καὶ δυναστείας μέγεθος, βασκανίας 20 δέ, αἱ τῶν πλησίον εὐδοκιμήσεις, φιλαργυρίας, αἱ τῶν παρεχόντων φιλοτιμίαι, ἀκολασίας τρυφὴ καὶ αἱ συνεχεῖς τῶν γυναικῶν ἐντεύξεις, καὶ ἕτερον ἑτέρου. Πάντα δὲ ταῦτα εἰς μὲν τὸ μέσον ἐλθόντι σφοδρῶς ἐπιθήσεται καὶ σπαράξει μοι τὴν ψυχὴν καὶ φοβερὰ ἔσται καὶ χαλεπώτερόν μοι τὸν 25 πρὸς ταῦτα ποιήσει πόλεμον. Ἐνταῦθα δὲ καθημένῳ μετὰ πολλῆς μὲν καὶ οὕτως ὑποταγήσεται βίας, ὑποταγήσεται δ' οὖν ὅμως τῇ τοῦ Θεοῦ χάριτι καὶ τῆς ὑλακῆς αὐτοῖς οὐδὲν ἔσται πλέον. Διὰ ταῦτα τὸν οἰκίσκον φυλάττω τοῦτον καὶ ἀπρόσιτος καὶ ἀκοινώνητός εἰμι καὶ ἀσυνουσίαστος καὶ μυ-

---

19. Ἐπάνοδος εἰς τὰ λεγόμενα ἐν Λόγ. Γ' καὶ ΣΤ' 8. Εἶναι πολυπληθῆ τὰ χωρία τοῦ Χρυσοστόμου ποὺ περιγράφουν τὴν δύναμιν τῶν παθῶν. Ὡς παράδειγμα βλ. Μ. 62, 594· «μυρίαι πανταχόθεν ἡδοναὶ φαίνονται ἕλκουσαι τῆς ψυχῆς τοὺς ὀφθαλμούς, αἱ τῶν σωμάτων, αἱ

θὰ μοῦ εἶναι ὅμως, ὅπως πρίν, ὅπως τώρα, εὔκολον νὰ συνέλθω καὶ νὰ ἐπιβληθῶ εἰς τὰ πολύμορφα αὐτὰ πάθη. Ἡ ἰδική μου ψυχὴ εἶναι ἀσθενὴς καὶ μικρὰ καὶ εὐπόρθητος ὄχι μόνον ἀπὸ αὐτὰ τὰ πάθη, ἀλλὰ καὶ ἀπὸ τὸ πικρότερον ἀπὸ ὅλα, τὸν φθόνον, καὶ δὲν γνωρίζει νὰ δέχεται μὲ μετριοπάθειαν οὔτε τὰς ὕβρεις, οὔτε τὰς τιμάς, ἀλλ' αὐταὶ μὲν τὴν ἐπαίρουν, ἐκεῖναι δὲ τὴν ταπεινώνουν ὑπερβολικά.

Τὰ τρομερὰ θηρία, ὅταν εἶναι εὔρωστα καὶ ἀκμαία, νικοῦν τοὺς ἀγωνιζομένους ἐναντίον των, καὶ ἰδίως ἐὰν εἶναι ἀσθενεῖς καὶ ἄπειροι, ἐνῷ ἐὰν τὰ ἐξασθενήσουν μὲ πεῖναν, κοιμίζουν τὴν ὁρμητικότητά των καὶ σβήνουν τὴν μεγάλην δύναμίν των, ὥστε νὰ δέχεται τὸν ἀγῶνα καὶ τὸν πόλεμον ἐναντίον των καὶ ὁ μὴ διακρινόμενος διὰ γενναιότητα· ἔτσι καὶ τὰ πάθη τῆς ψυχῆς ὅποιος τὰ ἐξασθενεῖ, τὰ καθιστᾷ ὑποχείρια τοῦ ὀρθοῦ λογισμοῦ, ἐνῷ ὅποιος τὰ περιποιεῖται κάμνει τὴν μάχην του ἐναντίον των σκληροτέραν, τὰ καθιστᾷ τόσον φοβερὰ εἰς τὴν ψυχήν του, ὥστε νὰ ζῇ διὰ παντὸς σὰν δειλὸς δοῦλός των. Ποία εἶναι λοιπὸν ἡ τροφὴ τῶν θηρίων τούτων; Τῆς μὲν κενοδοξίας αἱ τιμαὶ καὶ οἱ ἔπαινοι, τῆς ὑπερηφανείας ἡ ἀνάρρησις εἰς ἐξουσίαν καὶ ὑψηλὴν ἀρχήν, τοῦ φθόνου ἡ προκοπὴ τῶν πλησίον, τῆς φιλαργυρίας ἡ ἐλευθεριότης τῶν δωρητῶν, τῆς ἀκολασίας ἡ τρυφὴ καὶ αἱ συνεχεῖς συναναστροφαὶ μὲ γυναῖκας, τῶν δὲ ἄλλων ἄλλαι[19]. Ὅλα αὐτὰ θὰ μοῦ ἐπιτεθοῦν ἀγρίως, θὰ μοῦ σπαράξουν τὴν ψυχὴν καὶ μὲ τὴν σκληρότητά των θὰ μοῦ κάμουν τὸν ἐναντίον των πόλεμον βαρύτερον, ἐὰν ἔλθω νὰ ζήσω εἰς τὴν κοινωνίαν. Ὅπως ζῶ ὅμως ἐδῶ καὶ πάλιν βέβαια μὲ πολλὴν δυσκολίαν θὰ ὑποταχθοῦν, ἀλλὰ πάντως θὰ ὑποταχθοῦν μὲ τὴν χάριν τοῦ Θεοῦ, καὶ μόνον τὸ γαύγισμά των θὰ τοὺς μείνῃ. Διὰ τοῦτο κρατῶ αὐτὸ τὸ σπιτάκι καὶ εἶμαι ἀπλησίαστος καὶ ἀκοινώνητος καὶ

τῶν χρημάτων, οἱ τῆς τροφῆς, αἱ τῆς ῥαθυμίας, αἱ τῆς δόξης, αἱ τῆς δυναστείας, αἱ τῆς φιλαρχίας.

ρίας ἑτέρας τοιαύτας μέμψεις ἀκούειν ἀνέχομαι, ἡδέως μὲν ἂν αὐτὰς ἀποτριψάμενος, τῷ δὲ μὴ δύνασθαι δακνόμενος καὶ ἀλγῶν. Οὐδὲ γὰρ εὔπορόν μοι, ὁμιλητικόν τε ὁμοῦ γενέσθαι καὶ ἐπὶ τῆς παρούσης ἀσφαλείας μένειν. Δι' ὃ καὶ 5 αὐτόν σε παρακαλῶ, τὸν ὑπὸ τοσαύτης δυσχερείας ἐπειλημμένον, ἐλεεῖν μᾶλλον ἢ διαβάλλειν.

Ἀλλ' οὐδέπω σε πείθομεν. Οὐκοῦν ὥρα μοι λοιπόν, ὃ μόνον εἶχον ἀπόρρητον, πρὸς σὲ καὶ τοῦτο ἐκβαλεῖν. Καὶ ἴσως μὲν ἄπιστον εἶναι δόξει πολλοῖς· ἐγὼ δὲ αὐτὸ οὐδὲ οὕ-10 τως εἰς μέσον ἐνεγκεῖν αἰσχυνθήσομαι. Εἰ γὰρ καὶ πονηρᾶς συνειδήσεως καὶ μυρίων ἁμαρτημάτων ἔλεγχος τὸ λεγόμενον ᾖ, τοῦ μέλλοντος ἡμᾶς κρίνειν Θεοῦ πάντα εἰδότος ἀκριβῶς, τί πλέον ἡμῖν ἐκ τῆς τῶν ἀνθρώπων ἀγνοίας ἐγγενέσθαι δυνήσεται; Τί οὖν ἐστι τὸ ἀπόρρητον; Ἀπὸ τῆς 15 ἡμέρας ἐκείνης, ἐν ᾗ ταύτην ἐνέθηκάς μοι τὴν ὑποψίαν, πολλάκις ἐκινδύνευσέ μοι παραλυθῆναι τὸ σῶμα τέλεον, τοσοῦτος μὲν φόβος, τοσαύτη δὲ ἀθυμία κατέσχε μου τὴν ψυχήν. Τῆς γὰρ Χριστοῦ νύμφης τὴν δόξαν ἐννοῶν, τὴν ἁγιωσύνην, τὸ κάλλος τὸ πνευματικόν, τὴν σύνεσιν, τὴν εὐκοσμίαν, καὶ 20 τὰ ἐμαυτοῦ λογιζόμενος κακά, οὐ διελίμπανον ἐκείνην τε πενθῶν καὶ ἐμαυτὸν ταλανίζων, καὶ στένων συνεχῶς καὶ διαπορῶν, πρὸς ἐμαυτὸν ἔλεγον ταῦτα· τίς ἄρα ταῦτα συνεβούλευσε; Τί τοσοῦτον ἥμαρτεν ἡ τοῦ Θεοῦ Ἐκκλησία; Τί τηλικοῦτον παρώξυνε τὸν αὐτῆς Δεσπότην, ὡς τῷ πάντων 25 ἀτιμοτάτῳ παραδοθῆναι ἐμοὶ καὶ τοσαύτην ὑπομεῖναι αἰσχύνην; Ταῦτα πολλάκις κατ' ἐμαυτὸν λογιζόμενος καὶ τοῦ λίαν ἀτόπου μηδὲ τὴν ἐνθύμησιν δυνάμενος ἐνεγκεῖν, ὥσπερ οἱ παραπλῆγες ἐκείμην ἀχανής, οὔτε ὁρᾶν οὔτε ἀκούειν τι δυνάμενος. Τῆς δὲ ἀμηχανίας με τῆς τοσαύτης ἀφείσης 30 (καὶ γὰρ ἔστιν ὅτε καὶ ὑπεξίστατο), διεδέχετο δάκρυα καὶ ἀθυμία· καὶ μετὰ τὸν τῶν δακρύων κόρον, ἀντεισῄει πάλιν

μοναχικός, καὶ ἀνέχομαι ν' ἀκούω πολλὰς παρομοίας κατηγορίας, τὰς ὁποίας θὰ ᾐσθανόμην εὐχαρίστησιν ν' ἀπαλείψω, ἐπειδὴ ὅμως δὲν ἠμπορῶ, πικραίνομαι καὶ πονῶ. Διότι δὲν μοῦ εἶναι εὔκολον νὰ γίνω κοινωνικὸς καὶ νὰ ζῶ μὲ τὴν σημερινήν μου ἀσφάλειαν. Δι' αὐτὸ παρακαλῶ καὶ σὲ νὰ μὴ μὲ κατακρίνῃς, ἀλλὰ νὰ μ' εὐσπλαγχνίζεσαι μᾶλλον, ἀφοῦ εὑρίσκομαι εἰς τέτοιον δίλημμα.

Ἀλλ' ἀντιλαμβάνομαι ὅτι δὲν κατώρθωσα νὰ σὲ πείσω. Λοιπὸν εἶναι καιρὸς νὰ σοῦ ἀναφέρω κάτι, τὸ μόνον ποὺ ἐκρατοῦσα μυστικόν. Καὶ ἴσως μὲν φανῇ εἰς πολλοὺς ἀπίστευτον, ἀλλὰ παρὰ ταῦτα δὲν θὰ ἐντραπῶ νὰ τὸ φανερώσω. Καὶ ἂν αὐτὸ ποὺ θ' ἀναφέρω ἀποδεικνύῃ πονηρίαν συνειδήσεως καὶ πληθὺν ἁμαρτημάτων, πάλιν τί θὰ κερδίσω ἀπὸ τὴν ἄγνοιαν τῶν ἀνθρώπων, ἀφοῦ ὁ Θεὸς ποὺ θὰ μᾶς κρίνῃ τὰ γνωρίζει ὅλα μὲ ἀκρίβειαν; Ποῖον λοιπὸν εἶναι τὸ μυστικόν; Ἀπὸ τὴν ἡμέραν ἐκείνην ποὺ μοῦ ἐνέβαλε τὴν ἰδέαν τῆς ἱερώσεως πολλάκις ἐκινδύνευσε νὰ μοῦ παραλυθῇ τὸ σῶμα τελείως· τόσος φόβος καὶ τόση ἀθυμία μοῦ ἐκυρίευσε τὴν ψυχήν. Λαμβάνων ὑπ' ὄψιν τὴν δόξαν τῆς νύμφης τοῦ Χριστοῦ, τὴν ἁγιωσύνην, τὸ πνευματικὸν κάλλος, τὴν σύνεσιν, τὴν εὐπρέπειαν, καὶ ἀναλογιζόμενος τὰ ἰδικά μου ἐλαττώματα, δὲν ἔπαυσα ποτὲ νὰ κλαίω ἐκείνην καὶ νὰ ἐλεεινολογῶ τὸν ἑαυτόν μου. Ἐστέναζα διαρκῶς καὶ διηρωτώμην, ποῖος ἆγά γε τὸ ὑπέδειξεν αὐτό; Ποίαν σπουδαίαν ἁμαρτίαν διέπραξεν ἡ Ἐκκλησία; Πῶς παρώργισε τόσον πολὺ τὸν Δεσπότην της, ὥστε νὰ παραδοθῇ εἰς ἐμέ, τὸν ἀναξιώτερον ἀπὸ ὅλους, καὶ νὰ ὑποστῇ τέτοιαν καταισχύνην; Αὐτὰ διελογιζόμην καὶ δὲν ἠμποροῦσα οὔτε τὴν σκέψιν τῆς ἀτόπου αὐτῆς ἐνεργείας νὰ ὑποφέρω, ἐκαθήμην δὲ ἀναίσθητος σὰν οἱ ἀπόπληκτοι καὶ δὲν ἠμποροῦσα οὔτε νὰ ἰδῶ οὔτε ν' ἀκούσω. Ὅταν δὲ μ' ἄφηνεν ἡ μεγάλη αὐτὴ ἀμηχανία (διότι ἐνίοτε ὑπεχωροῦσε), μ' ἔπιαναν δάκρυα καὶ στενοχωρία, καὶ μετὰ τὸν κορεσμὸν τῶν δακρύων μὲ κατελάμβανε πάλιν ὁ φόβος, συνταράσ-

ὁ φόβος, ταράττων καὶ θορυβῶν καὶ διασείων μοι τὴν διάνοιαν. Τοσαύτῃ ζάλῃ τὸν παρελθόντα συνέζων χρόνον. Σὺ δὲ ἠγνόεις καὶ ἐν γαλήνῃ με διάγειν ἐνόμιζες, ἀλλὰ νῦν σοι ἀποκαλύψαι πειράσομαι τὸν χειμῶνα τῆς ἐμῆς ψυχῆς·
5 *τάχα γάρ μοι καὶ ἀπὸ τούτου συγγνώσῃ, τὰ ἐγκλήματα ἀφείς. Πῶς οὖν σοι, πῶς αὐτὸν ἐκκαλύψομεν; Εἰ μὲν σαφῶς ἐθέλεις ἰδεῖν, ἑτέρως οὐκ ἐνῆν, ἀλλ' ἢ τὴν καρδίαν γυμνώσαντα τὴν ἐμήν. Ἐπειδὴ δὲ τοῦτο ἀδύνατον, δι' ἀμυδρᾶς τινος εἰκόνος, ὡς ἂν οἷός τε ὦ, πειράσομαί σοι τὸν τῆς*
10 *ἀθυμίας τέως ὑποδεῖξαι καπνόν· σὺ δὲ ἐκ τῆς εἰκότος τὴν ἀθυμίαν σύλλεγε μόνον.*

Ὑποθώμεθα εἶναί τινι μνηστὴν τοῦ πάσης τῆς ὑφ' ἥλιον κειμένης γῆς βασιλεύοντος θυγατέρα· ταύτην τε τὴν κόρην κάλλος τε ἔχειν ἀμήχανον, οἷον καὶ τὴν ἀνθρωπίνην
15 *ὑπερβαίνειν φύσιν καὶ τούτῳ τὸ τῶν γυναικῶν ἅπασῶν φῦλον ἐκ πολλοῦ τοῦ διαστήματος νικᾶν, καὶ ψυχῆς ἀρετὴν τοσαύτην, ὡς καὶ τὸ τῶν ἀνδρῶν γένος, τῶν τε γενομένων, τῶν τε ἐσομένων ποτέ, πολλῷ τῷ μέτρῳ κατόπιν ἀφεῖναι· καὶ πάντας μὲν ὑπερβῆναι φιλοσοφίας ὅρους τῇ τῶν τρόπων*
20 *εὐκοσμίᾳ, πᾶσαν δὲ κρύψαι σώματος ὥραν τῷ τῆς οἰκείας ὄψεως κάλλει· τὸν δὲ ταύτης μνηστῆρα μὴ διὰ ταῦτα μόνον περικαίεσθαι τῆς παρθένου, ἀλλὰ καὶ χωρὶς τούτων πάσχειν τι πρὸς αὐτὴν καὶ τῷ πάθει τούτῳ τοὺς μανικωτάτους τῶν πώποτε γενομένων ἀποκρύψαι ἐραστῶν· εἶτα μεταξὺ*
25 *τῷ φίλτρῳ καιόμενον ἀκοῦσαί ποθεν, ὅτι τὴν θαυμαστὴν ἐρωμένην ἐκείνην τῶν εὐτελῶν τις καὶ ἀπερριμμένων ἀνδρῶν, καὶ δυσγενὴς καὶ τὸ σῶμα ἀνάπηρος καὶ πάντων τῶν ὄντων μοχθηρότατος, μέλλοι πρὸς γάμον ἄγεσθαι. Ἆρά σοι μικρόν τι μέρος τῆς ἡμετέρας ὀδύνης παρεστήσαμεν*
30 *καὶ ἀρκεῖ μέχρι τούτου στῆσαι τὴν εἰκόνα; Τῆς μὲν ἀθυμίας ἕνεκεν ἀρκεῖν οἶμαι· καὶ γὰρ διὰ τοῦτο μόνον αὐτὴν*

---

20. Πολλάκις καλεῖται νύμφη ἢ μνηστὴ ἡ Ἐκκλησία ὑπὸ τῶν ἐκκλησιαστικῶν συγγραφέων. Κατὰ Γρηγόριον Ἀπολ. 77, ὁ ἱερεὺς εἶναι

σων, θορυβῶν, διασείων τὴν διάνοιάν μου. Εἰς τόσην ζάλην ἐζοῦσα αὐτὸν τὸν καιρόν, ἐνῷ ἐσὺ τὸ ἀγνοοῦσες καὶ ἐνόμιζες ὅτι ζῶ γαλήνια. Τώρα ὅμως θὰ προσπαθήσω νὰ σοῦ ἀποκαλύψω τὴν τρικυμίαν τῆς ψυχῆς μου· ἴσως ἔτσι θὰ μὲ συναντιληφθῇς. Πῶς λοιπόν, μὲ ποῖον τρόπον νὰ σοῦ τὴν φανερώσω; Διὰ νὰ τὴν ἔβλεπες καθαρά, δὲν θὰ ὑπῆρχεν ἄλλος τρόπος παρὰ νὰ γυμνώσω τὴν καρδίαν μου· ἐπειδὴ ὅμως αὐτὸ εἶναι ἀδύνατον, θὰ προσπαθήσω νὰ σοῦ ὑποδείξω κατὰ τὸ δυνατὸν τὸν καπνὸν τῆς ἕως τώρα ἀθυμίας μου μὲ μίαν ἀμυδρὰν εἰκόνα, καὶ σὺ λάβε μόνον ἰδέαν τῆς ἀθυμίας ἀπὸ τὴν εἰκόνα.

Ἂς ὑποθέσωμεν ὅτι κάποιος ἔχει μνηστὴν[20] τὴν θυγατέρα τοῦ βασιλέως ὅλης τῆς ὑφηλίου, καὶ ὅτι ἡ κόρη αὐτὴ ἔχει ὀμορφιὰν ἀνέκφραστον ποὺ ὑπερβαίνει τὴν ἀνθρωπίνην φύσιν, καὶ ὑπερβάλλει εἰς αὐτὴν κατὰ πολὺ ὅλον τὸ γυναικεῖον φῦλον, ἀλλ' ἔχει καὶ ψυχικὴν ἀρετὴν τέτοιαν, ὥστε νὰ ὑπερβάλλῃ κατὰ πολὺ καὶ τὸ γένος τῶν ἀνδρῶν ὅλων τῶν ἐποχῶν, καὶ τοῦ παρελθόντος καὶ μέλλοντός· καὶ ὅτι ὑπερέβη ὅλους τοὺς ὅρους τῆς ἠθικῆς μὲ τὴν κοσμιότητα τῆς διαγωγῆς καὶ ἐπεσκίασε μὲ τὸ κάλλος τοῦ χαρακτῆρος της κάθε ἄλλην σωματικὴν ὡραιότητα· ἂς ὑποθέσωμεν δὲ ὅτι ὁ μνηστήρ της δὲν φλέγεται μόνον δι' αὐτὰ τὰ χαρίσματα, ἀλλὰ καὶ ἀνεξαρτήτως αὐτῶν κατέχεται ἀπὸ πόθον δι' αὐτὴν καὶ ἐπισκιάζει μὲ τὸ πάθος του τοὺς μανιωδεστέρους ἐραστὰς τῆς ἱστορίας· ὅτι ἔπειτα ἐνῷ φλέγεται ἀπὸ τὴν ἀγάπην, ἀκούει ἀπὸ κάπου ὅτι πρόκειται νὰ νυμφευθῇ τὴν θαυμαστὴν ἐκείνην ἐρωμένην κάποιος εὐτελὴς καὶ ἀποτυχημένος, ἄσχημος καὶ ἀνάπηρος, καὶ μοχθηρότερος ἀπὸ ὅλους τοὺς ἀνθρώπους. Ἆρά γε σοῦ ἀναπαρέστησα μέρος τοῦ πόνου μου καὶ ἀρκεῖ νὰ σταματήσω τὴν παραβολήν; Ἀρκεῖ, νομίζω, διὰ τὴν ἰδέαν τῆς ἀθυμίας· ἄλλωστε

«νυμφαγωγὸς καὶ προμνήστωρ». Βλ. Ι. Πούλου, Ἡ Νύμφη καὶ τὸ Πνεῦμα, Ἀθῆναι 1951.

παρειλήφαμεν. Ἵνα δέ σοι καὶ τοῦ φόβου καὶ τῆς ἐκπλήξεως ὑποδείξω τὸ μέτρον, ἐφ' ἑτέραν πάλιν ἴωμεν ὑπογραφήν.

Καὶ ἔστω στρατόπεδον ἐκ πεζῶν καὶ ἱππέων καὶ ναυ-
5 *μάχων συνειλεγμένον ἀνδρῶν· καὶ καλυπτέτω μὲν τὴν θάλατταν ὁ τῶν τριήρων ἀριθμός, καλυπτέτωσαν δὲ τὰ τῶν πεδίων πλάτη καὶ τὰς τῶν ὀρῶν κορυφὰς αἱ τῶν πεζῶν καὶ ἱππέων φάλαγγες· καὶ ἀντιλαμπέτω μὲν ἡλίῳ τῶν ὅπλων ὁ χαλκὸς καὶ ταῖς ἐκεῖθεν πεμπομέναις ἀκτῖσιν ἡ τῶν περι-*
10 *κεφαλαιῶν καὶ τῶν ἀσπίδων ἀνταφιέσθω μαρμαρυγή· ὁ δὲ τῶν δοράτων κτύπος καὶ ὁ τῶν ἵππων χρεμετισμὸς πρὸς αὐτὸν φερέσθω τὸν οὐρανόν· καὶ μήτε θάλασσα φαινέσθω μήτε γῆ, ἀλλὰ χαλκὸς καὶ σίδηρος πανταχοῦ· ἀντιπαρατατέσθωσαν δὲ αὐτοῖς καὶ πολέμιοι, ἄγριοί τινες ἄνδρες καὶ*
15 *ἀνήμεροι· ἐνεστηκέτω δὲ ἤδη καὶ ὁ τῆς συμβολῆς καιρός. Εἶτα ἁρπάσας τις ἐξαίφνης μειράκιον τῶν ἐν ἀγρῷ τραφέντων καὶ τῆς πηκτίδος καὶ τῆς καλαύροπος πλέον εἰδότων οὐδέν, καθοπλιζέτω μὲν αὐτὸ ὅπλοις χαλκοῖς, περιαγέτω δὲ τὸ στρατόπεδον ἅπαν καὶ δεικνύτω λόχους καὶ λοχα-*
20 *γούς, τοξότας, σφενδονήτας, ταξιάρχους, στρατηγούς, ὁπλίτας, ἱππέας, ἀκοντιστάς, τριήρεις, τριηράρχους, τοὺς ἐκεῖ πεφραγμένους στρατιώτας, τῶν ἐν ταῖς ναυσὶν ἀποκειμένων μηχανημάτων τὸ πλῆθος· δεικνύτω δὲ καὶ τὴν τῶν πολεμίων παράταξιν ἅπασαν καὶ ὄψεις ἀποτροπαίους τινὰς*
25 *καὶ σκευὴν ὅπλων ἐξηλλαγμένην καὶ πλῆθος ἄπειρον καὶ φάραγγας καὶ κρημνοὺς βαθεῖς καὶ δυσχωρίας ὀρῶν· δεικνύτω δὲ ἔτι παρὰ τοῖς ἐναντίοις καὶ πετομένους ἵππους διά τινος μαγγανείας καὶ ὁπλίτας δι' ἀέρος φερομένους καὶ πάσης γοητείας δύναμίν τε καὶ ἰδέαν. Καταλεγέτω*
30 *δὲ καὶ τὰς τοῦ πολέμου συμφοράς, τῶν ἀκοντίων τὸ νέφος, τῶν βελῶν τὰς νιφάδας, τὴν πολλὴν ἀχλὺν ἐκείνην καὶ τὴν ἀορασίαν, τὴν ζοφωδεστάτην νύκτα, ἣν τὸ τῶν τοξευμάτων συνίστησι πλῆθος, ἀποστρέφον τῇ πυκνότητι τὰς ἀκτῖνας, τὴν*

δι' αὐτὴν μόνον ἐχρησιμοποίησα τὴν εἰκόνα. Διὰ νὰ σοῦ δείξω ὅμως καὶ τὸν βαθμὸν τοῦ φόβου καὶ τῆς ἐκπλήξεως, θὰ χρησιμοποιήσω ἄλλην παραβολήν.

Ἂς φαντασθῶμεν τὰ ἑξῆς. Ὑπάρχει στρατόπεδον συγκροτούμενον ἀπὸ πεζούς, ἱππεῖς καὶ ναύτας. Πολυάριθμα πλοῖα καλύπτουν τὴν θάλασσαν, φάλαγγες πεζῶν καὶ ἱππέων καλύπτουν τὰς πλατείας πεδιάδας καὶ τὰς κορυφὰς τῶν ὀρέων. Ὁ χαλκὸς τῶν ὅπλων ἀντιλάμπει εἰς τὴν λάμψιν τοῦ ἡλίου καὶ αἱ περικεφαλαῖαι καὶ αἱ ἀσπίδες ἀντανακλοῦν τὰς ἀκτῖνας του, ὁ δὲ θόρυβος τῶν δοράτων καὶ τὸ χλιμίντρισμα τῶν ἵππων ὑψώνεται πρὸς τὸν οὐρανόν, καὶ δὲν φαίνεται οὔτε θάλασσα οὔτε γῆ, ἀλλὰ παντοῦ χαλκὸς καὶ σίδηρος. Ἀπέναντί των δὲ παρατάσσονται καὶ ἀντίπαλοι ἄγριοι καὶ σκληροί· καὶ ἡ ὥρα τῆς συγκρούσεως πλησιάζει. Τότε κάποιος ἁρπάζει ἕνα ἀγροτόπαιδον ποὺ δὲν ξεύρει τίποτε περισσότερον ἀπὸ τὴν φλογέραν καὶ τὴν ποιμενικὴν ράβδον, τὸ ὁπλίζει μὲ χάλκινα ὅπλα, τὸ περιφέρει εἰς ὁλόκληρον τὸ στρατόπεδον καὶ τοῦ δεικνύει λόχους καὶ λοχαγούς, τοξότας, σφενδονήτας, ταξιάρχους, στρατηγούς, ὁπλίτας, ἱππεῖς, ἀκοντιστάς, πλοῖα, πλοιάρχους, τοὺς ὠχυρωμένους ἐκεῖ στρατιώτας, τὰς πολυαρίθμους πολεμικὰς μηχανὰς εἰς τὰ πλοῖα· τοῦ δεικνύει δὲ καὶ ὁλόκληρον τὴν παράταξιν τῶν ἀντιπάλων, τὰ ἀποτρόπαια πρόσωπα, τὸν διαφορετικὸν ἐξοπλισμόν, τὸν ἄπειρον ἀριθμόν, καὶ τὰς φάραγγας, τοὺς βαθεῖς κρημνούς, τὰς δυσκόλους διαβάσεις τῶν ὀρέων. Τοῦ δεικνύει δὲ ἐπίσης μεταξὺ τῶν ἀντιπάλων ἵππους ποὺ πετοῦν μαγικά, ὁπλίτας ποὺ φέρονται εἰς τὸν ἀέρα καὶ ὅλην τὴν δύναμιν ποὺ ἐσχεδίασε μαγικὴ τέχνη. Ἀπαριθμεῖ δὲ εἰς τὸ παιδάκι καὶ τὰς συμφορὰς τοῦ πολέμου, τὸ σύννεφον τῶν ἀκοντίων, τὰς χιονονιφάδας τῶν βελῶν, ἐκείνην τὴν πυκνὴν ὁμίχλην καὶ ἔλλειψιν ὁρατότητος, τὴν σκοτεινὴν νύκτα ποὺ δημιουργεῖ τὸ πλῆθος τῶν τοξευμάτων, τὰ ὁποῖα ἀπομακρύνουν τὰς ἀκτῖνας μὲ τὴν πυκνότητα, τὴν σκόνην ποὺ τυφλώνει τοὺς

κόνιν οὐχ ἧττον τοῦ σκότους τοὺς ὀφθαλμοὺς ἀμαυροῦσαν, τοὺς τῶν αἱμάτων χειμάρρους, τῶν πιπτόντων τὰς οἰμωγάς, τῶν ἑστώτων τοὺς ἀλαλαγμούς, τῶν κειμένων τοὺς σωρούς, τροχοὺς αἵματι βαπτιζομένους, ἵππους αὐτοῖς ἀναβάταις πρη-
5 *νεῖς φερομένους ἀπὸ τοῦ πλήθους τῶν κειμένων νεκρῶν, τὴν γῆν φύρδην ἅπαντα ἔχουσαν, αἷμα καὶ τόξα καὶ βέλη, ἵππων ὁπλὰς καὶ ἀνθρώπων κεφαλὰς ὁμοῦ κειμένας καὶ βραχίονας καὶ τράχηλον καὶ κνημῖδα καὶ στῆθος διακοπέν, ἐγκεφάλους ξίφεσι προσπεπλασμένους, ἀκίδα βέλους ἐκκε-*
10 *κλασμένην καὶ ὀφθαλμὸν ἔχουσαν ἐμπεπερονημένον. Καταλεγέτω καὶ τὰ τοῦ ναυτικοῦ πάθη· τριήρεις, τὰς μὲν ἐν μέσοις ἀναπτομένας τοῖς ὕδασι, τὰς δὲ αὐτοῖς ὁπλίταις καταδυομένας, τὸν τῶν ὑδάτων ἦχον, τὸν τῶν ναυτῶν θόρυβον, τὴν τῶν στρατιωτῶν βοήν, τὸν τῶν κυμάτων καὶ τῶν*
15 *αἱμάτων μιγνύμενον ἀφρὸν καὶ ὁμοῦ τοῖς πλοίοις ἐπεισιόντα πᾶσι, τοὺς ἐπὶ τῶν καταστρωμάτων νεκρούς, τοὺς καταποντιζομένους, τοὺς ἐπιπλέοντας, τοὺς εἰς τοὺς αἰγιαλοὺς ἐκβρασσομένους, τοὺς ἔνδον τοῖς κύμασι περικλυζομένους καὶ ταῖς ναυσὶν ἀποφράττοντας τὴν ὁδόν. Καὶ πάσας ἀκρι-*
20 *βῶς διδάξας τὰς τοῦ πολέμου τραγῳδίας, προστιθέτω καὶ τὰ τῆς αἰχμαλωσίας δεινὰ καὶ τὴν παντὸς θανάτου χαλεπωτέραν δουλείαν. Καὶ ταῦτα εἰπὼν κελευέτω τὸν ἵππον ἀναβαίνειν εὐθέως καὶ τοῦ στρατοπέδου παντὸς ἐκείνου στρατηγεῖν. Ἆρα οἴει πρὸς τὴν διήγησιν μόνην ἀρκέσειν*
25 *τὸν μειρακίσκον ἐκεῖνον, ἀλλ' οὐκ ἀπὸ πρώτης ὄψεως εὐθέως ἀφήσειν τὴν ψυχήν;*

13. Καὶ μήτοι με νομίσῃς ἐπαίρειν τὸ πρᾶγμα τῷ λόγῳ μηδ' ὅτι τῷ σώματι τούτῳ καθάπερ τινὶ δεσμωτηρίῳ κατακλεισθέντες, τῶν ἀοράτων οὐδὲν δυνάμεθα ἰδεῖν, με-
30 *γάλα τὰ εἰρημένα εἶναι νομίσῃς. Πολὺ γὰρ ταύτης τῆς μάχης μείζονα καὶ φρικωδεστέραν εἶδες ἄν, εἰ τοῦ διαβόλου τὴν ζοφωδεστάτην παράταξιν καὶ τὴν μανιώδη συμβολὴν*

ὀφθαλμοὺς σάν τὸ σκότος, τοὺς χειμάρρους τῶν αἱμάτων, τοὺς στεναγμοὺς τῶν πιπτόντων, τοὺς ἀλαλαγμοὺς τῶν ὀρθίων, τοὺς σωροὺς τῶν νεκρῶν, τροχοὺς βαμμένους μὲ αἷμα, ἵππους ποὺ πίπτουν κάτω μαζὶ μὲ τοὺς ἀναβάτας λόγῳ τοῦ πλήθους τῶν κατακειμένων νεκρῶν, τὸ ἔδαφος ποὺ τὰ ἔχει ὅλα ἀνάμικτα, αἷμα καὶ τόξα καὶ βέλη, ὁπλὰς ἵππων καὶ κεφαλὰς ἀνθρώπων μαζί, βραχίονας καὶ τράχηλον καὶ κνήμην καὶ στῆθος ξεσχισμένον, ἐγκεφάλους κολλημένους εἰς ξίφη, σπασμένην αἰχμὴν βέλους διαπερασμένην εἰς ὀφθαλμόν. Ἀπαριθμεῖ καὶ τὰς καταστροφὰς τοῦ ναυτικοῦ, τὰς τριήρεις ποὺ πυρπολοῦνται εἰς τὸ μέσον τῶν ὑδάτων, ποὺ καταβυθίζονται μὲ ὅλους τοὺς ναύτας, τὸν κρότον τῶν ὑδάτων, τὸν θόρυβον τῶν ναυτῶν, τὴν βοὴν τῶν στρατιωτῶν, τὴν ἀνάμιξιν τοῦ ἀφροῦ τῶν κυμάτων καὶ τῶν αἱμάτων ποὺ εἰσέρχονται εἰς ὅλα τὰ πλοῖα, τοὺς νεκροὺς ἐπάνω εἰς τὰ καταστρώματα, τοὺς βυθισμένους, τοὺς ἐπιπλέοντας, τοὺς ἐκβραζομένους εἰς τὴν ἀκτήν, τοὺς περιφερομένους μέσα εἰς τὰ κύματα καὶ παρεμποδίζοντας τὸν διάπλουν. Καὶ ἀφοῦ τοῦ ἐξηγεῖ μὲ ἀκρίβειαν ὅλας τὰς τραγῳδίας τοῦ πολέμου, τοῦ προσθέτει καὶ τὰ δεινὰ τῆς αἰχμαλωσίας καὶ τῆς δουλείας ποὺ εἶναι χειρότερα ἀπὸ κάθε εἶδος θανάτου. Καὶ ἀφοῦ τοῦ εἰπῇ ὅλα αὐτά, τὸν διατάσσει ν' ἀνεβῇ ἀμέσως εἰς τὸν ἵππον καὶ ν' ἀναλάβῃ τὴν ἀρχιστρατηγίαν ὅλου τοῦ στρατοῦ ἐκείνου. Νομίζεις λοιπὸν ὅτι θ' ἀνθέξῃ τὸ παιδὶ αὐτὸ καὶ εἰς μόνην τὴν διήγησιν; Δὲν θὰ λιποψυχίσῃ ἀμέσως ἐκ πρώτης ὄψεως;

13. Καὶ μὴ νομίσῃς ὅτι μεγαλοποιῶ τὰς δυσκολίας μὲ τὸν λόγον· ἐπειδὴ εἴμεθα κλεισμένοι εἰς τὸ σῶμα αὐτὸ σὰν εἰς δεσμωτήριον καὶ δὲν ἠμποροῦμεν νὰ ἴδωμεν κανένα ἀπὸ τὰ ἀόρατα, μὴ νομίσῃς ὅτι εἶναι ὑπερβολαὶ ὅσα εἶπα. Θὰ ἔβλεπες ἄλλην μάχην πολὺ μεγαλυτέραν καὶ φρικωδεστέραν, ἂν ἠμποροῦσες ποτὲ νὰ ἰδῇς μὲ τοὺς σωματικοὺς ὀφθαλμοὺς τὴν σκοτεινὴν παράταξιν καὶ τὴν μανιώδη ἐπί-

τούτοις τοῖς ὀφθαλμοῖς ἰδεῖν ἠδυνήθης ποτέ. Οὐ γὰρ χαλκὸς ἐκεῖ καὶ σίδηρος, οὐδὲ ἵπποι καὶ ἅρματα καὶ τροχοί, οὐδὲ πῦρ καὶ βέλη, ταῦτα τὰ ὁρατά, ἀλλ' ἕτερα πολὺ τούτων φοβερώτερα μηχανήματα. Οὐ δεῖ τούτοις τοῖς πολεμίοις
5 *θώρακος, οὐδὲ ἀσπίδος, οὐδὲ ξιφῶν καὶ δοράτων· ἀλλ' ἀρκεῖ μόνη ἡ ὄψις τῆς ἐπαράτου στρατιᾶς ἐκείνης παραλῦσαι τὴν ψυχήν, ἢν μὴ λίαν οὖσα γενναία τύχῃ καὶ πρὸ τῆς οἰκείας ἀνδρείας πολλῆς ἀπολαύσῃ τῆς παρὰ τοῦ Θεοῦ προνοίας. Καὶ εἴ γε ἦν δυνατόν, τὸ σῶμα ἀποδύντα τοῦτο, ἢ*
10 *καὶ μετὰ αὐτοῦ τοῦ σώματος δυνηθῆναι καθαρῶς καὶ ἀφόβως ἅπασαν τὴν ἐκείνου παράταξιν καὶ τὸν πρὸς ἡμᾶς πόλεμον ὀφθαλμοφανῶς ἰδεῖν, εἶδες ἂν οὐ χειμάρρους αἱμάτων οὐδὲ σώματα νεκρά, ἀλλὰ ψυχῶν πτώματα τοσαῦτα καὶ τραύματα οὕτω χαλεπά, ὡς ἅπασαν ἐκείνην τοῦ πολέμου*
15 *τὴν ὑπογραφήν, ἣν ἄρτι διῆλθον πρὸς σέ, παίδων τινῶν ἀθύρματα εἶναι νομίσαι καὶ παιδιὰν μᾶλλον ἢ πόλεμον· τοσοῦτοι οἱ καθ' ἑκάστην πληττόμενοι τὴν ἡμέραν. Τὰ δὲ τραύματα οὐκ ἴσην ἐργάζεται τὴν νέκρωσιν, ἀλλ' ὅσον ψυχῆς καὶ σώματος τὸ μέσον, τοσοῦτον ἐκείνης καὶ ταύτης τὸ διάφο-*
20 *ρον. Ὅταν γὰρ λάβῃ τὴν πληγὴν ἡ ψυχὴ καὶ πέσῃ, οὐ κεῖται καθάπερ τὸ σῶμα ἀνεπαισθήτως, ἀλλὰ βασανίζεται μὲν ἐντεῦθεν ἤδη τῇ πονηρᾷ συνειδήσει τηκομένη, μετὰ δὲ τὴν ἐνθένδε ἀπαλλαγήν, κατὰ τὸν τῆς κρίσεως καιρόν, ἀθανάτῳ παραδίδοται τιμωρίᾳ. Εἰ δέ τις ἀναλγήτως ἔχοι πρὸς τὰς*
25 *τοῦ διαβόλου πληγάς, μεῖζον ὑπὸ τῆς ἀναισθησίας ἐκείνῳ γίνεται τὸ δεινόν. Ὁ γὰρ ἐπὶ τῇ προτέρᾳ πληγῇ μὴ δηχθεὶς εὐκόλως δέχεται καὶ δευτέραν καὶ μετ' ἐκείνην ἑτέραν. Οὐ γὰρ διαλιμπάνει μέχρι καὶ τῆς ἐσχάτης ἀναπνοῆς παίων ὁ μιαρός, ὅταν εὕρῃ ψυχὴν ὑπτίαν καὶ τῶν προτέρων*
30 *καταφρονοῦσαν πληγῶν. Εἰ δὲ καὶ τῆς συμβολῆς τὸν τρόπον ἐξετάζειν ἐθέλοις, πολὺ ταύτην σφοδροτέραν καὶ ποικιλω-*

---

21. Ὁ βίος τοῦ χριστιανοῦ παρίσταται ὡς ἀγὼν καὶ μάχη πρὸς κα-

θεσιν τοῦ διαβόλου[21]. Ἐκεῖ δὲν ὑπάρχουν χαλκὸς καὶ σίδηρος, οὔτε ἵπποι καὶ ἅρματα καὶ τροχοί, οὔτε φωτιὰ καὶ βέλη, αὐτὰ τὰ ὁρατὰ ὅπλα, ἀλλὰ ἄλλα μηχανήματα πολὺ φοβερώτερα ἀπ' αὐτά. Οἱ ἀντίπαλοι αὐτοὶ δὲν χρειάζονται θώρακα οὔτε ἀσπίδα οὔτε ξίφη καὶ δόρατα· ἀρκεῖ μόνη ἡ θέα τῆς κατηραμένης ἐκείνης στρατιᾶς διὰ νὰ παραλύσῃ τὴν ψυχήν, ἂν δὲν εἶναι ἐξαιρετικῶς γενναία, καὶ ἂν πρὸ τῆς ἰδικῆς της ἀνδρείας δὲν ἀπήλαυσε τῆς χάριτος τοῦ Θεοῦ. Καὶ ἂν σοῦ ἦτο δυνατὸν ν' ἀπαλλαγῆς ἀπὸ τὸ σῶμα αὐτὸ ἢ καὶ μαζὶ μὲ τὸ σῶμα αὐτὸ νὰ ἰδῇς μὲ τὰ μάτια σου καθαρὰ καὶ ἄφοβα ὅλην τὴν παράταξιν ἐκείνου, τότε θὰ ἔβλεπες ὄχι χειμάρρους ἀπὸ αἵματα οὔτε νεκρὰ σώματα, ἀλλὰ πτώματα ψυχῶν τόσον πολλὰ καὶ τραύματα τόσον βαρέα, ὥστε νὰ νομίσῃς ὅτι ὁλόκληρος ἐκεῖνος ὁ πόλεμος ποὺ πρὸ ὀλίγου σοῦ περιέγραψα εἶναι ἄθυρμα τῶν παιδιῶν, παιγνίδι μᾶλλον παρὰ πόλεμος· τόσον πολλὰ εἶναι τὰ θύματα καθημερινῶς· τὰ δὲ τραύματα δὲν προκαλοῦν ἴσην νέκρωσιν, ἀλλ' ἡ διαφορὰ μεταξὺ τῶν δύο νεκρώσεων εἶναι ὅση ἡ διαφορὰ μεταξὺ ψυχῆς καὶ σώματος. Διότι ὅταν ἡ ψυχὴ τραυματισθῇ καὶ πέσῃ δὲν κεῖται ἀναίσθητος ὅπως τὸ σῶμα, ἀλλὰ βασανίζεται ἀπὸ ἐδῶ ἀκόμη καὶ λυώνει ἐξ αἰτίας τῆς πονηρᾶς συνειδήσεως, μετὰ δὲ τὴν ἀναχώρησιν ἀπὸ ἐδῶ κατὰ τὴν ὥραν τῆς κρίσεως παραδίδεται εἰς αἰωνίαν τιμωρίαν. Ἐὰν δὲ κανεὶς δὲν αἰσθάνεται πόνους ἀπὸ τὰ τραύματα τοῦ διαβόλου, ἡ ἀναισθησία τοῦ προκαλεῖ χειρότερον κακόν, διότι ὅποιος δὲν πονεῖ εἰς τὴν πρώτην πληγήν, δέχεται καὶ δευτέραν καὶ τρίτην. Ὁ μιαρὸς δὲν σταματᾷ τὰ κτυπήματα μέχρι τῆς τελευταίας πνοῆς, ὅταν εὕρῃ ψυχὴν ἀμελῆ ποὺ περιφρονεῖ τὰς προηγουμένας πληγάς. Ἐὰν δὲ θέλῃς νὰ ἐξετάσῃς καὶ τὸν τρόπον τῆς ἐπιθέσεως, θὰ ἰδῇς ὅτι εἶναι πολὺ σφοδροτέρα καὶ πολυτροπωτέρα. Κα-

---

τάκτησιν νέας ἰδεώδους ζωῆς. Βλ. Π. Χρήστου, Ὁ ἀγὼν ὁ καλός, Ποιμὴν 1951.

τέραν ἴδοις ἄν. Οὔτε γὰρ κλοπῆς καὶ δόλου τοσαύτας τις οἶδεν ἰδέας, ὅσας ἐκεῖνος ὁ μιαρς (ταύτῃ γοῦν τὴν πλείονα κέκτηται δύναμιν), οὔτε ἔχθραν τις οὕτως ἀκήρυκτον δύναται ἔχειν πρς τοὺς ἄγαν πολεμικωτάτους αὐτῷ, ὅσην πρὸς
5 *τὴν ἀνθρωπείαν φύσιν ὁ πονηρὸς δαίμων ἐκεῖνος. Καὶ τὴν προθυμίαν δὲ εἴ τις ἐξετάζοι, μεθ' ἧς μάχεται ἐκεῖνος, ἀνθρώποις μὲν ἐνταῦθα καὶ γελοῖον παραβαλεῖν· εἰ δέ τις τὰ ὀργιλώτατα καὶ ἀπηνέστατα τῶν θηρίων ἐκλεξάμενος ἀντιτιθέναι θέλοι τῇ τούτου μανίᾳ, πραότατα ὄντα καὶ ἡμερώτατα*
10 *εὑρήσει τῇ παραβολῇ· τοσοῦτον οὗτος πνεῖ θυμόν, ταῖς ἡμετέραις προσβάλλων ψυχαῖς. Καὶ ὁ τῆς μάχης δὲ χρόνος ἐνταῦθα μὲν βραχύς, καὶ ἐν τῷ βραχεῖ δὲ αὐτῷ πολλαὶ αἱ ἀνακωχαί. Καὶ γὰρ καὶ νὺξ ἐπελθοῦσα καὶ ὁ τοῦ σφάζειν κάματος καὶ τροφῆς καιρὸς καὶ πολλὰ ἕτερα διαναπαύειν*
15 *τὸν στρατιώτην πέφυκεν, ὡς καὶ ἀποδῦναι τὴν παντευχίαν καὶ ἀναπνεῦσαι μικρὸν καὶ σίτῳ καὶ ποτῷ καταψῦξαι καὶ ἑτέροις πολλοῖς τὴν προτέραν ἀνακτήσασθαι δύναμιν. Ἐπὶ δὲ τοῦ πονηροῦ οὐκ ἔστι τὰ ὅπλα καταθέσθαι ποτέ, οὐκ ἔστιν ὕπνον ἄρασθαι τὸν βουλόμενον ἄτρωτον μένειν διὰ παντός.*
20 *Ἀνάγκη γὰρ δυοῖν θάτερον, ἢ πεσεῖν καὶ ἀπολέσθαι γυμνωθέντα, ἢ διὰ παντὸς καθωπλισμένον ἑστῶτα καὶ ἐγρηγορότα εἶναι. Καὶ γὰρ ἐκεῖνος διὰ παντὸς ἕστηκε μετὰ τῆς αὐτοῦ παρατάξεως, τὰς ἡμετέρας ῥαθυμίας παρατηρῶν, πλείονά τε εἰσφέρων σπουδὴν εἰς τὴν ἡμετέραν ἀπώλειαν ἢ εἰς τὴν*
25 *σωτηρίαν ἡμεῖς τὴν ἑαυτῶν. Καὶ τὸ μὴ ὁρᾶσθαι δὲ αὐτὸν ὑφ' ἡμῶν καὶ τὸ ἐξαπίνης ἐπιτίθεσθαι, ἃ μάλιστα τῶν μυρίων ἐστὶν αἴτια κακῶν τοῖς οὐκ ἐγρηγορόσι διὰ παντός, πολὺ τοῦτον ἀπορώτερον ἐκείνου δείκνυσι τὸν πόλεμον. Ἐνταῦθα οὖν ἡμᾶς ἤθελες στρατηγεῖν τοῖς στρατιώταις τοῦ Χρι-*
30 *στοῦ; Ἀλλὰ τῷ διαβόλῳ τοῦτο ἦν στρατηγεῖν. Ὅταν γὰρ ὁ διατάττειν καὶ διακοσμεῖν τοὺς λοιποὺς ὀφείλων πάντων ἀπειρότατος καὶ ἀσθενέστατος ᾖ, προδοὺς ὑπὸ τῆς ἀπειρίας*

νεὶς δὲν γνωρίζει τόσας μεθόδους ἀπάτης καὶ δόλου, ὅσας ἐκεῖνος ὁ μιαρὸς — ἄλλωστε ἐδῶ ἔγκειται ἡ κυρία δύναμίς του. Καὶ κανεὶς δὲν ἠμπορεῖ νὰ ἔχῃ καὶ πρὸς τοὺς χειροτέρους ἐχθρούς του τέτοιαν ἀδιάλλακτον ἔχθραν, ποὺ ἔχει ὁ πονηρὸς δαίμων πρὸς τὴν ἀνθρωπίνην φύσιν. Ἐὰν ἐξετάσῃ δὲ κανεὶς καὶ τὴν προθυμίαν, μὲ τὴν ὁποίαν μάχεται ἐκεῖνος, θὰ θεωρήσῃ γελοῖον νὰ μὴν παραβάλῃ μὲ τὴν ἀνθρωπίνην· καὶ ἐὰν ἐκλέξῃ τὰ ἀγριώτερα καὶ σκληρότερα θηρία καὶ θελήσῃ νὰ τ' ἀντιπαραβάλῃ εἰς τὴν μανίαν αὐτοῦ, θὰ εὕρῃ ὅτι εἶναι πραότατα καὶ ἡμερώτατα· τόσος θυμὸς τὸν κυριεύει, ὅταν ἐπιτίθεται κατὰ τῶν ψυχῶν μας. Καὶ ἡ διάρκεια τῆς μάχης δὲ ἐδῶ μὲν εἶναι σύντομη καὶ συνάπτονται κατ' αὐτὴν πολλαὶ ἀνακωχαί. Ἡ ἔλευσις τῆς νυκτός, ὁ κάματος ἀπὸ τὴν σφαγήν, ἡ ὥρα τοῦ φαγητοῦ καὶ ἄλλαι ἀφορμαὶ ἀναπαύουν τὸν στρατιώτην καὶ τοῦ ἐπιτρέπουν ν' ἀποδυθῇ τὴν πανοπλίαν, ν' ἀναπνεύσῃ ὀλίγον, ν' ἀναψυχθῇ μὲ φαγητὸν καὶ ποτὸν καὶ ν' ἀναζωογονηθῇ μὲ πολλὰ ἄλλα μέσα. Εἰς τὸν πόλεμον ὅμως κατὰ τοῦ πονηροῦ δὲν εἶναι δυνατὸν νὰ καταθέσῃ κανεὶς τὰ ὅπλα ποτέ, δὲν εἶναι δυνατὸν νὰ κοιμηθῇ ὅποιος θέλει νὰ εἶναι πάντοτε ἄτρωτος. Κατ' ἀνάγκην θὰ συμβαίνῃ ἕνα ἀπὸ τὰ δύο· ἢ θὰ γυμνωθῇ, ὁπότε θὰ πέσῃ καὶ θὰ χαθῇ, ἢ θὰ μένῃ διὰ παντὸς ὡπλισμένος, ὄρθιος καὶ ἄγρυπνος. Διότι ἐκεῖνος στέκει πάντοτε ὄρθιος μαζὶ μὲ τὴν παράταξίν του, παρατηρῶν τὴν ἐκδήλωσιν τῆς ἀδιαφορίας μας καὶ φροντίζων διά τὴν καταστροφήν μας περισσότερον ἀπὸ ὅσον φροντίζομεν ἡμεῖς διὰ τὴν σωτηρίαν μας. Καὶ τὸ γεγονὸς ὅτι μᾶς εἶναι ἀόρατος καὶ ἐπιτίθεται αἰφνιδιαστικῶς (πρᾶγμα ποὺ εἶναι αἴτιον μυρίων κακῶν διὰ τοὺς ἀπροσέκτους) δεικνύει ὅτι ὁ πόλεμος αὐτὸς εἶναι πολὺ δυσκολώτερος ἀπὸ ἐκεῖνον. Ἐδῶ λοιπὸν μὲ ἤθελες ἀρχιστράτηγον τῶν στρατιωτῶν τοῦ Χριστοῦ; Τοῦτο θὰ ἐσήμαινε στρατηγίαν ὑπὲρ τοῦ διαβόλου. Ὅταν εἶναι ἀπειρότερος καὶ ἀσθενέστερος ἀπὸ ὅλους ἐκεῖνος ποὺ ὀφείλει νὰ διοικῇ καὶ νὰ συντάσσῃ

τοὺς πιστευθέντας, τῷ διαβόλῳ μᾶλλον ἐστρατήγησεν ἢ τῷ Χριστῷ. Ἀλλὰ τί στένεις; τί δακρύεις; Οὐ γὰρ θρήνων ἄξια τὰ κατ᾿ ἐμὲ νῦν, ἀλλ᾿ εὐφροσύνης καὶ χαρᾶς.

ΒΑΣΙΛΕΙΟΣ. Ἀλλ᾿ οὐχὶ καὶ τὰ ἐμά, φησίν, ἀλλὰ
5 *μυρίων ἄξια ταῦτα κοπετῶν· νῦν γὰρ μόλις ἠδυνήθην συνιδεῖν, οἷ τῶν κακῶν με ἤγαγες. Ἐγὼ μὲν γὰρ εἰσῆλθον πρὸς σέ, ὅ,τι ποτὲ ὑπὲρ σοῦ πρὸς τοὺς ἐγκαλοῦντας ἀπολογήσομαι δεόμενος μαθεῖν· σὺ δέ με ἐκπέμπεις ἑτέραν ἀνθ᾿ ἑτέρας φροντίδα ἐνθείς. Οὐ γὰρ ἔτι μοι μέλει, τί πρὸς ἐ-*
10 *κείνους ὑπὲρ σοῦ, ἀλλὰ τί πρὸς τὸν Θεὸν ὑπὲρ ἐμαυτοῦ καὶ τῶν ἐμῶν ἀπολογήσομαι κακῶν. Πλὴν ἀλλά σου δέομαι καὶ ἀντιβολῶ, εἴ τι σοι μέλει τῶν ἐμῶν, εἴ τις παράκλησις ἐν Χριστῷ, εἴ τι παραμύθιον ἀγάπης, εἴ τινα σπλάγχνα καὶ οἰκτιρμοί, (καὶ γὰρ οἶδας, ὅτι με μάλιστα πάντων αὐτὸς εἰς*
15 *τοῦτον τὸν κίνδυνον ἤγαγες), χεῖρα ὄρεξον, καὶ λέγων καὶ πράττων τὰ δυνάμενα ἡμᾶς ἀνορθοῦν· μηδὲ ἀνάσχῃ πρὸς γοῦν τὸ βραχύτατον ἡμᾶς ἀπολιπεῖν, ἀλλὰ νῦν μᾶλλον ἢ πρότερον κοινὰς ποιεῖσθαι τὰς διατριβάς.*

ΧΡΥΣΟΣΤΟΜΟΣ. Ἐγὼ δὲ μειδιάσας, καὶ τί συμβα-
20 *λέσθαι, ἔφην, τί δέ σε ὀνῆσαι δυνήσομαι πρὸς τοσοῦτον πραγμάτων ὄγκον; Πλὴν ἀλλ᾿ ἐπειδή σοι τοῦτο ἡδύ, θάρρει, ὦ φίλη κεφαλή· τὸν γὰρ καιρόν, καθ᾿ ὃν ἂν ἐξῇ σοι τῶν ἐκεῖθεν φροντίδων ἀναπνεῖν, καὶ παρέσομαι καὶ παρακαλέσω καὶ τῶν εἰς δύναμιν τὴν ἐμὴν ἐλλείψω οὐδέν.*

25 *Ἐπὶ τούτοις πλέον ἐκεῖνος δακρύσας ἀνίσταται· ἐγὼ δὲ αὐτῷ περιχυθεὶς καὶ καταφιλήσας τὴν κεφαλήν, προὔπεμπον, παρακαλῶν γενναίως φέρειν τὸ συμβεβηκός. Πι-*

τοὺς ἄλλους, καὶ λόγῳ τῆς ἀπειρίας, προδίδῃ τοὺς ἀνατεθέντας εἰς αὐτόν, τότε στρατηγεῖ μᾶλλον εἰς τὸν διάβολον παρὰ εἰς τὸν Χριστόν. Ἀλλὰ διατί στενάζεις, διατί δακρύζεις; Ἐγὼ τώρα δὲν εἶμαι διὰ θρήνους, εἶμαι δι' εὐφροσύνην καὶ χαράν.

ΒΑΣΙΛΕΙΟΣ. Δὲν εἶμαι ὅμως καὶ ἐγὼ τὸ ἴδιον· ἐγὼ εἶμαι δι' ἀκατάπαυστον θρῆνον· τώρα μόλις κατώρθωσα ν' ἀντιληφθῶ εἰς πόσον τρομερὰν θέσιν μ' ἔφερες. Ἐγὼ ἦλθα κοντά σου, διὰ νὰ μάθω τί θ' ἀπολογηθῶ πρὸς τοὺς κατηγοροῦντας, ἐσὺ δὲ μὲ στέλλεις μὲ ἄλλην φροντίδα ἀντὶ τῆς προηγουμένης. Τώρα πλέον δὲν μ' ἐνδιαφέρει τί θ' ἀπολογηθῶ πρὸς ἐκείνους δι' ἐσέ, ἀλλὰ τί θ' ἀπολογηθῶ πρὸς τὸν Θεὸν διά τὸν ἑαυτόν μου καὶ τὰ ἁμαρτήματά μου. Ἀλλὰ σὲ παρακαλῶ καὶ σὲ ἱκετεύω, ἐὰν ἐνδιαφέρεσαι δι' ἐμέ, ἐὰν θέλῃς νὰ μὲ στηρίξῃς ἐν ὀνόματι τοῦ Χριστοῦ, νὰ μὲ παρηγορήσῃς μὲ ἀγάπην, νὰ μοῦ δείξῃς εὐσπλαχνίαν καὶ ἔλεος[22] (ἄλλωστε γνωρίζεις ὅτι σὺ πρὸ πάντων μ' ἔφερες εἰς αὐτὸν τὸν κίνδυνον), δός μου τὸ χέρι σου, εἰπέ μου καὶ κάμε ὅσα εἶναι δυνατὸν νὰ μὲ ἀνορθώσουν καὶ μὴ σκεφθῇς νὰ μὲ ἀφήσῃς οὔτε διὰ μίαν στιγμήν· τώρα περισσότερον ἀπὸ προηγουμένως πρέπει νὰ μένωμεν μαζί.

ΧΡΥΣΟΣΤΟΜΟΣ. Ἐγὼ δὲ ἐχαμογέλασα καὶ εἶπα. Εἰς τί εἶναι δυνατὸν ὅμως νὰ σὲ βοηθήσω, εἰς τί νὰ σὲ ὠφελήσω ἐμπρὸς εἰς τέτοιον ὄγκον δυσκολιῶν; Ἀλλ' ἀφοῦ σὲ εὐχαριστεῖ αὐτό, ἀγαπητέ μου φίλε, ἔχε θάρρος. Ὅταν αἱ ἐπισκοπικαὶ φροντίδες σοῦ δίδουν καιρὸν ἀναπαύσεως, θὰ σ' ἐπισκέπτωμαι καὶ θὰ σὲ στηρίζω καὶ δὲν θὰ παραλείψω τίποτε ἀπὸ ὅσα ἠμπορῶ νὰ πράξω.

Ἔπειτα ἀπὸ αὐτὰ ἐκεῖνος ἐδάκρυσε καὶ ἐσηκώθη. Ἐγὼ δὲ τὸν ἐνηγκαλίσθην, τὸν ἐφίλησα εἰς τὴν κεφαλὴν καὶ τὸν προέπεμψα μὲ τὴν προτροπὴν νὰ ὑποφέρῃ γενναίως ὅ,τι συνέβη. Τοῦ εἶπα· ἔχω ἐμπιστοσύνην εἰς τὸν Χριστὸν

22. Φιλ. 2, 1.

στεύω γάρ, ἔφην, τῷ καλέσαντί σε Χριστῷ καὶ τοῖς ἰδίοις ἐπιστήσαντι προβάτοις, ὅτι τοσαύτην ἐκ τῆς διακονίας ταύτης κτήσῃ τὴν παρρησίαν, ὡς καὶ ἡμᾶς κατὰ τὴν ἡμέραν ἐκείνην κινδυνεύοντας εἰς τὴν αἰώνιόν σου δέξασθαι σκηνήν.

πού σ' ἐκάλεσε καὶ σὲ ἐτοποθέτησεν ἐπιστάτην τῶν προβάτων του, ἔχω ἐμπιστοσύνην ὅτι θ' ἀποκτήσῃς διὰ τοῦ ἔργου σου αὐτοῦ τόσον θάρρος, ὥστε νὰ δεχθῇς εἰς τὴν αἰωνίαν κατοικίαν σου καὶ ἐμὲ πού θὰ κινδυνεύω κατὰ τὴν ὥραν ἐκείνην.

ΑΣΚΗΤΙΚΑΙ ΠΡΑΓΜΑΤΕΙΑΙ

ΕΙΣΑΓΩΓΗ

Ἕνδεκα πραγματεῖαι, κατὰ τὸ πλεῖστον ἐπιστολικῆς μορφῆς, ἀναφέρονται εἰς τὸν ἀσκητικὸν βίον. Πέντε ἄλλαι ἀναφέρονται εἰς τὴν γυναικείαν ἄσκησιν καὶ τὴν χηρείαν, ἀλλ' αἱ τελευταῖαι αὗται καὶ τρεῖς ἀπὸ τὰς προηγουμένας, θὰ περιληφθοῦν εἰς ἄλλον τόμον.

Ὁ Χρυσόστομος ἔζησε τέσσαρα ἔτη πλησίον ἐρημιτῶν εἰς τὰ περὶ τὴν Ἀντιόχειαν ὄρη ὑπὸ τὴν πνευματικὴν καθοδήγησιν ἑνὸς γέροντος, δύο δὲ ἐπὶ πλέον ἔτη μόνος εἰς ἄγριον σπήλαιον. Ὁ κλονισμὸς τῆς ὑγείας του ἀπὸ τὴν ἐπίμονον στέρησιν τὸν ἠνάγκασε νὰ ἐπιστρέψῃ εἰς τὴν πόλιν, ὅπου μετ' ὀλίγον ἐδέχθη τὴν χειροτονίαν εἰς διάκονον ἀπὸ τὸν ἀρχιεπίσκοπον Μελέτιον.

Αἱ πραγματεῖαι αὐταὶ συνετάχθησαν ὅλαι κατὰ τὴν διάρκειαν τοῦ χρόνου τῆς ἀσκήσεως (375—381), καὶ μάλιστα κατὰ τὴν τελευταίαν φάσιν της. Ὁ μέγας πατήρ, καθαρίσας τὴν συνείδησίν του καὶ τὴν καρδίαν του διὰ τῶν ἀγώνων τῆς ἀσκήσεως, ἐγνώρισε μὲ τὴν πεῖραν του τὴν ἀξίαν τοῦ μοναχικοῦ βίου καὶ τὴν δύναμιν τῆς ἀρετῆς. Αὐτὰ τὰ ἀγαθὰ ἐκθέτει εἰς τὰς πραγματείας, τὰς ὁποίας παρουσιάζομεν εἰς τὴν συνέχειαν[1].

Ἡ χειρόγραφος παράδοσις τὰς συνέλεξεν εἰς ἓν σῶμα μαζὶ μὲ τὰς ἄλλας ὡς ἄνω ἐπισημανθείσας. Εἴτε ἐκ τοῦ περιεχομένου εἴτε ἐκ τῆς προελεύσεως, ἀπετέλεσαν τρεῖς εὐρυτέρας ἑνότητας, τὰς ἑξῆς.

Α'. Πρὸς τοὺς πολεμοῦντας τὸν μοναχικὸν βίον.

1. Πρὸς τοὺς κατηγόρους
2. Πρὸς ἄπιστον πατέρα
3. Πρὸς πιστὸν πατέρα

1. Δι' ὅλας τὰς πραγματείας ἀκολουθεῖται τὸ κείμενον τοῦ Montfaucon, κατὰ περιστάσεις βελτιωμένου, πλὴν τῶν δοκιμίων πρὸς Θεόδωρον, διὰ τὸ ὁποῖον ἀκολουθεῖται τὸ κείμενον τοῦ J: Dumortier.

Α΄ ΠΡΟΣ ΤΟΥΣ ΠΟΛΕΜΟΥΝΤΑΣ ΤΟΝ ΜΟΝΑΧΙΚΟΝ ΒΙΟΝ

Εἰς ὅλους τοὺς καιροὺς οἱ γονεῖς εἶναι εὐαίσθητοι ἔναντι ἐκείνων οἱ ὁποῖοι μὲ τὰ κηρύγματά των παρασύρουν τὰ τέκνα των εἰς τρόπον ζωῆς διάφορον ἀπὸ τὸν ἰδικόν των. Ὅπως καὶ σήμερον συχνὰ ἀντιδροῦν βιαίως εἰς περιπτώσεις ἐπιδόσεως τῶν τέκνων των εἰς τὸν μοναχικὸν βίον, οὕτω καὶ τότε. Ὑπῆρχον δὲ εὐλόγως καὶ ἐκεῖνοι οἱ ὁποῖοι ἐπροπαγάνδιζον ἐναντίον τῶν καθοδηγητῶν καὶ διδασκάλων τοιούτου βίου.

Αἱ τρεῖς πραγματεῖαι τῆς παρούσης ἑνότητος ἀποτελοῦν ἀπολογίαν ὑπὲρ τοῦ μοναχικοῦ βίου. Παρουσιάζουν αὐτὸν ὡς πραγματικὴν φιλοσοφίαν καὶ προτρέπουν τοὺς γονεῖς νὰ στείλουν τὰ τέκνα των εἰς μοναχικὰς ἀδελφότητας πρὸς ἐκπαίδευσιν. Ὁ γενικὸς τίτλος των, ἑνιαῖος καὶ διὰ τὰς τρεῖς, ἔχει πλήρως ὡς ἑξῆς. «Πρὸς τοὺς πολεμοῦντας τοῖς ἐπὶ τὸ μονάζειν ἐνάγουσιν», τὰ δὲ ἐπὶ μέρους κείμενα ἦσαν ἀνεπίγραφα καὶ ἐφέροντο ὡς λόγος α΄, λόγος β΄, λόγος γ΄, βραδύτερον ὅμως κάποιος συλλογεὺς ἔδωσεν ἰδιαιτέρους τίτλους εἰς τὰς δύο τελευταίας καὶ ἄφησε τὸν γενικὸν τίτλον διὰ τὴν πρώτην, τὴν ὁποίαν κατ' ἀναλογίαν ἡμεῖς τιτλοφοροῦμεν «Πρὸς τοὺς κατηγόρους».

Ὅτι ὁ Χρυσόστομος ἦτο ἀκόμη μοναχός, ὅταν ἔγραφε τὰς πραγματείας ταύτας, ἀποδεικνύεται ἐκ τοῦ γεγονότος ὅτι παρουσιάζει κάποιον γνώριμόν του νὰ προσέρχεται εἰς αὐτὸν (1, 2) καὶ νὰ τὸν πληροφορῇ ὅτι ὑφίσταται μεταξὺ τῶν Χριστιανῶν ἐντὸς τῶν πόλεων ἄνθρωποι οἱ ὁποῖοι ζητοῦν νὰ ἀπαγορευθῇ ὁ

μοναχικὸς βίος καὶ νὰ ἐκδιωχθοῦν οἱ διδάσκαλοί του. Προφανῶς λοιπὸν οὗτος ἦτο ἀκόμη εἰς τὴν ἐρημίαν καὶ ἀναλαμβάνει νὰ ἀπολογηθῇ ὑπὲρ τοῦ μοναχικοῦ βίου.

1. ΠΡΟΣ ΤΟΥΣ ΚΑΤΗΓΟΡΟΥΣ

Ὁ Χρυσόστομος δοκιμάζει ἔκπληξιν, καθὼς πληροφορεῖται τὴν ὕπαρξιν κατηγόρων τοῦ μοναχικοῦ βίου, καὶ μάλιστα ἀκόμη καὶ μεταξὺ τῶν πιστῶν, καὶ φρίττει διὰ τοῦτο. Ἀποκρούει τὰς κατηγορίας ἀνατρέχων εἰς τὰ αἴτια τὰ ὁποῖα προκαλοῦν τὴν ἀνάγκην τῆς ἀπομακρύνσεως ἀπὸ τὸν κοσμικὸν βίον. Ἀναποδογυρίσθησαν τὰ πάντα, καὶ αἱ μὲν πόλεις, ὅπου ὑπάρχουν δικαστήρια καὶ νόμοι, εἶναι γεμᾶται παρανομίαν καὶ ἀδικίαν, ἡ δὲ ἐρημία ὅπου δὲν ὑπάρχουν δικαστήρια καὶ νόμοι εἶναι γεμᾶτος καρποὺς τῆς φιλοσοφίας, ἐκπροσωπουμένης ἀπὸ τὸν μοναχισμόν. Ποῖοι εἶναι ἄξιοι κατηγορίας; Αὐτοὶ οἱ ὁποῖοι προτρέπουν τοὺς νέους νὰ ἀναχωρήσουν ἀπὸ τὸν κόσμον τῆς διαφθορᾶς ἢ αὐτοὶ οἱ ὁποῖοι εἶναι αἴτιοι τῆς διαφθορᾶς; Ποῖος εἶναι ἄξιος κατηγορίας; Αὐτὸς ὁ ὁποῖος πείθει τοὺς κατοίκους μιᾶς ἀναστατωμένης πόλεως νὰ φύγουν ἢ αὐτὸς ὁ ὁποῖος ἐπέβαλεν εἰς αὐτὴν τυραννίαν; Οἱ καταδιώκοντες τοὺς διδασκάλους τῆς ἀρετῆς μὲ περισσότερον ζῆλον ἀπὸ ὅσον αἰσθάνονται ἄλλοι εἰς τὴν καταδίωξιν τῶν διδασκάλων τῆς κακίας, δὲν εἶναι φίλοι τῶν χριστιανῶν ἀλλ' ἐχθροί των.

2. ΠΡΟΣ ΤΟΝ ΑΠΙΣΤΟΝ ΠΑΤΕΡΑ

Ἐπειδὴ μερικῶν ἀπὸ τὰ παιδιὰ τὰ ὁποῖα ὡδηγοῦντο εἰς τὸν μοναχικὸν βίον οἱ γονεῖς ἦσαν εἰδωλολάτραι, ὁ Ἰωάννης ἐσκέφθη νὰ ἀπευθύνῃ τὴν δευτέραν πραγματείαν πρὸς ἕνα ἄπιστον πατέρα. Φαίνεται ὅτι εἶχεν ὑπ' ὄψιν συγκεκριμένον πρόσωπον, ἕνα πλούσιον καὶ ἔνδοξον πατέρα ἀπὸ τὸν κύκλον τῶν γνωρίμων ἢ συγγενῶν του, ὁ ὁποῖος κατηγόρει τοὺς μοναχικοὺς ἡγέτας

ὅτι προσείλκυον τὸν μοναδικὸν υἱόν του εἰς τὸν σκληρὸν βίον τὸν ὁποῖον ἠκολούθησαν οἱ ἴδιοι. Εἶναι εὔλογον ὅτι σπανιώτατα καταφεύγει εἰς τὴν Γραφὴν διὰ νὰ εὕρῃ ἐκεῖ ἐνίσχυσιν ὑπὲρ τῶν ἀπόψεών του. Τὰ ἐπιχειρήματά του εἶναι πραγματικά, προέρχονται ἀπὸ τὸν κοινωνικὸν βίον τῶν ἀνθρώπων.

Ὁ εἰδωλολάτρης πατὴρ θὰ ἐσκέπτετο φυσικὰ ὅτι ὁ υἱός του, ὁ μελλοντικὸς γηροκόμος του, ἀπήχθη κατὰ κάποιον τρόπον ἀπὸ ἅρπαγας καὶ αἱ ἐλπίδες τὰς ὁποίας εἶχε στηρίξει εἰς αὐτὸν ἔμειναν ἀνεκπλήρωτοι. Ποῖαι δὲ ἦσαν αἱ ἐλπίδες; ὅτι θὰ ζήσῃ μέσα εἰς τὸν πλοῦτον καὶ θὰ καταλάβῃ ὑψηλὰ ἀξιώματα. Ὁ ἴδιος ὅμως ὁ πλούσιος πατὴρ εἶναι πτωχότερος ἀπὸ τὸν ἀκτήμονα ἀσκητὴν υἱόν του· διότι αὐτὸς ὁ δεύτερος δὲν ἔχει ὑλικὰς ἀνάγκας πρὸς ἱκανοποίησιν. Εἶναι πλουσιώτερος, ὅπως ἦτο πλουσιώτερος ὁ φιλόσοφος Σωκράτης ἀπὸ τὸν μακεδόνα βασιλέα Ἀρχέλαον καὶ ὁ κυνικὸς Διογένης ἀπὸ τὸν κοσμοκράτορα Ἀλέξανδρον. Ἂν πείσουν τώρα τὸν υἱόν του νὰ κατέλθῃ ἀπὸ τὴν ὀρεινὴν ἐρημίαν καὶ νὰ εἰσέλθῃ εἰς τὴν ἀγοράν, θὰ ἴδῃ νὰ τὸν δακτυλοδεικτοῦν ὅλοι μὲ θαυμασμόν, διότι λόγῳ τοῦ ἤθους του θὰ εἶναι ἐνδοξότερος ἀπὸ τοὺς εὑρισκομένους εἰς τὰ ἀνάκτορα καὶ ἀπὸ τὸν φέροντα τὸ βασιλικὸν στέμμα.

3. ΠΡΟΣ ΤΟΝ ΠΙΣΤΟΝ ΠΑΤΕΡΑ

Ἐδῶ ἀπευθύνεται πρὸς τοὺς χριστιανοὺς γονεῖς, τῶν ὁποίων πάλιν ἴσως εἶχεν ἓν συγκεκριμένον παράδειγμα ὑπ' ὄψιν. Ἐπεκτείνων τὴν διαπραγμάτευσιν καὶ ἀναποφεύκτως ἐπαναλαμβάνων ὡρισμένα ἀπὸ τὰ προηγουμένως λεχθέντα, ὅπως παραδέχεται ὁ ἴδιος, τονίζει τὴν ἀξίαν τῆς μοναστικῆς ζωῆς.

Ἡ ἀναφορὰ ἐδῶ εἰς τὴν Γραφὴν εἶναι συχνὴ καὶ διὰ τὴν ἄντλησιν παραδειγμάτων εἰς αὐτὴν καταφεύγει ὁ συγγραφεύς. Παραδείγματα καλῶν γονέων ἦσαν ὁ Ἀβραάμ, ἡ Ἄννα, ὁ Ἰώβ, καὶ ἀμορφώτων ἀλλ' ἐναρέτων ἀνδρῶν εὑρίσκονται εἰς τὴν

Κ. Διαθήκην, ἀνδρῶν οἱ ὁποῖοι ἤλλαξαν τὸν δρόμον τῆς οἰκουμένης.

Δὲν καταδικάζεται ἡ διαβίωσις εἰς τὸν κόσμον καὶ δὲν προβάλλεται ὁ ἰσχυρισμὸς ὅτι οἱ εἰς αὐτὸν ζῶντες δὲν πρόκειται νὰ σωθοῦν. Ἀλλὰ τὰ μοναστήρια εἶναι ἀσφαλεῖς λιμένες ἀπὸ τὰς τρικυμίας τῆς ζωῆς, συγχρόνως δὲ καὶ ἀπὸ τὰς αἱρετικὰς διδασκαλίας. Εἶναι κέντρα ἀσκήσεως τῆς ἀληθινῆς φιλοσοφίας, δηλαδὴ πρακτικῆς ἐφαρμογῆς τῶν ἠθικῶν ἀρχῶν τοῦ χριστιανισμοῦ.

Ἂν οἱ μοναστικοὶ καθοδηγηταὶ προσκαλοῦν τοὺς νέους εἰς αὐτὴν τὴν μορφὴν τοῦ βίου καὶ ἂν πολλοὶ νέοι προσέρχονται εἰς αὐτήν, αὐτὸ ὀφείλεται εἰς τὸ ὅτι οὗτοι δὲν εὑρίσκουν κατάλληλον ἀγωγὴν εἰς τὸν κόσμον καὶ τὸν ἀρνοῦνται. Πταίουν οἱ γονεῖς, οἱ ὁποῖοι ὁμιλοῦν εἰς τὰ παιδιά των διαρκῶς δι' ἀνθρώπους οἱ ὁποῖοι καταλαμβάνουν ὑψηλὰ ἀξιώματα ἢ ἀποκτοῦν πλοῦτον καὶ ποτὲ δὲν κάμνουν εἰς αὐτὰ λόγον διὰ τὰ οὐράνια. Ἀπρόσεκτοι εἶναι ἐπίσης ὅταν διηγοῦνται πράξεις ἀδίκων ἀνθρώπων. Ἔτσι ὁδηγοῦν τὰ παιδιὰ εἰς τὴν διαφθοράν.

Τὰ μοναστήρια δὲν εἶναι μόνον κέντρα ἀσκήσεως, ἀλλὰ καὶ ἐκπαιδεύσεως. Ἐκεῖ εὑρίσκουν σεμνὸν περιβάλλον διὰ τὴν διαπαιδαγώγησίν των εἰς τὴν ἀρετήν. Θὰ κρημνίσωμεν λοιπὸν τὰ διδασκαλεῖα, τὰ σχολεῖα τοῦ ἐθνικοῦ κόσμου.; Ὄχι, ἀλλ' ἐκεῖνο τὸ ὁποῖον πρέπει νὰ ἑλκύσῃ τὴν προσοχήν μας εἶναι ἡ ἀρετή. Θὰ ἔχωμεν καὶ τὰ δύο: σχολεῖον διὰ τὴν μάθησιν, ἐκκλησίαν διὰ τὴν ἀρετήν. Ἐὰν εἶναι ἀδύνατος ἡ ἀπόκτησις τῆς ἀρετῆς εἰς τὸν κόσμον, ὑπάρχουν τὰ μοναστήρια, ὅπου εἶναι δυνατὸν νὰ ἀσκηθοῦν προσωρινῶς τὰ παιδιὰ καὶ ἔπειτα νὰ ἐπιστρέψουν εἰς τὸν κόσμον.

Εἶναι φανερὸν ὅτι ἡ πραγματεία λαμβάνει συχνὰ χαρακτῆρα παιδαγωγικοῦ κειμένου.

Β΄. ΣΥΓΚΡΙΣΙΣ ΒΑΣΙΛΕΩΣ ΠΡΟΣ ΜΟΝΑΧΟΝ

Ἡ ἰδέα ἡ ὁποία διατυπώνεται εἰς τὸ σύντομον τοῦτο δοκίμιον εὑρίσκεται ἐπιτόμως καὶ εἰς τὸ Πρὸς ἄπιστον πατέρα. Οἱ Στωικοὶ ἐθεώρουν ὑπεροχώτερον τὸν ἀληθινὸν φιλόσοφον ἀπὸ τὸν πολιτικὸν ἄρχοντα, ἀλλ᾽ ἤδη ἡ ἄποψις αὐτὴ ἔχει τὴν ἀρχήν της εἰς τὴν Πολιτείαν τοῦ Πλάτωνος.

Εἰς τὸν κοσμικὸν βίον ἐκτιμῶνται μεγάλως ὁ πλοῦτος, ἡ ἐξουσία, ἡ δόξα, ἀλλὰ κορύφωμα τῶν κοσμικῶν ἀγαθῶν θεωρεῖται ἡ βασιλεία. Μιὰ σύγκρισις τοῦ βασιλέως πρὸς τὸν μοναχὸν θὰ ἐδείκνυεν ὅτι πραγματικὸς βασιλεὺς εἶναι ὁ δεύτερος. Ὁ βασιλεὺς κυριαρχεῖ εἰς πόλεις καὶ χώρας, ὁ μοναχὸς κυριαρχεῖ ἐπὶ τῶν ψυχικῶν παθῶν· ὁ πρῶτος πολεμεῖ βαρβάρους, ὁ δεύτερος δαίμονας· ὁ πρῶτος δωρίζει εἰς τοὺς ὑπηκόους του χρυσόν, ὁ δεύτερος πνευματικὴν χάριν· ὁ πρῶτος τρέμει τὸν θάνατον, ὁ δεύτερος τὸν δέχεται ἀπαθῶς. Καὶ ἡ κατάστασις τῶν δύο εἰς τὸν μέλλοντα κόσμον θὰ εἶναι ἀναλόγως ρυθμισμένη, ἔστω καὶ ἂν ἀμφότεροι ἐπετέλεσαν δικαίως τὰ ἔργα των.

Τὸ λαμπρὸν τοῦτο δοκίμιον πρέπει νὰ ἐγράφη εἰς τὴν δευτέραν φάσιν τῆς μοναχικῆς ζωῆς τοῦ Χρυσοστόμου, καὶ μάλιστα ὀλίγον μετὰ τὴν σύνταξιν τοῦ πρὸς ἄπιστον πατέρα.

Γ΄. ΠΕΡΙ ΚΑΤΑΝΥΞΕΩΣ

Εἰς τὴν συλλογὴν τῶν ἀσκητικῶν ἔργων τοῦ Χρυσοστόμου τὰ δύο αὐτὰ δοκίμια, ἂν καὶ ἀπευθύνονται εἰς δύο διαφορετικὰ πρόσωπα, τὸν Δημήτριον καὶ τὸν Στελέχιον, φέρονται ὡς ἑνιαῖον διμερὲς ἔργον μὲ τὸν τίτλον «Περὶ κατανύξεως α΄», «Περὶ κατανύξεως β΄». Συνδέονται πράγματι στενῶς μεταξύ των καὶ τὸ πρῶτον συμπληρώνεται ἀπὸ τὸ δεύτερον. Θέμα των εἶναι σύνηθες εἰς τὴν ἀσκητικὴν γραμματείαν. Κατάνυξις εἰς αὐτὴν εἶναι ἡ συναίσθησις τῆς ἁμαρτωλότητος καὶ συντριβή, ἡ ὁποία εἶναι μήτηρ δακρύων καὶ νήψεως καὶ καταλήγει εἰς μετάνοιαν.

1. Περὶ κατανύξεως α΄ πρὸς Δημήτριον

Ὁ Δημήτριος εἶχε ζητήσει μὲ ἐπιμονὴν λόγους περὶ κατανύξεως καὶ ὁ Χρυσόστομος, ἂν καὶ αἰσθάνεται ἐνώπιόν του κάποιαν δειλίαν καὶ νομίζει ὅτι δύναται νὰ ὁμιλῇ περὶ κατανύξεως καλῶς ἀλλὰ δυσκολεύεται νὰ τὴν ἐφαρμόζῃ, ἀναγκάζεται νὰ ἀπαντήσῃ σχετικῶς. Ὁ ἄγνωστος ἄλλοθεν Δημήτριος, προσφωνούμενος «εὐλογημένος», ἦτο προφανῶς ὥριμος μοναχός, ἀλλ' ἴσως ὄχι τόσον λόγιος καὶ ἐχρειάζετο κάποιαν διαφώτισιν, τὴν ὁποίαν ἠδύνατο νὰ ἐνεργήσῃ ὁ Χρυσόστομος. Ὁ τελευταῖος πιθανῶς εἶχεν ἐγκαταλείψει ἤδη τὴν ἐρημίαν καὶ ἔζη εἰς τὴν πόλιν, ἀλλὰ δὲν εἶχεν ἀκόμη χειροτονηθῆ. Θεωρεῖ τὸ γεγονὸς ὅτι, ἐνῷ ἔχει φθάσει εἰς τὴν κορυφὴν νομίζει ὅτι εὑρίσκεται ἀκόμη μεταξὺ ἐκείνων οἱ ὁποῖοι ἀνηφορίζουν καὶ χρειάζεται τόνωσιν, ὡς ἀπόδειξιν μεγάλης πνευματικῆς θέρμης καὶ καρποφορίας.

Ἡ ἀξιοκατάκριτος ἀναλγησία, ἡ ὁποία ἐπικρατεῖ μεταξὺ τῶν Χριστιανῶν, ὀφείλεται εἰς τὸ ὅτι βαδίζουν τὴν ἀντίθετον πρὸς τὰς ἐντολὰς τοῦ Χριστοῦ ὁδόν. Ἡ ἐκτέλεσις τῶν ἐντολῶν τοῦ Κυρίου εἶναι τὸ πρῶτον πρᾶγμα τὸ ὁποῖον πρέπει νὰ προσέχουν οἱ Χριστιανοί, καὶ περισσότερον ὅλων οἱ μοναχοί, εἶναι ἡ τήρησις τῶν ἐντολῶν τοῦ Χριστοῦ. Διὰ τοῦτο ὁ Χρυσόστομος ἀσχολεῖται διὰ μακροῦ μὲ τὴν ἀνάλυσιν τῶν παραγγελμάτων τῆς ἐπὶ τοῦ Ὄρους ὁμιλίας. Αἱ ἀπαιτήσεις ὅμως προχωροῦν περισσότερον. Διὰ τὴν σωτηρίαν χρειάζεται πόθος τοῦ πιστοῦ πρὸς τὰ οὐράνια καὶ ἀγάπη πρὸς τὸν Χριστόν, τοιαύτη ὥστε τίποτε νὰ μὴ εἶναι δυνατὸν νὰ τὸν χωρίσῃ ἀπὸ αὐτόν. Αὐτὴ ἡ ἀγάπη σημαίνει ὁλοκληρωτικὴν ἀφοσίωσιν εἰς τὸν Χριστόν.

Εἶναι βεβαίως δύσκολον νὰ εὕρῃ πλέον κανεὶς μιμητὰς τοῦ Παύλου, ἀλλὰ καὶ ἀνθρώπους τρίτης ἢ μετάρτης σειρᾶς μετ' αὐτόν. Καὶ πρέπει ὅλοι νὰ πενθῶμεν διὰ τὸ κατάντημα τοῦτο. Τὸ πένθος αὐτό, τὸ ὁποῖον θὰ εἶναι ἔντονον ἐὰν πρὸ ὀφθαλμῶν ἐμφανίζεται ἡ μέλλουσα τιμωρία.

2. *Περὶ κατανύξεως β′ πρὸς Στελέχιον*

Παρομοίαν παραγγελίαν εἶχε δώσει εἰς τὸν Χρυσόστομον καὶ ὁ Στελέχιος, ἄγνωστος ἐπίσης ἄλλοθεν μοναχός. Ὁ συγγραφεύς, γράφων ὀλίγον μετὰ τὸ προηγούμενον δοκίμιον, τὸν ἀποκαλεῖ «ἅγιον τοῦ Θεοῦ ἄνθρωπον» καὶ ἐνώπιόν του αἰσθάνεται ἐπίσης ταπείνωσιν. Ἔχει τὴν συνείδησιν ὅτι εἶναι ἀσθενὴς καὶ ἁμαρτωλός, ὅτι δὲν ἔχει μέσα του φωτιὰν διὰ νὰ ἀνάψῃ τὸν ζῆλον πρὸς τὸν ἀσκητικὸν βίον. Εἰς τὴν πραγματικότητα ἔχει ἄφθονον πῦρ.

Ἐδῶ ἡ ἐκτέλεσις τῶν ἐντολῶν τοποθετεῖται εἰς τὴν ἐρημίαν. Πρῶτον βῆμα δι' αὐτὴν εἶναι ἡ ὑποταγή, ἡ ἀπομάκρυνσις ἀπὸ τὰ βιωτικά, ἡ μετάβασις εἰς τὴν ἡσυχίαν, ὅπου εἶναι δυνατὴ ἡ συγκέντρωσις εἰς ἑαυτόν. Καὶ πάλιν ἐδῶ προβάλλει ὡς παράδειγμα τὸν ἀγαπητόν του ἥρωα ὁ Χρυσόστομος, τὸν ἀπόστολον Παῦλον. Ὅταν κανεὶς κατανοήσῃ πόσον μεγάλη εἶναι ἡ ἄφραστος ἀγάπη τοῦ Θεοῦ, ὅπως φαίνεται ἀπὸ τὰς εὐεργεσίας του ἀπὸ τῆς κτίσεως μέχρι τῆς ἐνανθρωπήσεως, αὐτὸς δύναται νὰ συναισθανθῇ πόσον ὑστερεῖ εἰς ἀνταπόδοσιν, ὅπως ἠσθάνετο ὁ Παῦλος, ὁ ὁποῖος πάντως δὲν ὑστέρει.

Πρέπει νὰ πράττῃ κανεὶς τὰ πρέποντα, ὄχι δι' ἀνταμοιβήν, ἀλλὰ διότι αὐτὸ ἀποτελεῖ ἐντολὴν τοῦ Θεοῦ, τοῦτο δὲ εἶναι καθ' ἑαυτὸ σπουδαία ἀνταμοιβή. Ἀλλὰ παρὰ ταῦτα ἡ ἡμέρα τῆς κρίσεως πρέπει νὰ εἶναι διαρκῶς πρὸ ὀφθαλμῶν μας.

Δ′ ΠΡΟΣ ΘΕΟΔΩΡΟΝ

Δύο κείμενα κατὰ τὴν χειρόγραφον παράδοσιν φέρουν τὴν κοινὴν ἐπιγραφὴν «Πρὸς Θεόδωρον» μὲ παραλλάσσοντα ἐνδεικτικά, ἐνῷ εἰς τὴν ἀρχαίαν λατινικὴν μετάφρασιν παρουσιάζονται μὲ ἐντελῶς παρηλλαγμένους τίτλους: De reparatione lapsi καὶ Epistola ad Theodorum monachum. Οἱ παλαιότεροι ἀπὸ τοὺς μάρτυρας Ἡσύχιος Ἱεροσολυμίτης, Σωζόμενος, Ἰουστινια-

νός, ὁμιλοῦν περὶ μιᾶς μόνον ἐπιστολῆς πρὸς Θεόδωρον, τῆς καθ' αὐτὸ ἐπιστολῆς δηλαδή. Πρῶτος ὁ Λεόντιος Βυζάντιος[1] φρονεῖ ὅτι καὶ τὰ δύο κείμενα ἀπευθύνονται πρὸς τὸν ἴδιον Θεόδωρον, ἔκτοτε δὲ αἱ ὑπάρχουσαι μαρτυρίαι συμφωνοῦν μὲ τὴν ἄποψιν ταύτην. Ἡ παράδοσις σφάλλεται τουλάχιστον εἰς ἓν σημεῖον, ὅτι ἡ διδομένη εἰς τὰ δύο κείμενα σειρὰ εἶναι ἀντίστροφος τῆς πραγματικῆς κατὰ χρονολογικὴν τάξιν, πρᾶγμα τὸ ὁποῖον δεικνύεται καὶ ἀπὸ τὰς προσθήκας εἰς τοὺς τίτλους των, παρουσιάζοντας τὸν ἀποδέκτην πρῶτον ὡς «μοναχὸν» καὶ δεύτερον ὡς «ἐκπεσόντα».

Ποῖος εἶναι ὁ Θεόδωρος, πρὸς τὸν ὁποῖον ἀπευθύνονται αἱ πραγματεῖαι, δύναται μόνον καθ' ὑπόθεσιν νὰ ὁρισθῇ. Ἀπὸ παλαιοτάτης ἐποχῆς ὑπετέθη ὅτι πρόκειται περὶ τοῦ Θεοδώρου κατόπιν ἐπισκόπου Μοψουεστίας.

Τὸ ὕφος τῶν δύο πραγματειῶν εἶναι ἐπιμελημένον, καθαρὸν καὶ ρυθμικόν, καὶ ἡ κλασικὴ μόρφωσις τοῦ συγγραφέως του μαρτυρεῖται ἐπίσης ἀπὸ τὴν ἔμμεσον ἢ ἄμεσον ἀναφορὰν εἰς τὸν Ὅμηρον, τὸν Δημοσθένην, τὸν Πίνδαρον καὶ ἄλλους ἀρχαίους συγγραφεῖς.

Ὁ Montfaucon εἶχεν ἐπιτυχὲς ἀποτέλεσμα εἰς τὴν κριτικὴν ἐπεξεργασίαν τοῦ κειμένου, ὁ δὲ J. Dumortier προσέφερε κείμενον βελτιωμένον, παρὰ τὰ τυπογραφικὰ ἀβλεπτήματα τῆς ἐκδόσεως[2], τὸ ὁποῖον ἀκολουθοῦμεν ἐδῶ μὲ πολὺ ἐλαφρὰς διαφοροποιήσεις.

1. *Πρὸς Θεόδωρον μοναχὸν*

Τὸ κείμενον εἰς τὴν παράδοσιν φέρει καὶ προσθήκην εἰς τὸν τίτλον «σκεπτόμενον ἐξελθεῖν τοῦ μοναστηρίου καὶ γαμῆσαι καὶ πραγματευθῆναι», ὁ ὁποῖος δεικνύει καὶ τὸ χρονικὸν σημεῖον τῆς συντάξεως. Ἐσωτερικαὶ μαρτυρίαι δεικνύουν ὅτι ὁ μὲν

1. Κατὰ Νεστοριανῶν PG 66, 1364.
2. Sources Chrétiennes 117, Paris 1966.

Θεόδωρος εἶχε προσέλθει εἰς τὸν μοναχικὸν βίον προσφάτως, ὁ δὲ Χρυσόστομος ἦτο κατὰ ἓν ἢ δύο ἔτη ἀρχαιότερος εἰς τὸν βίον τοῦτον. Ἑπομένως τοῦτο δυνατὸν νὰ συνετάχθη περὶ τὸ 377.

Κλίνει περισσότερον πρὸς ἐπιστολὴν μὲ τὰ προσωπικὰ στοιχεῖα, τὰ ὁποῖα περιέχει, αὐτοχαρακτηρίζεται ὡς ἐπιστολή, καὶ μάλιστα ὡς ἐπιστολὴ β΄, εἰς μερικὰ δὲ χειρόγραφα φέρει τὴν κατακλεῖδα «ἐρρῶσθαί σε εὐχόμεθα ἐν Κυρίῳ».

Ὁ Θεόδωρος εἶχε φύγει ἀπὸ τὴν μονὴν καὶ ἠσχολεῖτο μὲ πατρικὰς ὑποθέσεις, οἰκονομικὰς προφανῶς, καταπατήσας τὰς «συνθήκας» πρὸς τὸν Χριστόν. Εἶναι φανερὸν ὅτι ἤδη εἶχε δώσει ὑπόσχεσιν ἀγαμίας καὶ ὑπακοῆς, ἑπομένως εἶναι λιποτάκτης. Ὁ μοναχὸς εἶναι στρατιώτης καὶ ὀφείλει νὰ ἀμύνεται κατὰ τοῦ ἐχθροῦ, εἶναι δὲ ἐχθρός του ὁ διάβολος. Ὁ Θεόδωρος κατὰ τὴν πρώτην ἐπίθεσιν φαίνεται νὰ τρέπεται εἰς φυγήν, ἀλλ' εἶναι εὐχάριστον ὅτι αὕτη συνέβη ὀλίγον μετὰ τὴν ἀφιέρωσιν τούτου εἰς τὴν ἄσκησιν καὶ πιθανῶς νὰ τὸν κατέστησε ἱκανώτερον τώρα.

Ἡ ἀνθρωπίνη φύσις εἶναι βεβαίως ἀσθενής. «Ὀλισθηρὸν ἡ ἀνθρωπίνη φύσις καὶ ὀξὺ μὲν κλαπῆναι, ὀξὺ δὲ ἀνενεγκεῖν ἐκ τῆς ἀπάτης, καὶ ὥσπερ πίπτει ταχέως, οὕτω καὶ θᾶττον ἀνίσταται»(2). Ἀλλ' ὅταν ἐνθυμῆται κανεὶς τὸ φοβερὸν δικαστήριον τοῦ Θεοῦ, δύναται νὰ τὴν δαμάσῃ. Τί εἶναι ἀξιοζήλευτον εἰς τὸν κοσμικὸν βίον; τίποτε. Αἱ φροντίδες τοῦ βίου εἶναι δυσβάστακτοι, φροντίδες διὰ τὴν σύζυγον, διὰ τὰ παιδιά, διὰ τοὺς ὑπηρέτας. «Ἀλγεινὸν μὴ κτήσασθαι παῖδας, ἀλγεινὸν καὶ κεκτῆσθαι»(5). Τὰ ναυάγια τῶν πλεόντων τὴν θάλασσαν αὐτὴν εἶναι πολυάριθμα.

Οἱ ἀδελφοὶ τοῦ Θεοδώρου κλαίουν καὶ θρηνοῦν πρὸς χάριν του. Δὲν θὰ συναισθανθῇ τὸ σφάλμα του;

2. *Πρὸς Θεόδωρον ἐκπεσόντα*

Φέρει τὴν προσθήκην εἰς τὸν τίτλον «καὶ περὶ μετανοίας λόγος α΄». Θὰ ἠδύνατο νὰ λεχθῇ μετὰ σοβαρᾶς πιθανότητος ὅτι εἶναι ἀπρόσωπον δοκίμιον, γραφὲν ὀλίγον μετὰ τὴν προηγουμένην ἐπιστολὴν καὶ ὄχι πρὸς συγκεκριμένον πρόσωπον, ἐθεωρήθη δὲ ἀπευθυνόμενον πρὸς τὸν ἴδιον Θεόδωρον λόγῳ ταυτότητος τοῦ θέματος, μόνον ὅτι ὁ περὶ οὗ πρόκειται ἐδῶ δὲν κινδυνεύει ἁπλῶς νὰ πέσῃ ἀλλ' ἔχει ἤδη πέσει. Φυσικὰ ἐν τοιαύτῃ περιπτώσει τὸ ὄνομα τῆς ἀγαπωμένης κόρης Ἑρμιόνη (14) πρέπει νὰ θεωρηθῇ φανταστικόν, ὡς ἐκπροσωποῦν πᾶσαν κόρην εὑρισκομένην εἰς τοιαύτην θέσιν.

Ὁ Χρυσόστομος δὲν ἀπελπίζει τοὺς πίπτοντας, διότι εἶναι ἰατρὸς καὶ θεραπευτής. Φυσικὰ δηλώνει εὐθὺς ἐξ ἀρχῆς ὅτι ἡ ἐρήμωσις τῆς ψυχῆς προκαλεῖ θρῆνον μεγαλύτερον ἀπὸ τὴν ἐρήμωσιν μιᾶς πόλεως, ἀλλ' ἐν συνεχείᾳ ἐπεξεργάζεται τὸ θέμα τῆς ἐλπίδος. Ἡ ἐλπὶς εἶναι ἡ χρυσῆ ἁλυσίδα ποὺ κρέμαται ἀπὸ τὸν οὐρανὸν διὰ νὰ μᾶς ἀναβιβάσῃ εἰς αὐτόν. Εἰς ὅλην τὴν ἱστορίαν ἄνθρωποι πίπτουν, ἀλλὰ καὶ ἀνίστανται ἀπὸ τὴν πτῶσιν καὶ λαμβάνουν βραβεῖα διὰ τὴν ἀνύψωσίν των, ὄχι δὲ μόνον ὅσοι ἔπεσαν ὀλίγον, ἀλλὰ καὶ ὅσοι ἔπεσαν βαρέως. Ἡ φιλανθρωπία τοῦ Θεοῦ δέχεται πάντοτε τὴν μετάνοιαν. «Τοιαύτη γὰρ ἡ τοῦ Θεοῦ φιλανθρωπία· οὐδέποτε μετάνοιαν γινομένην εἰλικρινῶς ἀποστρέφεται».

Πρέπει νὰ λάβῃ κανεὶς ὑπ' ὄψιν, ποῖον εἶναι τὸ πῦρ τῆς γεέννης καὶ ποία εἶναι ἡ μακαρία κατάστασις τῆς μελλούσης ζωῆς. Δὲν εἶναι τρομερὸν μόνον ἡ γέεννα, χειρότερον εἶναι τὸ νὰ χάσῃ κανεὶς τὴν θείαν δόξαν. Τὸ κάλλος τῆς Ἑρμιόνης εἶναι πρόσκαιρον, ἀλλὰ ὅποιος θέλει, δύναται νὰ γίνῃ τόσον λαμπρότερος ὅσον λαμπρότερα εἶναι τὰ πήλινα ἀπὸ τὰ χρυσᾶ ἀγάλματα.

Τοῦτο δύναται νὰ ἐπιτύχῃ καὶ ὁ καταπεσών, ἂν μετανοήσῃ, διότι ὅποιος ἔχει κάνει μεγάλα ἁμαρτήματα, μετὰ τὴν μετάνοι-

αν δύναται νὰ ἐπιτύχῃ σπουδαῖα κατορθώματα.

Τὸ δοκίμιον εἶναι λαμπρὸν δεῖγμα τῆς δεινότητος τοῦ συγγραφέως τόσον εἰς τὴν ἠθικολογίαν ὅσον καὶ εἰς τὴν ψυχολογίαν.

Ἐπιστολὴ Θεοδώρου πρὸς Ἰωάννην

Εἰς τὴν χειρόγραφον παράδοσιν διατηρεῖται κείμενον ὑπὸ τὸν τίτλον «Θεοδώρου τοῦ ἐκπεσόντος ἀντίγραμμα πρὸς τὸν ἐν ἁγίοις πατέρα ἡμῶν καὶ οἰκουμενικὸν διδάσκαλον Ἰωάννην τὸν Χρυσόστομον», τὸ ὁποῖον φέρει τοῦτον μετανοήσαντα καὶ ζητοῦντα τὴν συμπαράστασιν τῶν ἀδελφῶν διὰ νὰ ἀποθεραπευθῇ. Ἂν καὶ δὲν δύναται νὰ λεχθῇ τίποτε μετὰ βεβαιότητος, ἡ ἐσωτερικὴ κριτικὴ εὑρίσκει ἐνδείξεις περὶ γνησιότητος αὐτοῦ.

ΠΡΟΣ ΤΟΥΣ ΠΟΛΕΜΟΥΝΤΑΣ ΤΟΙΣ ΕΠΙ ΤΟ ΜΟΝΑΖΕΙΝ ΕΝΑΓΟΥΣΙΝ

ΠΡΟΣ ΤΟΥΣ ΠΟΛΕΜΟΥΝΤΑΣ ΤΟΙΣ ΕΠΙ ΤΟ ΜΟΝΑΖΕΙΝ ΕΝΑΓΟΥΣΙΝ

ΛΟΓΟΣ ΠΡΩΤΟΣ

ΠΡΟΣ ΤΟΥΣ ΚΑΤΗΓΟΡΟΥΣ

5 *1. Ὅτε τὸν ἐν Ἱεροσολύμοις νεὼν πολλῶν ἐτῶν χαμαὶ κείμενον ἀπὸ τῆς μακρᾶς ἐπανελθόντες αἰχμαλωσίας ἐγείρειν ἤθελον τῶν Ἑβραίων οἱ παῖδες, τότε δὴ βάρβαροί τινες καὶ ἀνήμεροι ἄνθρωποι, μήτε τὸν Θεὸν αἰδεσθέντες, ᾧ τὸν νεὼν ἤγειραν ἐκεῖνοι, μήτε πρὸς τὴν τῶν ἀνθρώπων*
10 *κατακλασθέντες συμφοράν, ἀφ' ἧς ὀψέ ποτε καὶ μόλις ἀνήνεγκαν, μήτε τὴν παρὰ Θεοῦ τοῖς τοιαῦτα τολμῶσιν ἑπομένην φοβηθέντες δίκην, τὸ μὲν πρῶτον δι' ἑαυτῶν ἐπεχείρουν κωλύειν οἰκοδομοῦντας αὐτούς· ὡς δὲ οὐδὲν ἤνυον, γράμματα πέμψαντες ὡς βασιλέα τὸν αὐτῶν, ἐν οἷς*
15 *ἀποστάτην καὶ νεωτεροποιὸν καὶ φιλοπόλεμον τὴν πόλιν ἐκάλουν ἐκείνην, ἔπεισαν ἐπιτρέψαι κωλῦσαι σφίσι τὴν οἰκοδομήν. Καὶ λαβόντες ταύτην παρ' ἐκείνου τὴν ἐξουσίαν, καὶ μετὰ πολλῶν αὐτοῖς ἐπιθέμενοι τῶν ἱππέων, διέκοψάν τε τὸ ἔργον τέως, καὶ ἐφρόνουν ἐπὶ τῇ νίκῃ μέγα, ἐφ' ἧς*
20 *κατακόπτεσθαι ἔδει, καὶ πέρας αὐτοῖς ἔχειν ᾤοντο τὴν ἐπιβουλήν. Τόδε ἦν ἄρα προοίμιον καὶ ἀρχὴ τῶν αὐτίκα δὴ μάλα αὐτοὺς καταληψομένων κακῶν. Τό τε γὰρ ἔργον ἠνύετο, καὶ λαμπρὸν ἀπελάμβανε τέλος· ἐκεῖνοί τε ἐμάνθανον, καὶ δι' ἐκείνων ἅπαντες, ὅτι οὐκ ἄρα ἀνθρώποις ἐπο-*
25 *λέμουν, οὔτε Μιθριδάτης τότε, οὐδὲ ἄλλος οὐδείς, ὃς ἂν*

---

1. Πρόκειται περὶ τοῦ ὡς Μιθριδάτου ἀναφερομένου ἐν Α' Ἔσδ. 2, 12-14. Οὗτος μετ' ἄλλων Περσῶν ἀξιωματούχων ἔστειλε συκοφαντικὴν ἐπιστολὴν πρὸς τὸν βασιλέα τῶν Περσῶν Ἀρταξέρξην, εἰς ἣν κατηγόρει τοὺς Ἰουδαίους ὡς μὴ ἐκπληροῦντας τὰς φορολογικάς των ὑποχρεώσεις ἔναντι τῆς Περσικῆς αὐτοκρατορίας, καὶ ὡς ἀποστάτας. Ὅθεν ἐζήτησε τὴν διακοπὴν τῶν ἐργασιῶν ἀνοικοδομήσεως τοῦ ναοῦ

ΠΡΟΣ ΤΟΥΣ ΠΟΛΕΜΙΟΥΣ ΤΟΥ ΜΟΝΑΧΙΚΟΥ ΒΙΟΥ

ΛΟΓΟΣ ΠΡΩΤΟΣ

ΠΡΟΣ ΤΟΥΣ ΚΑΤΗΓΟΡΟΥΣ

1. Τὸν καιρὸν ποὺ οἱ ἐπιστρέψαντες ἐκ τῆς μακροχρονίου αἰχμαλωσίας Ἑβραῖοι ἤθελαν νὰ ἀνεγείρουν τὸν ἐπὶ πολλὰ ἔτη κατεδαφισμένον ναὸν τῶν Ἱεροσολύμων, τότε ἀκριβῶς μερικοὶ βάρβαροι καὶ ἀνήμεροι ἄνθρωποι, χωρὶς νὰ σεβασθοῦν τὸν Θεόν, πρὸς τιμὴν τοῦ ὁποίου ἀνήγειραν ἐκεῖνοι τὸν ναόν, οὔτε νὰ αἰσθανθοῦν οἶκτον διὰ τὴν συμφορὰν αὐτῶν τῶν ἀνθρώπων, ἀπὸ τὴν ὁποίαν ἀργὰ καὶ δύσκολα συνῆλθαν, καὶ χωρὶς νὰ φοβηθοῦν τὴν τιμωρίαν τοῦ Θεοῦ, ἡ ὁποία ἀναμένει τοὺς τολμῶντας τέτοια ἔργα, κατ' ἀρχὴν μὲν μόνοι των ἐπεχείρουν νὰ ἐμποδίσουν τοὺς ἀνοικοδομοῦντας· ἐπειδὴ ὅμως δὲν κατώρθωναν τίποτε, ἀποστείλαντες ἐπιστολὰς πρὸς τὸν βασιλέα των, εἰς τὰς ὁποίας ἀπεκάλουν τὴν πόλιν ἐκείνην ἀποστάτριαν καὶ φιλοπόλεμον, τὸν ἔπεισαν νὰ τοὺς ἐπιτρέψῃ νά ἐμποδίσουν τὴν ἀνοικοδόμησιν. Καὶ μόλις ἔλαβαν αὐτὴν τὴν ἄδειαν ἀπὸ αὐτοὺς τοὺς ἐπετέθησαν μὲ πολὺ ἱππικὸν καὶ διέκοψαν τὸ ἔργον· καὶ ἐδείκνυαν ὑπερηφάνειαν διὰ τὴν μεγάλην ἐπιτυχίαν, διὰ τὴν ὁποίαν θὰ ἔπρεπε νὰ θρηνοῦν, καὶ ἐνόμιζαν ὅτι ἔλαβε τέλος ἡ ἐναντίον των ἐπιβουλή. Αὐτὸ ὅμως ἦτο ὁ πρόλογος καὶ ἡ ἀρχὴ τῶν κακῶν ποὺ ἐπρόκειτο ἐν συνεχείᾳ νὰ τοὺς πλήξουν. Διότι ἡ μὲν ἐργασία ἐπροχώρει ἀποτελεσματικῶς καὶ κατέληγεν εἰς λαμπρὸν τέλος, ἐκεῖνοι δὲ ἐπληροφοροῦντο, δι' αὐτῶν δὲ οἱ πάντες, ὅτι οὔτε ὁ Μιθριδάτης[1] τότε οὔτε κανεὶς ἄλλος ποὺ θὰ ἀ-

μετὰ τὴν ἐπιστροφὴν ἐκ τῆς βαβυλωνείου αἰχμαλωσίας τῶν Ἰουδαίων, καὶ τὸ ἐπέτυχε προσωρινῶς.

ἀνθρώποις ἕληται πολεμεῖν ἀγαθόν τι προαιρουμένοις ποιεῖν, ἀλλ' αὐτῷ πρὸ ἐκείνων τῷ δι' ἐκείνων τιμωμένῳ Θεῷ.

Τὸν δὲ Θεῷ πολεμοῦντα οὐκ ἔνι ποτὲ εἰς χρηστὸν καταστρέψαι τέλος· ἀλλ' ὁ τοιοῦτος ἐν ἀρχῇ μὲν τῆς τόλμης οὐδὲν ἴσως πείσεται δεινόν, ἂν δ' ἄρα μὴ πάθοι, τοῦ Θεοῦ καλοῦντος αὐτὸν εἰς μετάνοιαν, καὶ διδόντος ὥσπερ ἔκ τινος μέθης ἀνενεγκεῖν· ἂν δὲ ἐπιμένῃ τῇ παροινίᾳ, μηδὲν ἀπὸ τῆς τοσαύτης ἀνεξικακίας κερδαίνων, ἑτέρους γοῦν ὀνήσει τὰ μέγιστα, διὰ τῆς εἰς αὐτὸν τιμωρίας παιδεύων μηδέποτε τῆς πρὸς τὸν Θεὸν ἅπτεσθαι μάχης, ὡς οὐκ ἐνὸν τὴν ἀήττητον ἐκείνην χεῖρα διαφυγεῖν.

Τοιαῦται γοῦν εὐθέως αὐτοὺς κατελάμβανον συμφοραί, ὡς ἀποκρύψαι τῷ μεγέθει τῆς τραγῳδίας πάσας τὰς ἄλλας συμφοράς. Μετὰ γὰρ τοὺς φόνους καὶ τὰς μυρίας σφαγάς, ἃς αἱ τῶν τότε κωλυομένων Ἰουδαίων εἰς αὐτοὺς εἰργάσαντο χεῖρες, ἐβρέχετο μὲν τῷ τῶν ἀνῃρημένων αἵματι διὰ πολλοῦ τοῦ βάθους ἡ γῆ, καὶ πολὺς ἀπὸ τούτου τοῦ αἵματος ἐγίνετο πηλός· τῶν δὲ σωμάτων τῶν τε ἱππείων τῶν τε ἀνθρωπίνων ὁμοῦ πεφυρμένων, ἐκ τούτων καὶ τῶν ἐν τούτοις προστριβομένων ὠτειλῶν τοσοῦτον σκωλήκων ἐτίκτετο πλῆθος, ὡς τὴν μὲν γῆν τῷ πλήθει κρύπτεσθαι τῶν νεκρῶν, τούτους δὲ αὐτοὺς πάλιν τῷ τῶν σκωλήκων. Εἶπεν ἄν τις, ἐκεῖνο τὸ πεδίον ἰδών, οὐ σώματα κάτωθεν ὑποκεῖσθαι νεκρῶν, ἀλλὰ πηγὰς εἶναι πολλάς, καὶ πολλαχόθεν ἐκεῖνο φερούσας τῶν ζώων τὸ γένος· οὕτω πάσης ἐπιρροπῆς σφοδρότερον ἀπὸ τῆς σηπεδόνος ἐκείνης ἀνέβλυζεν ἡ τῶν σκωλήκων φορά. Τοῦτο δὲ οὐκ ἐπὶ δέκα καὶ εἴκοσιν ἡμέρας ἐ-

πεφάσιζε νὰ πολεμήσῃ ἐναντίον ἀνθρώπων ἐπιδιωκόντων κάτι καλόν, δὲν ἐπολέμησαν πράγματι ἐναντίον ἀνθρώπων, ἀλλὰ πρὶν ἀπὸ ἐκείνους ἐπολέμουν ἐναντίον τοῦ ἰδίου τοῦ Θεοῦ τοῦ δι' αὐτῶν λατρευομένου.

Ὁ δὲ ἀντιμαχόμενος τὸν Θεὸν δὲν εἶναι δυνατὸν νὰ ἔχῃ καλὸν τέλος· ἀλλὰ εἰς τὴν ἀρχὴν μὲν τοῦ τολμήματος ἴσως νὰ μὴ πάθῃ τίποτε κακόν, ἄν ἐνδεχομένως δὲν πάθῃ, διότι τὸν καλεῖ ὁ Θεὸς εἰς μετάνοιαν καὶ τοῦ δίδει τὸν χρόνον, ὡσὰν νὰ ἦτο μεθυσμένος, νὰ συνέλθῃ· ἂν ὅμως ἐπιμένῃ εἰς τὴν ὑβριστικὴν συμπεριφοράν του, δὲν θὰ ὠφεληθῇ καθόλου ἀπὸ τὴν τόσον μεγάλην ἀνεξικακίαν, ἀλλ' ἁπλῶς θὰ ὠφελήσῃ πάρα πολὺ ἄλλους, διδάσκων διὰ τῆς ἰδικῆς του τιμωρίας, ὅτι δὲν πρέπει ποτὲ κανεὶς νὰ ἀρχίζῃ πόλεμον μὲ τὸν Θεόν, διότι δὲν εἶναι δυνατὸν νὰ διαφύγῃ ἀπὸ τὴν παντοδύναμον ἐκείνην χεῖρα.

Ἀμέσως λοιπὸν τοὺς ἔπληξαν τέτοιαι συμφοραί, ὥστε διὰ τοῦ μεγέθους τῆς τραγῳδίας των νὰ ἐπισκιάσουν ὅλας τάς ἄλλας συμφοράς. Διότι μετὰ τοὺς φόνους καὶ τὰς χιλιάδας σφαγὰς εἰς τὰς ὁποίας προέβησαν ἔναντι τούτων οἱ ἐμποδιζόμενοι Ἰουδαῖοι, ἡ γῆ ἐποτίζετο εἰς μέγα βάθος ἀπὸ τὸ αἷμα τῶν σφαγέντων καὶ ἀπὸ τὸ αἷμα αὐτὸ ἐδημιουργεῖτο πολλὴ λάσπη. Ἀπὸ τὰ σώματα δὲ τῶν ἀνθρώπων καὶ τῶν ἵππων, ποὺ ἐκείτοντο τὸ ἓν ἐπὶ τοῦ ἄλλου, καὶ λόγῳ τῆς προστριβῆς τῶν πληγῶν των, τόσον πλῆθος σκωλήκων ἐγεννᾶτο, ὥστε ἡ μὲν γῆ νὰ καλύπτεται ἀπὸ τοὺς νεκρούς, αὐτοὶ δὲ πάλιν ἀπὸ τὸ πλῆθος τῶν σκωλήκων. Ἐὰν κανεὶς ἔβλεπεν ἐκείνην τὴν ἔκτασιν, θὰ ἔλεγεν ὅτι δὲν εὑρίσκοντο ἀπὸ κάτω σώματα νεκρῶν, ἀλλὰ πλῆθος πηγῶν ποὺ ἐγεννοῦσαν ἀπὸ πολλὰ σημεῖα τὸ γένος ἐκεῖνο τῶν ζώων. Τοιουτοτρόπως γρηγορώτερα ἀπὸ κάθε ἄλλην κίνησιν, ἀνεπήδα ἀπὸ τὴν σῆψιν ἐκείνην ἡ ὁρμητικὴ κίνησις τῶν σκωλήκων. Καὶ αὐτὸ βεβαίως δὲν ἐγίνετο ἐπὶ δέκα ἢ εἴκοσι ἡμέρας, ἀλλ' ἐπὶ πολὺν χρόνον. Καὶ τὰ μὲν ἐν-

γίνετο μόνον, ἀλλ' ἐπὶ πολλῷ τῷ χρόνῳ. Καὶ τὰ μὲν ἐνταῦθα τοιαῦτα· τὰ δὲ ἐκεῖ διαδεξόμενα αὐτούς, πολλῷ τούτων ἐστὶ χαλεπώτερα. Οὐ γὰρ εἰς χίλια ἔτη, οὐδὲ εἰς μύρια μόνον, οὐδὲ εἰς δὶς τοσαῦτα καὶ τρίς, ἀλλ' εἰς ἀπείρους αἰῶ-
5 *νας ψυχωθέντα τὰ σώματα τότε δέχεται τὰς βασάνους καὶ τὰς ἀρρήτους ἀλγηδόνας ἐκείνας. Καὶ ταῦτα ἀμφότερα οἶδε μὲν ὁ Μακάριος Ἠσαΐας, οἶδε δὲ ὁ τῶν παραδόξων ὄψεων θεωρὸς Ἰεζεκιήλ, οἱ καὶ τῶν ἀνθρώπων τούτων διανειμάμενοι τὴν κόλασιν, ὁ μὲν τὴν ἐνταῦθα, ὁ δὲ τὴν ἐκεῖ διη-*
10 *γήσαντο.*

2. Ἐγὼ δὲ αὐτῶν οὐχ ἁπλῶς ἐμνημόνευσα νῦν, ἀλλ' ἐπειδή τις ἐλθὼν ἡμῖν ἀπήγγειλεν ἀγγελίαν πικράν τινα καὶ χαλεπήν, καὶ πολλὴν εἰς τὸν Θεὸν τὴν ὕβριν ἔχουσαν. Εἶναι γάρ τινας ἀνθρώπους καὶ νῦν τὰ αὐτὰ τοῖς βαρβά-
15 *ροις τολμῶντας ἐκείνοις, μᾶλλον δὲ καὶ παρανομώτερα ἐκείνων πολλῷ· τοὺς γὰρ εἰς τὴν καθ' ἡμᾶς φιλοσοφίαν ἄγοντας πάντοθεν ἐλαύνειν, καὶ μετὰ πολλῆς τῆς ἀπειλῆς ἀπαγορεύειν καθόλου μὴ φθέγγεσθαι, μηδὲ διδάσκειν μηδένα ποτὲ ἀνθρώπων τοιοῦτον μηδέν.*

20 *Ἐγὼ μὲν οὖν ἀνέκραξά τε εὐθέως ἀκούσας, καὶ τὸν εἰπόντα συνεχῶς ἀνηρώτων, εἰ μὴ παίζοι ταῦτα λέγων. Ὁ δέ, ἄπαγε, ἔφη· μὴ γὰρ ἄν ποτε παίζοιμι ταῦτα, μηδ' ἂν εἰπεῖν, καὶ πλάσαι τοιαῦτα τῷ λόγῳ, ἃ πολλοῦ ἂν ἐτιμησάμην, καὶ πολλάκις ηὐξάμην μηδὲ νῦν, ὅτε γέγονεν, ἐν ἀκοῇ*
25 *γοῦν δέξασθαι μόνῃ. Τότε δὴ καὶ πικρότερον ἀνοιμώξας, ὄντως, ἔφην, τῶν τῷ Μιθριδάτῃ καὶ πᾶσιν ἐκείνοις τολμηθέντων τοσούτῳ ταῦτα ἀνοσιώτερα, ὅσῳ καὶ σεμνότερος πολλῷ καὶ ἁγιώτερος ὁ ναὸς οὗτος ἐκείνου.*

Ἀλλὰ τίνες, εἰπέ μοι, καὶ πόθεν οἱ ταῦτα τολμήσαν-
30 *τες; καὶ διὰ τί, καὶ ἐκ ποίας αἰτίας, καὶ πρὸς τί βλέποντες τοὺς λίθους εἰς τὸ ὕψος βάλλουσι, καὶ πρὸς τὸν οὐρανὸν ἀκοντίζουσι τὰ βέλη, καὶ τῷ τῆς εἰρήνης πολεμοῦσι Θεῷ; Σαμέας μὲν γὰρ καὶ οἱ Φαραθαῖοι καὶ οἱ ἄρχοντες*

ταῦθα, τέτοια ἦσαν, τὰ μετὰ θάνατον ὅμως δι' αὐτοὺς θὰ εἶναι πολὺ περισσότερον δυσάρεστα. Διότι, ὄχι ἐπὶ χίλια ἔτη ἢ δέκα χιλιάδας ἐτῶν μόνον, οὔτε ἐπὶ διπλάσια καὶ τριπλάσια αὐτῶν, ἀλλ' εἰς ἀπείρους αἰῶνας, ἀφοῦ ἑνωθοῦν μὲ τὰς ψυχὰς τὰ σώματα, ὑφίστανται τότε τὰς βασάνους καὶ τοὺς ἀνεκφράστους ἐκείνους πόνους. Καὶ ἀμφότερα ταῦτα γνωρίζει καὶ ὁ μακάριος Ἠσαΐας καὶ ὁ Ἰεζεκιήλ, ὁ προφήτης τῶν παραδόξων ὁράσεων, οἱ ὁποῖοι διεμοίρασαν τῶν ἀνθρώπων τούτων τὴν κόλασιν, ὁ μὲν διηγηθεὶς τὴν ἐνταῦθα, ὁ δὲ τὴν τῆς ἄλλης ζωῆς.

2. Ἐγὼ δὲ αὐτὰ δὲν τὰ ἀνέφερα τυχαίως τώρα, ἀλλ' ἐπειδὴ κάποιος γνωστὸς ἦλθε καὶ μᾶς ἀνήγγειλε κάτι τὸ πικρὸν καὶ δυσάρεστον καὶ πλῆρες ὕβρεως πρὸς τὸν Θεόν. Ὅτι δηλαδὴ ὑπάρχουν μερικοί, ποὺ καὶ τώρα ἀποτολμοῦν τὰ ἴδια μὲ ἐκείνους τοὺς βαρβάρους, μᾶλλον δὲ πολὺ περισσότερον παράνομα ἀπὸ ἐκείνους· διότι ἐπιθυμοῦν νὰ ἀποτρέψουν τοὺς προσερχομένους εἰς τὸν μοναχισμὸν ἀπὸ παντοῦ, καὶ μὲ μεγάλας ἀπειλὰς δὲν ἐπιτρέπουν νὰ ὁμιλοῦν καθόλου περὶ αὐτοῦ, οὔτε νά διδάσκουν τίποτε τέτοιον.

Ἐγὼ μὲν μόλις τὰ ἤκουσα ἀνεφώνησα καὶ ἐρωτοῦσα συνεχῶς αὐτὸν ποὺ τὰ εἶπε, μήπως τὰ εἶπε ἀστεϊζόμενος. Ἐκεῖνος ὅμως ἀπήντησεν· Ὄχι βεβαίως, διότι ποτὲ δὲν θὰ ἤθελα μὲ αὐτὰ νὰ ἀστειευθῶ, οὔτε κἂν νὰ τὰ εἴπω, οὔτε νὰ πλάσσω μὲ τὸν λόγον τέτοια πράγματα, τὰ ὁποῖα θὰ ἐπροτίμων καὶ θὰ ηὐχόμην νὰ μὴ τὰ εἶχα ἀκούσει οὔτε τώρα ποὺ ἔγιναν. Τότε λοιπόν, ἀφοῦ ἐστέναξα πικρότερον, εἶπα· πράγματι, αὐτά, ἐν σχέσει μὲ ἐκεῖνα ποὺ ἀπετόλμησεν ὁ Μιθριδάτης καὶ ὅλοι ἐκεῖνοι, εἶναι τόσον ἀνοσιώτερα, ὅσον σεμνότερος καὶ ἁγιώτερος εἶναι ὁ ναὸς αὐτὸς ἀπὸ ἐκεῖνον.

Ἀλλά, εἰπέ μου, ποῖοι καὶ ἀπὸ ποῦ εἶναι οἱ ἀποτολμήσαντες αὐτά; Καὶ διατί καὶ ἀπὸ ποίαν ἀφορμὴν καὶ μὲ ποῖον σκοπὸν πετοῦν λίθους πρὸς τὰ ἄνω, καὶ ἐξακοντίζουν βέλη πρὸς τὸν οὐρανὸν καὶ μάχονται τὸν Θεὸν τῆς εἰρήνης;

Ἀσσυρίων καὶ πάντες ἐκεῖνοι βάρβαροί τε ἦσαν, ὡς καὶ ἀπ' αὐτῶν τῶν ὀνομάτων ἔστιν ἰδεῖν, καὶ τῆς Ἰουδαϊκῆς μακρὰν ἤσκηντο πολιτείας, καὶ οὐκ ἐβούλοντο προσοικοῦντες αὐτοῖς ἀνθρώπους αὐξομένους ὁρᾶν· τὴν γὰρ δύναμιν τὴν
5 *ἐκείνων τῇ σφῶν αὐτῶν ἐξουσίᾳ λοιπὸν ἐπισκοτεῖν ᾤοντο· οὗτοι δὲ ποίας αὐτοῖς ἐλευθερίας ἐλαττουμένης, ποίας ἐκκοπτομένης ἀδείας, τίνας τῶν κρατούντων συμπράττοντας ἔχοντες, ταῦτα ἐτόλμησαν; Ἐκεῖνοι μὲν γὰρ εἶχον τοὺς Περσῶν βασιλεῖς ταὐτὰ βουλομένους αὐτοῖς· οἱ δὲ ἡμέτε-*
10 *ροι τἀναντία τούτων, ὡς ἐμαυτὸν πείθω, καὶ ἐπιθυμοῦσι καὶ εὔχονται. Ὅθεν καὶ πολλῆς ἐμπέπλησμαι τῆς ἀπορίας, ὅτι τῶν βασιλέων ἐν εὐσεβείᾳ ζώντων, τοιαῦτα σὺ λέγεις ἐν μέσαις τολμᾶσθαι ταῖς πόλεσιν. Ὁ δέ φησιν, ἂν καὶ τὸ τούτου παραδοξότερον μάθῃς, ὅτι καὶ οἱ ταῦτα δρῶντες εὐ-*
15 *σεβεῖς τε εἶναι βούλονται, καὶ Χριστιανοὺς καλοῦσιν αὐτούς, πολλοὶ δὲ αὐτῶν καὶ τῶν ἤδη μεμυημένων εἰσί· καί τις αὐτῶν δὴ τούτων πολλοῦ τοῦ διαβόλου πνεύσαντος εἰς αὐτόν, διὰ τῆς μιαρᾶς γλώσσης ἐκείνης ἐτόλμησεν εἰπεῖν, ὅτι καὶ τῆς πίστεως ἀποστήσεται, καὶ θύσεται δαίμοσιν· ἀποπνίγε-*
20 *σθαι γὰρ ὁρῶν ἀνθρώπους ἐλευθέρους καὶ εὐγενεῖς καὶ δυναμένους ἐν τρυφῇ ζῆν, ἐπὶ τὸν σκληρὸν τοῦτον ἀγομένους βίον.*

Ταῦτα ἀκούσας ἐγὼ ἐπλήγην τε πληγὴν χαλεπωτέραν, καὶ ὅσα ἀπὸ τούτου κακὰ στοχαζόμενος, τήν τε οἰκουμένην
25 *ἐθρήνουν ἅπασαν, καὶ πρὸς τὸν Θεὸν ἔλεγον· ἆρον τὴν ψυχήν μου ἀπ' ἐμοῦ, καὶ ἐκ τῶν ἀναγκῶν μου ἐξάγαγέ με, καὶ ἀπάλλαξον τῆς ἐπικήρου ταύτης ζωῆς, καὶ πρὸς τὸν*

---

2. Πρόκειται πιθανῶς περὶ τοῦ Πέρσου γραμματέως ὁ ὁποῖος ἀναφέρεται εἰς Α' Ἔσδ. 2, 12-14 ὡς Σαμσαίας ἢ Σαμσαὶ καὶ περιλαμβάνεται μεταξὺ τῶν Περσῶν ἀξιωματούχων τοῦ βασιλέως Ἀρταξέρξου, οἱ ὁποῖοι διὰ διαβλητικῆς ἐπιστολῆς των πρὸς τοῦτον ἐπέτυχον ν' ἀνακόψουν δι' ὀλίγον χρόνον τὰς ἐργασίας ἀνοικοδομήσεως τοῦ ναοῦ ἐν Ἱεροσολύμοις.

Διότι ὁ μὲν Σαμέας[2] καὶ οἱ Φαραθαῖοι[3] καὶ οἱ ἄρχοντες τῶν Ἀσσυρίων ἦσαν βάρβαροι, πρᾶγμα ποὺ γίνεται φανερὸν καὶ μόνον ἀπὸ τὰ ὀνόματά των καὶ εἶχον μορφωθῆ μακρὰν ἀπὸ τὸν τρόπον ζωῆς τῶν Ἰουδαίων καὶ δὲν ἤθελον νὰ βλέπουν νὰ πληθύνωνται οἱ γείτονές των λαοί· διότι ἐνόμιζον ὅτι θὰ ἐπισκιάσουν τὴν δύναμιν ἐκείνων διὰ τῆς ἐξουσίας των. Αὐτῶν ὅμως ποία ἐλευθερία ἐμειώθη, ποία ἀσφάλειά των ἐτέθη ἐν κινδύνῳ, ποίους ἐκ τῶν ἰσχυρῶν εἶχον συνεργούς, ὥστε νὰ ἀποτολμήσουν ταῦτα; Διότι, ἐκεῖνοι μὲν εἶχον τοὺς βασιλεῖς τῶν Περσῶν, ποὺ ἐπεδίωκαν τὰ ἴδια μὲ αὐτούς· οἱ δὲ ἰδικοί μας, καὶ εὔχονται καὶ ἐπιθυμοῦν, ὅπως πιστεύω, τὰ ἀντίθετα πρὸς αὐτούς. Δι' αὐτὸ καὶ ἔχω μεγάλην ἀπορίαν, διότι, ἐνῷ οἱ βασιλεῖς ζοῦν εὐσεβῶς, ἐσὺ λέγεις ὅτι συμβαίνουν ἐντὸς τῶν πόλεων τέτοια. Αὐτὸς δὲ λέγει: Θὰ μάθῃς καὶ κάτι παραδοξότερον, ὅτι δηλαδή, αὐτοὶ ποὺ πράττουν αὐτά, θέλουν νὰ εἶναι εὐσεβεῖς καὶ ὀνομάζουν τοὺς ἑαυτούς των Χριστιανούς, πολλοὶ δὲ ἐξ αὐτῶν εἶναι ἐκ τῶν ἤδη μυηθέντων· καὶ μάλιστα κάποιος ἀπὸ αὐτούς, πολὺ ἐπηρεασμένος ἀπὸ τὸν διάβολον, ἐτόλμησε νά εἴπῃ μὲ τὴν μολυσμένην γλῶσσάν του ὅτι θὰ ἀπαρνηθῇ τὴν πίστιν καὶ θὰ θυσιάσῃ εἰς τοὺς δαίμονας· διότι ἀγανακτεῖ ὅταν βλέπῃ ἀνθρώπους ἐλευθέρους καὶ εὐγενεῖς νὰ ὁδηγοῦνται εἰς τὴν σκληρὰν αὐτὴν ζωήν, ἂν καὶ ἠμποροῦν νὰ ζήσουν πολυτελῶς.

Ὅταν ἤκουσα αὐτά, ἀφ' ἑνὸς μὲν ἐπληγώθην βαθύτατα, καὶ ἀφ' ἑτέρου ἀναλογιζόμενος τὰ κακὰ ποὺ ἠμποροῦν νὰ προέλθουν ἀπὸ αὐτό, τὴν μὲν οἰκουμένην ὅλην ἐθρήνησα, πρὸς τὸν Θεὸν δὲ εἶπα: Πάρε τὴν ψυχήν μου, καὶ λύτρωσέ με ἀπὸ τὰ δεινά μου, καὶ ἀπάλλαξέ με ἀπὸ αὐτὴν τὴν φθαρτὴν ζωήν, καὶ μετάφερέ με πρὸς τὸν χῶ-

---

3. Πρόκειται πιθανῶς περὶ μιᾶς τάξεως ἀρχόντων ἀλλοφύλων, οἱ ὁποῖοι μεταξὺ τῶν ἄλλων συνυπέγραψαν τὴν συκοφαντικὴν ἐπιστολὴν τῶν ἀξιωματούχων τοῦ Ἀρταξέρξου πρὸς αὐτόν, καὶ οἱ ὁποῖοι ἀναφέρονται εἰς Β' Ἔσδ. 4, 9-10 ὡς Ἀφαρσαῖοι.

χῶρον μετάστησον ἐκεῖνον, ἔνθα τοιοῦτον οὐδὲν οὔτε ἕτερος ἐρεῖ τις, οὔτε ἀκούσομαι ἐγώ. Οἶδα μὲν γάρ, ὅτι ἀπελθόντα ἐντεῦθεν τὸ σκότος διαδέξεται τὸ ἀξιώτερον, ἔνθα πολὺς ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων· ἀλλ' ἥδιον ἐμοὶ
5 *βρυχόντων ἀκούειν ὀδόντων, ἢ τοιαῦτα ἠχούντων ῥήματα.*

Ἰδὼν δέ με πενθοῦντα ἐκεῖνος σφοδρῶς, ἀλλ' οὐ τούτων, φησίν, ὁ καιρὸς νῦν· οὐδὲ γὰρ δὴ τοὺς ἀπολωλότας καὶ ἀπολλυμένους τοῖς δάκρυσι τούτοις ἀνακτήσασθαι δυνήσῃ ποτέ· καὶ γὰρ οἶμαι μὴ στήσεσθαι τὸ δεινόν. Χρὴ δὲ ὁρᾶν
10 *ὅπως σβέσωμεν τὴν πυράν, καὶ στήσωμεν τὸν λοιμόν, τό γε ἡμέτερον μέρος· καὶ εἴ γέ μοί τι πείθοιο, τῶν ὀδυρμῶν τούτων ἀφέμενος, ἔργασαι λόγον παραίνεσιν ἔχοντα τοῖς νοσοῦσι καὶ στασιάζουσι, πρός τε τὴν ἑαυτῶν, πρός τε τὴν κοινὴν ἁπάντων σωτηρίαν ἀνθρώπων. Καὶ τὸ βιβλίον ἐγὼ*
15 *τοῦτο λαβὼν ἀντ' ἄλλου τινὸς φαρμάκου ταῖς τῶν καμνόντων ἐνθήσω χερσί· καὶ γάρ εἰσί μοι τῶν τὰ τοιαῦτα νοσούντων φίλοι πολλοί, καὶ ἀνέξονται ἐπελθεῖν καὶ ἅπαξ καὶ δὶς καὶ πολλάκις, καὶ οἶδα ὅτι ταχέως ἀπαλλάξονται τοῦ λοιμοῦ. Σὺ μέν, ἔφην, πρὸς τὸ μέτρον τῆς ἀγάπης καὶ τὰ τῆς*
20 *δυνάμεως τῆς ἡμετέρας μετρεῖς· ἐμοὶ δὲ οὔτε πάρεστί τις λόγων ἰσχύς, τῇ τε εἶναι δοκούσῃ χρήσασθαι εἰς ὑπόθεσιν τοιαύτην αἰσχύνομαι, ἄλλον μὲν οὐδένα τοσοῦτον, Ἕλληνας δὲ ἅπαντας, τούς τε ὄντας τούς τε ἐπιγινομένους, οὓς ἀεὶ τῶν δογμάτων οὐχ ἧττον ἐπὶ τῇ τοῦ βίου διασύρων ῥᾳθυμίᾳ,*
25 *νῦν τὰ ἡμέτερα ἀναγκάζομαι διδάξαι κακά. Εἰ γὰρ αἴσθωνταί τινες ἐκείνων ὅτι παρὰ Χριστιανοῖς εἰσί τινες ἄνθρωποι οὕτω πρὸς ἀρετὴν καὶ φιλοσοφίαν ἐκπεπολεμωμένοι, ὡς*

ρον ἐκεῖνον, ὅπου τέτοιο πρᾶγμα οὔτε θὰ εἴπῃ κανείς, οὔτε θ' ἀκούσω ἐγώ. Διότι γνωρίζω ὅτι, ὅταν φύγω ἀπὸ ἐδῶ, θὰ μὲ παραλάβῃ τὸ βαθύτατον σκότος, ὅπου πολὺς εἶναι ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων· ἀλλ' εἶναι περισσότερον εὐχάριστον εἰς ἐμὲ νά ἀκούω τὸν τριγμὸν τῶν ὀδόντων παρὰ τέτοια λόγια.

Ὅταν δὲ ἐκεῖνος μὲ εἶδε νὰ θλίβωμαι πάρα πολύ, εἶπε· ὅμως δὲν ἔφθασεν ἀκόμη ἐκεῖνος ὁ καιρός· οὔτε βεβαίως διὰ τῶν δακρύων αὐτῶν εἶναι ποτὲ δυνατὸν νὰ σώσῃς τοὺς καταδικασθέντας· διότι νομίζω ὅτι δὲν εἶναι δυνατὸν νὰ ἀναχαιτισθῇ τὸ κακόν. Πρέπει ἀντιθέτως νὰ προσπαθήσωμεν νὰ σβήσωμεν τὴν φωτιὰν καὶ ν' ἀντιμετωπίσωμεν τὸν λοιμόν, ὅσον ἐξαρτᾶται ἀπὸ ἡμᾶς καὶ ἐὰν βεβαίως πεισθῇς εἰς ἐμέ, παῦσε νὰ ὀδύρεσαι, ἑτοίμασε πραγματείαν παραινετικὴν διὰ τοὺς ἀσθενεῖς καὶ ἀνθισταμένους εἰς τὴν σωτηρίαν των, καθὼς καὶ τὴν σωτηρίαν ὅλων τῶν ἀνθρώπων. Καὶ αὐτὸ τὸ βιβλίον θὰ τὸ πάρω ἐγὼ καὶ θά τὸ ἐναποθέσω εἰς τὰς χεῖρας τῶν ἀσθενῶν, ἀντὶ οἱουδήποτε ἄλλου φαρμάκου· διότι μέσα εἰς τοὺς πάσχοντας τὴν ἀσθένειαν αὐτὴν ὑπάρχουν καὶ πολλοὶ φίλοι μου καὶ γνωρίζω καλὰ ὅτι θὰ μὲ ἀνεχθοῦν νὰ τοὺς πλησιάσω καὶ μίαν καὶ δύο φορὰς καὶ πολλάκις, καὶ γνωρίζω ὅτι γρήγορα θ' ἀπαλλαγοῦν ἀπὸ τὸν λοιμόν. Σὺ βεβαίως, τοῦ εἶπα, μετρεῖς τὴν δύναμίν μου σύμφωνα μὲ τὸ μέτρον τῆς ἀγάπης· ἐγὼ ὅμως δὲν ἔχω τὴν δύναμιν τοῦ λόγου, καὶ αὐτήν, ποὺ φαίνεται πὼς ἔχω, ἐντρέπομαι νὰ τὴν χρησιμοποιήσω εἰς τέτοιαν ὑπόθεσιν, καὶ δὲν ἐντρέπομαι τόσον κανένα ἄλλον, ὅσον τοὺς εἰδωλολάτρας, καὶ τοὺς ζῶντας καὶ τοὺς μέλλοντας νὰ γεννηθοῦν, τοὺς ὁποίους πάντοτε κατηγοροῦσα διὰ τὰς δοξασίας των καὶ διὰ τὴν ὀκνηρίαν τοῦ βίου των, τώρα δὲ εἶμαι ἀναγκασμένος νὰ ὁμιλήσω διὰ τὰ ἰδικά μας κακά. Διότι ἐὰν ἀντιληφθοῦν μερικοὶ ἀπὸ ἐκείνους, ὅτι ὑπάρχουν μεταξὺ τῶν Χριστιανῶν ἄνθρωποι, οἱ ὁποῖοι ἔχουν ἐμπλακῆ τόσον πολὺ εἰς πόλεμον πρὸς τὴν ἀρετὴν καὶ τὸν μοναχι-

μὴ μόνον τῶν ὑπὲρ ταύτης ἀφίστασθαι πόνων, ἀλλὰ μηδὲ τοὺς ὑπὲρ τούτων ἀνέχεσθαι λόγους, καὶ οὐδὲ ἐνταῦθα στῆναι τῆς μανίας ἀνέχονται, ἀλλὰ κἂν ἕτερός τις ταῦτα συμβουλεύῃ καὶ διαλέγηται, καὶ τοῦτον πάντοθεν ἐλαύνουσιν·
5 *ἂν ταῦτα αἴσθωνται, δέδοικα μή ποτε οὔτε ἀνθρώπους ἡμᾶς εἶναι νομίσωμεν, ἀλλὰ θηρία καὶ τέρατα ἀνθρωπόμορφα, καὶ δαίμονάς τινας ἀλάστορας, καὶ τῆς κοινῆς φύσεως ἐχθρούς, καὶ ταύτην οὐ περὶ τῶν ὑπευθύνων μόνον, ἀλλὰ καὶ περὶ παντὸς ἡμῶν τοῦ ἔθνους τὴν ψῆφον ἐνέγκωσι.*

10 *Καὶ γελάσας ἐκεῖνος· παίζεις, ἔφη, ταῦτα λέγων· ἐγὼ γὰρ νῦν τούτου σοι εὐκαιρότερον ἐρῶ, εἴ γε δέδοικας μὴ παρὰ τῶν σῶν λόγων μάθωσιν ἃ διὰ τῶν ἔργων ἔμαθον ἅπαντες πάλαι. Ὥσπερ γάρ τινος πονηροῦ πνεύματος τὰς ἁπάντων πεπληρωκότος ψυχάς, οὕτω τὰ πάντων στόματα*
15 *τούτων γέμει τῶν λόγων· κἂν εἰς ἀγορὰν ἐμβάλῃς, ὄψει, κἂν ἐν τοῖς ἰατρείοις, κἂν ἐν παντὶ μέρει τῆς πόλεως, ἔνθα συνεδρεύειν εἰώθασιν οἱ πράττειν οὐδὲν ἐθέλοντες, πολὺν γέλωτα παρὰ πάντων κινούμενον. Ἡ δὲ τοῦ γέλωτος τούτου καὶ τῆς κωμῳδίας ὑπόθεσις τῶν εἰς τοὺς ἁγίους ἄν-*
20 *δρας εἰργασμένων ἐστὶ τὰ διηγήματα. Καθάπερ γάρ τινες πολεμισταὶ πολλὰς ἠνυκότες μάχας, καὶ τρόπαια στήσαντες, τὰς ἑαυτῶν ἀριστείας διηγούμενοι χαίρουσιν, οὕτω δὴ καὶ οὗτοι γάννυνται ἐπὶ τοῖς τολμήμασι τοῖς ἑαυτῶν· καὶ ἀκούσῃ τοῦ μὲν λέγοντος, ὅτι ἐγὼ πρῶτος καὶ χεῖρας ἐπέ-*
25 *βαλον ἐπὶ τὸν δεῖνα τὸν μοναχόν, καὶ πληγὰς ἐνέτεινα· ἑτέρου δέ, ὅτι τὸ καταγώγιον πρὸ τῶν ἄλλων εὗρον αὐτός· ἀλλὰ τὸν δικαστὴν ἐγὼ μᾶλλον τῶν ἄλλων παρώξυνα, φησὶν ἕτερος· ἄλλος τὸ δεσμωτήριον καὶ τὰ ἐν τῷ δεσμωτηρίῳ δεινὰ καὶ τὸ διὰ τῆς ἀγορᾶς ἑλκύσαι τοὺς ἁγίους ἐκείνους*
30 *ἐν ἐγκωμίου τίθεται μέρει· καὶ ἄλλος ἄλλο. Εἶτα πάντες ἀνακαγχάζουσιν ἐπὶ τούτοις. Καὶ ταῦτα μὲν ἐν τοῖς τῶν*

κὸν βίον, ὥστε ὄχι μόνον νὰ ἀποφεύγουν τοὺς κόπους τούτου, ἀλλὰ οὔτε καὶ νὰ ἀνέχωνται λόγους ὑπὲρ τούτων, καὶ ὅτι δὲν περιορίζουν τὴν μανίαν των μέχρις ἐδῶ, ἀλλὰ καὶ ἂν κάποιος ἄλλος συμβουλεύῃ τέτοια καὶ ὁμιλῇ περὶ αὐτῶν, αὐτὸν τὸν ἐξαφανίζουν ἐντελῶς. Ἂν ἀντιληφθοῦν αὐτά, φοβοῦμαι ὅτι δὲν θὰ μᾶς θεωρήσουν κἂν ἀνθρώπους ἀλλὰ θηρία καὶ τέρατα ἀνθρωπόμορφα καὶ δαίμονας καταστροφῆς καὶ ἐχθροὺς τῆς ἀνθρωπίνης φύσεως, καὶ θὰ ἐκφράσουν τέτοιαν γνώμην ὄχι μόνον διὰ τοὺς ὑπευθύνους τῶν κατηγοριῶν, ἀλλὰ καὶ δι' ὅλον τὸ γένος τῶν Χριστιανῶν.

Καὶ ἐκεῖνος ἀφοῦ ἐγέλασεν εἶπεν· «Ἀστειεύεσαι μὲ αὐτὰ τὰ λόγια· ἐγὼ τώρα θὰ εἰπῶ κάτι ποὺ ἀνταποκρίνεται περισσότερον εἰς τὰ πράγματα, ἐὰν βέβαια φοβῆσαι μήπως πληροφορηθοῦν ἀπὸ τὰ λόγια σου αὐτὰ ποὺ παλαιότερα διὰ τῶν ἔργων ἔμαθαν ὅλοι. Συμβαίνει δηλαδὴ ὡσὰν νὰ ἔχῃ καταλάβει τὰς ψυχὰς ὅλων ἓν πονηρὸν πνεῦμα, τόσον γεμᾶτα εἶναι ἀπὸ τοὺς λόγους αὐτοὺς ὅλων τὰ στόματα καὶ εἰς τὴν ἀγορὰν ἐὰν μεταβῇς καὶ εἰς τὰ ἰατρεῖα καὶ εἰς οἱονδήποτε μέρος τῆς πόλεως ὅπου συνηθίζουν νὰ συγκεντρώνωνται οἱ ὀκνηροί, θὰ ἴδῃς νὰ γελοῦν ὅλοι μαζί. Ἡ ὑπόθεθεσις δὲ τοῦ γέλωτος αὐτοῦ καὶ τῆς κωμῳδίας εἶναι αἱ διηγήσεις διὰ τὰ ὅσα ἔχουν γίνει ἐναντίον τῶν ἁγίων ἀνδρῶν. Ὅπως δηλαδὴ μερικοὶ πολεμισταί, ποὺ ἔδωσαν πολλὰς μάχας καὶ ἐνίκησαν, εὐχαριστοῦνται νὰ διηγοῦνται τὰ κατορθώματά των, ἔτσι καὶ αὐτοὶ χαίρουν διὰ τὰ τολμήματά των. Καὶ θ' ἀκούσῃς ἄλλον μὲν νὰ λέγῃ ὅτι, ἐγὼ πρῶτος κατεδίωξα τὸν τάδε μοναχὸν καὶ τοῦ κατέφερα πλήγματα· ἄλλον δὲ ὅτι, ἐγὼ πρὶν ἀπὸ τοὺς ἄλλους εὑρῆκα τὸ κατάλυμά των· ἄλλον, ὅτι ναί, ἀλλὰ ἐγὼ ἐξηρέθισα περισσότερον ἀπὸ τοὺς ἄλλους τὸν δικαστήν· ἄλλον δὲ τὴν φυλακὴν καὶ τὰ εἰς αὐτὴν βασανιστήρια, καὶ τὸ ὅτι ἔσυρε διὰ μέσου τῆς ἀγορᾶς τοὺς ἁγίους ἐκείνους ἄνδρας νὰ τὸ θεωρῇ ὡς καύχημα· καὶ ἄλλον νὰ καυχᾶται διὰ ἄλλο. Ἔπειτα ὅλοι γελοῦν

Χριστιανῶν συνεδρίοις· οἱ δὲ Ἕλληνες καὶ τούτους γελῶσι, καὶ τοὺς ὑπ' αὐτῶν γελωμένους· τοὺς μέν, ἐφ' οἷς ἔδρασαν, τοὺς δὲ ἐφ' οἷς ἔπαθον· καὶ πολέμου τινὸς ἐμφυλίου τὰ πάντα ἐμπέπλησται, μᾶλλον δὲ ταῦτα ἐκείνου πολλῷ χα-
5 *λεπώτερα. Ἐκεῖνον μὲν γὰρ οἱ πολεμήσαντες τὸν πόλεμον, ὅταν ποτὲ ὕστερον ἀναμνησθῶσιν αὐτοῦ, τοῖς τε κεκινηκόσιν αὐτὸν ἐπαρῶνται πολλά, καὶ δαίμονί τινι πονηρῷ τὰ ἐν αὐτῷ γενόμενα ἅπαντα ἀνατιθέασι· κἀκεῖνοι μὲν πλέον τι τῶν ἄλλων αἰσχύνονται, ὅσῳπερ ἂν ἐν αὐτῷ πλέον τι τῶν*
10 *ἄλλων ἐργάσωνται· οὗτοι δὲ καὶ ἐγκαλλωπίζονται τοῖς τολμήμασι. Καὶ οὐ τοῦτο μόνον, ὅτι ἀναγέστερος οὗτος ἐκείνου ὁ πόλεμος, οὐδὲ ὅτι πρὸς ἁγίους καὶ οὐδὲν ἠδικηκότας γίνεται μόνον, ἀλλ' ὅτι καὶ πρὸς ἀνθρώπους ποιεῖν μὲν οὐδένα εἰδότας κακῶς, πάσχειν δὲ παρασκευασμένους μόνον.*

15 *3. Ἐπίσχες, ἔφην, ἐπίσχες· καὶ γὰρ καὶ τούτων ἡμῖν ἅλις τῶν διηγημάτων, εἴ γε μὴ παντελῶς με ἐκπνεῦσαι δέοι· ἀλλὰ μικρὰν γοῦν τινα ἔχοντα ἰσχύν, ἀπελθεῖν ποίησον. Σὺ μὲν γὰρ πάντως ὅπερ ἐπέταξας γενήσεται· μόνον μηδὲν ἕτερον ἡμῖν προσθῇς διήγημα, ἀλλ' ἀπελθὼν εὔ-*
20 *χου σκεδασθῆναί μοι τῆς ἀθυμίας τὸ νέφος, καὶ λαβεῖν τινα παρὰ τοῦ πολεμουμένου Θεοῦ ῥοπὴν εἰς τὴν ἰατρείαν τῶν πολεμούντων αὐτόν· δώσει δὲ πάντως φιλάνθρωπός τε ὤν, καὶ τὸν θάνατον μὴ βουλόμενος τοῦ ἁμαρτωλοῦ, ὡς τὸ ἐπιστρέψαι αὐτὸν καὶ ζῆν.*

25 *Οὕτως ἀποπέμψας ἐκεῖνον, τῶν λόγων ἡπτόμην τούτων. Καὶ γὰρ εἰ μὲν τοῦτο μόνον ἦν τὸ δεινόν, τὸ τοὺς ἁγίους τοῦ Θεοῦ καὶ θαυμαστοὺς ἄνδρας ἐκείνους ἕλκεσθαι καὶ σπαράσσεσθαι συρομένους εἰς δικαστήρια, καὶ τυπτο-*

πάλιν θορυβωδῶς δι' αὐτά. Καὶ αὐτὰ μὲν συμβαίνουν εἰς συγκεντρώσεις Χριστιανῶν· οἱ δὲ εἰδωλολάτραι καὶ αὐτοὺς εἰρωνεύονται, καὶ τοὺς ὑπ' αὐτῶν καταγελωμένους· τοὺς μὲν πρώτους δι' ὅσα ἔπραξαν, τοὺς δὲ ἄλλους δι' ὅσα ἔπαθαν. Καὶ ἕνας ἐμφύλιος πόλεμος ἔχει ἐκσπάσει παντοῦ· ἢ μᾶλλον αὐτὰ εἶναι πολὺ λυπηρότερα ἀπὸ ἐκεῖνον. Διότι ἐκεῖνοι μέν, ποὺ ἔλαβον μέρος εἰς τέτοιον πόλεμον, ὅταν κάποτε ἀργότερον τὸν ἐνθυμηθοῦν, ἀφ' ἑνὸς μὲν ἐκφράζουν πολλὰς κατάρας ἐναντίον ἐκείνων, ποὺ τὸν ὑπεκίνησαν, ἀφ' ἑτέρου δὲ ἀποδίδουν τὰ κατά τὴν διάρκειάν του διαδραματισθέντα εἰς κάποιον πονηρὸν δαίμονα. Καὶ ἐκεῖνοι μὲν ἐντρέπονται τόσον περισσότερον ἀπὸ τοὺς ἄλλους, ὅσον περισσότερα ἔχουν πράξει ἀπὸ τοὺς ἄλλους. Αὐτοὶ ἐδῶ ὅμως ἐπὶ πλέον καυχῶνται διὰ τὰ τολμήματά των. Καὶ ὄχι μόνον αὐτό, ὅτι δηλαδὴ ὁ πόλεμος αὐτὸς εἶναι βδελυρότερος ἀπὸ ἐκεῖνον, οὔτε ὅτι στρέφεται μόνον ἐναντίον ἁγίων ἀνδρῶν, ποὺ δὲν ἔβλαψαν κανένα, ἀλλ' ὅτι στρέφεται ἐναντίον ἀνθρώπων ποὺ δὲν γνωρίζουν νὰ κάμουν κανένα κακόν, εἶναι δὲ ἕτοιμοι νὰ κακοπάθουν οἱ ἴδιοι.

3. Σταμάτησε, εἶπα, σταμάτησε· μᾶς εἶναι ἀρκεταὶ αἱ διηγήσεις αὐταί, εἰ δ' ἄλλως θὰ ἀποθάνω· ἀλλὰ ἄφησέ με νὰ φύγω μὲ τὴν ὀλίγην δύναμιν ποὺ μοῦ ἀπέμεινε. Διότι, βεβαίως, αὐτὸ μὲν ποὺ διέταξες ἐσὺ θὰ γίνῃ· μόνον μὴ μᾶς συνεχίσῃς ἄλλην διήγησιν, ἀλλὰ φεύγων νὰ εὔχεσαι νά διασκορπισθῇ τὸ νέφος τῆς ἀπελπισίας μου, καὶ νὰ λάβω ἀπὸ τὸν πολεμούμενον Θεὸν κάποιαν δύναμιν διὰ τὴν σωτηρίαν αὐτῶν ποὺ τὸν πολεμοῦν· θὰ μοῦ τὴν δώσῃ δὲ ἀσφαλῶς, διότι δὲν ἐπιθυμεῖ τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, μέχρις ὅτου μετανοήσῃ καὶ σωθῇ.

Ἔτσι ἀφοῦ ἀπέπεμψα ἐκεῖνον ἤρχισα αὐτοὺς τοὺς λόγους. Καὶ ἐὰν μὲν βεβαίως τὸ φοβερὸν ἦτο μόνον αὐτό, δηλαδὴ οἱ ἅγιοι τοῦ Θεοῦ καὶ ἀξιοθαύμαστοι ἐκεῖνοι ἄνθρωποι νὰ ὁδηγοῦνται καὶ νὰ καθυβρίζωνται συρόμενοι εἰς τὰ δικαστήρια καὶ δερνόμενοι καὶ ὑφιστάμενοι ὅλα τὰ ἄλλα

μένους, καὶ τὰ ἄλλα πάσχοντας, ἅπερ διηγησάμην ἄρτι, μηδεμία δὲ ἀπὸ τούτων εἰς τὴν τῶν ταῦτα τολμώντων κεφαλὴν ἐτρέπετο βλάβη, τοσοῦτον ἀπέσχον ἀλγῆσαι τοῖς γινομένοις, ὅτι κἂν ἐγέλασα σφόδρα ἡδύ, καὶ δαψιλὲς ἐπ' αὐτοῖς·
5 *ἐπεὶ καὶ τὰ παιδία τὰ μικρά, ὅταν μὲν ἀκινδύνως πλήττῃ τὰς μητέρας, πολὺν κινεῖ τὸν γέλωτα ταῖς πληττομέναις αὐταῖς, καὶ ὅσωπερ ἂν ἐκ πλείονος τοῦτο ἐργάζηται τοῦ θυμοῦ, τοσοῦτον μᾶλλον αὐταῖς ἐπιτείνει τὴν ἡδονήν, ὡς καὶ διαχεῖσθαι καὶ ἀνακλᾶσθαι τῷ γέλωτι· εἰ δὲ τῷ συνεχῶς*
10 *καὶ ῥαγδαίως τοῦτο ποιεῖν τρωθείη ποτέ, ἢ βελόνης τῷ χιτωνίσκῳ τῆς μητρὸς περὶ τὴν ζώνην ἐμπεπερονημένης, ἢ τῆς κερκίδος πρὸ τῶν στέρνων τῶν μητρικῶν τὴν χεῖρα τοῦ παιδὸς δεξαμένης, τότε δή, τότε, τὸν γέλωτα ἀφεῖσα ἡ μήτηρ, μείζονι τοῦ πληγέντος περιωδυνίᾳ κατέχεται· καὶ*
15 *τέως μὲν θεραπεύει τὸ τραῦμα, τοῦ λοιποῦ δὲ μετὰ σφοδρᾶς ἀπαγορεύει τῆς ἀπειλῆς τὰ τοιαῦτα μὴ ποιεῖν, ὡς μηκέτι παθεῖν τὰ αὐτά.*

Καὶ ἡμεῖς τοίνυν τὰ αὐτὰ ἂν ἐδράσαμεν, εἰ τὸν παιδικὸν τοῦτον ἑωρῶμεν θυμόν, καὶ τὴν τῶν νηπίων πληγήν,
20 *μὴ μέγαν αὐτοῖς τὸν ὄλεθρον φέρουσαν· ἐπειδὴ δὲ μικρὸν ὕστερον, κἂν μὴ νῦν αἴσθωνται τῷ θυμῷ κατεχόμενοι, κλαύσουσι καὶ οἰμώξουσι καὶ ὀδυροῦνται, οὐ τοιοῦτον ὀδυρμόν, οἷον τὰ παιδία τὰ μικρά, ἀλλὰ τὸν ἐν τῷ σκότει τῷ ἐξωτέρῳ, τὸν ἐν τῷ πυρὶ τῷ ἀσβέστῳ· τὸ αὐτὸ πάλιν ταῖς μητράσι*
25 *ποιήσωμεν, τοσοῦτον αὐτῶν διαλλάττοντες, ὅσον οὐ μετ' ἀπειλῆς καὶ ὕβρεως καθάπερ ἐκεῖναι, ἀλλὰ μετὰ κολακείας καὶ προσηνείας πολλῆς πρὸς τὰ παιδία ταῦτα διαλεξόμεθα· ἐπεὶ ὅτι γε τοῖς ἁγίοις οὐδεμία ἀπὸ τούτων ἡ βλάβη, ἀλλὰ καὶ μείζων ὁ μισθὸς καὶ πλείων ἡ παρρησία. Ἂν μὲν τὰ*
30 *μέλλοντα εἴπωμεν ἀγαθά, τάχα καὶ γελάσεσθε μέγα, ἅτε τοιοῦτον ἀεὶ γέλωτα μελετῶντες γελᾶν· τοῖς δὲ παροῦσι,*

ποὺ διηγήθην πρὸ ὀλίγου, καὶ οὐδεμία τιμωρία νὰ ἐπιφέρεται εἰς τάς κεφαλὰς τῶν τολμούντων ταῦτα, δὲν θὰ ἐθλιβόμην καθόλου διὰ τὰ συμβαίνοντα, ἀλλὰ θὰ ἐγελοῦσα μὲ πολλὴν διάθεσιν καὶ πάρα πολὺ δι' αὐτά· διότι καὶ τὰ μικρὰ παιδιά, ὅταν μὲν ἀκινδύνως κτυποῦν τὰς μητέρας των, δίδουν ἀφορμὴν εἰς αὐτὰς νὰ γελοῦν πολύ, καὶ ὅσον κάμνουν τοῦτο μὲ μεγαλύτερον θυμόν, τόσον μεγαλυτέραν εὐχαρίστησιν αἰσθάνονται αὐταί, ὥστε νὰ φαίνωνται χαρωπαὶ καὶ ν' ἀντηχοῦν τὰ γέλια· ἐάν ὅμως αὐτὸ συνεχίζεται ἐπὶ πολὺ καὶ βιαίως, μὲ ἀποτέλεσμα τὸ παιδὶ κάποτε νὰ πληγωθῇ ἢ ἀπὸ βελόνην διαπερασμένην ἀπὸ τὴν ζώνην τοῦ φορέματος τῆς μητρός, ἢ ἀπὸ κτύπημα εἰς τὸ χέρι μὲ τὴν κερκίδα τοῦ μητρικοῦ στήθους, τότε λοιπὸν διακόπτουσα τὰ γέλια, πονᾷ περισσότερον ἀπὸ τὸ πληγωμένον παιδί· καὶ ἀφοῦ θεραπεύσῃ τὸ τραῦμα, τοῦ λοιποῦ μὲ αὐστηρὰν ἀπειλὴν ἀπαγορεύει τὰ παιγνίδια αὐτά, διὰ νὰ μὴ ξαναπάθῃ τὰ ἴδια.

Καὶ ἡμεῖς τὰ ἴδια θὰ ἐκάμαμεν ἐὰν ἐβλέπαμεν τὸν παιδικὸν αὐτὸν θυμόν, καὶ τὴν πληγὴν τῶν νηπίων, ποὺ δὲν ἐπιφέρει καὶ μεγάλην ζημίαν εἰς αὐτούς. Ἐπειδὴ ὅμως ὕστερα ἀπὸ ὀλίγον, καὶ ἂν ἀκόμη τώρα δὲν τὸ ἀντιληφθοῦν, διότι κατέχονται ἀπὸ τὸν θυμόν, θὰ κλαύσουν καὶ θὰ στενάξουν καὶ θὰ θρηνήσουν, ὄχι τέτοιον θρῆνον, ὅπως τὰ μικρὰ παιδιά, ἀλλὰ αὐτὸν ποὺ λαμβάνει χώραν εἰς τὸ πῦρ τὸ ἐξώτερον, εἰς τὸ ἄσβεστον πῦρ, θὰ ἐνεργήσωμεν ὅπως αἱ μητέρες, ἂν καὶ διαφέρομεν ἀπὸ αὐτάς, ὄχι μὲ ἀπειλὴν καὶ αὐστηρότητα ὅπως ἐκεῖναι, ἀλλὰ μὲ κολακείαν καὶ πραότητα εἰς τὸ ὅτι θὰ ὁμιλήσωμεν πρὸς αὐτὰ τὰ παιδιά. Διότι δὲν βλάπτονται καθόλου ἀπὸ αὐτά οἱ ἅγιοι, ἀλλὰ μᾶλλον μεγαλυτέρα εἶναι ἡ ἀμοιβή των καὶ περισσοτέρα ἡ παρρησία των. Ἂν λοιπὸν ἀναφέρωμεν τὰ μελλοντικὰ ἀγαθά, ἴσως καὶ νὰ γελάσετε πολύ, διότι τέτοιον γέλωτα ἐπιζητεῖτε πάντοτε· εἰς τὰ παρόντα ὅμως, καὶ ἂν εἶσθε μυριάκις φιλο-

κἂν μυριάκις ἦτε φιλογέλωτες, οὐκ ἀπιστήσετε· οὐδὲ γάρ, ἂν ἐθέλητε, δυνήσεσθε, τῶν πραγμάτων ὑμῖν οὕτως ἀντιφθεγγομένων αὐτῶν.

Τὸν Νέρωνα πάντως ἀκούετε (καὶ γὰρ ἐπίσημος ὁ ἀνὴρ
5 *ἀπὸ τῆς ἀσελγείας ἐγένετο, πρῶτος καὶ μόνος εὑρὼν ἐν ἀρχῇ τοιαύτῃ καινούς τινας ἀκολασίας καὶ ἀσχημοσύνης τρόπους)· οὗτος ὁ Νέρων τὸν μακάριον Παῦλον (καὶ γὰρ ἔτυχε κατὰ τοὺς αὐτοὺς ἐκείνῳ γενόμενος χρόνους) τοιαῦτα ἐγκαλῶν, οἷάπερ ὑμεῖς τοῖς ἁγίοις τούτοις ἀνδράσι·*
10 *παλλακίδα γὰρ αὐτοῦ σφόδρα ἐπέραστον πείσας τὸν περὶ τῆς πίστεως δέξασθαι λόγον, ἔπειθεν ὁμοῦ καὶ τῆς ἀκαθάρτου συνουσίας ἀπαλλαγῆναι ἐκείνης. Τοιαῦτα γοῦν ἐγκαλῶν ἐκεῖνος, καὶ λυμεῶνα καὶ πλάνον καὶ τὰ αὐτά, ἅπερ ὑμεῖς φθέγγεσθε, τὸν Παῦλον ἀποκαλῶν, τὸ μὲν πρῶτον ἔδησεν,*
15 *ὡς δὲ οὐκ ἔπειθε τῆς πρὸς τὴν κόρην ἀποσχέσθαι συμβουλῆς, τέλος ἀπέκτεινε. Τί οὖν ἀπὸ τούτου γέγονε βλάβος τῷ παθόντι κακῶς; τί δὲ ὄφελος τῷ δράσαντι κακῶς; τί μὲν οὐκ ὄφελος τῷ τότε ἀναιρεθέντι Παύλῳ; τί δὲ οὐ βλάβος τῷ ἀνελόντι Νέρωνι; οὐχ ὁ μὲν ὥσπερ ἄγγελος παν-*
20 *ταχοῦ τῆς οἰκουμένης ᾄδεται (τὰ γὰρ παρόντα τέως ἐρῶ)· ὁ δέ, ὥσπερ ὄντως λυμεὼν καὶ δαίμων ἄγριος πρὸς πάντας διαβέβληται;*

4. Τὰ δὲ ἐκεῖ, κἂν ὑμεῖς ἀπιστήσητε, διὰ τοὺς πιστεύοντας ἀναγκαῖον εἰπεῖν· καίτοι ὑμᾶς ἀπὸ τῶν παρόντων
25 *κἀκείνοις πιστεύειν ἐχρῆν· πλὴν ἀλλ' ὅπως ἂν πρὸς αὐτὰ διάκεισθε, εἰρήσεται παρ' ἡμῶν, καὶ οὐ κεκρύψεται.*

Τίνα οὖν ἔσται τὰ ἐκεῖ; Ὁ μὲν ἄθλιος καὶ ταλαίπωρος ἐκεῖνος, αὐχμῶν καὶ κατηφής, αἰσχύνης γέμων καὶ ζόφου

---

4. Στηρίζεται εἰς τὰς ἀποκρύφους Πράξεις Παύλου.

γέλωτες, δὲν θὰ ἀπιστήσετε· ἄλλωστε καὶ νὰ θέλετε ἀκόμη, δὲν θὰ ἠμπορέσετε, διότι τὰ ἴδια τὰ πράγματα ἀντιτίθενται εἰς ἐσᾶς.

Ὁπωσδήποτε ἔχετε ἀκούσει περὶ τοῦ Νέρωνος (διότι ἔγινε πασίγνωστος ὁ ἄνθρωπος αὐτὸς ἐξ αἰτίας τῆς ἀσελγείας του, μὲ τὸ νά ἐπινοήσῃ πρῶτος αὐτὸς καὶ μόνος, μερικοὺς νέους τρόπους ἀκολασίας καὶ διαφθορᾶς). Αὐτὸς ὁ Νέρων εἰς τὸν μακάριον Παῦλον (διότι ἔτυχε νὰ εἶναι σύγχρονος μὲ ἐκεῖνον) τέτοιας κατηγορίας ἀπέδωσεν, ὅπως ἐσεῖς τώρα ἀποδίδετε εἰς τοὺς ἁγίους αὐτοὺς ἄνδρας· διότι ἀφοῦ ἔπεισε μίαν παλλακίδα τὴν ὁποίαν ὑπερβολικὰ ἠγάπα ὁ Νέρων, νὰ δεχθῇ τὴν διδασκαλίαν τῆς πίστεως, ταυτοχρόνως τὴν ἔπεισε ν' ἀπομακρυνθῇ ἀπὸ τὴν ἀκόλαστον ἐκείνην πορνείαν[4]. Ἀποδίδων λοιπὸν τέτοιας κατηγορίας ἐκεῖνος, καὶ καταστροφέα καὶ πλάνον, καὶ μὲ τὰ αὐτὰ ὑβριστικὰ ἐπίθετα ποὺ σεῖς ἐκστομίζετε ἀποκαλῶν τὸν Παῦλον, κατ' ἀρχὰς μὲν τὸν ἐφυλάκισεν, ἐπειδὴ ὅμως δὲν κατώρθωσε νὰ τὸν πείσῃ νὰ παύσῃ νὰ συμβουλεύῃ τὴν κόρην, τελικῶς τὸν ἐφόνευσε. Ποία λοιπὸν ζημία προῆλθεν ἀπὸ τὸ γεγονὸς τοῦτο διά τὸν παθόντα; Καὶ εἰς τί ὠφελήθη ὁ δράστης; Τί δὲν ὠφέλησε τὸν τότε φονευθέντα Παῦλον; Καὶ τί δὲν ἐζημίωσε τὸν φονέα Νέρωνα; Μήπως ὁ μὲν πρῶτος δὲν ὑμνεῖται εἰς ὅλην τὴν οἰκουμένην ὡς ἄγγελος (διότι εἰς τὰ παρόντα θὰ ἀναφερθῶ καὶ πάλιν), ὁ δὲ Νέρων δὲν ἔχει κατηγορηθῇ ἀπὸ ὅλους ὡς πραγματικὸς καταστροφεὺς καὶ ἄγριος δαίμων;

4. Τὰ δὲ ἐκεῖ, καὶ ἂν σεῖς ἀπιστήσετε, εἶναι ἀναγκαῖον νὰ τὰ ἀναφέρω, χάριν αὐτῶν ποὺ πιστεύουν, ἂν καὶ θὰ ἔπρεπε ἀπὸ τὰ παρόντα, νὰ πιστεύετε καὶ εἰς ἐκεῖνα· πλὴν ὅμως, ὅπως καὶ ἂν διάκεισθε πρὸς αὐτά, ἐγὼ θὰ τά εἴπω καὶ δὲν θὰ τὰ ἀποκρύψω.

Ποῖα λοιπὸν θὰ εἶναι τὰ ἐκεῖ; Ὁ μὲν ἄθλιος καὶ δυστυχὴς ἐκεῖνος, ρυπαρὸς καὶ κατηφής, γεμᾶτος ἀπὸ ἐντροπὴν καὶ σκότος, καὶ βλέπων πρὸς τὰ κάτω, θὰ μεταφερθῇ,

καὶ κάτω νεύων, ἀπαχθήσεται ἔνθα ὁ σκώληξ ὁ ἀτελεύτητος καὶ τὸ πῦρ τὸ ἄσβεστον· ὁ δὲ μακάριος Παῦλος μετὰ πολλῆς στήσεται τῆς παρρησίας παρ' αὐτὸν τοῦ βασιλέως τὸν θρόνον λαμπρῶς ἀποστίλβων, καὶ δόξαν ἠμφιεσμένος
5 *τοσαύτην, ὡς μηδὲν τῶν ἀγγέλων καὶ τῶν ἀρχαγγέλων ἀποδεῖν, καὶ τοσοῦτον λήψεται τὸν μισθόν, ὅσον εἰκὸς ἄνθρωπον τὸ σῶμα καὶ τὴν ψυχὴν τῶν τῷ Θεῷ δοκούντων ἕνεκεν ἐπιδόντα. Καὶ γὰρ οὕτως ἔχει· κεῖται μὲν πολλὴ τοῖς τὰ ἀγαθὰ ἐργαζομένοις ἀντίδοσις, μείζων δὲ αὕτη*
10 *καὶ πλείων γίνεται, ὅταν καὶ διὰ κινδύνων ἴωσι καὶ ἀτιμίας πολλῆς οἱ ταῦτα ἐργαζόμενοι τὰ ἀγαθά· κἂν τὸ κατόρθωμα ἴσον ᾖ τῷ τε ἀπονητί, καὶ τῷ μετὰ πόνων αὐτὸ κατωρθωκότι, τὰ τῆς τιμῆς οὐκ ἔσται ἴσα καὶ τὰ τῶν στεφάνων. Ἐπεὶ καὶ ἐν τοῖς πολέμοις στεφανοῦται μὲν ὁ τρόπαιον στήσας,*
15 *πολλῷ δὲ ἔτι μειζόνως ὁ καὶ τὰ τραύματα ἐπιδεῖξαι ἔχων, δι' ὧν τὸ τρόπαιον ἔστησε.*

Καὶ τί λέγω περὶ τῶν ζώντων, ὅπου γε καὶ οἱ τοῦτο μόνον ἐπιδειξάμενοι τὸ καλῶς ἀποθανεῖν ἐν πολέμῳ, μηδὲν δὲ πλεῖον τοὺς αὐτῶν ὠφελήσαντες, καθάπερ σωτῆρες καὶ
20 *προστάται πανταχοῦ τῆς Ἑλλάδος ᾄδονται; Ἢ καὶ ταῦτα ὑμεῖς ἀγνοεῖτε, τῷ γέλωτι καὶ τῇ τρυφῇ διαπαντὸς προσανέχοντες; Εἰ δὲ Ἕλληνες ἄνθρωποι, καὶ μηδὲν ὅλως ὑγιὲς ἐννοοῦντες, τοῦτο ἠδυνήθησαν συνιδεῖν, καὶ πολλῇ τετιμήκασι τῇ τιμῇ τοὺς ἀποθανόντας μόνον ὑπὲρ αὐτῶν, μηδὲν*
25 *δὲ ἐργασαμένους πλέον, πόσῳ μᾶλλον ὁ Χριστὸς τοῦτο ἐργάσεται, ὁ πανταχοῦ τοὺς δι' αὐτὸν κινδυνεύοντας ἐκ πολλοῦ τοῦ περιόντος ταῖς τῶν δωρεῶν νικῶν ἀντιδόσεσι; Οὐ γὰρ διωγμῶν μόνον, οὐδὲ πληγῶν, οὐδὲ δεσμωτηρίων καὶ φόνων καὶ σφαγῆς, ἀλλὰ καὶ ὕβρεως μόνης καὶ ῥημάτων*

ἐκεῖ ὅπου εἶναι ὁ ἀτελεύτητος σκώληξ καὶ τὸ πῦρ τὸ ἄσβεστον. Ὁ δὲ μακάριος Παῦλος θὰ σταθῇ μὲ πολλὴν παρρησίαν δίπλα εἰς αὐτὸν τὸν θρόνον τοῦ Βασιλέως ἀκτινοβολῶν λαμπρῶς καὶ ἐνδεδυμένος μὲ τόσον μεγάλην δόξαν, ὥστε οὐδόλως νὰ ὑστερῇ τῶν ἀγγέλων καὶ τῶν ἀρχαγγέλων, καὶ τόσον μεγάλην ἀμοιβὴν θὰ λάβῃ, ὅσον ἁρμόζει νὰ λάβῃ ἄνθρωπος, ὁ ὁποῖος ἀφιέρωσε τὴν ψυχὴν καὶ τὸ σῶμα του εἰς τὸν Θεὸν κατά τὴν θέλησιν τούτου. Διότι ἔτσι συμβαίνει· ὑπάρχει μεγάλη ἀμοιβὴ δι' αὐτοὺς ποὺ πράττουν καλὰ ἔργα, γίνεται δὲ αὕτη μεγαλυτέρα καὶ περισσοτέρα, ὅταν διέρχωνται διὰ κινδύνων καὶ πολλῆς ἀτιμώσεως αὐτοὶ ποὺ ἐργάζονται τὰ ἀγαθὰ ταῦτα. Καὶ ἂν ἀκόμη τὸ κατόρθωμα εἶναι τὸ ἴδιον καὶ εἰς τὸν ἄνευ κόπων καὶ εἰς τὸν μετὰ κόπων κατορθώσαντα τοῦτο, ὅμως δὲν θὰ εἶναι ἰδία ἡ τιμὴ καὶ ἴδιοι οἱ στέφανοι. Ἐπειδή, καὶ εἰς τοὺς πολέμους στεφανοῦται μὲν αὐτὸς ποὺ ἐνίκησε, πολὺ περισσότερον ὅμως αὐτὸς ποὺ ἔχει νὰ ἐπιδείξῃ καὶ τὰ τραύματα διὰ τῶν ὁποίων ἐπέτυχε τὴν νίκην.

Καὶ διατί ὁμιλῶ περὶ τῶν ζώντων, ὅταν καὶ αὐτοὶ ποὺ ἔχουν νὰ ἐπιδείξουν μόνον τὸν ἡρωϊκὸν θάνατον εἰς τὸν πόλεμον, χωρὶς νὰ ὠφέλησαν εἰς τίποτε περισσότερον τοὺς ἰδικούς των, ὑμνοῦνται ὡς σωτῆρες καὶ προστάται εἰς ὅλην τὴν Ἑλλάδα; Μήπως καὶ αὐτά τὰ ἀγνοεῖτε, δίδοντες πάντοτε σημασίαν μόνον εἰς τὰ γέλια καὶ τὴν καλοπέρασιν; Ἐὰν δὲ οἱ Ἕλληνες, ποὺ εἶναι ἄνθρωποι, καὶ τίποτε τὸ ἀπολύτως σοφὸν δὲν διενοήθησαν, ἠδυνήθησαν νὰ ἀντιληφθοῦν αὐτό, καὶ περιέβαλαν μὲ πολλὰς τιμὰς αὐτοὺς ποὺ ἀπέθαναν μόνον ὑπὲρ αὐτῶν καὶ δὲν ἔπραξαν τίποτε περισσότερον, πόσῳ μᾶλλον θὰ πράξῃ τοῦτο ὁ Χριστός, ὁ ὁποῖος δίδει πάντοτε περισσοτέρας ἀμοιβὰς καὶ δωρεὰς ἀπὸ ὅσους κινδύνους ὑπέστησαν δι' αὐτὸν οἱ εὐσεβεῖς. Διότι ὄχι μόνον διὰ τοὺς διωγμοὺς καὶ τὰς πληγάς, οὔτε μόνον διὰ τὰς φυλακίσεις καὶ τοὺς θανάτους καὶ τὰς σφαγάς, ἀλλὰ καὶ ἁπλῶς διὰ τὴν ὕβριν καὶ τοὺς ὀνειδισμοὺς ὑπεσχέ-

ὀνειδιστικῶν πολὺν ἔθηκε τὸν μισθόν. «Μακάριοι γάρ», φησίν, «ἐστέ, ὅταν μισήσωσιν ὑμᾶς οἱ ἄνθρωποι, καὶ ὅταν ἀφορίσωσιν ὑμᾶς καὶ ὀνειδίσωσι, καὶ ἐκβάλωσι τὸ ὄνομα ὑμῶν ὡς πονηρόν, ἕνεκεν τοῦ Υἱοῦ τοῦ ἀνθρώπου· χαίρετε
5 ἐν ἐκείνῃ τῇ ἡμέρᾳ καὶ σκιρτήσατε· ἰδοὺ γὰρ ὁ μισθὸς ὑμῶν πολὺς ἐν τῷ οὐρανῷ». Εἰ τοίνυν τὸ κακῶς παθεῖν καὶ τὸ κακῶς ἀκοῦσαι ἐπιτείνει τὸν μισθὸν καὶ τοῖς πάσχουσι καὶ τοῖς ἀκούουσι κακῶς, ὁ κωλύων αὐτοὺς παθεῖν καὶ ἀκοῦσαι κακῶς, οὐχὶ τούτους, ἀλλὰ τοὺς λέγοντας καὶ τοὺς ποιοῦντας
10 ὠφέλησε. Τούτους γὰρ ἔβλαψε τοῦ μισθοῦ τὸ πλέον ἐκκόπτων αὐτοῖς, καὶ τῆς χαρᾶς καὶ τῶν πολλῶν σκιρτημάτων ἀναιρῶν τὴν ὑπόθεσιν·

Ὥστε τούτων μὲν ἕνεκεν καὶ σιγῆσαι ἐχρῆν, καὶ ἀφεῖναι γενέσθαι ταῦτα τὰ πολὺν αὐτοῖς τὸν πλοῦτον ποι-
15 οῦντα τῶν ἀγαθῶν, καὶ μείζω τὴν παρρησίαν κατασκευάζοντα· ἐπειδὴ δὲ ἀλλήλων ἐσμὲν μέλη, κἂν αὐτοὶ πάλιν ἀρνῶνται τὴν χάριν, οὐ χρὴ τοὺς οὕτω διακειμένους, ἑνὸς μὲν προνοεῖν μέρους, ἑτέρου δὲ περιορᾶν. Ἐκείνοις μὲν γὰρ ἔσται καὶ ἑτέρας εὐδοκιμήσεως ὑπόθεσις, κἂν μὴ νῦν πά-
20 θωσι κακῶς· οὗτοι δὲ ἂν μὴ μάχης ἀπόσχωνται ταύτης, οὐκέτι σωθῆναι δυνήσονται. Τούτου δὴ χάριν παριδὼν τὸ ἐκείνων, πρὸς τὸ ὑμέτερον ἵσταμαι, καὶ δέομαι καὶ ἀντιβολῶ πεισθῆναί τε ἡμῖν παρακαλοῦσι, καὶ μηκέτι καθ' ἑαυτῶν τὸ ξίφος ὠθεῖν, μηδὲ πρὸς κέντρα λακτίζειν, μηδὲ νο-
25 μίζοντας ἀνθρώπους ἀνιᾶν λυπεῖν τὸ Πνεῦμα τὸ ἅγιον τοῦ Θεοῦ.

Ὅτι μὲν γὰρ ἐπαινέσεσθε ταύτην ἡμῶν τὴν γνώμην, κἂν μὴ νῦν ἀλλ' αὖθις, οἶδα καὶ πέπεισμαι· βούλομαι δὲ ὑμᾶς τοῦτο ποιῆσαι νῦν, ἵνα μὴ μάτην αὐτὸ μετὰ ταῦτα ποιῆ-
30 τε. Ἐπεὶ καὶ ὁ πλούσιος ἐκεῖνος, ὅτε μὲν ἦν ἐνταῦθα, τοὺς προφήτας καὶ τὸν νόμον καὶ τὴν ἐκ τούτων παράκλησιν

---

5. Λουκᾶ 6, 22-23.

θῃ μεγάλην ἀμοιβήν. Διότι λέγει· «Μακάριοι θὰ εἶσθε, ὅταν σᾶς μισήσουν οἱ ἄνθρωποι, καὶ ὅταν σᾶς ἀφορίσουν καὶ σᾶς ὀνειδίσουν καὶ ἀπορρίψουν τὸ ὄνομά σας ὡς πονηρόν, ἕνεκεν τοῦ Υἱοῦ τοῦ ἀνθρώπου· χαίρετε κατ' ἐκείνην τὴν ἡμέραν καὶ σκιρτήσατε· διότι ἰδοὺ ὁ μισθός σας εἶναι πολὺς ἐν τῷ οὐρανῷ»[5]. Ἐὰν λοιπὸν τὸ νὰ κακοπάθῃ κανεὶς καὶ τὸ νὰ κακολογηθῇ ἐπαυξάνει τὸν μισθὸν καὶ εἰς τοὺς πάσχοντας καὶ εἰς τοὺς κακολογουμένους, ὁ ἐμποδίζων αὐτοὺς νὰ κακοπάθουν καὶ νὰ ὑβρισθοῦν, δὲν ὠφελεῖ αὐτούς, ἀλλὰ τοὺς ὑβριστὰς καὶ τοὺς βασανιστάς. Διότι βλάπτει αὐτούς, μὲ τὸ νὰ μειώσῃ τὸ μεγαλύτερον μέρος τῆς ἀμοιβῆς των, καὶ μὲ τὸ νὰ καταστρέψῃ τὴν ἀφορμὴν τῆς χαρᾶς καὶ τῶν πολλῶν σκιρτημάτων των.

Ὥστε ἐξ αἰτίας αὐτῶν ἔπρεπε νὰ σιωπήσω καὶ νὰ ἐπιτρέψω νὰ γίνουν αὐτά ποὺ ἀποφέρουν πολὺν πλοῦτον ἀγαθῶν, καὶ δημιουργοῦν μεγαλυτέραν παρρησίαν. Ἐπειδὴ ὅμως εἴμεθα μέλη ἀλλήλων, καὶ ἂν ἀκόμη αὐτοὶ ἀρνοῦνται αὐτὴν τὴν χάριν, δὲν πρέπει αὐτοὶ ποὺ διάκεινται τοιουτοτρόπως, νὰ προνοοῦν μὲν δι' ἓν μέρος, νὰ ἀδιαφοροῦν δὲ δι' ἄλλο. Καὶ εἰς ἐκείνους μὲν ἐπιφυλάσσεται καὶ ἄλλη τιμὴ καὶ ἐὰν ἀκόμη δὲν κακοπαθήσουν τώρα· αὐτοὶ ὅμως, ἐὰν τώρα δὲν ἀποσυρθοῦν ἀπὸ αὐτὴν τὴν μάχην, δὲν θὰ δυνηθοῦν πλέον νὰ σωθοῦν. Χάριν λοιπὸν τούτου, παραβλέψας τὸ συμφέρον ἐκείνων, ὑποστηρίζω τὸ ἰδικόν σας, καὶ παρακαλῶ καὶ ἱκετεύω νὰ πιστεύσετε εἰς ἡμᾶς ποὺ παρακαλοῦμεν, καὶ νὰ μὴ βυθίζετε πλέον ἐναντίον σας τὸ ξίφος, οὔτε νὰ λακτίζετε εἰς καρφιά, οὔτε νομίζοντες ὅτι στενοχωρεῖτε ἀνθρώπους νὰ λυπῆτε τὸ Ἅγιον Πνεῦμα τοῦ Θεοῦ.

Ὅτι βέβαια θὰ ἐπαινέσετε αὐτὴν τὴν συμβουλήν μου, ἂν ὄχι τώρα, ἀλλὰ ὀλίγον ἀργότερα, καὶ τὸ γνωρίζω καὶ τὸ πιστεύω· ἐπιθυμῶ δὲ νὰ τὸ κάμετε τώρα, διὰ νὰ μὴ τὸ πράξετε ἀργότερα ματαίως. Διότι καὶ ὁ πλούσιος ἐκεῖνος, ὅταν εὑρίσκετο ἐδῶ, ἐνόμιζεν ὅτι οἱ προφῆται καὶ ὁ νόμος

μῦθόν τινα ἡγεῖτο καὶ λῆρον· ἐπειδὴ δὲ ἀπῆλθεν ἐκεῖ, οὕτως ἐθαύμασεν αὐτῶν τὴν παραίνεσιν, ὡς, ἐπειδὴ συνεῖδε μηδὲν αὐτὸν ἀπὸ τῶν ἐπαίνων ὠφεληθῆναι δυνάμενον, παρακαλέσαι τὸν πατριάρχην, πέμψαι τινὰ τῶν ἐν ᾅδου τοῖς ὑπὲρ γῆς
5 *ἀπαγγέλλοντα, ἐκεῖνο δεδοικώς, μή ποτε καὶ αὐτοὶ τὸ αὐτὸ πάθωσι, καὶ καταγελάσαντες τῶν θείων Γραφῶν, τότε αὐτὰς θαυμάσωσι, ὅταν αὐτοῖς ὄφελος οὐδὲν ἀπὸ τοῦ θαύματος. Καίτοι γε οὐδὲν ἐκεῖνος τοσοῦτον εἰργάσατο οἷον ὑμεῖς. Ἐκεῖνος γὰρ τῶν μὲν ἑαυτοῦ οὐ μετέδωκε τῷ Λα-*
10 *ζάρῳ, οὐ μὴν καὶ ἑτέρους βουληθέντας μεταδοῦναι ἐκώλυσεν, ἢ ἀπήλασε καθάπερ ὑμεῖς νῦν. Καὶ οὐ ταύτῃ μόνον αὐτὸν ἀπεκρύψατε τῇ ὠμότητι, ἀλλὰ καὶ ἑτέρῳ. Ὥσπερ γὰρ οὐκ ἔστιν ἴσον αὐτὸν μηδὲν ποιεῖν ἀγαθόν, καὶ ἑτέρους βουλομένους κωλύειν ποιεῖν, οὕτως οὐκ ἔστιν ἴσον τροφῆς τε*
15 *ἀπορεῖν σωματικῆς, καὶ ἐν πολλῷ τῷ τῆς φιλοσοφίας λιμῷ κείμενον κωλύειν τρέφεσθαι παρ᾽ ἑτέρων. Ὥστε διπλῇ παρηλάσατε τὸν ὠμὸν πλούσιον ἐκεῖνον, τῷ τε ἑτέρους κωλῦσαι σβέσαι τὸν λιμόν, καὶ τῆς ψυχῆς ἀγχομένης τὴν ἀπανθρωπίαν ἐπιδείκνυσθαι ταύτην.*

20 *Τοῦτο καὶ Ἰουδαῖοι ποτὲ ἐποίησαν, καὶ ἐκώλυον τοὺς ἀποστόλους τοῖς ἀνθρώποις τὰ πρὸς σωτηρίαν λαλεῖν. Πλὴν ἀλλὰ καὶ τούτων χείρονες ὑμεῖς. Οἱ μὲν γὰρ δὴ τὴν τῶν ἐχθρῶν ἀναδεξάμενοι τάξιν, οὕτως ἅπαντα ἔπραττον ἐκεῖνα, ὑμεῖς δὲ τὸ τῶν φίλων ὑποδύντες προσωπεῖον, τὰ τῶν*
25 *ἐχθρῶν ἐπιδείκνυσθε· ἐμάστιξαν καὶ ὕβρισαν καὶ πονηρᾷ περιέβαλον δόξῃ τοὺς ἁγίους ἀποστόλους τότε ἐκεῖνοι γόητας καὶ πλάνους καλοῦντες αὐτούς. Ἀλλὰ τοιαύτη κατέλαβε αὐτοὺς δίκη, ὡς μηδεμίαν λοιπὸν δυνηθῆναι τοῖς ἐκείνων δεινοῖς περισωθῆναι συμφοράν. Πρῶτοι γὰρ οὗτοι καὶ μόνοι*
30 *τῶν ὑφ᾽ ἡλίῳ πάντων ἀνθρώπων τοιαῦτα ἔπαθον, οἷα οὐ-*

καὶ ἡ ἐκ τούτων παρηγορία εἶναι μῦθος καὶ φλυαρία· ὅταν ὅμως μετέβη ἐκεῖ, τόσον ἐθαύμασε τὴν συμβουλήν των ὥστε, ἐπειδὴ ἀντελήφθη ὅτι δὲν ἦτο δυνατὸν νὰ ὠφεληθῇ καθόλου ἀπὸ τοὺς ἐπαίνους, παρεκάλεσε τὸν πατριάρχην νὰ στείλῃ κάποιον ἀπὸ τοὺς νεκροὺς διὰ νὰ ἀναγγείλῃ εἰς τοὺς ἐπὶ γῆς, φοβούμενος ἐκεῖνο, δηλαδή, νὰ μὴ πάθουν καὶ αὐτοὶ τὸ αὐτό, καὶ περιφρονήσαντες τὰς θείας Γραφάς, τὰς θαυμάσουν τότε, ὅταν δὲν θά ὠφελοῦνται καθόλου ἀπὸ τὸν θαυμασμόν. Ἂν καὶ βεβαίως ἐκεῖνος δὲν ἔκαμε τόσον κακόν, ὅσον ἐσεῖς. Διότι ἐκεῖνος μὲν δὲν ἠλέησε τὸν Λάζαρον μὲ ἰδικά του, ὅμως δὲν ἠμπόδισε καὶ ἄλλους ποὺ ἤθελαν νὰ τὸν ἐλεήσουν, οὔτε κατεδίωξεν ἄλλους, ὅπως σεῖς τώρα. Καὶ ὄχι μόνον εἰς τὸ σημεῖον αὐτὸ ὑπερέβητε εἰς ἀσπλαγχνίαν αὐτόν, ἀλλὰ καὶ εἰς ἄλλο. Διότι, ὅπως δὲν εἶναι τὸ ἴδιον τὸ νὰ μὴ πράξῃ κανεὶς ἀγαθοεργίαν καὶ τὸ νὰ ἐμποδίζῃ ἄλλους νὰ κάμουν, τοιουτοτρόπως δὲν εἶναι τὸ ἴδιον τὸ νὰ στερῇ κανεὶς τὴν ὑλικὴν τροφὴν καὶ τὸ νὰ ἐμποδίζῃ αὐτὸν ποὺ πάσχει ἀπὸ τὴν πεῖναν τοῦ μοναχισμοῦ νὰ τρέφεται ἀπὸ ἄλλους. Ὥστε διπλάσια ὑπερέβητε τὸν ἄσπλαγχνον ἐκεῖνον πλούσιον, καὶ μὲ τὸ νὰ ἐμποδίσετε ἄλλους νὰ σβήσουν τὴν πεῖναν των, καὶ μὲ τὸ νὰ ἐπιδεικνύετε αὐτὴν τὴν ἀπανθρωπίαν, ἐνῷ ἡ ψυχὴ πνίγεται.

Αὐτὸ τὸ ἔκαμαν κάποτε καὶ οἱ Ἰουδαῖοι καὶ ἀπηγόρευον τοὺς Ἀποστόλους νὰ κηρύττουν εἰς τοὺς ἀνθρώπους τὰ πρὸς σωτηρίαν των. Πλὴν ὅμως, καὶ ἀπὸ αὐτοὺς χειρότεροι εἶσθε σεῖς. Διότι, ἐκεῖνοι μέν, τοποθετηθέντες εἰς τὴν παράταξιν τῶν ἐχθρῶν, ἔπραττον ὅλα ἐκεῖνα ὡς ἐχθροί, σεῖς ὅμως ἐπιδεικνύετε ἐχθρικὴν διάθεσιν ὑποκρινόμενοι τοὺς φίλους. Ἐμαστίγωσαν καὶ ὕβρισαν καὶ ἐσυκοφάντησαν τοὺς ἁγίους Ἀποστόλους τότε ἐκεῖνοι, ἀποκαλοῦντες αὐτοὺς ἀπατεῶνας καὶ πλάνους. Ἀλλὰ τοὺς ἐπεβλήθη τέτοια τιμωρία, ὥστε καμμία πλέον συμφορά νὰ μὴ δύναται νὰ ἐξισωθῇ πρὸς τὰ δεινὰ ἐκεῖνα. Διότι πρῶτοι αὐτοὶ καὶ μόνοι ἀπὸ ὅλους τοὺς ἀνθρώπους τῆς γῆς ὑπέστησαν τόσον πολλά, ὅσα κανεὶς

δεὶς ἕτερος. Καὶ τούτων μάρτυς ἀξιόπιστος ὁ Χριστός, οὕτω λέγων· «Ἔσται θλῖψις μεγάλη, οἵα οὐ γέγονεν ἀπ' ἀρχῆς κόσμου ἕως τοῦ νῦν, οὐδὲ μὴ γένηται». Πάντα μὲν οὖν αὐτῶν τὰ πάθη διελθεῖν οὐ τοῦ παρόντος καιροῦ, ὀλίγα δὲ 5 *ἐκ πολλῶν ἀναγκαῖον εἰπεῖν. Ἐρῶ δὲ οὐκ ἐμὸν λόγον, ἀλλ' ἀνδρὸς Ἰουδαίου τοῦ τὰ ἐκείνου ἱστορηκότος ἀκριβῶς. Τί ποτε οὖν οὗτός φησιν;*

5. Ἐπειδὴ τὸν ἐμπρησμὸν διηγήσατο τοῦ ἱεροῦ, καὶ τὰς καινὰς ἐκείνας ἀπήγγειλε συμφοράς, «Τὰ μὲν περὶ τὸ 10 *ἱερόν», φησίν, «ἐν τούτοις ἦν· τῶν δ' ὑπὸ τοῦ λιμοῦ φθειρομένων κατὰ τὴν πόλιν ἄπειρον μὲν ἔπιπτε τὸ πλῆθος, ἀδιήγητα δὲ συνέβαινε τὰ πάθη.*

Καθ' ἑκάστην γὰρ οἰκίαν, εἴ που τροφῆς παραφανείη σκιά πόλεμος ἦν, καὶ διὰ χειρῶν ἐχώρουν οἱ φίλτατοι πρὸς 15 *ἀλλήλους, ἐξαρπάζοντες τὰ ταλαίπωρα τῆς ψυχῆς ἐφόδια. Πίστις δ' ἀπορίας οὐδὲ τοῖς θνήσκουσιν ἦν, ἀλλὰ καὶ τοὺς ἐκπνέοντας οἱ λῃσταὶ διηρεύνων, μή τις ὑπὸ τὸν κόλπον ἔχων τροφήν, σκήπτοιτο τὸν θάνατον ἑαυτῷ. Οἱ δὲ ὑπ' ἐνδείας κεχηνότες ὥσπερ λυσσῶντες κύνες ἐσφάλλοντο καὶ* 20 *παρεφέροντο, ταῖς θύραις ἐνσειόμενοι μεθυόντων τρόπον, ὑπὸ ἀμηχανίας δὲ εἰς τοὺς αὐτοὺς οἴκους εἰσεπήδων δὶς ἢ τρὶς ὥρᾳ μιᾷ. Πάντα δὲ ὑπ' ὀδόντας ἦγεν ἡ ἀνάγκη, καὶ τὰ μηδὲ τοῖς ῥυπαρωτάτοις τῶν ἀλόγων ζώων πρόσφορα συλλέγοντες, ἐσθίειν ὑπέφερον· ζωστήρων γοῦν καὶ ὑπο-* 25 *δημάτων τὸ τελευταῖον οὐκ ἀπέσχοντο, καὶ τὰ δέρματα τῶν θυρεῶν ἀποδέροντες ἐμασσῶντο. Τροφὴ δὲ ἦ καὶ χόρτου τισὶ παλαιοῦ σπαράγματα· τὰς γὰρ ἶνας ἔνιοι συλλέγοντες, ἐλάχιστον σταθμὸν ἐπώλουν ἀττικῶν τεσσάρων.*

Καὶ τί δεῖ τὴν ἐπ' ἀψύχοις ἀναίδειαν τοῦ λιμοῦ λέ- 30 *γειν; Εἶμι γὰρ αὐτοῦ δηλώσων ἔργον, οἷον μήτε παρ' Ἕλλησι, μήτε παρὰ βαρβάροις ἱστόρηται, φρικτὸν μὲν εἰπεῖν,*

---

6. Ματθ. 24, 21.

ἄλλος. Καὶ μάρτυς ἀξιόπιστος τούτων εἶναι ὁ ἴδιος ὁ Χριστός, ὁ ὁποῖος λέγει τὰ ἑξῆς. «Θὰ ἐπικρατήσῃ θλῖψις μεγάλη, παρομοία τῆς ὁποίας οὔτε ἔγινεν ἀπὸ τὴν ἀρχὴν τοῦ κόσμου ἕως σήμερα οὔτε θὰ γίνῃ»[6]. Δὲν εἶναι ὁ κατάλληλος καιρὸς ν' ἀφηγηθῶμεν ὅλα τὰ παθήματα αὐτῶν, ὀλίγα ὅμως ἀπὸ τὰ πολλὰ εἶναι ἀνάγκη νὰ τὰ ἀναφέρωμεν. Δὲν θὰ εἰπῶ δὲ ἰδικά μου λόγια, ἀλλ' ἑνὸς Ἰουδαίου, ποὺ ἱστόρησεν ἀκριβῶς τὰ παθήματά των. Τί λέγει λοιπὸν αὐτός;

Ἀφοῦ ἀφηγήθη τὴν πυρπόλησιν τοῦ ἱεροῦ καὶ ἀπήγγειλε τὰς νέας ἐκείνας συμφοράς, λέγει· «Τὰ μὲν περὶ τὸν ἱερὸν οὕτω συνέβησαν· ὡς πρὸς δὲ τοὺς προσβληθέντας ὑπὸ τοῦ λιμοῦ εἰς τὴν πόλιν, ἄπειρον πλῆθος ἀνθρώπων ἀπέθνησκε, συνέβαινον δὲ ἀνιστόρητα δράματα.

5. Εἰς κάθε σπίτι δηλαδή, εἰς τὸ ὁποῖον θὰ ἐφαίνετο ἴχνος τροφῆς, ἐγίνετο μάχη, καὶ συνεπλέκοντο οἱ οἰκεῖοι μεταξύ των ἁρπάζοντες τὰ ὀλιγοστὰ τρόφιμα. Οὔτε τοὺς νεκροὺς ἐπίστευον ὅτι δὲν εἶχον τρόφιμα, ἀλλὰ καὶ αὐτοὺς τοὺς ἐρευνοῦσαν, μήπως κανεὶς ὑπεκρίνετο ὅτι ἀπέθανεν, ἐπειδὴ ἔκρυβε κάτω ἀπὸ τὸν κόλπον τροφήν. Ἄλλοι δὲ μὲ τὰ στόματα ἀνοικτὰ ἀπὸ τὴν πεῖναν ὡσὰν λυσσασμένοι σκύλοι παρέπαιαν καὶ ἔκαμαν ὡσὰν τρελλοὶ καὶ κτυπῶντες τὰς θύρας ὡσὰν μεθυσμένοι, ἀπὸ σύγχυσιν εἰσήρχοντο εἰς τὰ ἴδια σπίτια δύο καὶ τρεῖς φορὰς εἰς μίαν ὥραν. Καὶ ἡ ἀνάγκη ἔκαμεν, ὥστε νὰ τρώγωνται ὅλα, καὶ ἀφοῦ συνέλεγαν τὰ ἀκατάλληλα ἀκόμη καὶ διὰ τὰ βρωμερώτερα ζῶα, τὰ ἔτρωγαν· τελευταῖα δὲ ἔφαγαν ζώνας καὶ ὑποδήματα, καὶ ἐμασοῦσαν δέρματα τὰ ὁποῖα ἐξεκολλοῦσαν ἀπὸ ἀσπίδας. Ἄλλοι δὲ ἔτρωγαν καὶ ὑπολείμματα παλαιοῦ χόρτου, διότι μερικοί, συλλέγοντες τὰς ἶνας τοῦ χόρτου τὰς ἐπώλουν εἰς τιμὴν τουλάχιστον τεσσάρων ἀττικῶν δραχμῶν.

Καὶ ποῖος ὁ λόγος νὰ ὁμιλήσω διὰ τὴν πρὸς τὰ ἄψυχα ἀναίδειαν τοῦ λιμοῦ; Διότι πρόκειται ν' ἀναφέρω ἕνα ἔργον του, παρόμοιον τοῦ ὁποίου οὔτε εἰς τοὺς Ἕλληνας, οὔτε εἰς τοὺς βαρβάρους ἔχει ἱστορηθῆ, φρικτὸν μὲν διὰ νὰ

ἄπιστον δ' ἀκοῦσαι. Καὶ ἐγὼ δέ, μὴ δόξαιμι τερατεύεσθαι τοῖς αὖθις ἀνθρώποις, κἂν παρέλιπον τὴν συμφορὰν ἡδέως, εἰ μὴ τῶν κατ' ἐμαυτὸν εἶχον ἀπείρους μάρτυρας· ἄλλως τε καὶ ψυχρὰν ἂν καταθείμην τῇ πατρίδι χάριν καθυφέ-
5 *μενος τῶν λόγων ὧν πέπονθε τὰ ἔργα.*

Γυνή τις τῶν ὑπὲρ τὸν Ἰορδάνην κατοικούντων, Μαρία τοὔνομα, πατρὸς Ἐλεαζάρου, κώμης Βηθεζώ, σημαίνει δὲ τοῦτο οἶκος ὑσσώπου, διὰ γένος καὶ πλοῦτον ἐπίσημος, μετὰ τοῦ λοιποῦ πλήθους εἰς τὰ Ἱεροσόλυμα καταφυγοῦσα
10 *συνεπολιορκεῖτο. Ταύτης τὴν μὲν ἄλλην κτῆσιν οἱ τύραννοι διήρπασαν, ὅσην ἐκ τῆς Περαίας ἀνασκευασαμένη μετήνεγκεν εἰς τὴν πόλιν· τὰ δὲ λείψανα τῶν κειμηλίων, κἂν εἴτι τροφῆς ἐπινοηθείη, καθ' ἡμέρας εἰσπηδῶντες ἥρπαζον οἱ δορυφόροι. Δεινὴ δὲ τὸ γύναιον ἀγανάκτησις εἰσήει,*
15 *καὶ πολλάκις λοιδοροῦσα καὶ καταρωμένη τοὺς ἅρπαγας ἐφ' ἑαυτὴν ἠρέθιζεν.*

Ὡς δ' οὔτε παροξυνόμενός τις, οὔτ' ἐλεῶν αὐτὴν ἀνῄρει, καὶ τὸ μὲν εὑρεῖν τι σιτίον ἄλλως ἐκοπία, πανταχόθεν δ' ἄπορον ἦν ἤδη καὶ τὸ εὑρεῖν, ὁ λιμὸς δὲ διὰ σπλάγχνων
20 *καὶ μυελῶν ἐχώρει, καὶ τοῦ λιμοῦ μᾶλλον ἐξέκαιον οἱ θυμοί, σύμβουλον λαβοῦσα τὴν ὀργὴν μετὰ τῆς ἀνάγκης, ἐπὶ τὴν φύσιν ἐχώρει, καὶ τὸ τέκνον (ἦν δι' αὐτῇ παῖς ὑπομάζιος) ἁρπασαμένη, βρέφος, εἶπεν, ἄθλιον ἐν πολέμῳ καὶ λιμῷ καὶ στάσει, τίνι σε τηρήσω; τὰ μὲν παρὰ Ῥωμαίοις*
25 *δουλεία, κἂν ζήσωμεν ἐπ' αὐτοῖς· φθάνει δὲ καὶ δουλείαν ὁ λιμός, οἱ στασιασταὶ δ' ἀμφοτέρων χαλεπώτεροι· ἴθι γενοῦ μοι τροφή, καὶ τοῖς στασιασταῖς ἐριννύς, καὶ τῷ βίῳ μῦθος,*

---

7. Ὁ ὕσσωπος εἶναι ἀρωματικὸν φυτόν.

τὸ εἴπῃ κανείς, ἀπίστευτον δὲ διὰ νὰ τὸ ἀκούσῃ. Καὶ ἐγὼ βέβαια διὰ νὰ μὴ θεωρηθῶ ὡς τερατολογῶν εἰς τοὺς μετέπειτα ἀνθρώπους θὰ ἀποσιωποῦσα εὐχαρίστως τὴν συμφοράν, ἐὰν δὲν εἶχα διὰ τοὺς λόγους μου πάρα πολλοὺς μάρτυρας· ἄλλωστε θά παρεῖχα εἰς τὴν πατρίδα μικρὰν χάριν, ἐὰν παρέλειπα νὰ ἀναφερθῶ εἰς τὰς αἰτίας διὰ τὰς ὁποίας ἔπαθε ταῦτα.

Μία γυναῖκα ἀπὸ τοὺς κατοικοῦντας ὑπεράνω τοῦ Ἰορδάνου, ὀνομαζομένη Μαρία, κόρη τοῦ Ἐλεαζάρου ἀπὸ τὴν κώμην Βηθεζώ, σημαίνει δὲ τοῦτο οἶκος ὑσσώπου[7], σπουδαία ὡς πρὸς τὴν καταγωγὴν καὶ πλουσία, κατέφυγε μαζὶ μὲ πολλοὺς ἄλλους εἰς τὰ Ἱεροσόλυμα καὶ ἦτο μετὰ τῶν πολιορκουμένων. Τῆς γυναικὸς αὐτῆς, τὰ μὲν ἄλλα περιουσιακὰ στοιχεῖα, ὅσα εἶχε φέρει μὲ τὰς ἀποσκευάς της, τὰ ἐλεηλάτησαν οἱ τύραννοι· τὰ δὲ ὑπόλοιπα κειμήλια, ὅταν ὑπωψιάζοντο ὅτι πρόκειται περὶ τροφῆς, τά ἥρπαζαν οἱ στρατιῶται εἰσερχόμενοι καθημερινῶς. Εἶχε δὲ καταληφθῆ ἡ γυναῖκα αὐτὴ ἀπὸ φοβερὰν ἀγανάκτησιν καὶ πολλάκις ὑβρίζουσα καὶ καταρωμένη τοὺς ἅρπαγας τοὺς ἐξηρέθιζεν εἰς βάρος της.

Καὶ ἐπειδὴ κανεὶς οὔτε ἀπὸ ὀργὴν οὔτε ἀπὸ λύπην δὲν τὴν ἐσκότωνε, καὶ ἐπειδὴ ἐδυσκολεύετο μὲν νὰ ἐξεύρῃ ὀλίγα τρόφιμα κατ' ἄλλον τρόπον καὶ ἀπὸ πουθενὰ δὲν ἦτο δυνατὸν νὰ προμηθευθῇ, ἡ δὲ πεῖνα διεπέρα τὰ σπλάγχνα καὶ τὸν μυελὸν τῶν ὀστῶν, καὶ λόγῳ τοῦ λιμοῦ τὰ πάθη ὠξύνοντο περισσότερον, ἐξ αἰτίας τῆς ἀγανακτήσεως καὶ τῆς ἀνάγκης, ἐστράφη ἐναντίον τῆς ἀνθρωπίνης φύσεως, καὶ ἁρπάσασα τὸ παιδί της (εἶχε δὲ παιδί, τὸ ὁποῖον ἐθήλαζε), εἶπε· Δυστυχισμένον βρέφος, πῶς νὰ σὲ συντηρήσω εἰς τέτοιον πόλεμον καὶ πεῖναν καὶ ἐπανάστασιν; Εἰς μὲν τοὺς Ρωμαίους θὰ εἴμεθα ὑποδουλωμένοι, ἐὰν βέβαια ἐπιζήσωμεν μετὰ ἀπὸ αὐτά· ἡ δὲ πεῖνα συμπληρώνει τὴν δουλείαν, καὶ οἱ ἐπαναστάται καὶ τῶν δύο παρατάξεων εἶναι ἀγριώτεροι· γίνε λοιπὸν τροφή μου καὶ ἐριννὺς εἰς

ὁ μόνος ἐλλείπων ταῖς Ἰουδαίων συμφοραῖς. Καὶ ταῦθ' ἅμα λέγουσα κτείνει τὸν υἱόν, ἔπειτ' ὀπτήσασα, τὸ μὲν ἥμισυ κατεσθίει, τὸ δὲ λοιπὸν κατακαλύψασα ἐφύλαττεν. Εὐθέως δ' οἱ στασιασταὶ παρῆσαν, καὶ τῆς ἀθεμίτου κνίσσης σπάσαντες, 5 *ἠπείλουν, εἰ μὴ δείξειε τὸ παρασκευασθέν, ἀποσφάξειν αὐτὴν εὐθέως. Ἡ δὲ καὶ μοῖραν αὐτοῖς εἰποῦσα καλὴν τετηρηκέναι, τὰ λείψανα τοῦ τέκνου διεκάλυψε. Τοὺς δ' εὐθέως φρίκη τε, καὶ φρενῶν ἔκστασις ἥρει, καὶ πρὸς τὴν ὄψιν ἐπεπήγεσαν. Ἡ δέ, ἐμόν, ἔφη, τοῦτο τέκνον γνήσιον, καὶ* 10 *τὸ ἔργον ἐμόν· φάγετε, καὶ γὰρ ἐγὼ βέβρωκα· μὴ γένησθε μήτε μαλακώτεροι γυναικός, μήτε συμπαθέστεροι μητρός. Εἰ δ' ὑμεῖς εὐσεβεῖς, καὶ τὴν ἐμὴν ἀποστρέφεσθε θυσίαν, ἐγὼ μὲν ἥμισυ βέβρωκα, καὶ τὸ λοιπὸν δ' ἐμοὶ μεινάτω.*

Μετὰ ταῦτα οἱ μὲν τρέχοντες ἐξῄεσαν πρὸς ἓν τοῦτο δει- 15 *λοί, καὶ μόνης ταύτης τῆς τροφῆς τῇ μητρὶ παραχωρήσαντες. Ἀνεπλήσθη δ' εὐθέως ὅλη τοῦ μύσους ἡ πόλις, καὶ πρὸ ὀμμάτων ἕκαστος τὸ πάθος λαμβάνων, ὥσπερ αὐτῷ τολμηθὲν ἔφριττεν· σπουδὴ δὲ τῶν λιμωττόντων ἐπὶ τὸν θάνατον ἦν, καὶ μακαρισμὸς τῶν φθασάντων, πρὶν ἀκοῦσαι καὶ θεά-* 20 *σασθαι τηλικαῦτα κακά. Ταχέως δὲ καὶ Ῥωμαίοις διηγγέλθη τὸ πάθος. Τῶν δὲ οἱ μὲν ἠπίστουν, οἱ δὲ ᾤκτειρον, τοὺς δὲ πολλοὺς εἰς μῖσος τοῦ ἔθνους σφοδρότερον συνέβη προελθεῖν».*

6. Ταῦτα δὲ ἔπασχον, καὶ πολλῷ τούτων χαλεπώτερα, 25 *οὐκ ἐπειδὴ τὸν Χριστὸν ἐσταύρωσαν μόνον, ἀλλ' ἐπειδὴ καὶ μετὰ ταῦτα τοὺς ἀποστόλους ἐκώλυον τὰ πρὸς σωτηρίαν λαλεῖν τὴν ἡμετέραν. Ὅπερ οὖν καὶ ὁ μακάριος Παῦλος αὐτῶν κατηγορήσας, ταῦτα αὐτοῖς προεφήτευσε τὰ κακὰ εἰ-*

---

8. Βλ. Ἰωσήπου, Περὶ Ἰουδαϊκοῦ πολέμου βιβλ. 6, 7 καὶ 8.

τοὺς ἐπαναστάτας καὶ θρύλος εἰς τὴν ἱστορίαν, ὁ μόνος ἐλλείπων ἀπὸ τὰς συμφορὰς τῶν Ἰουδαίων. Καὶ ἀφοῦ εἶπεν αὐτὰ σφάζει τὸ παιδί, ἔπειτα δὲ ἀφοῦ τὸ ἔψησεν, ἔφαγε τὸ ἥμισυ, τὸ δὲ ὑπόλοιπον ἐσκέπασε καὶ ἐφύλαξεν. Ἀμέσως δὲ ἐπλησίασαν οἱ ἐπαναστάται καὶ ὁδηγηθέντες ἀπὸ τὴν ἀθέμιτον κνίσσαν ἠπείλησαν ὅτι θὰ τὴν σφάξουν ἀμέσως ἐὰν δὲν τοὺς ἐδείκνυε τὸ ψητόν. Αὐτὴ δὲ ἀπαντήσασα ὅτι τοὺς ἐφύλαξε μίαν καλὴν μερίδα, ἐφανέρωσε τὸ ὑπόλοιπον μέρος τοῦ παιδιοῦ. Τοὺς κατέλαβε δὲ φρίκη καὶ παραφροσύνη, καὶ ἐπάγωσαν τὰ πρόσωπά των. Αὐτὴ δὲ εἶπεν· τοῦτο τὸ παρασκεύασμα εἶναι παιδί μου νόμιμον καὶ ἡ πρᾶξις ἰδική μου· φάγετε καὶ σεῖς, ὅπως ἔφαγα καὶ ἐγώ· μὴ εἶσθε ἀτολμότεροι ἀπὸ μίαν γυναῖκα καὶ φιλοστοργότεροι ἀπὸ μητέρα. Ἐὰν ὅμως εἶσθε εὐσεβεῖς καὶ ἀποστρέφεσθε τὴν ἰδικήν μου πρᾶξιν, ἐγὼ ἔφαγα τὸ ἥμισυ, ἂς μείνῃ καὶ τὸ ὑπόλοιπον εἰς ἐμέ.

Ἔπειτα οἱ μὲν ἐπαναστάται τρέμοντες πρὸ ἑνὸς τέτοιου πράγματος ἐφάνησαν δειλοί, καὶ ἄφησαν τὴν τροφὴν αὐτὴν εἰς τὴν μητέρα. Ἔγινε δὲ ἀμέσως γνωστὴ εἰς ὅλην τὴν πόλιν ἡ μιαρὰ πρᾶξις, καὶ ὁ καθένας φέρων εἰς τὴν φαντασίαν του τὸ ἀνοσιούργημα κατελαμβάνετο ἀπὸ φρίκην, ὡσὰν νὰ τὸ εἶχε διαπράξει αὐτός· οἱ δὲ ἄνθρωποι ἐπετάχυνον τὸν θάνατόν των, καὶ ἐκαλοτυχίζοντο ὅσοι ἔφθασαν εἰς τὸν θάνατον πρὶν νὰ ἀκούσουν καὶ νὰ ἰδοῦν τόσον μεγάλα κακά. Ἔγινε δὲ γνωστὴ γρήγορα ἡ τραγωδία εἰς τοὺς Ρωμαίους. Ἐξ αὐτῶν δέ, ἄλλοι μὲν δὲν τὸ ἐπίστευον, ἄλλοι δὲ ἐλυποῦντο, οἱ περισσότεροι ὅμως ἐμίσησαν ἀκόμη περισσότερον τὸ ἔθνος τῶν Ἑβραίων»[8].

6. Ἔπαθαν δὲ αὐτά, καὶ πολὺ χειρότερα ἀπὸ αὐτά, ὄχι μόνον ἐπειδὴ ἐσταύρωσαν τὸν Χριστόν, ἀλλ' ἐπειδὴ καὶ μετέπειτα ἀπηγόρευαν εἰς τοὺς Ἀποστόλους νὰ διδάσκουν τὴν σωτηρίαν μας. Δι' αὐτὸ ἀκριβῶς καὶ ὁ μακάριος Παῦλος ἀφοῦ τοὺς κατηγόρησεν, ἐπροφήτευσε τὰ ἑξῆς δεινὰ δι'

πών, ὅτι «Ἔφθασεν ἐπ' αὐτοὺς ἡ ὀργὴ εἰς τέλος».

Καὶ τί ταῦτα πρὸς ἡμᾶς φησιν; οὐ γὰρ δὴ τῆς πίστεως ἀπάγομεν οὐδὲ τοῦ κηρύγματος. Καὶ τί τῆς πίστεως ὄφελος, εἰπέ μοι, βίου μὴ ὄντος καθαροῦ; Ἀλλ' ὑμεῖς μὲν ἴσως ἀ-
5 *γνοεῖτε καὶ ταῦτα, ἅτε καὶ τῶν ἡμετέρων ὄντες ἀνήκοοι πάντων· ἐγὼ δὲ ὑμῖν ἀπαριθμήσομαι τοῦ Χριστοῦ τὰς ἀποφάσεις. Καὶ παρατηρεῖτε ὑμεῖς, εἰ μηδαμοῦ βίος ἐγκαλεῖται τότε, ἀλλ' ὑπὲρ πίστεως μόνης καὶ δογμάτων τὰ τῶν κολάσεων ὥρισται. Ἐπειδὴ γὰρ εἰς τὸ ὄρος ἀνῆλθε, πολὺν*
10 *ἰδὼν ὄχλον περιρρέοντα αὐτόν, μετὰ τὰς ἄλλας παραινέσεις ἔλεγεν· «Οὐ πᾶς ὁ λέγων μοι Κύριε, Κύριε, εἰσελεύσεται εἰς τὴν βασιλείαν τῶν οὐρανῶν, ἀλλ' ὁ ποιῶν τὸ θέλημα τοῦ Πατρός μου»· καί, «Πολλοὶ ἐροῦσί μοι ἐν ἐκείνῃ τῇ ἡμέρᾳ· οὐ τῷ σῷ ὀνόματι προεφητεύσαμεν, καὶ τῷ σῷ ὀνό-*
15 *ματι δαιμόνια ἐξεβάλομεν, καὶ τῷ σῷ ὀνόματι δυνάμεις πολλὰς ἐποιήσαμεν; Καὶ τότε ὁμολογήσω αὐτοῖς, ἀποχωρεῖτε ἀπ' ἐμοῦ οἱ ἐργαζόμενοι τὴν ἀνομίαν, οὐκ οἶδα ὑμᾶς». Καὶ τὸν ἀκούοντα μέν, οὐ ποιοῦντα δὲ τοὺς λόγους αὐτοῦ, ὅμοιον ἔφησεν ἀνδρὶ μωρῷ εἶναι τὴν οἰκίαν ἐπὶ τὴν ψάμμον οἰκο-*
20 *δομοῦντι, καὶ ποταμοῖς καὶ ὑετοῖς καὶ ἀνέμοις εὐχείρωτον αὐτὴν κατασκευάζοντι.*

Καὶ ἐν ἄλλῳ δὲ τόπῳ δημηγορῶν, «Καθάπερ οἱ ἁλιεῖς», φησίν, «ὅταν τὴν σαγήνην ἑλκύσωσι, τοὺς φαύλους ἀποκρίνουσι τῶν ἰχθύων, οὕτω κατ' ἐκείνην ἔσται τὴν ἡμέ-
25 *ραν, τῶν ἀγγέλων εἰς τὴν κάμινον ἐμβαλλόντων τοὺς ἡμαρ-*

αὐτούς, λέγων ὅτι «ἔφθασεν ἐπ' αὐτοὺς ἡ ὀργὴ εἰς τὸ κορύφωμα»[9].

Καὶ διατί τὰ λέγεις αὐτὰ πρὸς ἡμᾶς; λέγουν· διότι ἡμεῖς οὔτε ἀπὸ τὴν πίστιν οὔτε ἀπὸ τὸ κήρυγμα ἀπομακρυνόμεθα. Καὶ ποῖον τὸ ὄφελος τῆς πίστεως, εἰπέ μου, ὅταν δὲν εἶναι καθαρὸς ὁ βίος; 'Αλλ' ἐσεῖς ἴσως νὰ ἀγνοῆτε καὶ αὐτό, διότι καὶ ὅλα τὰ ἰδικά μας δὲν τὰ ἔχετε ἀκούσει. 'Εγὼ ὅμως θὰ σᾶς ἀπαριθμήσω τὰς ἀποφάνσεις τοῦ Χριστοῦ. Σεῖς δὲ νὰ προσέχετε, ἂν πράγματι πουθενὰ δὲν κατηγορῆται ὁ βίος τότε, ἀλλὰ μόνον περὶ τῆς πίστεως καὶ τῶν δογμάτων ἔχουν καθορισθῆ τὰ περὶ τῶν τιμωριῶν. Ὅταν λοιπὸν ἀνῆλθεν εἰς τὸ ὄρος καὶ εἶδε πολὺν ὄχλον νά τὸν περιτριγυρίζῃ μετὰ τὰς ἄλλας παραινέσεις, ἔλεγε· «δὲν θὰ εἰσέλθῃ εἰς τὴν βασιλείαν τῶν οὐρανῶν πᾶς προσφωνῶν με, Κύριε, Κύριε, ἀλλ' ὁ ποιῶν τὸ θέλημα τοῦ πατρός μου»[10], καί, «Πολλοὶ θὰ μοῦ εἴπουν κατ' ἐκείνην τὴν ἡμέραν· δὲν προεφητεύσαμεν εἰς τὸ ὄνομά σου, καὶ δὲν ἐξεβάλαμεν δαιμόνια εἰς τὸ ὄνομά σου, καὶ δὲν ἐκάμαμεν θαύματα εἰς τὸ ὄνομά σου; Καὶ τότε θὰ τοὺς ἀπαντήσω· Φύγετε ἀπὸ κοντά μου οἱ πράττοντες τὴν ἀνομίαν· δὲν σᾶς γνωρίζω»[11]. Καὶ παρωμοίασεν αὐτὸν ποὺ ἀκούει χωρὶς νὰ τηρῇ τοὺς λόγους του μὲ ἄνθρωπον ἄφρονα, ποὺ κτίζει τὴν οἰκίαν του ἐπὶ τῆς ἄμμου καὶ τὴν κατασκευάζει εὐπαθῆ εἰς τοὺς ποταμούς, εἰς τὰς βροχὰς καὶ τοὺς ἀνέμους.

Καὶ εἰς ἄλλον δὲ τόπον ὁμιλῶν, λέγει ὅτι, «ὅπως οἱ ἁλιεῖς ὅταν σύρουν τὸ δίκτυον ἀποχωρίζουν τὰ ἀκατάλληλα πρὸς βρῶσιν ψάρια ἀπὸ τὰ ἄλλα, ἔτσι θὰ συμβῇ κατά τὴν ἡμέραν ἐκείνην, ποὺ οἱ ἄγγελοι θὰ ρίψουν εἰς τὴν κάμι-

9. Α' Θεσσ. 2, 16.
10. Ματθ. 7, 21.
11. Ματθ. 7, 22-23.

τηκότας ἅπαντας». Καὶ περὶ τῶν ἀσελγῶν δὲ καὶ ἀκαθάρτων ἀνθρώπων διαλεγόμενος ἔλεγεν, ὅτι «ἀπελεύσονται, ὅπου ὁ σκώληξ ὁ ἀτελεύτητος, καὶ τὸ πῦρ τὸ ἄσβεστον». Καὶ πάλιν, «βασιλεύς», φησίν, «ἐποίησε γάμους τῷ υἱῷ αὐτοῦ, καὶ ἰδὼν ἄνθρωπον ἐνδεδυμένον ἱμάτια ῥυπαρά, πρὸς αὐτὸν εἶπεν· ἑταῖρε, πῶς εἰσῆλθες ὧδε μὴ ἔχων ἔνδυμα γάμου; Ὁ δὲ ἐφιμώθη. Τότε λέγει τοῖς διακόνοις αὐτοῦ· δήσαντες αὐτοῦ χεῖρας καὶ πόδας, βάλετε αὐτὸν εἰς τὸ σκότος τὸ ἐξώτερον», τοῖς ἀκολάστοις καὶ ἀσελγέσι ταῦτα ἀπειλῶν. Καὶ παρθένοι δὲ αἱ τοῦ νυμφῶνος ἀποκλεισθεῖσαι, δι' ὠμότητα καὶ ἀπανθρωπίαν τοῦτο ἔπαθον. Καὶ ἕτεροι δὲ πάλιν διὰ τὴν αὐτὴν αἰτίαν πορεύονται εἰς τὸ πῦρ τὸ αἰώνιον τὸ ἡτοιμασμένον τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ. Καὶ οἱ ἁπλῶς καὶ εἰκῇ φθεγγόμενοι καταδικάζονται· «Ἐκ γὰρ τῶν λόγων σου», φησί, «δικαιωθήσῃ καὶ ἐκ τῶν λόγων σου καταδικασθήσῃ». Ἆρά σοι δοκοῦμεν μάτην ὑπὲρ βίου πεφοβῆσθαι, καὶ πολλὴν τὴν ἠθικωτέρου μέρους τῆς φιλοσοφίας ποιεῖσθαι σπουδήν; Οὐκ ἔγωγε οἶμαι, πλὴν εἰ καὶ τὸν Χριστὸν ταῦτα πάντα εἰκῇ εἰρηκέναι φαίης, καὶ τὰ τούτων πλείονα· οὐδὲ γὰρ ἅπαντα εἴρηται. Εἰ δὲ μὴ ὤκνουν μακρὸν ποιῆσαι τὸν λόγον, καὶ ἀπὸ τῶν προφητῶν καὶ ἀπὸ τοῦ μακαρίου Παύλου καὶ ἐκ τῶν ἄλλων ἀποστόλων ἐδίδαξα ἄν, ὅσην ὑπὲρ τούτου τοῦ μέρους πεποίηται σπουδὴν ὁ Θεός. Πλὴν ἀλλὰ καὶ ταῦτα ἀποχρῆν οἶμαι· μᾶλλον δὲ οὐδὲ ταῦτα μόνον, ἀλλὰ καὶ μικρὸν τῶν εἰρημένων μέρος. Ὅταν γὰρ ὁ Θεὸς ἀποφαίνηται, κἂν ἅπαξ εἴπῃ, ὡς πολλάκις εἰρημένον, οὕτω δέχεσθαι χρὴ τὸ λεχθέν.

7. Τί οὖν, οἱ οἴκοι μένοντες, φησίν, οὐ δυνήσονται ταῦτα κατορθοῦν, ἃ μὴ κατορθούμενα τοσαύτην φέρει τὴν κό-

---

12. Ματθ. 13, 47.
13. Μάρκ. 9, 42.
14. Ματθ. 22, 2-12.

νον ὅλους τοὺς ἁμαρτωλούς»[12]. Καὶ ὁμιλῶν περὶ τῶν ἀσελγῶν καὶ τῶν ἀνηθίκων ἀνθρώπων ἔλεγεν, ὅτι «θὰ μεταβοῦν ὅπου εἶναι ὁ σκώληξ ὁ ἀτελεύτητος καὶ τὸ πῦρ τὸ ἄσβεστον»[13]. Καὶ πάλιν λέγει, «βασιλεὺς ἐτέλεσε γάμους τοῦ υἱοῦ του καὶ ἰδὼν ἄνθρωπον ἐνδεδυμένον ρυπαρὰ ἱμάτια, τοῦ εἶπε· φίλε, πῶς εἰσῆλθες ἐδῶ, χωρὶς νὰ ἔχῃς ἔνδυμα γάμου; Ἐκεῖνος δὲ ἐφιμώθη. Τότε λέγει εἰς τοὺς ὑπηρέτας του· δέσατέ του χέρια καὶ πόδια, καὶ ρίψατέ τον εἰς τὴν σκοτεινὴν φυλακήν»[14], ἀπειλῶν μὲ αὐτὰ τὰ λόγια τοὺς ἀνηθίκους καὶ ἀσελγεῖς. Καὶ αἱ παρθένοι, ποὺ ἀπεκλείσθησαν ἀπὸ τὸν νυμφῶνα, τὸ ἔπαθαν αὐτὸ ἐξ αἰτίας τῆς μισανθρωπίας καὶ τῆς σκληρότητος. Καὶ ἄλλοι πάλιν διὰ τὴν αὐτὴν αἰτίαν «πορεύονται εἰς τὸ πῦρ τὸ αἰώνιον τὸ ἡτοιμασμένον διὰ τὸν διάβολον καὶ τοὺς ἀγγέλους αὐτοῦ»[15]. Καταδικάζονται δὲ ἀκόμη καὶ οἱ ἀνοήτως καὶ ἀσκόπως ὁμιλοῦντες· «διότι βάσει τῶν λόγων σου θὰ δικαιωθῇς καὶ βάσει τῶν λόγων σου θὰ καταδικασθῇς»[16]. Μήπως νομίζεις ὅτι ματαίως φοβούμεθα διὰ τὸν βίον, καὶ φροντίζομεν πολὺ διὰ τὸ ἠθικώτερον μέρος τοῦ Χριστιανισμοῦ; Δὲν νομίζω βέβαια, ἐκτὸς ἐὰν ἰσχυρίζεσαι ὅτι τυχαίως εἶπεν ὁ Χριστὸς ὅλα αὐτί, καὶ ὅλα τὰ ὑπόλοιπα· διότι δὲν τὰ ἔχομεν ἀναφέρει ὅλα. Ἐὰν δὲν ἀπέφευγα νὰ παρατείνω τὸν λόγον, θὰ ἐδίδασκα καὶ ἀπὸ τοὺς προφήτας, καὶ ἀπὸ τὸν μακάριον Παῦλον, καὶ ἀπὸ τοὺς ἄλλους Ἀποστόλους, πόσον ἐνδιαφέρον ἔδειξεν ὑπὲρ τῆς ἀπόψεως αὐτῆς ὁ Θεός. Πλὴν ὅμως, νομίζω ὅτι καὶ αὐτὰ εἶναι ἀρκετά· μᾶλλον δὲ ὄχι αὐτὰ ὅλα, ἀλλά ἕνα μόνον μέρος ἀπὸ τὰ λεχθέντα. Διότι, ὅταν ὁμιλῇ ὁ Θεός, καὶ ἐὰν ἀκόμη τὸ εἴπῃ μίαν φοράν, πρέπει νὰ δεχώμεθα τὸ λεχθέν, ὡσὰν νὰ ἔχῃ λεχθῇ πολλάκις.

7. Τί λοιπόν, λέγει ὁ πολεμῶν τὸν μοναχισμόν, οἱ διαμένοντες εἰς τὸν οἶκον των δὲν θὰ ἠμπορέσουν νὰ ἐπιτύχουν αὐτά, πού, ἐὰν δὲν ἐπιτευχθοῦν, ἐπιφέρουν τὴν τι-

---

15. Ματθ. 25, 41.
16. Ματθ. 12, 37.

λασιν; Ἐβουλόμην καὶ αὐτὸς οὐχ ἧττον ὑμῶν, ἀλλὰ καὶ πολὺ πλέον, καὶ πολλάκις ηὐξάμην τῶν μοναστηρίων ἀναιρεθῆναι τὴν χρείαν, καὶ τοσαύτην ἐν ταῖς πόλεσι γενέσθαι τὴν εὐνομίαν, ὡς μηδένα δεηθῆναί ποτε τῆς εἰς ἔρημον κα-
5 *ταφυγῆς· ἐπειδὴ δὲ τὰ ἄνω κάτω γέγονε, καὶ αἱ μὲν πόλεις, ἔνθα δικαστήρια καὶ νόμοι, πολλῆς γέμουσι παρανομίας καὶ ἀδικίας, ἡ δὲ ἐρημία πολλῷ βρύει τῷ τῆς φιλοσοφίας καρπῷ, οὐχ οἱ τῆς ζάλης ταύτης καὶ τῆς ταραχῆς τοὺς σωθῆναι βουλομένους ἐξάγοντες, καὶ πρὸς τὸν τῆς ἡσυχίας*
10 *ὁδηγοῦντες λιμένα, δικαίως ἂν ἐγκαλοῖντο παρ' ὑμῶν, ἀλλ' οἱ πόλιν ἑκάστην οὕτως ἄβατον ἐργαζόμενοι καὶ πρὸς φιλοσοφίαν ἀνεπιτήδειον, ὡς ἀναγκάζεσθαι τοὺς σωθῆναι βουλομένους τὰς ἐρημίας μεταδιώκειν. Εἰπὲ γάρ μοι, εἴ τις μεσονύκτιον λαμπάδα λαβὼν οἰκίαν ἐνέπρησε μεγάλην καὶ*
15 *πολυάνθρωπον, τοῖς ἔνδον καθεύδουσιν ἐπιβουλεύων, τίνα ἂν ἔφαμεν εἶναι κακόν, τὸν διεγείροντα τοὺς καθεύδοντας, καὶ τῆς οἰκίας ἐξάγοντα ἐκείνης, ἢ τὸν ἀνάψαντα τὸ πῦρ ἐξ ἀρχῆς, καὶ τοσαύτην ἀνάγκην αὐτοῖς τε ἐκείνοις καὶ τῷ τούτους ἐξαγαγόντι περιστήσαντα;*

20 *Τί δαί, εἴ τις τυραννουμένην πόλιν ἰδὼν καὶ νοσοῦσαν καὶ στασιάζουσαν, ἔπεισεν οὓς ἠδύνατο τῶν τὴν πόλιν ταύτην οἰκούντων ἀναδραμεῖν πρὸς τὰς τῶν ὀρῶν κορυφάς, καὶ πείσας ὁμοῦ, καὶ συνέπραξε πρὸς ταύτην αὐτοῖς τὴν ἀναχώρησιν, τίνος ἂν κατηγόρησας; τοῦ μεταθέντος ἀπὸ ταύ-*
25 *της τῆς ταραχῆς πρὸς τὴν γαλήνην ἐκείνην τοὺς ἐν μέσῳ χειμαζομένους ἀνθρώπους, ἢ τὸν ταῦτα ἐργασάμενον τὰ ναυάγια; Μὴ γάρ τοι νομίσῃς ἄμεινον τυραννουμένης πόλεως τὰς τῶν ἀνθρώπων πράγματα διάκεισθαι νῦν, ἀλλὰ καὶ πολλῷ χαλεπώτερον. Οὐ γὰρ ἄνθρωπος, ἀλλά τις πονηρὸς*

μωρίαν; Θὰ τὸ ἐπιθυμοῦσα καὶ ἐγὼ ὁ ἴδιος ὄχι ὀλιγώτερον ἀπὸ σᾶς, ἀλλά πολὺ περισσότερον, καὶ πολλάκις ηὐχήθην νὰ παύσῃ νὰ ὑπάρχῃ ἡ ἀνάγκη τῶν μοναστηρίων, καὶ νὰ ἐπικρατήσῃ εἰς τὰς πόλεις τόσον καλὴ ἐφαρμογὴ τῶν ἠθικῶν νόμων, ὥστε νὰ μὴ χρειασθῇ ποτὲ κανεὶς νὰ καταφύγῃ εἰς τὴν ἔρημον. Ἐπειδὴ ὅμως ὅλα ἔχουν ἀντιστραφῆ, καὶ αἱ μὲν πόλεις, ποὺ ἔχουν δικαστήρια καὶ νόμους, ἔχουν γεμίσει ἀπὸ πολλὴν παρανομίαν καὶ ἀδικίαν, ἡ δὲ ἔρημος εἶναι πλήρης ἀπὸ τοὺς καρποὺς τῆς φιλοσοφημένης ζωῆς, δὲν θὰ κατηγοροῦντο δικαίως ἀπὸ σᾶς αὐτοὶ ποὺ ἐξάγουν τοὺς θέλοντας νὰ σωθοῦν ἀπὸ τὴν ζάλην αὐτὴν καὶ τὴν ταραχήν, καὶ ὁδηγοῦν αὐτοὺς πρὸς τὸν λιμένα τῆς ἡσυχίας. Ἀντιθέτως πρέπει νὰ κατηγορηθοῦν αὐτοὶ ποὺ καθιστοῦν κάθε πόλιν ἀδιάβατον καὶ ἀκατάλληλον πρὸς ἄσκησιν τῆς φιλοσοφημένης ζωῆς, ὥστε νὰ ἀναγκάζωνται, ὅσοι θέλουν νὰ σωθοῦν, νά καταφεύγουν εἰς τὰς ἐρημίας. Εἰπέ μου λοιπόν, ἐὰν κατὰ τὸ μεσονύκτιον πάρῃ κανεὶς λαμπάδα καὶ θέσῃ πῦρ εἰς οἰκίαν μεγάλην καὶ πολυάνθρωπον, μὲ σκοπὸν νὰ κάμῃ κακὸν εἰς τοὺς ἐντὸς αὐτῆς κοιμωμένους, ποῖον θὰ ἐχαρακτηρίζαμεν κακόν, αὐτὸν ποὺ θὰ ἐξυπνοῦσε τοὺς κοιμωμένους καὶ θὰ τοὺς ὡδηγοῦσεν ἔξω ἀπὸ τὴν οἰκίαν, ἢ αὐτὸν ποὺ προεκάλεσε ἀρχικῶς τὴν πυρκαϊάν καὶ ἔφερεν εἰς τόσον δύσκολον θέσιν τοὺς ἐντὸς αὐτῆς εὑρισκομένους καὶ αὐτὸν ποὺ τοὺς ἐξήγαγεν;

Τί λοιπόν; Ἐὰν κανεὶς ἰδῇ πόλιν νὰ εὑρίσκεται ὑπὸ τυραννικὸν καθεστώς, ἀσθενῆ καὶ ἐπαναστατημένην, καὶ πείσῃ ὅσους ἠμπορέσῃ νὰ ἀνέλθουν εἰς τὰς κορυφάς τῶν ὀρέων καὶ ἀφοῦ τοὺς πείσῃ συμπράξῃ καὶ αὐτὸς εἰς τὴν ἀποχώρησίν των, ποῖον θὰ κατηγοροῦσες; Αὐτὸν ποὺ μετέφερε τοὺς δοκιμαζομένους ἀνθρώπους ἀπὸ τὴν ταραχὴν αὐτὴν εἰς τὴν γαλήνην, ἢ αὐτὸν ποὺ ἔγινεν αἴτιος τῶν ναυαγίων; Διότι, μὴ νομίσῃς ὅτι, ἡ τωρινὴ κατάστασις τῶν ἀνθρώπων εἶναι καλυτέρα ἀπὸ τὴν τῆς τυραννουμένης πόλεως, μᾶλλον δὲ εἶναι πολὺ χειροτέρα. Διότι ὄχι ἄνθρωπος,

δαίμων καθάπερ τύραννος ἄγριος τὴν οἰκουμένην ἅπασαν καταλαβών, μετὰ πάσης αὐτοῦ τῆς φάλαγγος εἰς τὰ τῶν ἀνθρώπων εἰσεκώμασε ψυχάς· εἶτα ἐκεῖθεν, ὥσπερ ἔκ τινος ἀκροπόλεως τὰ μιαρὰ καὶ ἐναγῆ καθ' ἑκάστην ἡμέραν ἐπι-
5 *τάγματα καταπέμπει πᾶσιν, οὐ γάμους διασπῶν, οὐδὲ χρή-ματα πέμπων καὶ φέρων μόνον, οὐδὲ σφαγὰς ἐργαζόμενος ἀδίκους ἀλλὰ τὰ πολλῷ τούτων χαλεπώτερα, τὴν ἅπαξ ἁρμοσθεῖσαν τῷ Θεῷ ψυχὴν τῆς μὲν πρὸς ἐκεῖνον ὁμιλίας ἀπάγων, ἐκδιδοὺς δὲ τοῖς ἀκαθάρτοις αὐτοῦ δορυφόροις, καὶ*
10 *συγκατακλίνεσθαι καταναγκάζων αὐτοῖς· οἵπερ ἐπειδὰν ἅπαξ αὐτὴν παραλάβωσιν, οὕτως αὐτῇ συγγίνονται αἰσχρῶς καὶ ὑβριστικῶς, ὡς εἰκὸς δαίμονας πονηροὺς σφοδρῶς καὶ μανικῶς τῆς τε ἀπωλείας καὶ τῆς ἀσχημοσύνης ἐρῶντας τῆς ἡμετέρας. Ἀποδύσαντες γὰρ αὐτὴν πάντων τῶν τῆς*
15 *ἀρετῆς ἱματίων, καὶ τὰ τῆς κακίας ῥάκια περιθέντες τὰ ῥυπῶντα καὶ διερρηγμένα καὶ δυσώδη, καὶ τῆς γυμνότητος αἰσχροτέραν αὐτὴν ἀποφαίνοντα, καὶ πάσης τῆς οἰκείας προσαναπλήσαντες ἀκαθαρσίας, οὐ παύονται ταῖς εἰς αὐτὴν ἐμπομπεύοντες ὕβρεσιν. Οὐδὲ γὰρ ἴσασί τινα κόρον*
20 *τῆς μιαρᾶς ταύτης καὶ παρανόμου μίξεως, ἀλλ' ὥσπερ οἱ μεθύοντες, ὅταν ἐμφορηθῶσι πολλοῦ τοῦ πόματος, τότε μᾶλλον ἐκκαίονται· οὕτω καὶ οὗτοι τότε μάλιστα μαίνονται, σφοδρότερόν τε αὐτῇ καὶ ἀγριώτερον ἐναλλόμενοι, ὅταν μάλιστα αὐτῇ παραχρήσωνται, κατακεντοῦντες πάντοθεν καὶ δάκνον-*
25 *τες, καὶ τὸν οἰκεῖον εἰς αὐτὴν ἐκχέοντες ἰόν, καὶ οὐ πρότερον διαλιμπάνοντες, ἕως ἂν εἰς τὴν οἰκείαν μεταστήσωσιν ἕξιν, ἢ τοῦ σώματος ἴδωσιν ἀποδυθεῖσαν αὐτήν.*

Ποίας οὖν τυραννίδος, ποίας αἰχμαλωσίας, ποίας ἀναστατώσεως, τίνος ἀνδραποδισμοῦ, ποίου πολέμου, τίνος ναυα-
30 *γίου, ποίου λιμοῦ ταῦτα οὐ χαλεπώτερα; Τίς οὕτως ὠμὸς*

ἀλλὰ πονηρὸς δαίμων, ὡσὰν ἄγριος τύραννος, ἀφοῦ ἐκυρίευσεν ὅλην τὴν οἰκουμένην, μὲ ὅλην τὴν φάλαγγά του εἰσώρμησεν εἰς τὰς ψυχὰς τῶν ἀνθρώπων. Ἔπειτα, ἀπὸ ἐκεῖ, ὡσὰν ἀπὸ μίαν ἀκρόπολιν, ἐξαπολύει καθημερινῶς τὰς ἀκαθάρτους καὶ βδελυρὰς προσταγάς του, καὶ ὄχι μόναν διαλύει γάμους οὔτε δημιουργεῖ μόνον χρηματικὰς συναλλαγάς καὶ προξενεῖ ἀδίκους φόνους, ἀλλὰ πράττει πολὺ χειρότερα αὐτῶν, δηλαδή, ἀπομακρύνει τὴν ψυχήν, ἡ ὁποία ἡνώθη διὰ τού βαπτίσματος μὲ τὸν Θεόν, ἀπὸ τῆς πρὸς αὐτὸν ἐπικοινωνίας, παραδίδει αὐτὴν εἰς τοὺς ἀκαθάρτους ὑπηρέτας του καὶ καταναγκάζει αὐτὴν νὰ κατακλίνεται μαζί των. Αὐτοὶ δέ, ὅταν διὰ μίαν φορὰν τὴν παραλάβουν, τόσον αἰσχρῶς καὶ ὑβριστικῶς συμπεριφέρονται πρὸς αὐτήν, ὅσον ἁρμόζει εἰς δαίμονας πονηρούς, ποὺ ἐπιθυμοῦν σφοδρῶς καὶ μὲ μανίαν τὴν καταστροφὴν καὶ τὴν κακὴν διαγωγήν μας. Διότι, ἀφοῦ τὴν ἀπογυμνώσουν ἀπὸ ὅλα τὰ ροῦχα τῆς ἀρετῆς καὶ τὴν ἐνδύσουν μὲ τὰ ράκη τῆς κακίας, τὰ ἀκάθαρτα καὶ σχισμένα καὶ βρωμερά, ποὺ τὴν καθιστοῦν αἰσχροτέραν ἀπὸ ὅ,τι εἶναι γυμνή, καὶ ἀφοῦ τὴν μολύνουν περισσότερον μὲ τὴν ἀκαθαρσίαν των, δὲν παύουν νὰ τὴν συνοδεύουν μὲ ὕβρεις. Καὶ ποτὲ δὲν χορταίνουν ἀπὸ τὴν ἀκάθαρτον καὶ παράνομον ἐκείνην ἐπαφήν. Ἀλλὰ ὅπως οἱ μεθυσμένοι, ὅταν πίουν ἄφθονον ποτόν, τότε διψοῦν περισσότερον, ἔτσι καὶ αὐτοί, τότε ἐξαγριώνονται περισσότερον καὶ ὁρμοῦν μὲ περισσοτέραν σφοδρότητα καὶ ἀγριότητα, ὅταν τὴν παραχρησιμοποιήσουν, κατατρυπῶντες την παντοῦ, δαγκώνοντες καὶ χύνοντες εἰς αὐτὴν τὸ δηλητήριον τῆς κακίας των. Καὶ δὲν ἐγκαταλείπουν τὴν προσπάθειαν νὰ τὴν φέρουν εἰς τὰς ἰδικάς των συνηθείας, παρὰ μόνον ὅταν ἀποθνήσκῃ ὁ ἄνθρωπος καὶ χωρίζεται ἡ ψυχὴ ἀπὸ τὸ σῶμα.

Ἀπὸ ποίαν λοιπὸν τυραννίδα, ἀπὸ ποίαν αἰχμαλωσίαν, ἀπὸ ποίαν δουλείαν, ἀπὸ ποῖον πόλεμον, ἀπὸ ποῖον ναυάγιον, ἀπὸ ποίαν πεῖναν δὲν εἶναι χειρότερα αὐτά;

καὶ ἀνήμερος, τίς οὕτως ἠλίθιος καὶ ἀπάνθρωπος καὶ ἀσυμπαθὴς καὶ ἀνάλγητος, ὡς τὴν τὰ τοιαῦτα ὑβριζομένην καὶ ἐπηρεαζομένην ψυχὴν μὴ θελῆσαι, τό γε εἰς αὐτὸν ἧκον, τῆς ἐναγοῦς ἐκείνης ἀπαλλάξαι μανίας καὶ ὕβρεως,
5 *ἀλλὰ τοιαῦτα πάσχουσαν περιορᾶν; Εἰ δὲ τοῦτο ἀπηνοῦς καὶ λιθίνης ψυχῆς, ποῦ θήσομεν, εἰπέ μοι, τούτους, οἳ πρὸς τῷ περιορᾶν καὶ ἕτερον πολλῷ μεῖζον τούτου ἐργάζονται κακόν, τοὺς προθυμουμένους εἰς μέσους πηδῆσαι τοὺς κινδύνους, καὶ μὴ παραιτουμένους εἰς αὐτὸν τοῦ θηρίου τὸν*
10 *λαιμὸν καθεῖναι τὰς χεῖρας, ἀλλὰ καὶ δυσωδίας καὶ κινδύνων ἀνεχομένους, ἵνα τὰς ἤδη καταποθείσας ψυχὰς ἐξ αὐτῆς τοῦ δαίμονος τῆς φάρυγγος ἀνασπάσωσιν, οὐ μόνον οὐκ ἐπαινοῦντες, οὐδὲ ἀποδεχόμενοι, ἀλλὰ καὶ ἐλαύνοντες πάντοθεν καὶ πολεμοῦντες;*

15 *8. Τί οὖν, φησί; πάντες οἱ τὰς πόλεις οἰκοῦντες ἀπολώλασι καὶ χειμάζονται, καὶ δεῖ τὰς πόλεις ἀφέντας, καὶ ἐρημώσαντας πρὸς τὴν ἔρημον μεταστῆναι, καὶ τῶν ὀρῶν τὰς κορυφὰς οἰκίζειν; Καὶ σὺ ταῦτα κελεύεις, καὶ νομοθετεῖς; Ἄπαγε· τοὐναντίον γάρ, καθάπερ καὶ ἔφθην εἰπών,*
20 *καὶ ἐβουλόμην καὶ εὔχομαι τοσαύτης ἡμᾶς ἀπολαύειν εἰρήνης, καὶ τὴν τυραννίδα τῶν κακῶν τούτων εἰς τοσοῦτον καταλυθῆναι, ὡς μὴ μόνον τοῖς ἐν ταῖς πόλεσιν ἀνάγκην μὴ γίνεσθαι τὰ ὄρη καταλαβεῖν, ἀλλὰ καὶ τοὺς τὰς ἐρημίας οἰκοῦντας καθάπερ τινὰς φυγάδας διὰ μακροῦ τοῦ χρόνου*
25 *πρὸς τὴν αὐτῶν πόλιν καταγαγεῖν. Ἀλλὰ τί πάθω; δέδοικα μὴ τῇ πατρίδι σπουδάζων αὐτοὺς ἀποδοῦναι, ἀντὶ ταύτης ταῖς τῶν πονηρῶν δαιμόνων χερσὶ παραδῶ, καὶ βουλόμενος ἀπαλλάξαι ἐρημίας καὶ φυγῆς, φιλοσοφίας καὶ ἡσυχίας παρασκευάσω πάσης ἐκπεσεῖν.*

Ποῖος εἶναι τόσον σκληρὸς καὶ ἄγριος, ποῖος εἶναι τόσον ἠλίθιος καὶ ἀπάνθρωπος καὶ ἄπονος καὶ ἀναίσθητος, ὥστε νὰ μὴ θέλῃ, ὅταν ἐξαρτᾶται ἀπὸ αὐτόν, ν' ἀπελευθερώσῃ τὴν τόσον ὑβριζομένην καὶ πειραζομένην ψυχήν του ἀπὸ ἐκείνην τὴν καταραμένην μανίαν καὶ προσβολήν, ἀλλὰ νὰ τὴν παραβλέψῃ ἐνῷ παθαίνει τέτοια; Ἐὰν δὲ αὐτὸ ἀποτελῇ χαρακτηριστικὸν σκληρᾶς καὶ ἀναισθήτου ψυχῆς, ποῦ θὰ κατατάξωμεν, εἰπέ μου, αὐτοὺς ποὺ μαζὶ μὲ τὴν ἀμέλειαν διὰ τὴν ψυχὴν κάμουν καὶ ἕνα ἄλλο πολὺ μεγαλύτερον ἀπὸ αὐτὸ κακόν, δηλαδὴ αὐτοὺς ποὺ προθυμοποιοῦνται νὰ πηδήσουν μέσα εἰς τοὺς κινδύνους καὶ δὲν διστάζουν νὰ θέσουν τὰ χέρια των εἰς τὸν λαιμὸν τοῦ θηρίου, ἀλλὰ ὑπομένουν καὶ τὴν δυσωδίαν καὶ τοὺς κινδύνους, προκειμένου ν' ἀποσπάσουν ἀπὸ τὸν φάρυγγα τοῦ δαίμονος τὰς ψυχάς ποὺ ἤδη κατέπιεν, ὄχι μόνον δὲν τοὺς ἐπαινοῦν καὶ δὲν τοὺς ἐπιδοκιμάζουν, ἀλλὰ ἀντιθέτως τοὺς καταδιώκουν ἀπὸ παντοῦ καὶ τοὺς καταπολεμοῦν;

8. Τί λοιπόν; λέγει. Ὅλοι οἱ κάτοικοι τῶν πόλεων ἔχουν ἀπολεσθῆ καὶ βασανίζονται καὶ πρέπει νὰ ἐγκαταλείψουν καὶ νὰ ἐρημώσουν τὰς πόλεις καὶ νὰ μετοικήσουν εἰς τὴν ἔρημον καὶ νὰ κατοικήσουν εἰς τὰς κορυφὰς τῶν ὀρέων; Καὶ σὺ λοιπὸν αὐτὰ συμβουλεύεις καὶ νομοθετεῖς; Ὄχι βέβαια· ἀντιθέτως, ὅπως καὶ προηγουμένως εἶπα, καὶ τὸ ἐπιθυμοῦσα καὶ εὔχομαι ν' ἀπολαμβάνωμεν τόσον πολλὴν εἰρήνην, καὶ νὰ καταλυθῇ ἡ τυραννία τῶν κακῶν αὐτῶν τόσον πολύ, ὥστε ὄχι μόνον νὰ μὴ ἀναγκάζωνται οἱ κάτοικοι τῶν πόλεων νά ἀνεβαίνουν εἰς τὰ ὄρη, ἀλλὰ καὶ αὐτοὶ ποὺ κατοικοῦν εἰς τὰς ἐρημίας ὡσὰν ἐξόριστοι ἀπὸ πολὺν καιρόν, νὰ ἐπιστρέψουν εἰς τὴν πόλιν των. Ἀλλὰ τί νὰ κάμω; Φοβοῦμαι μήπως φροντίζων νὰ τοὺς ἐπαναφέρω εἰς τὴν πατρίδα, ἀντὶ τῆς πατρίδος τοὺς παραδώσω εἰς τὰ χέρια τῶν πονηρῶν δαιμόνων, καί, θέλων νὰ τοὺς ἀπαλλάξω ἀπὸ τὴν ἐρημίαν καὶ τὴν ἀποχώρησιν, τοὺς παρασύρω, ὥστε νὰ στερηθοῦν τὴν ἄσκησιν καὶ τὴν ἡσυχίαν.

Εἰ δέ με, τὸ πλῆθος τῶν ἐν τῇ πόλει προφέρων, ταύτῃ δυσωπήσειν οἴει καὶ δεδίξεσθαι, ὡς οὐκ ἀνεξόμενον καταδικάσαι τὴν οἰκουμένην ἅπασαν, τοῦ Χριστοῦ τὴν ἀπόφασιν λαβών, μετ' αὐτῆς στήσομαι πρὸς ταύτην σου τὴν ἀντίθεσιν.
5 *Οὐδὲ γὰρ ἀνέξῃ πρᾶγμα τοσαύτης γέμον τόλμης, ὡς πρὸς τὴν ψῆφον ἀντιβλέψαι τοῦ τότε μέλλοντος κρίνειν ἡμᾶς. Τι οὖν οὗτός φησι; τό, «στενὴ ἡ πύλη, καὶ τεθλιμμένη ἡ ὁδὸς ἡ ἀπάγουσα εἰς τὴν ζωήν, καὶ ὀλίγοι εἰσὶν οἱ εὑρίσκοντες αὐτήν». Εἰ δὲ οἱ εὑρίσκοντες ὀλίγοι, πολλῷ μᾶλλον οἱ πρὸς*
10 *τὸ τέλος αὐτῆς φθάσαι δυνάμενοι. Οὐ γὰρ δὴ πάντες ὅσοι τῆς ἀρχῆς ἐπέβησαν, καὶ πρὸς τὸ πέρας αὐτῆς ἴσχυσαν στῆναι· ἀλλ' οἱ μὲν ἐν τοῖς προοιμίοις, οἱ δὲ ἐν τῷ μέσῳ, πολλοὶ δὲ καὶ πρὸς αὐτῷ τῷ λιμένι κατεποντίσθησαν. Καὶ πάλιν πολλοὺς μὲν εἶναί φησι τοὺς κλητούς, ὀλίγους δὲ τοὺς ἐκλε-*
15 *κτούς.*

Ὅταν οὖν ὁ Χριστὸς τὸ μὲν πλέον εἶναι τῆς ἀπωλείας, ἐν δὲ τοῖς ὀλίγοις περιωρίσθαι τὴν σωτηρίαν ἀποφαίνηται, τί πρὸς ἐμὲ μάχῃ; Ταὐτὸν γὰρ ποιεῖς, ὥσπερ ἂν εἰ καὶ περὶ τῶν κατὰ τὸν Νῶε συμβεβηκότων λόγων γινομένων ἡμῖν
20 *ἐθαύμαζες, εἰ πάντες μὲν ἀπολώλασι, δύο δὲ καὶ τρεῖς ἄνθρωποι μόνοι τὴν τοιαύτην διέφυγον κόλασιν, ταύτῃ προσδοκῶν ἐμφράξαι ἡμῶν τὸ στόμα, ὡς οὐ τολμώντων καταδικάσαι τὸ πλῆθος. Ἀλλ' οὐ πεισόμεθα τοῦτο, οὐδὲ τῆς ἀληθείας τοὺς πολλοὺς προτιμήσομεν. Οὐδὲ γὰρ τῶν τότε*
25 *συμβεβηκότων ἐλάττω τὰ νῦν, ἀλλὰ καὶ πολλῷ μιαρώτερα, ὅσῳ καὶ γέεννα τούτοις ἠπείληται, καὶ τὰ τῆς κακίας οὐδὲ οὕτως ἐκκόπτεται. Τίς γάρ, εἰπέ μοι, μωρὸν οὐ καλεῖ τὸν ἀδελφόν; τοῦτο δὲ ὑπεύθυνον ποιεῖ τῷ τῆς γεέννης πυρί. Τίς οὐκ εἶδεν ἀκολάστοις ὀφθαλμοῖς εἰς γυναῖκα; καὶ τοῦτο*
30 *δὲ μοιχεία ἀπηρτισμένη· τὸν δὲ μοιχὸν πάλιν εἰς τὴν αὐτὴν*

---

17. Ματθ. 7, 14.
18. Ματθ. 22, 14.

Ἐὰν δέ, παρουσιάζων εἰς ἐμὲ τὸ πλῆθος τῆς πόλεως, νομίζῃς ὅτι μὲ αὐτὸν τὸν τρόπον θὰ λυπηθῶ δι' αὐτὴν καὶ θὰ φοβηθῶ, διότι ἴσως δὲν θά τολμήσω νὰ καταδικάσω ὅλον τὸν κόσμον, ἀκολουθῶν τὴν διακήρυξιν τοῦ Χριστοῦ καὶ συμφωνῶν μὲ αὐτὴν θ' ἀποκρούσω τὴν ἀντίδρασίν σου. Καὶ βεβαίως, δὲν θὰ ἐπιχειρήσῃς ἕνα τόσον τολμηρὸν πρᾶγμα, δηλαδὴ νὰ ἔλθῃς εἰς ἀντίθεσιν πρὸς τὴν ἀπόφασιν τοῦ μέλλοντος νὰ μᾶς κρίνῃ τότε Θεοῦ. Τί λέγει λοιπὸν ὁ Χριστός; «Στενὴ εἶναι ἡ πύλη, καὶ θλιμμένη ἡ ὁδὸς ἡ ὁδηγοῦσα εἰς τὴν ζωήν, καὶ ὀλίγοι εἶναι οἱ εὑρίσκοντες αὐτήν»[17]. Ἐὰν δὲ οἱ εὑρίσκοντες εἶναι ὀλίγοι, πολὺ ὀλιγώτεροι εἶναι αὐτοὶ ποὺ ἠμποροῦν νὰ φθάσουν εἰς τὸ τέρμα αὐτῆς. Διότι δὲν ἠμποροῦν βεβαίως νὰ φθάσουν εἰς τὸ τέρμα ὅσοι κάμνουν τὴν ἀρχήν, ἀλλὰ ἄλλοι μὲν καταποντίζονται εἰς τὴν ἀρχήν, ἄλλοι εἰς τὸν μέσον, πολλοὶ δὲ καὶ μέσα εἰς τὸν λιμένα. Καὶ πάλιν λέγει, «πολλοὶ εἶναι οἱ κλητοί, ὀλίγοι ὅμως οἱ ἐκλεκτοί»[18].

Ὅταν λοιπὸν ὁ Χριστὸς λέγῃ ὅτι οἱ περισσότεροι καταλήγουν εἰς τὴν ἀπώλειαν καὶ περιορίζεται εἰς ὀλίγους ἡ σωτηρία, διατί λογομαχεῖς μαζί μου; Διότι ἐνεργεῖς, ὡσὰν νὰ ἐξεπλήττεσο, ἐὰν θὰ ὡμιλούσαμεν δι' αὐτὰ ποὺ εἶχαν συμβῆ γύρω ἀπὸ τὸν Νῶε, ὅτι δηλαδὴ ὅλοι κατεστράφησαν, μόνον δὲ δύο ἢ τρεῖς ἄνθρωποι διέφυγαν τὴν τόσον μεγάλην τιμωρίαν, μὲ τὸν τρόπον αὐτὸν ἀποβλέπων εἰς τὸ νά κλείσῃς τὸ στόμα μας, διότι δῆθεν δὲν τολμῶμεν νὰ καταδικάσωμεν τὸ πλῆθος. Ἀλλὰ δὲν θὰ πάθω κάτι τέτοιο, οὔτε θὰ προτιμήσω τοὺς πολλοὺς ἀντὶ τῆς ἀληθείας. Διότι καὶ τὰ τωρινὰ δὲν εἶναι ἐλαφρότερα ἀπὸ τὰ τότε συμβάντα, ἀλλὰ πολὺ ἀκολαστότερα, καθ' ὅσον ἔχουν ἀπειληθῆ καὶ αὐτὰ μὲ κόλασιν, καὶ παρὰ ταῦτα ἡ κακία οὔτε ἔτσι ἐκριζώνεται. Διότι, εἰπέ μου, ποῖος δὲν ἀποκαλεῖ τὸν συνάνθρωπόν του ἀνόητον; Καὶ αὐτὸ τιμωρεῖται μὲ τὸ πῦρ τῆς κολάσεως. Ποῖος δὲν βλέπει τὰς γυναῖκας μὲ πονηρὰν διάθεσιν; Καὶ αὐτὸ εἶναι συντελεσμένη μοιχεία· καὶ ὁ μοιχὸς

ἀνάγκη ἐμπίπτειν γέενναν. Τίς οὐκ ὤμοσε; τοῦτο δὲ ἐκ τοῦ πονηροῦ πάντως· τὸ δὲ ἐκ τοῦ πονηροῦ, καὶ αὐτὸ κολάσεως πάντως. Τίς οὐκ ἐβάσκηνε φίλῳ ποτέ; τοῦτο δὲ καὶ ἐθνικῶν καὶ τελωνῶν χείρους ποιεῖ· τοὺς δὲ ἐκείνων χείρους ὅτι οὐκ 5 *ἔνι κόλασιν διαφυγεῖν, παντί που δῆλόν ἐστι. Τίς ἐκ καρδίας ἅπασαν μῆνιν ἐξήλασε, καὶ τὰ πάντων εἰς αὐτὸν πεπλημμεληκότων εἴασεν ἁμαρτήματα; τὸν δὲ οὐκ ἀφέντα, ὅτι τοῖς βασανιστηρίοις ἀνάγκη παραδοθῆναι, τῶν ἀκηκοότων τοῦ Χριστοῦ οὐδεὶς ἀντερεῖ. Τίς δὲ οὐκ ἐδούλευσε τῷ μα-* 10 *μωνᾷ; τὸν δὲ ἐκείνῳ δουλεύσαντα ἀνάγκη παραιτήσασθαι τοῦ Χριστοῦ τὴν δουλείαν· ἐκείνην δὲ ἀρνησάμενον, καὶ τὴν οἰκείαν ἀνάγκη σωτηρίαν ἀρνήσασθαι. Τίς οὐ κακηγόρησε λάθρα; τούτους δὲ καὶ ἡ παλαιὰ ἀποκτίννυσθαι κελεύει, καὶ κατασφάττεσθαι.*

15 *Ἀλλὰ τίς ἡ παραμυθία τῶν οἰκείων κακῶν; Τὸ πάντας ὥσπερ ἔκ τινος συνθήματος πρὸς τὸ τῆς κακίας ὀλισθῆσαι βάραθρον, ὃ καὶ αὐτὸ τῆς κατεχούσης νόσου τεκμήριόν ἐστι μέγιστον, ὅταν τοῦτο παραμυθίαν φέρῃ τῶν κακῶν ἡμῖν, ὃ μείζονος ὀδύνης ὑπόθεσιν εἶναι ἐχρῆν. Οὐ γὰρ δὴ τὸ πολ-* 20 *λοὺς ἔχειν κοινωνοὺς τῶν ἁμαρτημάτων ἀπαλλάττει τῶν ἐγκλημάτων ἡμᾶς, καὶ τῶν τιμωριῶν. Εἰ δέ τις ἐπὶ τοῖς εἰρημένοις ἀπέγνω, μικρὸν ἀναμεινάτω, καὶ τότε ἀπογνώσεται πλέον, ὅταν τὰ πολλῷ τούτων εἴπωμεν χαλεπώτερα, οἷον τὰς ἐπιορκίας. Εἰ γὰρ τὸ ὀμόσαι διαβολικόν, τὸ καὶ* 25 *τοὺς ὅρκους πατῆσαι ποίαν οἴσει τιμωρίαν ἡμῖν; Εἰ τὸ μωρὸν καλέσαι γέενναν ἐφέλκεται, τὸ καὶ μυρίοις ὀνείδεσιν αἰσχῦναι τὸν ἀδελφόν, τὸν οὐδὲν ἠδικηκότα πολλάκις, τί οὐκ ἂν ἐργάσηται; Εἰ τὸ μνησικακεῖν μόνον τιμωρίας ἄξι-*

πάλιν θὰ ριφθῇ εἰς τὴν κόλασιν. Ποῖος δὲν ὡρκίσθη; Καὶ αὐτὸ προέρχεται ἀπὸ τὸν πονηρόν, καὶ κολάζεται. Ποῖος δὲν ἐφθόνησε ποτὲ τὸν φίλον του; Τοῦτο δὲ κάνει τοὺς ἀνθρώπους χειροτέρους ἀπὸ τοὺς εἰδωλολάτρας καὶ τοὺς τελώνας· Καὶ βεβαίως τὸ ὅτι οἱ χειρότεροι ἐκείνων δὲν εἶναι δυνατὸν νά διαφύγουν τὴν κόλασιν εἶναι φανερὸν εἰς τὸν καθένα. Ποῖος ἀπήλλαξε τὴν καρδίαν του ἀπὸ τὸ μῖσος καὶ συνεχώρησεν ὅλα τὰ σφάλματα τῶν ἄλλων ἀπέναντί του; Διὰ τὸ ὅτι δέ, ὁ μὴ συγχωρῶν εἶναι ἐπακόλουθον νὰ παραδοθῇ εἰς τὰ βασανιστήρια, κανεὶς ἀπὸ ὅσους ἔχουν ἀκούσει τὴν διδασκαλίαν τοῦ Χριστοῦ δὲν θὰ ἀντείπῃ. Ποῖος δὲν ὑπηρέτησε τὸν Σατανᾶν; Καὶ ὅποιος ἐδούλευσεν εἰς ἐκεῖνον, πρέπει νὰ παραιτηθῇ ἀπὸ τὴν ὑπηρεσίαν τοῦ Χριστοῦ· ὅταν δὲ ἀρνηθῇ ἐκείνην, εἶναι ἐπακόλουθον νὰ ἀρνηθῇ καὶ τὴν σωτηρίαν του. Ποῖος δὲν κατηγόρησε κρυφά; Δι' αὐτοὺς δὲ διατάσσει καὶ ἡ Παλαιὰ Διαθήκη νὰ φονεύωνται καὶ νὰ κατασφάζωνται.

Ἀλλὰ ποία εἶναι ἡ παρηγορία εἰς τὰς ἁμαρτίας μας; Τὸ ὅτι ὅλοι, ὡς ἐκ συνθήματος ὠλισθήσαμεν εἰς τὸ βάραθρον τῆς κακίας, πρᾶγμα τὸ ὁποῖον εἶναι μεγίστη ἀπόδειξις τῆς ἀσθενείας, ποὺ μᾶς κατέχει, ὅταν χρησιμοποιῆται τοῦτο ὡς δικαιολογία τῶν ἁμαρτιῶν μας, ἐνῷ θά ἔπρεπε νὰ εἶναι ἀφορμὴ μεγαλυτέρας ὀδύνης. Διότι τὸ νὰ ἔχωμεν πολλοὺς συμπράττοντας εἰς τὰ ἁμαρτήματα, αὐτὸ δὲν μᾶς ἀπαλλάσσει ἀπὸ τὰς κατηγορίας καὶ τὰς τιμωρίας. Ἐὰν δὲ κανεὶς ἀπηλπίσθη ἀπὸ τὰ λεχθέντα, ἂς ἀναμείνῃ ὀλίγον, καὶ τότε θ' ἀπελπισθῇ περισσότερον, ὅταν ὁμιλήσωμεν διὰ τὰ πολὺ χειρότερα τούτων, δηλαδὴ τὰς ἐπιορκίας. Διότι, ἐὰν τὸ νὰ ὁρκισθῇ κανεὶς εἶναι διαβολικόν, τὸ νά ἀθετήσῃ τοὺς ὅρκους ποίαν τιμωρίαν θὰ ἐπιφέρῃ; Ἐὰν τὸ νὰ ἀποκαλέσῃ κανεὶς ἀνόητον κάποιον, ἐπιφέρῃ τὴν κόλασιν, τὸ νὰ προσβάλῃ κανεὶς τὸν ἀδελφόν του ποὺ πολλάκις εἰς τίποτε δὲν πταίει μὲ μυρίους ὀνειδισμούς, ποίαν τιμωρίαν θὰ ἦτο δυνατὸν νὰ ἐπισύρῃ; Ἐὰν ἡ μνησικακία καὶ μόνον

ον, τὸ καὶ ἐπεξιέναι πόσην ἔχει τὴν βάσανον; Ἀλλὰ μήπω περὶ τούτων, ἀλλ᾽ ἐν τῷ οἰκείῳ ταῦτα φυλαττέσθω τόπῳ. Ἵνα γὰρ τὰ ἄλλα παρῶ, αὐτὸ δὴ τοῦτο τὸ καταναγκάσαν ἡμᾶς εἰς τοῦτον καθεῖναι τὸν λόγον, οὐκ ἱκανὸν καὶ μόνον
5 *τῆς κατεχούσης νόσου τὴν κακίαν ἐνδείξασθαι; Εἰ γὰρ τὸ τῶν οἰκείων ἁμαρτημάτων μὴ ἐπαισθάνεσθαι, ἀλλ᾽ ἀναλγήτως πλημμελεῖν, ἔσχατος ὅρος κακίας ἐστί, ποῦ τάξομεν τοὺς νέους τούτους νομοθέτας τῆς καινῆς ταύτης καὶ ἀτοπωτάτης νομοθεσίας, οἳ μετὰ πλείονος τῆς παρρησίας τοὺς*
10 *τῆς ἀρετῆς ἀπελαύνουσι διδασκάλους, ἢ τοὺς τῆς κακίας ἕτεροι, καὶ τῶν πλημμελησάντων πλέον τοῖς διορθοῦν βουλομένοις ἐκπεπολέμωνται; μᾶλλον δὲ πρὸς ἐκείνους μὲν οὔτε ἀηδῶς ἔχουσιν, οὔτε ἐγκαλοῦσί ποτε, τούτων δὲ κἂν ἀπογεύσαιντο ἡδέως μονονουχὶ βοῶντες καὶ δι᾽ ὧν λέγουσι*
15 *καὶ δι᾽ ὧν ποιοῦσιν, ὅτι δεῖ τῆς κακίας ἀπρὶξ ἔχεσθαι, καὶ μηδέποτε ἐπανελθεῖν πρὸς ἀρετήν, ὡς οὐ μόνον τοὺς μετιόντας αὐτήν, ἀλλὰ καὶ τοὺς φωνὴν ὑπὲρ ταύτης ῥῆξαι τολμῶντας ἀμύνεσθαι δέον.*

ἐπιφέρῃ τὴν τιμωρίαν, πόσον μεγάλην τιμωρίαν θὰ συνεπάγεται ἡ ἀντιδικία; Ὅμως ἂς μὴ ὁμιλήσωμεν περὶ αὐτῶν, ἀλλὰ ἂς τὰ ἀφήσωμεν διὰ τὴν κατάλληλον ὥραν. Ἀλλά, διὰ νὰ παραλείψω τὰ ἄλλα, αὐτὸ ἀκριβῶς ποὺ μὲ ἠνάγκασε νὰ συντάξω αὐτὸν τὸν λόγον, δὲν εἶναι ἀρκετὸν μόνον τοῦ ν' ἀποδείξῃ τὴν κακὴν ἐπίδρασιν τῆς προσβαλούσης νόσου; Διότι, ἐὰν τὸ νὰ μὴ συναισθάνεται κανεὶς τὰ ἁμαρτήματά του, καὶ νὰ ἁμαρτάνῃ ἀναισθήτως εἶναι τὸ ἔσχατον σημεῖον τῆς κακίας, ποῦ πρέπει νὰ κατατάξωμεν τοὺς νέους αὐτοὺς νομοθέτας τῆς νέας ταύτης καὶ παραλογωτάτης νομοθεσίας, οἱ ὁποῖοι καταδιώκουν τοὺς διδασκάλους τῆς ἀρετῆς μὲ περισσότερον ζῆλον ἀπὸ ὅσον ἐκδιώκουν ἄλλοι τοὺς διδασκάλους τῆς κακίας καὶ καταπολεμοῦν αὐτοὺς ποὺ θέλουν νὰ διορθώσουν τὸ κακὸν περισσότερον ἀπὸ αὐτοὺς ποὺ τὸ διαπράττουν; Μᾶλλον δὲ οὔτε ἀπέχθειαν αἰσθάνονται πρὸς αὐτοὺς οὔτε τοὺς κατηγοροῦν ποτέ, ἐνῷ τῶν διδασκάλων τῆς ἀρετῆς μὲ εὐχαρίστησιν θὰ ἐγεύοντο καὶ τὰς σάρκας ἀκόμη, ἀφοῦ σχεδὸν καὶ μὲ τοὺς λόγους καὶ μὲ τάς πράξεις των βοοῦν ὅτι πρέπει νὰ ἀκολουθῇ κανεὶς μὲ πάθος τὴν κακίαν, καὶ ποτὲ νὰ μὴ ἐπανέλθῃ εἰς τὴν ἀρετήν, ὥστε νὰ ὀφείλῃ κανεὶς νὰ καταπολεμῇ ὄχι μόνον αὐτοὺς ποὺ ἐφαρμόζουν τὴν ἀρετήν, ἀλλὰ καὶ αὐτοὺς ποὺ τολμοῦν νὰ ὑψώσουν ὑπὲρ αὐτῆς τὴν φωνήν των.

ΛΟΓΟΣ ΔΕΥΤΕΡΟΣ

ΠΡΟΣ ΑΠΙΣΤΟΝ ΠΑΤΕΡΑ

1. Ἱκανὰ μὲν οὖν καὶ ταῦτα ἔκστασιν ἐργάσασθαι καὶ φρίκην· κἂν τὸ προφητικόν τις ἐκεῖνο ἐπὶ τούτοις φθέγγη-
5 *ται νῦν ὅτι, «Ἐξέστη ὁ οὐρανὸς ἐπὶ τούτῳ, καὶ ἔφριξεν ἡ γῆ ἐπὶ πλεῖον σφόδρα», καὶ ὅτι, «Ἔκστασις καὶ φρικτὰ ἐγενήθη ἐπὶ τῆς γῆς», εὐκαίρως πάντα τὰ τοιαῦτα ἐρεῖ. Τὸ δὲ τούτων χαλεπώτερον, ὅτι οὐ μόνον ἀλλότριοί τινες, καὶ οὐδὲν τοῖς συμβουλευομένοις προσήκοντες τοιαῦτα ἀγανακτοῦ-*
10 *σι καὶ δυσχεραίνουσιν, ἀλλὰ συγγενεῖς καὶ πατέρες ἔμαθον ὑπὲρ τούτων ὀργίζεσθαι. Καίτοι γε οὐκ ἀγνοῶ ὅτι πολλοὶ πρὸς μὲν τοὺς πατέρας τοῦτο ποιοῦντας οὐ σφόδρα ἐκπλήττονται· ἀποπνίγεσθαι δέ φασι τῷ θυμῷ, ὅταν ἴδωσι τοὺς μήτε πατέρας, μήτε φίλους, μήτε συγγενεῖς, μήτε ἄλλοθέν*
15 *ποθεν ἐπιτηδείους, πολλάκις δὲ καὶ ἀγνῶτας ὄντας τοῖς φιλοσοφεῖν αἱρουμένοις τὸ αὐτὸ τοῦτο πάσχοντας, καὶ μᾶλλον τῶν πατέρων δακνομένους, καὶ πολεμοῦντας, καὶ κατηγοροῦντας τῶν ἀναπεισάντων αὐτούς.*

Ἐμοὶ δὲ τοὐναντίον εἶναι δοκεῖ θαυμαστόν. Τοὺς μὲν
20 *γὰρ μήτε κηδεμονίας, μήτε φιλίας ἔχοντάς τι δικαίωμα, οὐδὲν ἀπεικός ἐστιν ἐπὶ τοῖς ἀλλοτρίοις ἀλγεῖν ἀγαθοῖς, πῇ μὲν ὑπὸ βασκανίας ἁλισκομένους, πῇ δὲ τῆς οἰκείας κακίας τὴν τῶν ἄλλων ἀπώλειαν εὐτυχίαν εἶναι νομίζοντας, ἀθλίως μὲν καὶ ταλαιπώρως, νομίζοντας δ' οὖν ὅμως· τὸ δὲ*
25 *τοὺς γεννησαμένους, τοὺς ἀναθρεψαμένους, τοὺς καθ' ἑκάστην εὐχομένους ἡμέραν εὐδοκιμωτέρους σφῶν αὐτῶν τοὺς παῖδας ἰδεῖν, τοὺς πάντα διὰ τοῦτο καὶ ποιοῦντας καὶ πά-*

---
1. Ἱερ. 2, 12. 5, 30.

ΛΟΓΟΣ ΔΕΥΤΕΡΟΣ

ΠΡΟΣ ΑΠΙΣΤΟΝ ΠΑΤΕΡΑ

1. Ἀρκετὰ εἶναι βεβαίως καὶ αὐτὰ διὰ νὰ δημιουργήσουν ἔκπληξιν καὶ φρίκην. Καὶ ἂν τώρα δι' αὐτὰ εἴπῃ κανεὶς τὸ προφητικόν, ὅτι «ἐξέστη ὁ οὐρανὸς διὰ τοῦτο, καὶ ἔφριξεν ἡ γῆ σφοδρότατα», καὶ ὅτι «ἔκστασις καὶ φρίκη ἐπεκράτησεν ἐπὶ τῆς γῆς»[1], ὅλα αὐτὰ θὰ τὰ εἴπῃ ἐπικαίρως. Τὸ χειρότερον δὲ ἀπὸ ὅλα εἶναι ὅτι, ὄχι μόνον μερικοὶ ξένοι καὶ καθόλου συγγενεῖς πρὸς τοὺς συμβουλευομένους ἀγανακτοῦν δι' αὐτὰ καὶ φέρουν ἐμπόδια, ἀλλὰ ἔχουν συνηθίσει νὰ ὀργίζωνται δι' αὐτὰ συγγενεῖς καὶ πατέρες. Ἂν καὶ γνωρίζω ὅτι πολλοὶ δὲν ἐκπλήττονται πολὺ ὅταν τὸ κάνουν αὐτὸ οἱ πατέρες· ἰσχυρίζονται ὅμως ὅτι τοὺς πνίγει ὁ θυμός, ὅταν ἰδοῦν αὐτούς, ποὺ οὔτε πατέρες εἶναι, οὔτε φίλοι, οὔτε συγγενεῖς, οὔτε ἄλλοι τυχὸν ἁρμόδιοι, πολλάκις δὲ εἶναι καὶ ἄγνωστοι εἰς αὐτοὺς ποὺ ἠκολούθησαν τὸν μοναχισμόν, νὰ πάσχουν τὰ ἴδια, καὶ νὰ ἐρεθίζωνται περισσότερον ἀπὸ τοὺς πατέρας, καὶ νὰ καταπολεμοῦν καὶ νὰ κατηγοροῦν αὐτοὺς ποὺ τοὺς προσείλκυσαν.

Ἐγὼ ὅμως νομίζω ὅτι τὸ ἀντίθετον εἶναι παράδοξον. Διότι αὐτοὶ ποὺ δὲν ἔχουν τὸ δικαίωμα τῆς κηδεμονίας ἢ τῆς φιλίας, δὲν εἶναι καθόλου παράξενον ὅτι πονοῦν διὰ τὰ ξένα ἀγαθά, ἀφ' ἑνὸς μὲν ἐπειδὴ κυριεύονται ἀπὸ φθόνον, ἀφ' ἑτέρου δὲ ἐπειδὴ λόγῳ τῆς κακίας των θεωροῦν τὴν καταστροφὴν τῶν ἄλλων εὐτυχίαν, κακῶς βεβαίως καὶ ταλαιπώρως, ὁπωσδήποτε ὅμως ἔτσι τὸ θεωροῦν. Τὸ ἄλλο ὅμως, τὸ ὅτι δηλαδὴ οἱ γονεῖς οἱ ἀναθρέψαντες, οἱ εὐχόμενοι καθημερινῶς νὰ ἴδουν τὰ παιδιά των περισσότερον ἐπιτυχημένα ἀπὸ αὐτοὺς τοὺς ἰδίους, αὐτοὶ ποὺ ὑφίστανται δι' αὐτὸ ὁποιανδήποτε θυσίαν, αὐτοὶ ὡσὰν νὰ ἐπηρεάζων-

σχοντας· τούτους δὲ ὥσπερ ἔκ τινος μέθης ἐξαίφνης μεταβαλλομένους ἀλγεῖν ἐπὶ φιλοσοφίᾳ τῶν παίδων ἀγομένων αὐτοῖς· τοῦτό ἐστιν ὃ μάλιστα πάντων ἐγὼ θαυμάζω, καὶ τοῦ πάντα διεφθάρθαι τεκμήριον εἶναί φημι ἱκανόν. Τοῦτο
5 *γὰρ οὐ ἐπὶ τῶν ἔμπροσθεν χρόνων ἔχοι τις ἂν γεγενημένον εἰπεῖν, ὅτε καὶ τὰ τῆς πλάνης ἐκράτει λαμπρῶς· ἀλλ' ἐγένετο μὲν ἅπαξ ἐν Ἑλληνίδι πόλει, τυραννουμένῃ δέ. Οὐδὲ γὰρ δὴ τότε τῶν γονέων τις καθάπερ νῦν, ἀλλ' οἱ τὴν ἀκρόπολιν καταλαβόντες, μᾶλλον δὲ οὐδὲ οὗτοι πάντες, ἀλλὰ*
10 *καὶ τούτων αὐτῶν ὁ μιαρώτατος τὸν Σωκράτην καλέσας, ἐκέλευε τῶν ὑπὲρ φιλοσοφίας ἀποστῆναι λόγων. Ἀλλ' ἐκεῖνος μὲν καὶ τύραννος καὶ ἄπιστος καὶ ὠμὸς καὶ ἐπ' ἀνατροπῇ τῆς πολιτείας ἅπαντα πράττων, καὶ τοῖς ἀλλοτρίοις ἐντρυφῶν κακοῖς, καὶ εἰδὼς ὅτι πολιτείαν ἀρίστην οὐδὲν*
15 *ἕτερον ἀνατρέψαι δύναται, ὡς τὸ τοιοῦτον ἐπίταγμα, ταῦτα ἐτόλμησεν· οὗτοι δὲ πιστοί, καὶ ἐν εὐνομουμέναις δῆθεν πόλεσι ζῶντες, καὶ περὶ παίδων τῶν αὐτῶν βουλόμενοι, ταῦτα φθέγγεσθαι τολμῶσιν, ἃ περὶ τῶν τυραννουμένων ὁ τύραννος, καὶ οὐκ αἰσχύνονται· ὥστε ὑπὲρ τούτων μᾶλλον δυσχε-*
20 *ραινόντων, ἢ τῶν ἄλλων θαυμάζειν χρή.*

Καὶ διὰ τοῦτο καὶ αὐτὸς ἐκείνων ἀφέμενος, τούτοις οἷς μάλιστα μέλει τῶν παίδων, μᾶλλον δὲ οἷς μέλειν μὲν ἔδει, μέλει δὲ οὐδαμῶς, διαλέξομαι προσηνῶς καὶ μετ' ἐπιεικείας πολλῆς, τοσοῦτον αὐτοὺς παραιτησάμενος μὴ δυσχε-
25 *ραίνειν μηδὲ ἀγανακτεῖν, εἴ τις τὸ λυσιτελὲς τοῖς ἐκείνων παισὶ μᾶλλον αὐτῶν ἐκείνων εἰδέναι λέγοι. Οὐ γὰρ ἀρκεῖ*

---

2. Ἐδῶ ὁ Χρυσόστομος ἐννοεῖ τὸν Ἀθηναῖον πολιτικὸν καὶ λόγιον Κριτίαν, μετὰ τὴν κατάλυσιν τῆς Ἀθηναϊκῆς δημοκρατίας ὑπὸ τῶν Λακεδαιμονίων, ἥτις συμπίπτει μὲ τὸ τέλος τοῦ Πελοποννησιακοῦ πολέμου (405-404 π.Χ.), ἐκλέγεται ὑπὸ τοῦ δήμου τῶν Ἀθηναίων ὡς εἷς ἐκ τῶν τριάκοντα ἀνδρῶν, εἰς τοὺς ὁποίους ἀνετέθη ἡ ἀνασύστασις τοῦ Ἀθηναϊκοῦ πολιτεύματος. Ταχέως κατορθώσας νὰ ὑπερισχύσῃ τῶν ὑπολοίπων 29 ἀνδρῶν, ἐγένετο τύραννος τῶν Ἀθηνῶν συγκεντρώσας εἰς χεῖρας του ὅλην τὴν ἐξουσίαν. Ἐπέδειξεν ἀφάνταστον σκληρότητα καὶ θηριωδίαν κατὰ τῶν ἀντιπάλων του. Ἀπηγόρευσε δὲ καὶ εἰς τὸν Σωκράτην νὰ διδάσκῃ τοὺς νέους φιλοσοφίαν, φοβούμενος μή-

ται ἀπὸ κάποιαν μέθην πονοῦν ὅταν τὰ παιδιά των ὁδηγοῦνται εἰς τὴν μοναχικὴν ζωήν, αὐτὸ εἶναι, περισσότερον ἀπὸ ὅλα, ποὺ μὲ κάνει ν' ἀπορῶ, καὶ νομίζω ὅτι εἶναι ἰσχυρὰ ἀπόδειξις ὅτι ὅλα ἔχουν διαφθαρῆ. Διότι αὐτὸ δὲν θὰ ἠμποροῦσε νὰ εἴπῃ κανεὶς ὅτι συνέβη οὔτε εἰς τὰ παλαιότερα χρόνια, ὅταν ἐκυριάρχει ὁλοσχερῶς ἡ πλάνη. 'Αλλ' ἔγινε μὲν διὰ μίαν φορὰν εἰς ἑλληνικὴν πόλιν, εὑρισκομένην ὅμως ὑπὸ τυραννικὸν καθεστώς. Οὔτε βεβαίως τότε ἀντέδρασε κάποιος ἀπὸ τοὺς γονεῖς, ὅπως τώρα, ἀλλ' αὐτοὶ ποὺ κατέλαβον τὴν ἀκρόπολιν, μᾶλλον δὲ ὄχι ὅλοι αὐτοί, ἀλλὰ καὶ ἀπὸ αὐτοὺς ὁ πλέον διεφθαρμένος[2], ὁ ὁποῖος ἐκάλεσε τὸν Σωκράτην καὶ τὸν διέταξε νὰ παύσῃ νὰ ὁμιλῇ περὶ τῆς φιλοσοφίας. 'Αλλ' ἐκεῖνος ἦτο τύραννος καὶ ἄπιστος καὶ σκληρὸς καὶ ἐνήργει ὅλα διὰ τὴν ἀνατροπὴν τοῦ πολιτεύματος καὶ ἔχαιρε διὰ τὰ ξένα παθήματα καὶ ἐτόλμησεν αὐτὰ τὰ πράγματα ἐπειδὴ ἐγνώριζεν ὅτι τὴν ἀρίστην πολιτείαν τίποτε ἄλλο δὲν δύναται νὰ τὴν ἀνατρέψῃ, ὅσον αὐτὴ ἡ διαταγή. Αὐτοὶ ὅμως ποὺ εἶναι πιστοὶ καὶ ζοῦν εἰς δῆθεν εὐνομουμένας πόλεις καὶ σκέπτονται περὶ τῶν παιδιῶν των, τολμοῦν καὶ λέγουν αὐτὰ ποὺ λέγει ὁ τύραννος διὰ τοὺς τυραννουμένους καὶ δὲν ἐντρέπονται. Ὥστε πρέπει ν' ἀπορῇ κανεὶς δι' αὐτούς, ὅταν ἀγανακτοῦν, παρὰ διὰ τοὺς ἄλλους.

Καὶ δι' αὐτὸ καὶ ἐγώ, παραμερίζων ἐκείνους, θὰ ὁμιλήσω μὲ πραότητα καὶ πολλὴν ἐπιείκειαν εἰς αὐτοὺς ποὺ ἐνδιαφέρονται περισσότερον διὰ τὰ παιδιά, μᾶλλον δὲ εἰς αὐτοὺς ποὺ ἔπρεπε μὲν νὰ ἐνδιαφέρωνται, ὅμως καθόλου δὲν ἐνδιαφέρονται, παρακαλῶν αὐτοὺς νὰ μὴ δυσανασχετοῦν τόσον πολὺ οὔτε ν' ἀγανακτοῦν, ἐὰν κανεὶς λέγῃ ὅτι γνωρίζει περισσότερον ἀπὸ αὐτοὺς τὸ συμφέρον τῶν παιδιῶν των. Διότι δὲν εἶναι ἀρκετὸν τὸ νὰ σπείρῃ κανεὶς

πως δι' αὐτῆς ἐπηρεάσῃ ἐναντίον του τοὺς 'Αθηναίους. Τὸ τέλος του ὑπῆρξεν οἰκτρόν· κατεσφάγη ὑπὸ τοῦ δημοκρατικοῦ ἀνδρὸς Θρασυβούλου κατὰ τὴν διάρκειαν συμποσίου, τὸ 403 π.Χ.

τὸ σπεῖραι παῖδα πρὸς τὸ συμφέρον τὸν γεννηθέντα διδάξαι τὸν γεννησάμενον, ἀλλὰ πρὸς μὲν τὴν φιλοστοργίαν τοῦ τεχθέντος μέγαλα ἂν τοῦτο συμβάλοιτο, πρὸς δὲ τὸ μαθεῖν αὐτοῦ τὸ λυσιτελὲς ἀκριβῶς, οὔτε τὸ σπείρειν οὔτε τὸ φι-
5 *λεῖν ἀρκέσειεν ἄν. Ἐπεὶ εἰ τοῦτο ἦν, οὐδένα ἀνθρώπων πατρὸς μᾶλλον τὸ χρήσιμον ἐχρῆν ὁρᾶν τῷ παιδί, ἐπειδὴ μήτε φιλεῖν μᾶλλον αὐτοῦ τῶν ἄλλων δύναιτό τις τοῦτον· νῦν δὲ καὶ αὐτοὶ οἱ πατέρες δι' ὧν ποιοῦσιν ὁμολογοῦσι τοῦτο ἀγνοεῖν, ὅταν πρὸς διδασκάλους ἄγωσιν, ὅταν παιδα-*
10 *γωγοῖς ἐγχειρίζωσιν, ὅταν μυρίους παραλαμβάνωσι συμβούλους, περὶ τῆς τοῦ βίου προαιρέσεως, ἐφ' ἣν τὸν παῖδα ἄγειν δεῖ, βουλευόμενοι. Καὶ οὐ τοῦτό πω θαυμαστόν, ἀλλ' ὅτι πολλάκις βουλῆς γινομένης, τὴν αὐτῶν ἀκυρώσαντες, τὴν ἑτέρων ἔστησαν ὑπὲρ τῶν οἰκείων βουλόμενοι παίδων.*
15 *Μὴ τοίνυν μηδὲ πρὸς ἡμᾶς δυσχερῶς ἐχέτωσαν, εἰ λέγοιμεν τὸ συμφέρον αὐτοῖς εἰδέναι μᾶλλον· ἀλλ' εἰ μὴ διὰ τῶν λόγων ἀποδείξαιμεν, τότε κατηγορεῖν, τότε διαβάλλειν ὡς ἀλαζόνας ὄντας καὶ λυμεῶνας καὶ τῆς φύσεως ἁπάσης ἐχθρούς.*

20 2. *Πῶς οὖν τοῦτο ἔσται δῆλον καὶ πόθεν εἰσόμεθα τίς μὲν ὁ τὸ συμφέρον ὄντως ὁρῶν, τίς δὲ ὁ δοκῶν μὲν ὁρᾶν, ὁρῶν δὲ οὐδαμῶς; Ἂν τοὺς παρ' ἐμοῦ λόγους καθάπερ τινὰς ἀνταγωνιστὰς εἰς ἐξέτασιν κατιέναι καταναγκάσαντες καὶ συμπλακῆναι, περὶ τούτων ἀδεκάστοις κριταῖς ἐπιτρέψω-*
25 *μεν τὴν ἐξέτασιν. Ὁ μὲν οὖν τοῦ ἀγῶνος νόμος πρὸς τὸν Χριστιανὸν ἀποδύεσθαι κελεύει, καὶ πρὸς ἐκεῖνον ἀγωνίζεσθαι μόνον, καὶ πλεῖον οὐδὲν ἀπαιτεῖ παρ' ἡμῶν. «Τί γάρ μοι καὶ τοὺς ἔξω κρίνειν;» ὁ μακάριος Παῦλός φησιν. Ἀλλ'*

---

3. Α' Κορ. 5, 12.

παιδὶ διὰ νὰ διδάξῃ ὁ γονεὺς τὸν γεννηθέντα τὸ συμφέρον του. Τοῦτο βεβαίως ἠμπορεῖ νὰ συμβάλῃ πολὺ εἰς τὸ νὰ εἶναι φιλόστοργος ὁ γονεύς, ἀλλ' εἰς τὸ νὰ μάθῃ τὸ πραγματικῶς ὠφέλιμον εἰς αὐτὸν δὲν θὰ ἦτο ἀρκετὴ οὔτε ἡ σπορά, οὔτε ἡ ἀγάπη. Διότι, ἐὰν συνέβαινεν αὐτό, θὰ ἔπρεπε νὰ μὴ βλέπῃ κανεὶς τὸ συμφέρον τοῦ παιδιοῦ περισσότερον ἀπὸ τὸν πατέρα, καθ' ὅσον δὲν θὰ ἠμποροῦσε κανεὶς ἀπὸ τοὺς ἄλλους νὰ τὸ ἀγαπᾷ περισσότερον. Τώρα ὅμως καὶ οἱ ἴδιοι οἱ πατέρες μὲ ὅσα πράττουν ὁμολογοῦν ὅτι τὸ ἀγνοοῦν αὐτό, ὅταν τὸ ἀναθέτουν εἰς τοὺς παιδαγωγούς, ὅταν παραλαμβάνουν πλῆθος συμβούλων, διὰ νὰ ἀποφασίσουν περὶ τῆς ἐκλογῆς τοῦ τρόπου ζωῆς, εἰς τὸν ὁποῖον πρέπει νὰ ὁδηγήσουν τὸ παιδί. Καὶ αὐτὸ βέβαια δὲν εἶναι θαυμαστόν, ἀλλὰ τὸ ὅτι πολλάκις, μετὰ γενομένην γνωμοδότησιν, ἀπέρριψαν τὴν ἰδικήν των γνώμην καὶ ἐπέβαλον τὴν ἐκλογὴν ἄλλων, σκεπτόμενοι τὸ συμφέρον τῶν παιδιῶν των. Ἂς μὴ δυσανασχετοῦν λοιπὸν οὔτε ἐναντίον μου, ἐὰν θὰ ἔλεγα ὅτι γνωρίζω καλύτερον τὸ εἰς αὐτοὺς ὠφέλιμον. Ἀλλ' ἐὰν δὲν τὸ ἀποδείξω διὰ τῶν λόγων, τότε ἂς μὲ κατηγορήσουν, τότε ἂς μὲ διαβάλουν ὡς ἐγωιστὴν καὶ καταστροφέα καὶ ἐχθρὸν τῆς ἀνθρωπίνης φύσεως.

2. Πῶς λοιπὸν θὰ γίνῃ τοῦτο φανερόν, καὶ ἀπὸ ποῦ θὰ γνωρίσωμεν ποῖος εἶναι αὐτὸς ποὺ βλέπει τὸ πραγματικὸν συμφέρον, καὶ ποῖος αὐτὸς ποὺ νομίζει μὲν ὅτι τὸ βλέπει, ἐνῷ δὲν τὸ βλέπει καθόλου; Ἄν, ἀφοῦ ὑποχρεώσωμεν τοὺς ἰδικούς μου λόγους ὡσὰν ἀνταγωνιστὰς νὰ κατέλθουν εἰς ἀναμέτρησιν καὶ νὰ συσχετισθοῦν, ἀναθέσωμεν τὴν περὶ τούτων ἐξέτασιν εἰς ἀμέμπτους δικαστάς. Ὁ κανονισμὸς λοιπὸν τοῦ ἀγῶνος ἐπιβάλλει ν' ἀπευθυνθῶ πρὸς τὸν Χριστιανὸν καὶ ἐκεῖνον μόνον νὰ ἐπικρίνω καὶ τίποτε περισσότερον δὲν ζητεῖ ἀπὸ ἐμέ. «Διότι μὲ ποῖον δικαίωμα θὰ κρίνω τοὺς ἔξω;»[8], λέγει ὁ μακάριος Παῦλος. Ἀλλ' ἐπει-

ἐπειδὴ συμβαίνει πολλοὺς καὶ ἀπίστους εἶναι τῶν πρὸς τὸν οὐρανὸν ἑλκομένων παίδων πατέρας, καίτοι γε τοῦ νόμου τῶν ἀγώνων ἀφιέντος ἡμᾶς τῆς πρὸς τούτους μάχης, ἑκόντες αὐτοὶ καὶ μετὰ προθυμίας καὶ πρὸς τούτους ἀποδυσό-
5 *μεθα πρώτους. Καὶ εἴθε πρὸς τούτους μόνον ἦν ἡμῶν ὁ ἀγών, καίτοι γε δυσχερέστερός τέ ἐστι, καὶ πλείονας ἔχει λαβάς· «Ψυχικὸς γὰρ ἄνθρωπος οὐ δέχεται τὰ τοῦ Πνεύματος· μωρία γὰρ αὐτῷ ἐστι»· καὶ συμβαίνει ταὐτόν, οἷον ἂν εἴ τις βασιλείας ἐρᾶν πείθῃ τὸν οὐκ ἐθέλοντα πεισθῆναι*
10 *πρότερον, ὅτι τὸ πρᾶγμα ὑφέστηκεν.*

Ἀλλ᾽ ὅμως καὶ οὕτως εἰς στενὸν ἡμῖν κατακεκλεισμένων τῶν λόγων, πρὸς τούτους ἠθέλησα ἂν μόνους τὸν ἀγῶνά μοι γενέσθαι τοῦτον. Ἐπὶ μὲν γὰρ τοῦ πιστοῦ πολλὰ μὲν ἡμῖν τὰ δικαιώματα, ἀλλ᾽ ὅμως τὴν ἐκ τῆς τῶν δικαίων
15 *περιουσίας ἡδονὴν συσκιάζει τῆς αἰσχύνης ἡ ὑπερβολή. Αἰσχύνομαι γὰρ ὅταν καὶ πρὸς ἐκεῖνον ὑπὲρ τούτων ἀποτείνεσθαι ἀναγκάζωμαι, καὶ δέδοικα μὴ τοῦτό μοι μόνον ὁ Ἕλλην ἔγκλημα δίκαιον ἔχοι προβάλλεσθαι· ἐπὶ τοῖς γε ἄλλοις αὐτὸν τῇ τοῦ Θεοῦ χάριτι ῥαδίως αἱρήσομεν, κἂν εὐ-*
20 *γνώμων εἶναι ἐθέλοι ταχέως αὐτὸν οὐ πρὸς τὸν ἔρωτα τοῦ βίου τούτου μεταστήσομεν μόνον, ἀλλὰ καὶ πρὸς αὐτὴν τῶν δογμάτων τὴν ἐπιθυμίαν, ἀφ᾽ ἧς ὁ βίος ἔχει τὴν ὑπόθεσιν οὗτος. Τοσοῦτον γὰρ ἀπέσω φοβηθῆναι τὸν πρὸς αὐτὸν ἀγῶνα, ὅτι καὶ χαλεπώτερον αὐτὸν πρότερον καταστήσας τῷ*
25 *λόγῳ, οὕτως ἅψομαι τῶν παλαισμάτων.*

Κείσθω γὰρ μὴ μόνον Ἕλληνα εἶναι τοῦτον τὸν πατέρα, ἀλλὰ καὶ πλούσιον ὑπὲρ πάντας ἀνθρώπους καὶ ἀπόβλεπτον, καὶ ἐν δυναστείᾳ καθεστάναι μεγάλῃ, καὶ πολλοὺς μὲν ἀγροὺς ἐχέτω, πολλὰς δὲ οἰκίας, μυρία δὲ χρυσίου
30 *τάλαντα· ἔστω δὲ καὶ πατρίδος τῆς βασιλικωτάτης, καὶ*

---

4. Α΄ Κορ. 1, 14.

δὴ συμβαίνει πολλοὶ ἀπὸ τοὺς πατέρας τῶν πρὸς τὸν οὐρανὸν ὁδηγουμένων παιδιῶν νὰ εἶναι ἄπιστοι, ἂν καὶ ὁ νόμος τῶν ἀγώνων μᾶς ἐπιτρέπει νὰ ἀφήσωμεν τὴν πρὸς αὐτοὺς μάχην, ἐν τούτοις ἑκουσίως καὶ μὲ προθυμίαν θὰ ἀπευθυνθῶ ἐν πρώτοις πρὸς αὐτούς. Καὶ εἴθε μόνον ἐναντίον αὐτῶν νὰ περιωρίζετο ὁ ἀγών μας, ἂν καὶ βεβαίως καὶ δυσκολώτερος εἶναι καὶ περισσοτέρας λαβὰς ἔχει· διότι «ψυχικὸς ἄνθρωπος δὲν δέχεται τὰ τοῦ Πνεύματος· διότι εἶναι μωρία δι' αὐτόν»[4]. Καὶ συμβαίνει τὸ ἴδιον μὲ τὸ νὰ προσπαθῇ κανεὶς νὰ πείσῃ ν' ἀγαπᾷ τὴν βασιλείαν αὐτὸν ποὺ δὲν θέλει νὰ πιστεύσῃ προηγουμένως ὅτι ὑπάρχει βασιλικὸν ἀξίωμα.

Περιωρισμένος πάντως εἰς στενὰ πλαίσια, ἠθέλησα πρὸς αὐτοὺς μόνον νὰ διεξαγάγω τὸν ἀγῶνα αὐτόν. Διότι διὰ μὲν τὸν πιστὸν ἔχομεν πολλὰ ἐπιχειρήματα ποὺ μᾶς δικαιώνουν, τὴν εὐχαρίστησιν ὅμως ἀπὸ τὴν πληθὺν τῶν ἐπιχειρημάτων τὴν ἐπισκιάζει ἡ ὑπερβολὴ τῆς ἐντροπῆς. Ἐντρέπομαι δηλαδή, ὅταν ἀναγκάζωμαι καὶ εἰς ἐκεῖνον νὰ ἀπευθυνθῶ ὑπὲρ αὐτῶν καὶ φοβοῦμαι μήπως αὐτὴν τὴν κατηγορίαν μόνον θὰ ἠμποροῦσε δικαίως νὰ μοῦ προβάλῃ ὁ εἰδωλολάτρης. Διότι ὡς πρὸς τὰ ἄλλα μὲ τὴν χάριν τοῦ Θεοῦ τὸν πιστὸν εὐκόλως θὰ τὸν κερδίσωμεν, ἂν δὲ μάλιστα φανῇ καὶ εὐγνώμων, γρήγορα ὄχι μόνον τὸν ἔρωτα τῆς μοναχικῆς ζωῆς θὰ τοῦ προξενήσωμεν, ἀλλὰ καὶ τὴν ἐπιθυμίαν τῆς μαθήσεως τῶν δογμάτων, εἰς τὰ ὁποῖα στηρίζεται ὁ βίος αὐτός. Δὲν φοβοῦμαι διόλου τὸν ἀγῶνα πρὸς τὸν πιστόν, διότι ἀφοῦ τὸν φέρω διὰ τῶν λόγων εἰς δυσχερῆ θέσιν, τότε θὰ ἀρχίσω τὴν πάλην.

Ἂς ὑποθέσωμεν λοιπὸν ὅτι αὐτὸς ὁ πατὴρ εἶναι ὄχι μόνον εἰδωλολάτρης, ἀλλὰ καὶ πλουσιώτερος ἀπὸ ὅλους τοὺς ἀνθρώπους καὶ διάσημος καὶ κάτοχος μεγάλης ἐξουσίας καὶ πολλῶν ἀγρῶν καὶ οἰκιῶν καὶ χιλιάδων χρυσῶν νομισμάτων. Κατάγεται δὲ ἀπὸ βασιλικωτάτην πατρίδα καὶ

γένους τοῦ περιφανεστάτου, καὶ μήτε ἐχέτω παῖδας ἑτέρους, μήτε ἕξειν ἐλπιζέτω τοῦ λοιποῦ, ἀλλ' ἐν τούτῳ σαλευέτω μόνον· ἔστω δὲ καὶ αὐτὸς οὗτος ἐν ἐλπίσι χρησταῖς, καὶ ταχέως ἐπὶ τὴν αὐτὴν ἀρχὴν ἀναβήσεσθαι προσδοκάσθω, καὶ
5 *λαμπρότερον αὐτοῦ φανήσεσθαι, καὶ πᾶσιν αὐτὸν ἀποκρύψειν τοῖς βιωτικοῖς· εἶτα ἐν μέσῳ τῶν ἐλπίδων τούτων προσερχέσθω τις, καὶ διαλεγέσθω περὶ ταύτης αὐτῷ τῆς φιλοσοφίας, καὶ πειθέτω πάντων ἐκείνων καταγελάσαντα περιβαλέσθαι ἱμάτιον ἁδρόν, καὶ τὴν πόλιν ἀφέντα πρὸς τὸ*
10 *ὄρος φυγεῖν, καὶ φυτεύειν ἐκεῖ καὶ ἄρδειν καὶ ὑδροφορεῖν, καὶ τὰ ἄλλα δὴ πάντα τὰ τῶν μοναχῶν ποιεῖν, τὰ δοκοῦντα εἶναι καὶ εὐτελῆ καὶ ἐπονείδιστα· ἔστω δὲ καὶ ἀνυπόδετος, καὶ χαμαὶ καθευδέτω, γενέσθω δὲ καὶ λεπτὸς καὶ ὠχρὸς ὁ καλὸς νεανίας οὗτος, ὁ ἐν τοσαύτῃ τρυφῇ καὶ τιμῇ δια-*
15 *τελῶν, καὶ τοιαύτας ἔχων ἐλπίδας, καὶ τῶν οἰκετῶν τῶν ἑαυτοῦ εὐτελεστέραν περικείσθω στολήν.*

Ἆρα ἱκανὰς ἐδώκαμεν τῷ κατηγόρῳ τὰς λαβάς, καὶ ἀρκούντως συνεπλάσαμεν τὸν ἀνταγωνιστήν; Εἰ δὲ μὴ ἀρκούντως, καὶ ἑτέρας αὐτῷ παρέξομεν προφάσεις. Μετὰ γὰρ
20 *τούτων καὶ πάντα κινείτω τὰ μηχανήματα πρὸς τὸ μεταπεῖσαι τὸν υἱόν, καὶ πάντα εἰκῇ, καθάπερ ἐπὶ πέτρας ἑστῶτος αὐτοῦ τοῦ παιδός, καὶ τῶν ποταμῶν καὶ τοῦ ὑετοῦ καὶ τῶν πνευμάτων ἀνωτέρου γινομένου· θρηνείτω δὲ ὁ τοιοῦτος, καὶ προβαλέτω δάκρυα, ὥστε μᾶλλον ἐμπρῆσαι τὸν καθ' ἡ-*
25 *μῶν θυμόν, καὶ πρὸς πάντας τοιαῦτα κατηγορείτω συνεχῶς ἐντυγχάνων· Ἐφύτευσα, ἔθρεψα, ἐταλαιπωρήθην διὰ πάσης τῆς ἡλικίας, πάντα ποιῶν καὶ πάσχων, ἅπερ ἐκ τῆς παιδοποιΐας ταύτης συμβαίνειν εἰκός· χρηστὰς εἶχον ἐλπίδας, διελέχθην παιδαγωγοῖς, παρεκάλεσα διδασκάλους, ἀνήλωσα*
30 *χρήματα, ἠγρύπνησα πολλάκις ὑπὲρ εὐκοσμίας φροντίζων,*

5. Δηλαδὴ περὶ τῆς μοναχικῆς ζωῆς.

ἀπὸ γένος ἐνδοξότατον καὶ δὲν ἔχει ἄλλα παιδιὰ οὔτε ἐλπίζει ν' ἀποκτήσῃ ἄλλα, ἀλλὰ εἰς αὐτὸν μόνον στηρίζει τὰς ἐλπίδας του. Τρέφει δὲ δι' αὐτὸν καλὰς ἐλπίδας καὶ ἀναμένει ταχέως ν' ἀνέλθῃ εἰς αὐτὴν τὴν ἐξουσίαν, καὶ νὰ φανῇ λαμπρότερος αὐτοῦ καὶ νὰ τὸν ξεπεράσῃ εἰς ὅλους τοὺς τομεῖς τοῦ βίου. Ἔπειτα μέσα εἰς τὰς προσδοκίας αὐτὰς ἂς ὑποθέσωμεν ὅτι ἔρχεται κάποιος διὰ νὰ ὁμιλήσῃ εἰς αὐτὸν περὶ τῆς τοιαύτης φιλοσοφίας[5], καὶ νὰ τὸν πείσῃ νὰ περιφρονήσῃ ὅλα ἐκεῖνα καὶ νὰ ἐνδυθῇ ἕνα χονδρὸν ἔνδυμα καὶ ἐγκαταλείπων τὴν πόλιν νὰ καταφύγῃ εἰς τὸ ὄρος, ἐκεῖ δὲ νὰ φυτεύῃ, νὰ ποτίζῃ, νὰ μεταφέρῃ ὕδωρ καὶ νὰ πράττῃ ὅλα τὰ ἄλλα καθήκοντα τῶν μοναχῶν, ποὺ θεωροῦνται μηδαμινὰ καὶ ἀξιοκατάκριτα. Ἂς συνεχίσωμεν δὲ τὴν ὑπόθεσιν ὅτι εἶναι ἀνυπόδητος καὶ κοιμᾶται κάτω, γίνεται δὲ ἰσχνὸς καὶ ὠχρὸς ὁ ὡραῖος αὐτὸς νεανίας, ποὺ ἔζουσε μέσα εἰς τόσην πολυτέλειαν καὶ τιμὴν καὶ εἶχε τοιαύτας ἐλπίδας, καὶ ἐνδύεται στολὴν κατωτέραν ἀπὸ τὴν τῶν ὑπηρετῶν του.

Ἆρά γε ἐδώσαμεν ἀρκετὰς ἀφορμὰς εἰς τὸν κατήγορον καὶ προπαρεσκευάσαμεν ἱκανοποιητικῶς τὸν ἀνταγωνιστήν; Ἐὰν αὐτὰ δὲν ἀρκοῦν θὰ δώσωμεν εἰς αὐτὸν καὶ ἄλλα ἐπιχειρήματα. Ὅτι μαζὶ μὲ αὐτὰ χρησιμοποιεῖ κάθε τρόπον διὰ νὰ μεταπείσῃ τὸν υἱόν, καὶ ὅλα αὐτὰ ματαίως, ὡσὰν νὰ εἶναι τὸ παιδὶ αὐτὸ στηριγμένον ἐπὶ τῆς πέτρας καὶ νικᾷ τοὺς ποταμοὺς καὶ τὴν βροχὴν καὶ τοὺς ἀνέμους. Θρηνεῖ δὲ ὁ πατὴρ καὶ κλαίει, ὥστε νὰ ἐξάψῃ περισσότερον τὴν ἐναντίον μας ὀργήν, καὶ ὁμιλῶν πρὸς ὅλους μᾶς ἀποδίδει συνεχῶς τέτοιας κατηγορίας. Τὸν ἐφύτευσα, τὸν ἔθρεψα, ἐταλαιπωρήθην καθ' ὅλον τὸν βίον μου, ἐνεργῶν καὶ ὑφιστάμενος ὅλα, ὅσα εἶναι ἐπακόλουθα τῆς τεκνοποιΐας. Εἶχα μεγάλας ἐλπίδας, ὡμίλησα μὲ παιδαγωγούς, προσεκάλεσα διδασκάλους, ἐδαπάνησα χρήματα, ἠγρύπνησα πολλάκις φροντίζων περὶ τῆς καλῆς ἀνατροφῆς, περὶ τῆς μορ-

ὑπὲρ παιδεύσεως, ὅπως μηδενὸς οὕτω τῶν προγόνων λείποιτο τῶν αὐτοῦ, ὅπως ἁπάντων φανείη λαμπρότερος· συνδιοίσειν μοι τοῦτον τὸ γῆρας προσεδόκησα, προϊόντος τοῦ χρόνου περὶ γυναικὸς ἐβουλευόμην καὶ γάμου, περὶ ἀρχῆς,
5 *καὶ δυναστείας. Ἀλλ' ἐξαίφνης, ὥσπερ τις σκηπτὸς ἢ καταιγίς ποθεν ἐπιπεσοῦσα, μυριαγωγὸν ὁλκάδα καὶ πολλῶν γέμουσαν φορτίων, καὶ μακρὸν διανύσασαν πέλαγος, καὶ ἐξ οὐρίας πλέουσαν, καὶ πρὸς αὐτῷ λοιπὸν οὖσαν τῷ λιμένι, μικρὸν πρὸ τοῦ στόματος αὐτοῦ κατέκλυσε, καὶ μὴ μόνον*
10 *πενίας τῆς ἐσχάτης, ἀλλὰ καὶ θανάτου τοῦ ἐλεεινοῦ καὶ ἀπωλείας δέος, μὴ τῇ τοῦ τὰ τοιαῦτα πεπλουτηκότος κεφαλῇ περιστήσειεν ὁ χειμών· οὕτω δή μοι συμβέβηκε νῦν. Οἱ γὰρ ἐπάρατοι καὶ λυμεῶνες καὶ πλάνοι (λεγέτω γὰρ δὴ καὶ ταῦτα, οὐ διοισόμεθα) ἐκ τῶν τοσούτων ἐλπίδων ἀναρπά-*
15 *σαντές μοι τὸν γηροτρόφον, καθάπερ τινὲς λῄσταρχοι πρὸς τὰς αὐτῶν καταλύσεις ἀπήγαγον, καὶ οὕτω ταῖς αὐτῶν κατεγοήτευσαν ἐπῳδαῖς, ὡς ἑλέσθαι καὶ πρὸς σίδηρον καὶ πρὸς πῦρ καὶ πρὸς θηρία καὶ πρὸς πᾶν ὁτιοῦν στῆναι γενναίως, ἢ πρὸς τὴν προτέραν εὐπραγίαν ἐπανελθεῖν· καὶ τὸ δὴ χα-*
20 *λεπώτερον, ὅτι καὶ ταῦτα πείσαντες μᾶλλον ἡμῶν προσποιοῦνται τὸ συμφέρον ὁρᾶν. Ἔρημοι μὲν οἰκίαι, ἔρημοι δὲ ἀγροί· κατηφείας δὲ καὶ αἰσχύνης μεστοὶ μὲν οἱ γεωργοί, μεστοὶ δὲ οἰκέται· καὶ φαιδροὶ μὲν ἐπὶ τοῖς κακοῖς τοῖς ἐμοῖς ἐχθροί, ἐγκαλύπτονται δὲ οἱ φίλοι. Παρ' ἐμοὶ δὲ οὐ-*
25 *δεμία γνώμη κρατεῖ, ἀλλ' ἢ ὥστε πῦρ ἐπαφεῖναι καὶ φλέξαι πάντα, καὶ οἰκίας καὶ ἀγροὺς καὶ ἀγέλας βοῶν καὶ ποίμνια προβάτων. Ποῦ γὰρ ἔσται μοι χρήσιμα ταῦτα λοιπόν, ἐκείνου τοῦ χρησομένου τούτοις οὐκ ὄντος, ἀλλ' αἰχμαλώτου γενομένου, καὶ παρὰ βαρβάροις ἀνημέροις δουλεύοντος θα-*
30 *νάτου παντὸς πικροτέραν δουλείαν; Περιέβαλον μελαίνῃ*

φώσεως, διὰ νὰ μὴ ὑστερῇ εἰς τίποτε ἔναντι τῶν προγόνων του, διὰ ν' ἀναδειχθῇ ἐνδοξότερος ὅλων. Ἐπερίμενα ἀπὸ αὐτὸν νὰ μοῦ συμπαρασταθῇ εἰς τὰ γηρατειά μου, ἐνῷ ἐπερνοῦσε ὁ καιρὸς ἐσκεπτόμην περὶ τῆς γυναικὸς καὶ τοῦ γάμου του, περὶ ἐξουσίας καὶ δυναστείας. Ἀλλ' αἰφνιδίως ὡσὰν κεραυνὸς ἢ καταιγὶς ποὺ ἐξέσπασεν ἀποτόμως, τὸ μέγα ἐμπορικὸν πλοῖον ποὺ ἦτο φορτωμένον μὲ πολλὰ ἐμπορεύματα καὶ διήνυσεν μακρὸν πέλαγος καὶ ἔπλεε μὲ εὐνοϊκὸν ἄνεμον καὶ εὑρίσκετο πλησίον τοῦ λιμένος, ὀλίγον πρὸ τῆς εἰσόδου τοῦ λιμένος τὸ κατεπλημμύρισαν τὰ ὕδατα καὶ ὑπάρχει φόβος ὄχι μόνον φοβερωτάτης πτωχείας, ἀλλὰ καὶ ἀθλίου θανάτου καὶ καταστροφῆς, μήπως δηλαδὴ ἡ καταιγὶς ξεσπάσῃ εἰς τὴν κεφαλὴν τοῦ ἔχοντος αὐτὰ τὰ πλούτη. Ἔτσι λοιπὸν μοῦ συνέβη τώρα. Διότι οἱ ἐπικατάρατοι καὶ καταστροφεῖς καὶ ἀπατεῶνες (ἂς λέγῃ λοιπὸν καὶ αὐτά, δὲν μᾶς ἐνδιαφέρει) μοῦ ἥρπασαν τὸν γηροτρόφον ἀπὸ τὰς τόσας ἐλπίδας, καὶ ὡσὰν λήσταρχοι τὸν ἀπήγαγαν εἰς τὰ καταφύγιά των, καὶ τόσον πολὺ τὸν ἐγοήτευσαν μὲ τὰ μαγικὰ λόγια των, ὥστε νὰ προτιμᾷ ν' ἀντιμετωπίσῃ καὶ τὴν σκληρότητα, καὶ τὸ πῦρ καὶ τὰ θηρία καὶ ὁ,τιδήποτε ἄλλο, παρὰ νὰ ἐπανέλθῃ εἰς τὴν προτέραν πλουσίαν ζωήν. Καὶ μάλιστα τὸ χειρότερον, ἐνῷ τὸν ἔπεισαν δι' αὐτά, προσποιοῦνται ὅτι διαβλέπουν καλύτερα ἀπὸ ἡμᾶς τὸ συμφέρον του. Ἔρημοι καὶ αἱ οἰκίαι, καὶ οἱ ἀγροί· γεμᾶτοι δὲ ἀπὸ κατήφειαν καὶ αἰσχύνην οἱ γεωργοὶ καὶ οἱ ὑπηρέται. Καὶ χαίρονται μὲν διὰ τὰς συμφοράς μου οἱ ἐχθροί μου, ἐντρέπονται ὅμως οἱ φίλοι. Ἐγὼ δὲν ἔχω καμμίαν ἄλλην σκέψιν, παρὰ νὰ βάλω φωτιὰ καὶ νὰ τὰ καύσω ὅλα, καὶ τὰ σπίτια, καὶ τοὺς ἀγροὺς καὶ τὰ κοπάδια τῶν βοδιῶν καὶ τὰ τῶν προβάτων. Διότι, ποῦ θὰ μοῦ φανοῦν χρήσιμα αὐτά, ὅταν δὲν ὑπάρχῃ ἐκεῖνος ποὺ θὰ τὰ χρησιμοποιήσῃ, ἀλλ' ἔγινεν αἰχμάλωτος καὶ δουλεύει πλησίον βαρβάρων καὶ ἀγρίων ἀνθρώπων δουλείαν πικροτέραν τοῦ θανάτου;

στολῇ τοὺς οἰκέτας ἅπαντας, κατέπασα τέφρᾳ τὰς κεφαλάς, χοροὺς ἔστησα γυναικῶν, ἐκέλευσα χαλεπώτερον αὐτὰς κατακόπτεσθαι, ἢ εἰ νεκρὸν ἑώρων.

Σύγγνωτε δέ μοι τοῦτο ποιοῦντι· μεῖζον ἐκείνου τὸ πένθος ἐμοί. Παρενοχλεῖσθαι δοκῶ λοιπὸν ὑπὸ τοῦ φωτός, καὶ πρὸς αὐτὰς ἀηδῶς ἔχω τὰς ἀκτῖνας, ὅταν εἰς νοῦν λάβω τὸ σχῆμα τοῦ ταλαιπώρου παιδὸς ἐκείνου, ὅταν τῶν εὐτελεστέρων ἀγροίκων ἐκείνων ἀτιμότερον αὐτὸν ἠμφιεσμένον ἴδω, καὶ ἐπ' ἔργα ἀτιμότερα τοῦτον προπεμπόμενον· ὅταν ἐννοήσω αὐτοῦ τὸ ἀκαμπές, κατακαίομαι, διασπῶμαι, διαρρήγνυμαι.

3. Ταῦτα λέγων, καὶ προκυλινδείσθω τῶν ποδῶν τῶν ἀκουόντων, καὶ καταπασσέσθω τέφραν ἐπὶ τῆς κεφαλῆς, καὶ αἰσχυνέτω τῇ κόνει τὸ πρόσωπον, καὶ παρακαλείτω πάντας ὀρέξαι χεῖρα, κατατιλλέτω τὴν πολιάν. Τάχα ἡμῖν καλὸς ὁ κατήγορος ἀπηκρίβωται πρὸς τὸ τοὺς ἀκούοντας ἐμπρῆσαι ἅπαντας, καὶ πεῖσαι κατὰ κρημνῶν τοὺς τὰ τοιαῦτα ἐργασαμένους ἐμβαλεῖν. Διὰ γὰρ τοῦτο πρὸς ἄκρον ἁπασῶν τῶν αἰτιῶν τὸν λόγον ἤγαγον, ἵνα τούτου τοῦ οὕτω κατασκευασθέντος, ἡττηθέντος ὑφ' ἡμῶν τῇ τοῦ Θεοῦ χάριτι, μηδεὶς τοῖς λοιποῖς γένοιτο λόγος. Τοῦ γὰρ πάντα ὁμοῦ ἔχοντος ταῦτα ἐπιστομισθέντος, ὁ μὴ πάντα ἔχων ὁμοῦ (οὐδὲ γὰρ πάντα οἷόν τε συνελθεῖν) εὐκόλως ἡμῖν παραχωρήσει τῆς νίκης λοιπόν. Οὗτος μὲν οὖν ταῦτα λεγέτω καὶ τούτων πλείονα. Ἐγὼ δὲ παραιτήσομαι τοὺς δικάζοντας, μὴ νῦν ἐλεεῖν τὸν γέροντα τοῦτον, ἀλλ' ὅταν αὐτὸν δείξωμεν πενθοῦντα τὸν υἱόν, δεινὸν μὲν οὐδὲν πεπονθότα, τῶν δὲ μεγάλων ἀγαθῶν ἀπολαύσαντα, καὶ ὧν ἐπέκεινα ἕτερα οὐκ ἔστιν εὑρεῖν. Τότε γὰρ ὄντως ἄξιος ἐλέου καὶ δακρύων ἂν εἴη, μηδὲ συνιδεῖν τὴν εὐπραγίαν δυνάμενος τοῦ παιδός, ἀλλὰ

Ἐνέδυσα μὲ μαύρην στολὴν ὅλους τοὺς ὑπηρέτας, κατερράντισα τὰς κεφαλὰς μὲ στάκτην, ἐτοποθέτησα χοροὺς μοιρολογιστριῶν, τὰς προσέταξα νὰ κλαίουν γοερώτερα ἀπὸ ὅ,τι ἐὰν ἔβλεπαν νεκρόν.

Συγχωρήσατέ με, ποὺ κάνω αὐτὸ τὸ πρᾶγμα· διότι τὸ πένθος μου εἶναι μεγαλύτερον ἐκείνου. Νομίζω ὅτι μ' ἐνοχλεῖ τὸ φῶς καὶ μὲ στενοχωροῦν αἱ ἀκτῖνες, ὅταν ἀναλογισθῶ τὴν μορφὴν τοῦ δυστυχισμένου ἐκείνου παιδιοῦ, ὅταν τὸ ἰδῶ ἐνδεδυμένον κατώτερα ἀπὸ τοὺς ἀγροίκους ἐκείνους καὶ ἀποστελλόμενον εἰς ἐργασίας ἀτιμωτέρας. Ὅταν ἀναλογισθῶ τὴν ἀμετάτρεπτον γνώμην του, κατακαίομαι, κομματιάζομαι, ἐκρήγνυμαι.

3. Ἐνῷ λέγει αὐτὰ καὶ κυλίεται πρὸ τῶν ποδῶν τῶν ἀκουόντων καὶ καταρραντίζει μὲ στάκτην τὴν κεφαλήν, καὶ ἀλείφει μὲ σκόνην τὸ πρόσωπον, καὶ παρακαλεῖ ὅλους νὰ τὸν βοηθήσουν καὶ καταμαδεῖ τὴν γηραιὰν κόμην του. Ἀσφαλῶς ὁ καλὸς κατήγορος κατώρθωσε μὲ πολλὴν ἀκρίβειαν καὶ τελειότητα νὰ ἐξάψῃ ὅλους καὶ νὰ τοὺς πείσῃ νὰ ρίψουν εἰς τὸν κρημνὸν αὐτοὺς ποὺ ἔκαμαν αὐτά. Δι' αὐτὸ ἀκριβῶς ὡμίλησα περὶ αὐτῶν τῶν ἀκροτήτων, διὰ νὰ μὴ ἠμποροῦν οἱ ἄλλοι νὰ εἰποῦν τίποτε, ἀφοῦ αὐτὸς ποὺ παρεσκευάσθη ψυχολογικῶς κατ' αὐτὸν τὸν τρόπον θὰ ἡττηθῇ ἀπὸ ἡμᾶς μὲ τὴν χάριν τοῦ Θεοῦ. Διότι ἀφοῦ ἀπεστομώθη αὐτὸς ποὺ τὰ ἔχει ὅλα μαζί, εὔκολα θὰ ὑποταχθῇ εἰς ἡμᾶς, αὐτὸς ποὺ δὲν τὰ ἔχει ὅλα (οὔτε βέβαια εἶναι δυνατὸν ὅλα μαζὶ νὰ συγκεντρωθοῦν). Αὐτὸς λοιπὸν ἂς λέγῃ ταῦτα, καὶ περισσότερα ἀπὸ αὐτά. Ἐγὼ ὅμως θὰ ἱκετεύσω τοὺς δικαστὰς νὰ μὴ λυπηθοῦν τὸν γέροντα αὐτὸν τώρα, ἀλλ' ὅταν δείξωμεν ὅτι αὐτὸς πενθεῖ τὸν υἱόν, ποὺ ὄχι μόνον δὲν ἔχει πάθει τίποτε τὸ φοβερόν, ἀλλὰ ἀπήλαυσε καὶ πολύτιμα ἀγαθά, ὑπεράνω τῶν ὁποίων δὲν εἶναι δυνατὸν κανεὶς νὰ εὕρῃ ἄλλα. Διότι τότε πράγματι θὰ ἦτο ἄξιος οἴκτου καὶ δακρύων, ἂν δὲν ἠμπορῇ νὰ ἐννοήσῃ τὴν

τοσοῦτον ἀπέχων αὐτῆς ὡς καὶ ἐπὶ μεγίστοις θρηνεῖν τοῖς κακοῖς.

Πόθεν οὖν ἀρξόμεθα τοῦ λόγου τοῦ πρὸς αὐτόν; Ἀπὸ τοῦ πλούτου καὶ τῶν χρημάτων, ἐπειδὴ καὶ αὐτὸς τοῦτο μά-
5 *λιστα πάντων ὀδύρεται, καὶ πᾶσι τοῦτο αὐτὸ εἶναι δοκεῖ τὸ δεινότατον, εἰ πλουτοῦντες παῖδες ἐπὶ τοῦτον ἕλκειντο τὸν βίον. Εἰπὲ οὖν μοι, τίνα μακαρίζομεν ἅπαντες, καὶ ζηλωτὸν εἶναί φαμεν, τὸν ἐν δίψῃ καθεστῶτα ἀεί, καὶ πρὶν ἢ τῆς προτέρας ἐμφορηθῆναι κύλικος, δεόμενον πάλιν ἑτέρας, καὶ*
10 *ἐν τούτῳ ὄντα διαπαντός, ἢ τὸν ἀνωτέρω καθεστῶτα τῆς ἀνάγκης ἐκείνης, καὶ ἄδιψον ἀεὶ μένοντα, καὶ οὐδέποτε εἰς τὴν τοῦ πόματος τούτου καθελκόμενον χρείαν; οὐχ ὁ μὲν πυρέττοντι προσέοικε, καὶ χαλεπωτάτην ἀνάγκην ἔχοντι, κἂν ἐκ πηγῶν ἀρύεσθαι ἔχῃ τὰ νάματα, ὁ δὲ ἐλεύθερός τέ ἐστι*
15 *τὴν ὄντως ἐλευθερίαν, καὶ ὑγιαίνει τὴν ὄντως ὑγίειαν, καὶ μείζων ἢ κατὰ ἀνθρωπίνην γέγονε φύσιν; Τί δαί, εἴ τις γυναικὸς ἐρῶν συγγίνοιτο μὲν αὐτῇ διηνεκῶς, μειζόνως δὲ μετὰ τὴν συνουσίαν φλέγοιτο ταύτην, ἕτερος δὲ ταύτης ἐκτὸς τῆς μανίας ἑστήκοι, καὶ μηδὲ ὄναρ ἁλίσκοιτο τῷ κακῷ, τίς*
20 *πάλιν ἡμῖν ὁ ζηλωτὸς καὶ μακάριος; οὐχ οὗτος; τίς δὲ ἄθλιος καὶ ταλαίπωρος; οὐχ ὁ νοσῶν τὸν κενὸν ἐκεῖνον ἔρωτα, καὶ μηδαμοῦ σβεσθῆναι δυνάμενον, ἀλλὰ τοῖς ἐπινενοημένοις φαρμάκοις ἐπιτριβόμενος μᾶλλον; Εἰ δὲ πρὸς τοῖς εἰρημένοις μακαρίζοι μὲν ἑαυτὸν ἐπὶ τῇ νόσῳ, καὶ μήτε αὐτὸς*
25 *ἐκείνης τῆς ἀνάγκης ἀπαλλάττεσθαι βούλοιτο, τούς τε ἀπηλλαγμένους τοῦ πάθους ἀποδύροιτο, ὥσπερ οὗτος νῦν, οὐχὶ ταύτῃ πάλιν ἐλεεινότερος ἔσται καὶ ἀθλιώτερος, μὴ μόνον νοσῶν, ἀλλὰ μηδὲ αὐτὸ τοῦτο εἰδὼς ὅτι νοσεῖ, καὶ διὰ τοῦτο μήτε ἀπαλλαγῆναι βουλόμενος, καὶ τοὺς ἀπηλλαγμένους*
30 *θρηνῶν;*

εὐτυχίαν τοῦ παιδιοῦ, ἀπὸ τὴν ὁποίαν αὐτὸς εὑρίσκεται τόσον μακράν, ὥστε νὰ θρηνῇ ὡσὰν νὰ πρόκειται διὰ μεγίστας συμφοράς.

Ἀπὸ ποῦ λοιπὸν ν' ἀρχίσω τὸν πρὸς αὐτὸν λόγον; Ἀπὸ τὸν πλοῦτον καὶ τὰ χρήματα, ἐπειδὴ καὶ ὁ ἴδιος δι' αὐτὸ περισσότερον ἀπὸ ὅλα κλαίει, καὶ ὅλοι νομίζουν ὅτι αὐτὸ εἶναι τὸ φοβερώτερον ὅλων, δηλαδὴ τὸ νὰ προσελκύωνται εἰς τὸν βίον αὐτὸν παιδιὰ πλουσίων. Εἰπέ μου, λοιπόν, ποῖον καλοτυχίζομεν ὅλοι καὶ θεωροῦμεν ἀξιοζήλευτον; Αὐτὸν ποὺ διψᾷ συνεχῶς καὶ πρὶν γεμίσῃ τὸ ἕνα ποτήρι ζητεῖ ἄλλο καὶ εὑρίσκεται πάντοτε εἰς αὐτὴν τὴν κατάστασιν, ἢ αὐτὸν ποὺ ἔγινεν ἀνώτερος τῆς ἀνάγκης ἐκείνης καὶ μένει ἀδίψαστος πάντοτε καὶ ποτὲ δὲν ἔχει ἀνάγκην ἐκείνου τοῦ ποτοῦ; Δὲν ὁμοιάζει ὁ μὲν πρῶτος μὲ ἐμπύρετον ποὺ εὑρίσκεται εἰς φοβερὰν ἀνάγκην καὶ ἂν ἀκόμη ἠμπορῇ νὰ ἀντλῇ τὰ ὕδατα ἀπὸ πηγάς, ὁ δὲ δεύτερος καὶ ἐλεύθερος εἶναι πράγματι, ὡς πρὸς τὴν ἀληθινὴν ἐλευθερίαν, καὶ ἀπολαμβάνει τὴν ἀληθινὴν ὑγείαν καὶ ὑπερβαίνει τὰ μέτρα τῆς ἀνθρωπίνης φύσεως; Τί λοιπόν; Ἐὰν κάποιος ποὺ ἐπιθυμεῖ γυναῖκα ἔρχεται εἰς σαρκικὴν μετ' αὐτῆς σχέσιν διαρκῶς, φλέγεται ὅμως περισσότερον μετὰ τὴν συνουσίαν, ἐνῷ ἄλλος ἀποφεύγει τὴν μανίαν καὶ δὲν ὑποκύπτει οὔτε κατὰ τὸν ὕπνον εἰς τὸ πάθος, ποῖος πάλιν εἶναι δι' ἡμᾶς ἀξιοζήλευτος καὶ εὐτυχής; Ποῖος δὲ εἶναι ἄθλιος καὶ δυστυχής; Δὲν εἶναι αὐτὸς ποὺ φλογίζεται ἀπὸ τὸν ἀνικανοποίητον ἐκεῖνον ἔρωτα, ποὺ μὲ κανένα τρόπον δὲν ἠμπορεῖ νὰ σβεσθῇ, ἀλλὰ μόνον ἐπαυξάνεται μὲ τὰ ἐπινοούμενα φάρμακα; Ἐὰν δὲ ἐπὶ πλέον μακαρίζῃ τὸν ἑαυτόν του διὰ τὸ πάθος καὶ οὔτε ὁ ἴδιος θέλει νὰ ἀπαλλαγῇ ἀπὸ τὴν ἀνάγκην ἐκείνην καὶ προσέτι κλαίει δι' αὐτοὺς ποὺ ἀπαλλάσσονται ἀπὸ τὸ πάθος, ὅπως αὐτὸς ἐδῶ τώρα, μήπως δὲν εἶναι καὶ ὡς πρὸς αὐτὸ πάλιν ἐλεεινότερος καὶ ἀθλιώτερος, ὄχι μόνον ἐπειδὴ ἀσθενεῖ, ἀλλὰ καὶ ἐπειδὴ ἀγνοεῖ ὅτι ἀσθενεῖ, καὶ δι' αὐτὸ οὔτε θέλει ὁ ἴδιος νὰ ἀπαλλαγῇ, θρηνεῖ δὲ καὶ διὰ τοὺς ἀπηλλαγμένους;

Ἀγάγωμεν δὴ τὸν λόγον τοῦτον καὶ ἐπὶ τὴν τῶν χρημάτων κτῆσιν, καὶ ὀψόμεθα τίς ὁ ἄθλιος καὶ ταλαίπωρος· ἐκείνων μὲν γὰρ τῶν ἐρώτων σφοδρότερος οὗτός ἐστι καὶ μανικώτερος· οὐκοῦν καὶ πλεῖον ὀδυνῆσαι δύναιτ' ἄν, οὐ 5 τούτῳ μόνον ὅτι τὴν λαμπάδα δριμυτέραν ἔχει, ἀλλ' ὅτι καὶ πρὸς τὴν ἐπινενοημένην παραμυθίαν ἀνένδοτός ἐστι καὶ σκληρότερος πλέον ἐκείνων. Μᾶλλον γὰρ οἱ ποτοῦ καὶ σωμάτων ἐρῶντες μετὰ τὴν ἀπόλαυσιν λήψονται κόρον, ἢ οἱ περὶ πλοῦτον μαινόμενοι. Ὅθεν ἐκείνους μὲν καὶ τῷ λόγῳ 10 συμπλάσαι ἠναγκάσθημεν, διὰ τὸ μὴ ταχέως ἐπὶ τῆς πείρας ὁρᾶν αὐτὸ φαινόμενον· τούτου δὲ τοῦ νοσήματος ἀπὸ τῶν πραγμάτων πολλὰ ἕξομεν παρασχεῖν τὰ ὑποδείγματα.

Διὰ ταῦτα οὖν, εἰπέ μοι, θρηνεῖς τὸν υἱόν, ὅτι μανίας καὶ τοσαύτης ἀμηχανίας ἀπήλλακται, ὅτι ἔρωτα ἀνίατον οὐκ 15 ἐρᾷ, ὅτι τοῦ πολέμου καὶ τῆς μάχης ταύτης ἕστηκεν ἐκτός; Ἀλλ' οὐκ ἂν ἔπαθε τοῦτο, φησίν, οὐδ' ἂν ἠράσθη τοῦ πλείονος, ἀλλ' ἀπέχρησεν ἂν αὐτῷ τῶν παρόντων ἡ ἀπόλαυσις. Μάλιστα μὲν πρᾶγμα λέγεις ἐναντίον, ὡς εἰπεῖν, τῇ φύσει· πλὴν ἀλλὰ καὶ τοῦτο ἔστω, καὶ συγκεχωρήσθω τῷ λόγῳ, μὴ 20 ἂν αὐτὸν ἐθελῆσαι προσθεῖναι τοῖς οὖσι, μηδὲ ὑπὸ τῆς ἐπιθυμίας ἁλῶναι ἐκείνης· ἐγὼ γὰρ αὐτὸν καὶ οὕτως ἐπιδείξω ἐν μείζονι νῦν ὄντα ἀνέσει καὶ ἡδονῇ. Τί γὰρ κουφότερον, ὑπὲρ τοσούτων φροντίζειν καὶ τοιαύτῃ προσδεδέσθαι φυλακῇ καὶ δουλείᾳ, καὶ δεδοικέναι μὴ παραπόληταί τι τῶν 25 ὄντων, ἢ καὶ τούτων ἀπηλλάχθαι τῶν δεσμῶν; Κείσθω γάρ, αὐτὸν μὴ ἐπιθυμεῖν φορτίων ἑτέρων, ἀλλὰ πολλῷ βέλτιον καὶ τῶν ἐπιτεθέντων ἤδη καταφρονεῖν. Εἰ γὰρ τὸ μὴ δεῖσθαι πλειόνων συνωμολόγηται μέγιστον ὂν ἀγαθόν, τὸ καὶ

Ἂς ἐφαρμόσωμεν λοιπὸν τὸ παράδειγμα αὐτὸ καὶ εἰς τὴν ἀπόκτησιν τῶν χρημάτων καὶ ἂς ἴδωμεν ποῖος εἶναι ὁ ἄθλιος καὶ δυστυχής· διότι αὐτὸς ὁ ἔρως εἶναι ἰσχυρότερος καὶ σφοδρότερος ἀπὸ ἐκείνους. Ἠμπορεῖ λοιπὸν νὰ προξενήσῃ περισσότερον πόνον, ὄχι μόνον ἐπειδὴ ἡ λαμπάδα του διαρκεῖ περισσότερον, ἀλλὰ καὶ διότι εἰς κάθε παραμυθίαν ποὺ ἐπινοεῖται εἶναι ἀνυποχώρητος καὶ περισσότερον ἄκαμπτος ἀπὸ ἐκείνους. Περισσότερον χορταίνουν μετὰ τὴν ἀπόλαυσιν οἱ ἐπιθυμοῦντες ποτὰ καὶ σώματα παρὰ αὐτοὶ ποὺ διψοῦν διὰ τὸν πλοῦτον. Δι᾽ αὐτὸ ἐκείνους μὲν ἠναγκάσθημεν νὰ κατασκευάσωμεν διὰ τοῦ λόγου, ἐπειδὴ τοῦτο δὲν φαίνεται ἀμέσως ἐκ τῆς πείρας, ἐνῷ διὰ τὴν ἀσθένειαν αὐτὴν ἐκ τῶν πραγμάτων δυνάμεθα νὰ παρουσιάσωμεν πολλὰ παραδείγματα.

Δι᾽ αὐτὰ λοιπόν, εἰπέ μου, θρηνεῖς τὸν υἱόν σου, διότι ἀπηλλάγη ἀπὸ τὴν μανίαν καὶ τὴν τόσην ζάλην, διότι δὲν εἶναι αἰχμάλωτος ἀνικανοποιήτου πάθους, διότι ἀπέφυγεν αὐτὸν τὸν πόλεμον καὶ τὴν μάχην; Δὲν θὰ τὸ ἐπάθαινεν αὐτό, λέγει, οὔτε θὰ ἐπόθει τὰ περισσότερα, ἀλλὰ θὰ ἠρκεῖτο εἰς τὴν ἀπόλαυσιν τῶν παρόντων. Κατ᾽ ἀρχὴν ὑποστηρίζεις, οὕτως εἰπεῖν, πρᾶγμα ἀντίθετον πρὸς τὴν φύσιν. Ὅμως ἂς δεχθῶμεν καὶ αὐτὸ καὶ ἂς ὑποθέσωμεν διὰ τοῦ λόγου ὅτι δὲν θὰ ἤθελε αὐτὸς νὰ προσθέσῃ ἄλλα εἰς τὰ ὑπάρχοντα καὶ δὲν θὰ ἐκυριεύετο ἀπὸ τὴν ἐπιθυμίαν ἐκείνην. Ἐγὼ θὰ ἀποδείξω, καὶ ὑπ᾽ αὐτὰς τὰς προϋποθέσεις, ὅτι τώρα εὑρίσκεται εἰς μεγαλυτέραν ἄνεσιν καὶ ἱκανοποίησιν. Τί δηλαδὴ εἶναι ἐλαφρότερον, τὸ νὰ φροντίζῃ κανεὶς διὰ τόσα πράγματα καὶ νὰ αἰχμαλωτίζεται εἰς τέτοιαν φυλακὴν καὶ δουλείαν καὶ νὰ φοβῆται νὰ μὴ χαθῇ τίποτε ἀπὸ τὰ ἀγαθά του, ἢ τὸ νὰ ἀπαλλαγῇ καὶ ἀπὸ αὐτὰς τὰς δεσμεύσεις; Διότι καὶ ἂν δεχθῶμεν ὅτι δὲν ἐπιθυμεῖ ἄλλα βάρη, εἶναι πάντως πολὺ καλύτερον νὰ περιφρονῇ καὶ αὐτὰ ποὺ ἤδη ἔχει. Διότι ἐὰν ἔχῃ γίνει παραδεκτὸν ὅτι τὸ νὰ μὴ ἐπιθυμῇ περισσότερα εἶναι μέγιστον ἀγαθόν, τὸ νὰ

τῆς τῶν ὄντων χρείας ἐξώτερον εἶναι, μείζονος εὐπραγίας ἂν εἴη. Ὁ γὰρ ἄδιψος ἐκεῖνος καὶ ἀνέραστος (οὐδὲν γὰρ κωλύει πάλιν ἐπὶ τὰ αὐτὰ ἐλθεῖν ὑποδείγματα) οὐ τῶν ἀεὶ διψώντων μόνον, οὐδὲ τῶν ἐρώντων ἀεί, ἀλλὰ καὶ τῶν ἐν
5 *βραχεῖ τοῦτο παθόντων, καὶ πληρωσάντων τὴν ἐπιθυμίαν πολλῷ μακαριώτερος ὢν ἀποδέδεικται, ὡς μηδὲ εἰς πεῖραν ἐμπεσὼν τῆς τοιαύτης ἀνάγκης.*

Ἐρήσομαι δέ σε πάλιν, εἰ καὶ ὑπερβαλέσθαι τῷ πλούτῳ πάντας καὶ τῶν ἀπὸ τοῦ πλούτου κακῶν ἀπαλλαγῆναι
10 *ἐνῆν, ἆρα οὐκ ἂν μυριάκις ταύτην εἵλου τὴν περιουσίαν, ὥστε μήτε βασκανίας, μήτε συκοφαντίας, μήτε φροντίδος, μήτ' ἄλλου μηδενὸς τῶν τοιούτων ἀνέχεσθαι; Ἂν τοίνυν καὶ τοῦτο ἔχοντα δείξωμεν τὸν υἱόν, καὶ μειζόνως εὐπορώτερον ὄντα νῦν, παύσῃ θρηνῶν πάντως καὶ ὀλοφυρόμενος οὕτω πι-*
15 *κρῶς; Ὅτι μὲν οὖν φροντίδων ἀπήλλακται, καὶ τῶν ἄλλων τῶν ἐπισυρομένων τῷ πλούτῳ κακῶν, οὐδὲ αὐτὸς ἀντερεῖς· διόπερ οὐδὲ ἡμῖν περὶ τούτων ἀνάγκη πρὸς σὲ διαλέγεσθαι· ζητεῖς δὲ μαθεῖν πῶς εὐπορώτερος τοῦ τοσαῦτα ἔχοντός σου. Τοῦτο δή σε διδάξομεν, καὶ δείξομεν, ὅτι ὅπερ ἡγῇ*
20 *ἐκεῖνον νῦν εἶναι ἐν πενίᾳ τῇ ἐσχάτῃ, τοῦτο αὐτὸς πρὸς ἐκεῖνον ἐξεταζόμενος πέπονθας.*

4. Καὶ μή τοι νομίσῃς τὰ ἐν τοῖς οὐρανοῖς ἡμᾶς ἐρεῖν ἀγαθά καὶ τὰ μετὰ τὴν ἐνθένδε ἀποδημίαν· ἀπὸ γὰρ τῶν ἐν χερσὶ τέως ποιησόμεθα τὴν ἀπόδειξιν. Σὺ μὲν οὖν τῶν
25 *σαυτοῦ κύριος εἶ μόνον, ἐκεῖνος δὲ τῶν κατὰ τὴν οἰκουμένην ἅπασαν. Εἰ δὲ ἀπιστεῖς δεῦρό σε ἀγάγωμεν εἰς αὐτόν, καὶ πείσωμεν αὐτὸν κατελθόντα ἀπὸ τοὺς ὅρους, μᾶλλον δὲ ἐκεῖ μένοντα σημᾶναί τινι τῶν σφόδρα πλουτούντων καὶ εὐλαβῶν, πέμψαι χρυσοῦ σταθμόν, ὅσον ἐθέλεις· μᾶλλον δὲ*

μὴ χρειάζεται καὶ τὰ ὑπάρχοντα θὰ ἦτο ἀπόδειξις μεγαλυτέρας εὐπραγίας. Διότι ἐκεῖνος ποὺ δὲν διψᾶ καὶ δὲν ἐρωτεύεται (διότι τίποτε δὲν μᾶς ἐμποδίζει νὰ ἐπανέλθωμεν εἰς τὰ ἴδια παραδείγματα) ἔχει ἀποδειχθῆ εὐτυχέστερος ὄχι μόνον ἀπὸ αὐτοὺς ποὺ συνεχῶς διψοῦν καὶ συνεχῶς ἐπιθυμοῦν, ἀλλὰ καὶ ἀπὸ αὐτοὺς ποὺ ἔπαθαν τοῦτο ἐπ' ὀλίγον καὶ ἱκανοποίησαν τὴν ἐπιθυμίαν, διότι οὔτε ἐδοκίμασε κἂν αὐτὴν τὴν ἀνάγκην.

Θὰ σὲ ἐρωτήσω δὲ πάλιν· ἐὰν ἠδύνατο καὶ νὰ ὑπερβῇ εἰς πλοῦτον ὅλους καὶ νὰ ἀπαλλαγῇ ἀπὸ τὰ κακὰ τοῦ πλούτου, δὲν θὰ ἐπροτίμα μυριάκις αὐτὴν τὴν περιουσίαν, ὥστε οὔτε βασκανίαν, οὔτε συκοφαντίαν, οὔτε φροντίδα, οὔτε τίποτε ἄλλο ἀπὸ αὐτὰ νὰ ἀνέχεται; Ἂν λοιπὸν ἀποδείξω ὅτι καὶ αὐτὸ τὸ ἔχει ὁ υἱὸς καὶ ὅτι τώρα εἶναι πολὺ πλουσιώτερος, θὰ παύσῃς ἐντελῶς νὰ θρηνῇς καὶ νὰ κλαίῃς τόσον πικρά; Ὅτι λοιπὸν ἔχει ἀπαλλαγῆ ἀπὸ τὰς μερίμνας καὶ τὰ ἄλλα δυσάρεστα ἐπακόλουθα τοῦ πλούτου, οὔτε καὶ σὺ ὁ ἴδιος τὸ ἀμφισβητεῖς. Δι' αὐτὸ λοιπόν, δὲν εἶναι ἀνάγκη νὰ συζητήσωμεν δι' αὐτά. Ζητεῖς δὲ νὰ πληροφορηθῇς, πῶς εἶναι δυνατὸν νὰ εἶναι πλουσιώτερος ἀπὸ ἐσέ, ποὺ ἔχεις τόσον πολλά. Αὐτὸ λοιπὸν θὰ σοῦ διδάξωμεν καὶ θὰ ἀποδείξωμεν, ὅτι αὐτὸ ποὺ νομίζεις ἐσύ, ὅτι δηλαδὴ ἐκεῖνος εὑρίσκεται εἰς τὴν ἐσχάτην πτωχείαν, αὐτὸ τὸ ἔχεις πάθει ἐσύ, ἂν συγκριθῇς μὲ ἐκεῖνον.

4. Καὶ μὴ νομίσῃς βέβαια ὅτι θὰ ὁμιλήσω διὰ τὰ οὐράνια ἀγαθά, καὶ τὰ μεταθανάτια· διότι θὰ ἀρχίσω ἐν πρώτοις τὴν ἐπιχειρηματολογίαν ἀπὸ τὰ ἀγαθὰ ποὺ εἶναι χειροπιαστά. Σὺ μὲν λοιπὸν εἶσαι ἐξουσιαστὴς μόνον τῶν ἰδικῶν σου, ἐκεῖνος δὲ τῶν ἀγαθῶν ὁλοκλήρου τῆς οἰκουμένης. Ἐὰν δὲ ἀπιστῇς, ἐλθὲ νὰ σὲ ὁδηγήσω εἰς αὐτὸν καὶ νὰ τὸν πείσωμεν, ἀφοῦ κατέλθῃ ἀπὸ τὸ ὄρος ἢ μᾶλλον παραμένων ἐκεῖ, νὰ δώσῃ ἐντολὴν εἰς κάποιον ἀπὸ τοὺς πολὺ πλουσίους καὶ εὐλαβεῖς νὰ στείλῃ ποσότητα χρυσοῦ,

τῆς τῶν ὄντων χρείας ἐξώτερον εἶναι, μείζονος εὐπραγίας ἂν εἴη. Ὁ γὰρ ἄδιψος ἐκεῖνος καὶ ἀνέραστος (οὐδὲν γὰρ κωλύει πάλιν ἐπὶ τὰ αὐτὰ ἐλθεῖν ὑποδείγματα) οὐ τῶν ἀεὶ διψώντων μόνον, οὐδὲ τῶν ἐρώντων ἀεί, ἀλλὰ καὶ τῶν ἐν 5 βραχεῖ τοῦτο παθόντων, καὶ πληρωσάντων τὴν ἐπιθυμίαν πολλῷ μακαριώτερος ὢν ἀποδέδεικται, ὡς μηδὲ εἰς πεῖραν ἐμπεσὼν τῆς τοιαύτης ἀνάγκης.

Ἐρήσομαι δέ σε πάλιν, εἰ καὶ ὑπερβαλέσθαι τῷ πλούτῳ πάντας καὶ τῶν ἀπὸ τοῦ πλούτου κακῶν ἀπαλλαγῆναι 10 ἐνῆν, ἆρα οὐκ ἂν μυριάκις ταύτην εἵλου τὴν περιουσίαν, ὥστε μήτε βασκανίας, μήτε συκοφαντίας, μήτε φροντίδος, μήτ' ἄλλου μηδενὸς τῶν τοιούτων ἀνέχεσθαι; Ἂν τοίνυν καὶ τοῦτο ἔχοντα δείξωμεν τὸν υἱόν, καὶ μειζόνως εὐπορώτερον ὄντα νῦν, παύσῃ θρηνῶν πάντως καὶ ὀλοφυρόμενος οὕτω πι-15 κρῶς; Ὅτι μὲν οὖν φροντίδων ἀπήλλακται, καὶ τῶν ἄλλων τῶν ἐπισυρομένων τῷ πλούτῳ κακῶν, οὐδὲ αὐτὸς ἀντερεῖς· διόπερ οὐδὲ ἡμῖν περὶ τούτων ἀνάγκη πρὸς σὲ διαλέγεσθαι· ζητεῖς δὲ μαθεῖν πῶς εὐπορώτερος τοῦ τοσαῦτα ἔχοντός σου. Τοῦτο δή σε διδάξομεν, καὶ δείξομεν, ὅτι ὅπερ ἡγῇ 20 ἐκεῖνον νῦν εἶναι ἐν πενίᾳ τῇ ἐσχάτῃ, τοῦτο αὐτὸς πρὸς ἐκεῖνον ἐξεταζόμενος πέπονθας.

4. Καὶ μή τοι νομίσῃς τὰ ἐν τοῖς οὐρανοῖς ἡμᾶς ἐρεῖν ἀγαθά καὶ τὰ μετὰ τὴν ἐνθένδε ἀποδημίαν· ἀπὸ γὰρ τῶν ἐν χερσὶ τέως ποιησόμεθα τὴν ἀπόδειξιν. Σὺ μὲν οὖν τῶν 25 σαυτοῦ κύριος εἶ μόνον, ἐκεῖνος δὲ τῶν κατὰ τὴν οἰκουμένην ἅπασαν. Εἰ δὲ ἀπιστεῖς δεῦρό σε ἀγάγωμεν εἰς αὐτόν, καὶ πείσωμεν αὐτὸν κατελθόντα ἀπὸ τοὺς ὄρους, μᾶλλον δὲ ἐκεῖ μένοντα σημᾶναί τινι τῶν σφόδρα πλουτούντων καὶ εὐλαβῶν, πέμψαι χρυσοῦ σταθμόν, ὅσον ἐθέλεις· μᾶλλον δὲ

μὴ χρειάζεται καὶ τὰ ὑπάρχοντα θὰ ἦτο ἀπόδειξις μεγαλυτέρας εὐπραγίας. Διότι ἐκεῖνος ποὺ δὲν διψᾷ καὶ δὲν ἐρωτεύεται (διότι τίποτε δὲν μᾶς ἐμποδίζει νὰ ἐπανέλθωμεν εἰς τὰ ἴδια παραδείγματα) ἔχει ἀποδειχθῆ εὐτυχέστερος ὄχι μόνον ἀπὸ αὐτοὺς ποὺ συνεχῶς διψοῦν καὶ συνεχῶς ἐπιθυμοῦν, ἀλλὰ καὶ ἀπὸ αὐτοὺς ποὺ ἔπαθαν τοῦτο ἐπ' ὀλίγον καὶ ἱκανοποίησαν τὴν ἐπιθυμίαν, διότι οὔτε ἐδοκίμασε κἂν αὐτὴν τὴν ἀνάγκην.

Θὰ σὲ ἐρωτήσω δὲ πάλιν· ἐὰν ἠδύνατο καὶ νὰ ὑπερβῇ εἰς πλοῦτον ὅλους καὶ νὰ ἀπαλλαγῇ ἀπὸ τὰ κακὰ τοῦ πλούτου, δὲν θὰ ἐπροτίμα μυριάκις αὐτὴν τὴν περιουσίαν, ὥστε οὔτε βασκανίαν, οὔτε συκοφαντίαν, οὔτε φροντίδα, οὔτε τίποτε ἄλλο ἀπὸ αὐτὰ νὰ ἀνέχεται; Ἂν λοιπὸν ἀποδείξω ὅτι καὶ αὐτὸ τὸ ἔχει ὁ υἱὸς καὶ ὅτι τώρα εἶναι πολὺ πλουσιώτερος, θὰ παύσῃς ἐντελῶς νὰ θρηνῇς καὶ νὰ κλαίῃς τόσον πικρά; Ὅτι λοιπὸν ἔχει ἀπαλλαγῆ ἀπὸ τὰς μερίμνας καὶ τὰ ἄλλα δυσάρεστα ἐπακόλουθα τοῦ πλούτου, οὔτε καὶ σὺ ὁ ἴδιος τὸ ἀμφισβητεῖς. Δι' αὐτὸ λοιπόν, δὲν εἶναι ἀνάγκη νὰ συζητήσωμεν δι' αὐτά. Ζητεῖς δὲ νὰ πληροφορηθῇς, πῶς εἶναι δυνατὸν νὰ εἶναι πλουσιώτερος ἀπὸ ἐσέ, ποὺ ἔχεις τόσον πολλά. Αὐτὸ λοιπὸν θὰ σοῦ διδάξωμεν καὶ θὰ ἀποδείξωμεν, ὅτι αὐτὸ ποὺ νομίζεις ἐσύ, ὅτι δηλαδὴ ἐκεῖνος εὑρίσκεται εἰς τὴν ἐσχάτην πτωχείαν, αὐτὸ τὸ ἔχεις πάθει ἐσύ, ἂν συγκριθῇς μὲ ἐκεῖνον.

4. Καὶ μὴ νομίσῃς βέβαια ὅτι θὰ ὁμιλήσω διὰ τὰ οὐράνια ἀγαθά, καὶ τὰ μεταθανάτια· διότι θὰ ἀρχίσω ἐν πρώτοις τὴν ἐπιχειρηματολογίαν ἀπὸ τὰ ἀγαθὰ ποὺ εἶναι χειροπιαστά. Σὺ μὲν λοιπὸν εἶσαι ἐξουσιαστὴς μόνον τῶν ἰδικῶν σου, ἐκεῖνος δὲ τῶν ἀγαθῶν ὁλοκλήρου τῆς οἰκουμένης. Ἐὰν δὲ ἀπιστῇς, ἐλθὲ νὰ σὲ ὁδηγήσω εἰς αὐτὸν καὶ νὰ τὸν πείσωμεν, ἀφοῦ κατέλθῃ ἀπὸ τὸ ὄρος ἢ μᾶλλον παραμένων ἐκεῖ, νὰ δώσῃ ἐντολὴν εἰς κάποιον ἀπὸ τοὺς πολὺ πλουσίους καὶ εὐλαβεῖς νὰ στείλῃ ποσότητα χρυσοῦ,

τοῦτο μὲν οὐκ ἀνέξεται, δοῦναι δὲ τῷ δεῖνι δεομένῳ κελευέτω, καὶ προθυμότερον ὄψει τὸν πλουτοῦντα ὑπακούοντα καὶ ἐκκομίζοντα, ἢ τῶν οἰκονόμων τινὰ τῶν σῶν. Οὗτος μὲν γὰρ ὅταν ἀναλίσκειν κελεύηται, κατηφής τέ ἐστι καὶ σκυθρω-
5 *πός· ἐκεῖνος δὲ ὅταν μὴ ἀναλίσκῃ, τότε δέδοικε μή ποτε προσκεκρουκὼς ᾖ, ἅτε τοιοῦτον ἐπιταττόμενος οὐδέν. Καὶ πολλοὺς ἐπιδεῖξαι ἔχω οὐ τῶν εὐδοκίμων τούτων, ἀλλὰ καὶ τῶν εὐτελεστέρων, τοσαύτην ἔχοντας δύναμιν. Καὶ σὺ μέν, ἂν οἱ οἰκονόμοι ἀναλώσωσι τὰ πιστευθέντα, οὐκ ἔχεις ἀπαι-*
10 *τῆσαι ἕτερον, ἀλλ' εὐθέως σοι εἰς πενίαν ὁ πλοῦτος μεταπεσεῖται ὑπὸ τῆς κακουργίας ἐκείνων· παρὰ δὲ τῷ παιδὶ τῷ σῷ τοῦτο οὐκ ἔστι τὸ δέος. Ἂν γὰρ οὗτος γένηται πένης, ἐπιτάξει πάλιν ἑτέρῳ· κἂν ἐκεῖνος πάθῃ τι τοιοῦτον, ἐφ' ἕτερον μεταβήσεται, καὶ τὰς τῶν ὑδάτων πηγὰς πρότε-*
15 *ρον ἐπιλιπεῖν εἰκὸς ἢ τῶν ταῦτα ὑπακουσομένων τινά.*

Καὶ εἰ μὲν τὰ ἡμέτερα ἐφρόνεις, διηγησάμην ἄν σοι πολλὰ καὶ μεγάλα διηγήματα· ἐπεὶ δὲ τὰ Ἑλλήνων πρεσβεύεις, οὐδὲ ἐκεῖθεν ἀπορήσω τοῦ παραδείγματος. Ἄκουσον γὰρ τί πρὸς τὸν Σωκράτην ὁ Κρίτων φησί· «Σοὶ δὲ
20 *ὑπάρχει μὲν τὰ ἐμὰ χρήματα, ὡς ἔγωγε οἶμαι ἱκανά· ἔπειτα δὲ καὶ εἴ τι ἐμοῦ κηδόμενος οὐκ οἴει ἀναλίσκειν τἀμά, ξένοι οὗτοι ἐνθάδε ἕτοιμοι ἀναλίσκειν. Εἰσκεκόμικε δὲ ἐπ' αὐτῷ τούτῳ ἀργύριον ἱκανὸν Σιμμίας ὁ Θηβαῖος, ἕτοιμος δὲ καὶ Κέβης, καὶ ἄλλοι πολλοί. Ὥστε„ ὅπερ ἔλεγον, μὴ*
25 *ταῦτα φοβούμενος ἀποκάμῃς σῶσαι σαυτόν, μήτε ὃ ἔλεγες ἐν τῷ δικαστηρίῳ δυσχερές σοι γενέσθω· ὅτι οὐκ ἂν ἔχοις ἐξελθὼν ὅ τι χρῷο σαυτῷ· πολλαχοῦ μὲν γὰρ καὶ ἄλλοσε*

ὅσην θέλεις. Μᾶλλον ὅμως δὲν θὰ τὸ δεχθῇ αὐτό, ἀλλ' ἂς διατάξῃ νὰ δοθῇ εἰς τὸν τάδε πτωχόν, καὶ θὰ ἰδῇς τὸν πλουτοῦντα νὰ ὑπακούῃ καὶ νὰ φέρῃ τὸν χρυσὸν προθυμότερα ἀπὸ κάποιον ἐκ τῶν ἰδικῶν σου διαχειριστῶν. Διότι αὐτὸς ὅταν διατάσσεται νὰ ἐξοδεύῃ εἶναι κατηφὴς καὶ σκυθρωπός· ἐκεῖνος δέ, ὅταν δὲν ἐξοδεύῃ, τότε φοβεῖται μήπως διαπράττει σφάλμα, διότι δὲν διετάχθη διὰ κάτι τέτοιο. Καὶ ἠμπορῶ νὰ ἐπιδείξω πολλούς, ὄχι μόνον ἀπὸ τοὺς εὐδοκιμήσαντας, ἀλλὰ καὶ ἀπὸ τοὺς ὑποδεεστέρους, νὰ ἔχουν τόσην δύναμιν. Καὶ σὺ μέν, ἐὰν οἱ διαχειρισταὶ καταναλώσουν τὰ ἐμπιστευθέντα, δὲν ἠμπορεῖς νὰ ἀπαιτήσῃς τίποτε ἄλλο, ἀλλὰ ἀμέσως μεταβάλλεται ὁ πλοῦτος εἰς πτωχείαν, ἀπὸ τὴν κατάχρησιν ἐκείνων. Εἰς τὸν υἱόν σου ὅμως δὲν ὑπάρχει τέτοιος φόβος. Διότι ἐὰν αὐτὸς γίνῃ πτωχός, θὰ δώσῃ ἐντολὴν πάλιν εἰς ἄλλον, καὶ ἂν ἐκεῖνος πάθῃ τὸ αὐτὸ θὰ ὑπάγῃ εἰς ἄλλον, καὶ πρέπει νὰ στερεύσουν πρῶτα αἱ πηγαὶ τῶν ὑδάτων παρὰ νὰ λείψῃ κάποιος ποὺ θὰ ὑπακούσῃ εἰς τὰς ἐντολάς.

Καὶ ἐὰν μὲν εἶχες τὰς ἰδικάς μας πεποιθήσεις, θὰ σοῦ διηγούμην πολλὰς καὶ ἀξιολόγους ἱστορίας· ἐπειδὴ ὅμως εἶσαι εἰδωλολάτρης, δὲν θὰ δυσκολευθῶ νὰ εὕρω καὶ ἐκεῖ παράδειγμα. Ἄκουσε λοιπὸν τί λέγει ὁ Κρίτων πρὸς τὸν Σωκράτην. «Καὶ σὺ ἔχεις εἰς τὴν διάθεσίν σου τὰ χρήματά μου, ἀρκετὰ ὅπως νομίζω· ἔπειτα καὶ ἂν λυπῆσαι κάπως ἐμὲ καὶ νομίζῃς ὅτι δὲν πρέπει νὰ ἐξοδεύῃς τὰ ἰδικά μου, ἐδῶ εἶναι αὐτοὶ οἱ φίλοι μας ἀπὸ τὰ ξένα, πρόθυμοι νὰ ἐξοδεύσουν ἀπὸ τὰ ἰδικά των. Ἕνας μάλιστα, ὁ Σιμμίας ὁ Θηβαῖος, δι' αὐτὸν ἀκριβῶς τὸν σκοπὸν ἔχει φέρει μαζί του ἀρκετὰ χρήματα· καὶ ὁ Κέβης καὶ πολλοὶ ἄλλοι εἶναι ἐδῶ πρόθυμοι, ὥστε αὐτὸς ὁ φόβος νὰ μὴ σὲ κρατῇ ἀπὸ τοῦ νὰ σωθῇς οὔτε καὶ ὁ λόγος ποὺ ἔλεγες εἰς τὸ δικαστήριον νὰ σὲ ἐμποδίσῃ, ὅτι δηλαδὴ ἂν ἔφευγες ἀπὸ τὸν τόπον σου, δὲν θὰ εἶχες τὰ ἀπαιτούμενα διὰ τὸν ἑαυτόν σου· διότι καὶ

ὅπου ἂν ἀφίκῃ, ἀγαπήσουσί σε. Ἐὰν δὲ βούλῃ εἰς Θετταλίαν ἰέναι, εἰσὶν ἐμοὶ ἐκεῖ ξένοι, οἵ σε περὶ πολλοῦ ποιήσονται καὶ ἀσφάλειάν σοι παρέξονται, ὥστε σοι μηδὲν ἐλλείπειν τῶν κατὰ Θετταλίαν».

5 *Τί ταύτης τῆς εὐπορίας ἥδιον; Ἀλλὰ ταῦτα μὲν ὡς πρὸς ἄνδρα βιωτικόν· εἰ δὲ φιλοσοφώτερον αὐτοῦ τὸν πλοῦτον ἐξετάζειν ἐθέλοιμεν, σὺ μὲν ἴσως οὐ παρακολουθήσεις τῷ λόγῳ, ἐμοὶ δὲ ἀναγκαῖον διὰ τοὺς δικάζοντας εἰπεῖν. Τοσοῦτος γὰρ ὁ τῆς ἀρετῆς πλοῦτός ἐστιν, οὕτως ἡδίων, οὕ-*
10 *τω ποθεινότερος τοῦ παρ' ὑμῖν, ὡς μηδ' ἂν ποτε ἐθελῆσαι τοὺς ἔχοντας αὐτὸν τὴν ἅπασαν γῆν, εἰ χρυσὸς γένοιτο μετὰ τῶν ὀρῶν καὶ τῆς θαλάττης καὶ τῶν ποταμῶν, ἀντ' ἐκείνου λαβεῖν. Καὶ εἴ γε ἦν δυνατὸν τοῦτο γενέσθαι, ἔμαθες ἂν ἀπὸ τῆς πείρας αὐτῆς, ὡς οὐκ ἀλαζονείας τὰ ῥήματα, ἀλλὰ*
15 *πολλῷ πλείω καὶ μείζω εὑρόντες καταφρονήσουσιν ἐκείνου, καὶ οὐκ ἂν ποτε αὐτὸν ἀλλάξαιντο τούτου. Καὶ τί λέγω, ἀλλάξαιντο; οὐδὲ μετ' ἐκείνου μὲν οὖν λαβεῖν αὐτὸν ἕλοιντο ἄν. Καίτοι ὑμῖν εἴ τις ἐδίδου τὸν τῆς ἀρετῆς πλοῦτον μετὰ τῶν χρημάτων, ὑπτίαις ἂν ἐδέξασθε χερσίν· οὕτως ὁμολο-*
20 *γεῖτε μέγαν τινὰ ἐκεῖνον καὶ θαυμαστόν· οὗτοι δὲ οὐκ ἂν ἕλοιντο τὸν ὑμέτερον μετὰ τοῦ οἰκείου· οὕτως ἴσασιν ὅτι πρᾶγμά ἐστιν εὐκαταφρόνητον. Καὶ τοῦτο πάλιν ἀπὸ τῶν ὑμετέρων παραδειγμάτων ποιήσω φανερόν. Πόσα γὰρ οἴει χρήματα τὸν Ἀλέξανδρον τῷ Διογένει, εἴ γε ἤθελε δέξα-*
25 *σθαι, δοῦναι ἄν; Ἀλλ' οὐκ ἠθέλησεν· ἐκεῖνος δὲ ἐφιλονείκει καὶ πάντα ἔπραττεν, ὥστε δυνηθῆναί ποτε ἐπὶ τὸν πλοῦτον ἐλθεῖν τὸν τούτου.*

---

6. Βλ. Πλάτωνος, Κρίτων, 45 b-c.

εἰς πολλὰ ἄλλα μέρη, ὁπουδήποτε μεταβῇς, θὰ σ' ἐκτιμήσουν. Καὶ ἂν θέλῃς νὰ μεταβῇς εἰς τὴν Θεσσαλίαν, ἐκεῖ ἔχω φίλους μου, ποὺ θὰ σὲ περιποιηθοῦν πολὺ καὶ θὰ σὲ φροντίσουν διὰ τὴν ἀσφάλειάν σου, ὥστε κανεὶς νὰ μὴ σ' ἐνοχλήσῃ»[6].

Τί περισσότερον εὐχάριστον ἀπὸ τὴν εὐπορίαν αὐτήν; Ἀλλὰ αὐτὰ ἀναφέρονται εἰς ἄνθρωπον ποὺ ζῇ εἰς τὸν κόσμον. Ἐὰν δὲ ἐξητάζαμεν τὸν πλοῦτον μὲ περισσοτέραν φιλοσοφίαν ἀπὸ αὐτόν, ἐσὺ μὲν ἴσως νὰ μὴ παρακολουθήσῃς τὸν λόγον, ἐγὼ ὅμως εἶναι ἀνάγκη νὰ τὸν εἴπω διὰ τοὺς δικαστάς. Διότι εἶναι τόσον μεγάλος ὁ πλοῦτος τῆς ἀρετῆς, τόσον πλέον εὐχάριστος, τόσον ποθεινότερος τοῦ ἰδικοῦ σας, ὥστε ποτὲ δὲν θὰ θελήσουν, αὐτοὶ ποὺ τὸν ἔχουν, νὰ τὸν ἀνταλλάξουν μὲ ὅλην τὴν γῆν, καὶ ἂν ἀκόμη αὐτὴ μετετρέπετο εἰς χρυσόν, μὲ τὰ ὄρη καὶ τὴν θάλασσαν καὶ τοὺς ποταμούς. Καὶ ἐὰν βεβαίως ἦτο δυνατὸν νὰ γίνῃ αὐτό, θὰ ἐπληροφορεῖσο ἀπὸ τὰ ἴδια τὰ πράγματα, ὅτι δὲν εἶναι ἐγωϊστικοὶ οἱ λόγοι, ἀλλὰ καὶ ἂν ἀκόμη εὕρισκαν πολὺ περισσότερα καὶ μεγαλύτερα, θὰ κατεφρόνουν ἐκεῖνον τὸν πλοῦτον καὶ ποτὲ δὲν θὰ τὸν ἀντήλλασσαν μὲ αὐτόν. Καὶ διατί λέγω περὶ ἀνταλλαγῆς; Διότι, οὔτε καὶ διατηροῦντες τὸν πλοῦτον τῆς ἀρετῆς δὲν θὰ ἐδέχοντο νὰ λάβουν τὸν ὑλικὸν πλοῦτον. Ἐνῷ ἂν κανεὶς ἔδιδεν εἰς ἐσᾶς τὸν πλοῦτον τῆς ἀρετῆς μαζὶ μὲ τὰ χρήματα, θὰ τὸν ἐλαμβάνατε μὲ ἁπλωμένα τὰ χέρια. Ἔτσι ὁμολογεῖτε ὅτι ὁ ὑλικὸς πλοῦτος εἶναι κάτι σπουδαῖον καὶ θαυμαστόν. Αὐτοὶ ὅμως δὲν θὰ ἐδέχοντο τὸν ἰδικόν σας πλοῦτον μαζὶ μὲ τὸν ἰδικόν των. Διότι πιστεύουν ὅτι εἶναι ἀξιοκαταφρόνητον πρᾶγμα. Καὶ αὐτὸ θὰ τὸ ἀποδείξω μὲ τὰ ἰδικά σας παραδείγματα. Διότι πόσα χρήματα νομίζεις ὅτι θὰ ἔδιδεν ὁ Ἀλέξανδρος εἰς τὸν Διογένην, ἐὰν αὐτὸς ἤθελε νὰ τὰ δεχθῇ; Ὅμως δὲν τὰ ἠθέλησεν. Ὁ Ἀλέξανδρος ὅμως φιλοδοξοῦσε καὶ ἔκαμε τὸ πᾶν, ὥστε νὰ ἠμπορέσῃ κάποτε νὰ φθάσῃ τὸν πλοῦτον τοῦ Διογένους.

5. *Βούλει δὲ καὶ ἑτέρωθέν σου τὴν πενίαν ἰδεῖν, καὶ τοῦ παιδὸς τὴν εὐπορίαν τοῦ σοῦ; Οὐκοῦν ἄπελθε, καὶ ἀφελοῦ αὐτοῦ τὸ ἱμάτιον, ὅπερ ἔχει μόνον, καὶ τῆς καλύβης ἐξάγαγε, καὶ κάθελε τὸ καταγώγιον, καὶ οὐδὲ οὕτως ὄψει δυσχεραίνοντα οὐδὲ ἀλγοῦντα, ἀλλά σοι καὶ χάριν εἴσεται τούτων, ὅσον πρὸς φιλοσοφίαν πλέον ὠθεῖς αὐτόν· σοῦ δὲ ἄν τις δέκα δραχμὰς ἀφέληται μόνον, θρηνῶν καὶ ὀδυρόμενος οὐ διαλείψεις ποτέ. Τίς οὖν εὔπορος, ὁ τοῖς μικροῖς δακνόμενος, ἢ ὁ πάντων τῶν ὄντων καταφρονῶν;*

Καὶ μὴ τοῦτο ποιήσῃς μόνον, ἀλλὰ καὶ τῆς χώρας ἁπάσης ἀπέλασον, καὶ ὄψει γελῶντα ἐπὶ τούτοις, καθάπερ ἐπὶ παιδίου παίζοντος. Σὲ δὲ ἂν τῆς πατρίδος ἀπελάσῃ τις μόνον, τὰ δεινότατα πείσῃ, καὶ οὐδὲ οἴσεις τὴν συμφοράν· ἐκεῖνος δέ, ἅτε πάσης τῆς γῆς οὔσης αὐτοῦ καὶ τῆς θαλάσσης, οὕτως εὐκόλως καὶ ἀλύπως ἀπὸ τούτων ἐφ' ἕτερα μεταστήσεται, καθάπερ σὺ διὰ τῶν οἰκείων ὁδεύων ἀγρῶν· μᾶλλον δὲ καὶ εὐκολώτερον. Σοὶ μὲν γὰρ εἰ καὶ διὰ τῶν σῶν βαδίζειν ἔξεστιν, ἀλλ' ὅμως καὶ δι' ἀλλοτρίων ἀνάγκη· ἐκεῖνος δὲ διὰ πάσης τῆς αὐτοῦ πορεύσεται γῆς· καὶ ποτὸν μὲν αὐτῷ πάντοθεν δαψιλῶς παρέχουσι λίμναι καὶ ποταμοὶ καὶ πηγαί, τροφὴ δὲ αὐτῷ λάχανα καὶ βοτάναι, καὶ ἄρτοι δὲ πολλαχόθεν. Οὔπω γάρ σοι λέγω, ὅτι καὶ τῆς γῆς ἁπάσης καταφρονεῖ, πόλιν ἔχων τὸν οὐρανόν. Κἂν τελευτῆσαι δέῃ, τῆς τρυφῆς ὑμῶν ἥδιον οἴσει τὴν τελευτήν, καὶ εὔξεται οὕτως ἀποθανεῖν μᾶλλον, ἢ ὑμεῖς ἐπὶ τῆς πατρίδος καὶ τῆς εὐνῆς· ὥστε καὶ πλάνον καὶ φυγάδα καὶ ἀλήτην τὴν πόλιν ἔχοντα καὶ οἰκίαν οἰκοῦντα ἀλλ' οὐκ ἐκεῖνον εἴποι τις ἂν

5. Θέλεις νὰ ἰδῇς καὶ ἀπὸ ἄλλου τὴν ἰδικήν σου πτωχείαν καὶ τὸν πλοῦτον τοῦ παιδιοῦ σου; Λοιπόν, πήγαινε καὶ ἀφαίρεσε τὸ μοναδικόν του ἔνδυμα καὶ ἀπομάκρυνέ τον ἀπὸ τὴν καλύβην, καὶ κρήμνισε τὸ ἐρημητήριόν του, καὶ οὔτε ἔτσι δὲν θὰ τὸ ἰδῇς δυσαρεστημένον καὶ δυστυχές, ἀλλὰ καὶ θὰ σ᾽ εὐχαριστήσῃ δι᾽ αὐτά, καθ᾽ ὅσον τὸ ὠθεῖς περισσότερον εἰς τὴν φιλοσοφίαν. Ἐνῷ ἐσύ, ἂν κανεὶς σοῦ ἀφαιρέσῃ δέκα μόνον δραχμάς, δὲν θὰ παύσῃς ποτὲ νὰ θρηνῇς καὶ νὰ ὀδύρεσαι. Λοιπόν, ποῖος εἶναι πλούσιος; Αὐτὸς ποὺ ὑποφέρει πάρα πολὺ καὶ διὰ τὰ μηδαμινὰ ἀκόμη, ἢ αὐτὸς ποὺ καταφρονεῖ τὰ πάντα;

Καὶ ὄχι μόνον αὐτὰ νὰ κάμῃς, ἀλλὰ καὶ ἐξόρισέ τον ἀπὸ ὅλην τὴν χώραν, καὶ θὰ τὸν ἰδῇς νὰ γελᾷ δι᾽ αὐτὰ ὡσὰν παιδὶ ποὺ παίζει. Ἐσὺ ὅμως, ἂν κανεὶς σὲ ἀπομακρύνῃ ἁπλῶς ἀπὸ τὴν πατρίδα, θὰ ὑποφέρῃς πάρα πολὺ καὶ δὲν θ᾽ ἀνθέξῃς εἰς τὴν συμφοράν. Ἐκεῖνος ὅμως, ἐπειδὴ ὅλη ἡ ξηρὰ καὶ ἡ θάλασσα εἶναι ἰδική του, τόσον εὔκολα καὶ χωρὶς νὰ λυπηθῇ θ᾽ ἀναχωρήσῃ ἀπὸ αὐτὰ εἰς ἄλλα μέρη, ὅπως ἐσὺ πηγαίνεις διὰ μέσου τῶν ἀγρῶν σου· μᾶλλον δὲ καὶ εὐκολώτερα. Διότι ἐσὺ μέν, ἂν καὶ ἠμπορεῖς νὰ βαδίζῃς διὰ μέσου τῶν ἰδικῶν σου ἀγρῶν ἀλλ᾽ ὅμως παρίσταται ἀνάγκη νὰ διέλθῃς καὶ διὰ μέσου τῶν ξένων. Ἐκεῖνος ὅμως θὰ βαδίσῃ διὰ μέσου ὅλης τῆς γῆς ποὺ εἶναι ἰδική του. Καὶ μὲ ἀφθονίαν αἱ λίμναι καὶ οἱ ποταμοὶ καὶ αἱ πηγαὶ τοῦ παρέχουν ποτὸν ἀπὸ παντοῦ, τροφὴ δὲ αὐτοῦ εἶναι τὰ λάχανα καὶ τὰ χόρτα, καὶ οἱ ἄρτοι παράγονται ἀπὸ παντοῦ. Καὶ ποῦ νὰ σοῦ εἴπω ἀκόμη, ὅτι περιφρονεῖ καὶ ὅλην τὴν γῆν, διότι ἔχει πόλιν τὸν οὐρανόν! Καὶ ἂν χρειασθῇ νὰ ἀποθάνῃ, θὰ ὑπομείνῃ τὸν θάνατον μὲ μεγαλυτέραν εὐχαρίστησιν ἀπὸ ὅσην σεῖς τὴν καλοπέρασίν σας, καὶ θὰ εὐχηθῇ ν᾽ ἀποθάνῃ εἰς τὴν ἔρημον περισσότερον ἀπὸ ὅσον θέλετε σεῖς εἰς τὴν πατρίδα καὶ τὴν συζυγικὴν ἑστίαν· ὥστε πλανώμενον καὶ ἐξόριστον καὶ ἀλήτην θὰ ἠδύνατο κανεὶς νὰ ὀνομάσῃ περισσότερον αὐτὸν ποὺ κατοικεῖ εἰς τὴν πό-

τὸν πάντων τούτων ἀπηλλαγμένον. Οὔτε γὰρ τῆς πατρίδος αὐτὸν ἐξαγαγεῖν δυνήσῃ, ἕως ἂν μὴ ἐξαγάγῃς τῆς γῆς ἁπάσης· τέως γὰρ οὕτως εἰρήσθω, ἐπεὶ κατὰ τὸν ἀληθῆ λόγον τότε μάλιστα αὐτὸν εἰς τὴν πατρίδα ἀποπέμψεις, ὅταν 5 ἀπὸ τῆς γῆς ἐξαγάγῃς.

Ἀλλ' οὔπω τοῦτο πρὸς σὲ τὸν οὐδὲν πλέον τῶν ὁρωμένων εἰδότα. Οὐδὲ γυμνὸν δεῖξαι δυνήσῃ, ἕως ἂν τὰ τῆς ἀρετῆς ἱμάτια περικείμενος ᾖ, οὔτε λιμῷ διαφθερεῖς, ἕως ἂν εἰδῇ τὴν ὄντως τροφήν. Ἀλλὰ πᾶσι τούτοις οἱ πλουτοῦν- 10 τές εἰσιν ἁλώσιμοι· ὥστε καὶ κατὰ τοῦτο οὐκ ἄν τις ἁμάρτοι τούτους μὲν πένητας προσειπών, καὶ σφόδρα πένητας, εὐπόρους δὲ ἐκείνους ἀκριβῶς. Ὁ γὰρ καὶ τροφῆς καὶ ποτοῦ καὶ οἰκίας καὶ ἀναπαύσεως πανταχοῦ δυνάμενος εὐπορεῖν, καὶ οὐ μόνον μὴ ἀλύων, ἀλλὰ καὶ ἥδιον ἐν τούτοις ἢ ὑμεῖς ἐν τοῖς 15 ὑμετέροις διάγων, εὔδηλον ὅτι πάντων ὑμῶν τῶν πλουτούντων ἐστὶν εὐπορώτερος τῶν ἐπὶ τῆς οἰκίας μόνης τούτων δυναμένων εὐπορεῖν. Ὅθεν οὐδὲ πενίαν οἶδεν ἐκεῖνος θρηνῆσαί ποτε. Οὐδὲ γὰρ τῇ ἀφθονίᾳ μόνον οὗτος ὁ πλοῦτος βελτίων, οὐδὲ τῇ ἡδονῇ, ἀλλὰ καὶ τῷ ἀνάλωτος εἶναι, καὶ 20 εἰς πτωχείαν μὴ μεταβαλεῖν ποτε, μηδὲ ὑποκεῖσθαι τῷ τοῦ μέλλοντος ἀδήλῳ, μηδὲ φροντίδας ἔχειν, μηδὲ βασκανίᾳ χειροῦσθαι, ἀλλὰ θαῦμα καὶ ἔπαινον καὶ εὐφημίαν κεκτῆσθαι πᾶσαν· καίτοι γε ἐφ' ὑμῶν τοὐναντίον ἐστὶν ἰδεῖν.

Οὐ γὰρ μόνον ὑμᾶς οὐκ ἐπαινοῦσι διὰ τὸν πλοῦτον, ἀλ- 25 λὰ καὶ μισοῦσι καὶ ἀποστρέφονται καὶ βασκαίνουσι δὲ ὑμῖν καὶ ἐπιβουλεύουσιν οἱ πολλοί· οὗτος δὲ ἐπειδὴ πλουτεῖ πλοῦτον τὸν ἀληθῆ, διὰ τοῦτο θαυμάζεται μάλιστα, καὶ διὰ τοῦτο οὐ φθονεῖται οὐδὲ ἐπιβουλεύεται. Ἀλλ' ἄρα πρὸς ὑγίειαν

λιν καὶ ἔχει οἰκίαν, παρὰ αὐτὸν ποὺ εἶναι ἀπηλλαγμένος ὅλων αὐτῶν. Διότι δὲν θὰ δυνηθῇς ποτὲ νὰ τὸν διώξῃς ἀπὸ τὴν πατρίδα, μέχρις ὅτου τὸν ἐκδιώξῃς ἀπὸ ὅλην τὴν γῆν· ἤ, διὰ νὰ εἴπωμεν πάλιν ἔτσι, τότε θὰ τὸν ἔχῃς ἀποστείλει πράγματι εἰς τὴν πατρίδα, ὅταν θὰ τὸν διώξῃς ἀπὸ τὴν γῆν.

Ἀλλὰ δὲν συμβαίνει τὸ αὐτὸ μὲ ἐσέ, ὁ ὁποῖος δὲν γνωρίζεις τίποτε περισσότερον ἀπὸ ὅσα βλέπεις. Οὔτε γυμνὸν θὰ ἠμπορέσῃς νὰ τὸν παρουσιάσῃς ἐν ὅσῳ φορεῖ τὰ ἐνδύματα τῆς ἀρετῆς, οὔτε θὰ τὸν ἀπειλήσῃς μὲ πεῖναν ἐν ὅσῳ γνωρίζει τὴν πραγματικὴν τροφήν. Ἀλλ' εἰς ὅλα αὐτὰ ὑποκύπτουν εὔκολα οἱ πλούσιοι· ὥστε καὶ ὡς πρὸς αὐτὸ δὲν θὰ ἔσφαλλε κανείς, ἀποκαλῶν αὐτοὺς πτωχοὺς καὶ παμπτώχους, ἐκείνους δὲ ἀκριβῶς πλουσίους. Διότι αὐτὸς ποὺ ἠμπορεῖ παντοῦ νὰ εὑρίσκῃ καὶ τροφὴν καὶ ποτὸν καὶ κατοικίαν καὶ ἀνάπαυσιν, καὶ ὄχι μόνον δὲν ἀνησυχεῖ, ἀλλὰ καὶ ζῇ εὐτυχέστερα ἀπὸ σᾶς, μὲ τὰς ἀπολαύσεις σας, εὐνοήτως εἶναι εὐπορώτερος ἀπὸ ὅλους σᾶς τοὺς πλουσίους, οἱ ὁποῖοι μόνον εἰς τὴν οἰκίαν ἔχετε ἀπὸ ὅλα αὐτά. Διὰ τοῦτο ἐκεῖνος δὲν ξεύρει νὰ θρηνῇ διὰ τὴν πτωχείαν. Διότι, ὄχι μόνον ὡς πρὸς τὴν ἀφθονίαν εἶναι καλύτερος αὐτὸς ὁ πλοῦτος, οὔτε μόνον ὡς πρὸς τὴν ἡδονήν, ἀλλὰ καὶ διότι δὲν ἐξοδεύεται καὶ δὲν μεταβάλλεται ποτὲ εἰς πτωχείαν, οὔτε ὑπόκειται ποτὲ εἰς τὴν ἀβεβαιότητα τοῦ μέλλοντος, οὔτε ἔχει φροντίδας, οὔτε ὑπόκειται εἰς φθόνον, ἀλλὰ θαυμάζεται καὶ ἐπαινεῖται καὶ ἔχει καλὴν φήμην. Ἐνῷ εἰς ἐσᾶς εἶναι δυνατὸν νὰ ἰδῇ κανεὶς τὸ ἀντίθετον.

Ὄχι μόνον δὲν σᾶς ἐπαινοῦν διὰ τὸν πλοῦτον, ἀλλὰ καὶ σᾶς μισοῦν, σᾶς ἀποστρέφονται καὶ σᾶς φθονοῦν καὶ σκέπτονται κακὸν ἐναντίον σας οἱ πολλοί. Αὐτὸς ὅμως, ἐπειδὴ ἀποκτᾷ πραγματικὸν πλοῦτον, διὰ τοῦτο βεβαίως θαυμάζεται, καὶ διὰ τοῦτο δὲν φθονεῖται καὶ δὲν κινδυνεύει ἀπὸ τὴν ἁρπαγήν. Ἀλλά, ἆρά γε, ποῖος εἶναι καλύτερος διὰ

τίς ἐπιτηδειότερος; οὐχ ὁ μὲν ἐκεῖνον ἔχων καθάπερ τὰ ἄγρια τῶν ζώων εὐσωματεῖ καὶ σφριγᾷ, ἅτε ἀέρος ἀπολαύων καθαροῦ καὶ ναμάτων ὑγιεινῶν καὶ ἀνθῶν καὶ λειμώνων καὶ εὐωδίας εἰλικρινοῦς, οὗτος δέ, ὥσπερ ἐν βορ-
5 *βόρῳ κείμενος, μαλακώτερός τέ ἐστι καὶ μᾶλλον ἐπίνοσος; Εἰ δὲ ἐν ὑγιείᾳ τὰ πρωτεῖα παρὰ τούτῳ, δηλονότι καὶ ἐν ἡδονῇ. Τίνα γὰρ οἴει μᾶλλον τρυφᾶν, τὸν ἐπὶ βαθείας κατακεκλιμένον πόας, παρὰ πηγὴν καθαράν, ὑπὸ σκιὰν δένδρων ἀμφιλαφῶν, καὶ τὸν ὀφθαλμὸν ἑστιῶντα τῇ θέᾳ, καὶ καθαρωτέ-*
10 *ραν ἔχοντα τοῦ οὐρανοῦ τὴν ψυχήν, καὶ ταραχῆς καὶ θορύβου πόρρω καθήμενον, ἢ τὸν ἐν οἰκίσκῳ κατακεκλεισμένον; Οὐ γὰρ δὴ τοῦ ἀέρος τὰ μάρμαρα καθαρώτερα, οὐδὲ τῆς σκιᾶς τῆς ἀπὸ τῶν δένδρων ἡ ἀπὸ τῆς ὀροφῆς ἡδίων, οὐδὲ ἡ ψηφὶς ἐδάφους ἄνθεσι καλλωπιζομένου ποικίλοις. Καὶ τούτων αὐτῶν*
15 *ὑμεῖς οἱ πλουτοῦντες μάρτυρες, οἷς εἴ γε ἐνῆν ἐπὶ τῶν ὑπερῴων δένδρα ἔχειν, καὶ τὴν ἀπὸ τῶν λειμώνων παραμυθίαν, μᾶλλον ἂν εἵλεσθε τῆς στέγης τῆς χρυσῆς καὶ τῶν τοίχων τῶν θαυμαστῶν. Ὅταν γοῦν ἐκ πολλῶν πόνων πρὸς ἄνεσιν ἑαυτοὺς ἀφεῖναι ἐπιθυμήσητε, ταῦτα ἀφέντες, πρὸς ἐκεῖνα*
20 *βαδίζετε.*

Ἀλλ' ὑπὲρ δόξης ἴσως θρηνεῖς, τῆς πολλῆς ἐκείνης καὶ μεγάλης, οὐδαμοῦ φαινομένης ἐνταῦθα; Τὰ γὰρ βασίλεια τῇ ἐρημίᾳ παραβάλλων, καὶ τὰς ἐλπίδας τὰς ἐκεῖθεν ταῖς ἐντεῦθεν, ἐξ αὐτοῦ οἴει τοῦ οὐρανοῦ καταπεπτωκέναι τὸν
25 *υἱόν. Οὐκοῦν τοῦτο δεῖ πρῶτον μαθεῖν, ὡς οὔτε ἡ ἐρημία ἄτιμον ποιεῖ, οὔτε λαμπρὸν καὶ περιφανῆ τὰ βασίλεια. Καὶ πρὶν ἐπὶ λογισμοὺς ἐλθεῖν ἐκ παραδειγμάτων σε ἀπαλλάξω τῆς ὑποψίας, παραδειγμάτων οὐ τῶν παρ' ἡμῖν, ἀλλὰ τῶν ὑμετέρων. Διονύσιον ἴσως ἀκούεις τὸν Σικελίας τύραννον,*

τὴν ὑγείαν; Μήπως αὐτὸς ποὺ ἔχει ἐκεῖνον τὸν πλοῦτον δὲν εἶναι εὔρωστος καὶ σφριγηλὸς ὅπως τὰ ἄγρια ζῶα, ἐπειδὴ ἀπολαμβάνει τὸν καθαρὸν ἀέρα καὶ τὰ ὑγιεινὰ νερά, καὶ τὰ ἄνθη καὶ τὰ λιβάδια καὶ τὴν ἁγνὴν εὐωδίαν, ἐκεῖνος δὲ ποὺ ἔχει τὸν ὑλικὸν πλοῦτον ὡσὰν νὰ εὑρίσκεται μέσα εἰς βόρβορον δὲν εἶναι μαλθακώτερος καὶ περισσότερον φιλάσθενος; Ἐὰν δὲ αὐτὸς ἔχῃ τὰ πρωτεῖα καὶ ὡς πρὸς τὴν ὑγείαν, εἶναι φανερὸν ὅτι τὰ ἔχει καὶ εἰς τὴν ἡδονήν. Ποῖος, νομίζεις, καλοπερᾷ περισσότερον; Αὐτὸς ποὺ εἶναι ἐξαπλωμένος εἰς πλουσίαν χλόην πλησίον καθαρᾶς πηγῆς ὑπὸ τὴν σκιὰν ἐκτεταμένων δένδρων καὶ ἔχει ἐστραμμένον τὸ βλέμμα του εἰς τὴν θέαν καὶ ἔχει τὴν ψυχὴν καθαρωτέραν τοῦ οὐρανοῦ καὶ εὑρίσκεται μακρὰν ἀπὸ τὴν ταραχὴν καὶ τὸν φόβον, ἢ αὐτὸς ποὺ εἶναι κατάκλειστος εἰς τὸ σπιτάκι του; Διότι τὰ μάρμαρα βέβαια δὲν εἶναι καθαρώτερα ἀπὸ τὸν ἀέρα οὔτε καὶ ἡ σκιὰ τῆς ὀροφῆς περισσότερον εὐχάριστος ἀπὸ τὴν σκιὰν τῶν δένδρων οὔτε τὸ μωσαϊκὸν ἀπὸ τὸ ἔδαφος, τὸ στολισμένον μὲ ἄνθη. Καὶ εἶσθε μάρτυρες αὐτῶν ὅλοι σεῖς οἱ πλούσιοι, οἱ ὁποῖοι, ἂν ἦτο δυνατὸν νὰ ἔχετε ἐπὶ τῶν ὑπερώων δένδρα καὶ τὴν ἀνακούφισιν τῶν λιβαδιῶν, θὰ τὰ ἐπροτιμούσατε περισσότερον ἀπὸ τὴν χρυσῆν στέγην καὶ τοὺς θαυμαστοὺς τοίχους. Ὅταν λοιπὸν μετὰ τὴν πολλὴν κούρασιν ἐπιθυμῆτε νὰ ἀναπαυθῆτε, ἀφήνετε αὐτὰ καὶ βαδίζετε πρὸς ἐκεῖνα.

Ἀλλ' ἴσως θρηνεῖς περὶ τῆς μεγάλης καὶ πολλῆς ἐκείνης δόξης, ἡ ὁποία πουθενὰ δὲν φαίνεται ἐδῶ; Διότι ὅταν συγκρίνῃς τὰ ἀνάκτορα πρὸς τὴν ἐρημίαν καὶ τὰς ἐκεῖ ἐλπίδας πρὸς τὰς ἐδῶ, νομίζεις ὅτι ὁ υἱός σου ἔχει πέσει ἀπὸ τὸν ἴδιον τὸν οὐρανόν. Λοιπὸν αὐτὸ πρέπει νὰ μάθῃς πρῶτα, ὅτι οὔτε ἡ ἐρημία ἀτιμάζει οὔτε τὰ ἀνάκτορα καθιστοῦν κάποιον ἄνθρωπον λαμπρὸν καὶ ἔνδοξον. Καὶ πρὶν ἔλθωμεν εἰς συλλογισμούς, θὰ σὲ ἀπαλλάξω ἀπὸ τὴν ὑποψίαν μὲ παραδείγματα, παραδείγματα ὄχι ἰδικά μας, ἀλλὰ ἰδικά σας.

ἀκούεις δὲ καὶ Πλάτωνα τὸν Ἀρίστωνος; Τίς οὖν, εἰπέ μοι, λαμπρότερος γέγονε; τίς δὲ ᾄδεται καὶ ἐν τοῖς τῶν πολλῶν κεῖται στόμασιν; οὐχ ὁ φιλόσοφος τοῦ τυράννου μᾶλλον; Καίτοι ὁ μὲν τῆς τε Σικελίας ἁπάσης ἐκράτει, καὶ ἐν τρυφῇ
5 *διῆγε, καὶ μετὰ πολλοῦ τοῦ πλούτου καὶ τῶν δορυφόρων καὶ τῆς ἄλλης φαντασίας διατέλεσε ζῶν· ὁ δὲ ἐν τῷ τῆς Ἀκαδημίας κήπῳ διέτριβεν ἄρδων τε καὶ φυτεύων καὶ ἐλαίας ἐσθίων, καὶ εὐτελῆ παρατιθέμενος τράπεζαν, καὶ πάσης ἐκείνης τῆς φαντασίας ἐκτὸς ὤν. Καὶ οὐ τοῦτό πω*
10 *θαυμαστόν, ἀλλ' ὅτι καὶ δοῦλος γενόμενος, καὶ κατὰ τὴν τοῦ τυράννου γνώμην ἀπεμποληθείς, τοσοῦτον ἀπέσχεν ἀτιμότερος ἐκείνου φανῆναι διὰ ταῦτα, ὡς καὶ αὐτῷ τῷ τυράννῳ ἐκ τούτου φανῆναι αἰδέσιμος. Τοιοῦτόν ἐστιν ἀρετή· οὐ δι' ὧν ἐργάζεται μόνον, ἀλλὰ καὶ δι' ὧν πάσχει κακῶς,*
15 *οὐχ ἑαυτήν, ἀλλὰ καὶ τοὺς ποιοῦντας οὐκ ἀφιεῖσα κρύπτεσθαι καὶ λανθάνειν.*

Τί δὲ ὁ τούτου διδάσκαλος Σωκράτης; πόσῳ Ἀρχελάου λαμπρότερος ἦν; Καίτοι ὁ μὲν βασιλεὺς ἦν, καὶ ἐν πολλῷ πλούτῳ διῆγεν· ὁ δὲ ἐν Λυκείῳ διέτριβε, καὶ ἑνὸς ἱματίου
20 *πλέον εἶχεν οὐδέν, καὶ τοῦτο μόνον καὶ χειμῶνος καὶ θέρους καὶ ἐν πάσαις ταῖς ὥραις τοῦ ἔτους περιβεβλημένος ἐφαίνετο· ἀνυπόδετός τε ἔζη διαπαντός, καὶ ἄσιτος ἅπασαν διακαρτέρει τὴν ἡμέραν, ἄρτον τε ἐσιτεῖτο μόνον, καὶ τοῦτο ἦν αὐτῷ ὄψον καὶ σιτίον· καὶ οὐδὲ ταύτην οἴκοθεν παρετί-*
25 *θετο τὴν τράπεζαν, ἀλλὰ παρ' ἑτέρων λαμβάνων, οὕτως ἐσχάτῃ συνέζη πενίᾳ· καὶ τοσοῦτον ἦν τοῦ βασιλέως λαμπρό-*

---

7. Οὗτος ἐβασίλευσεν εἰς τὴν Μακεδονίαν ἀπὸ τοῦ 413 μέχρι τοῦ 399. Ἐπὶ τῆς ἐποχῆς του τὸ Μακεδονικὸν Βασίλειον ἔφθασεν εἰς μεγάλην ἀκμήν.

8. Τὸ γυμνάσιον ἢ δημοσία παλαίστρα ἔχουσα στεγασμένους περιπάτους εἰς τὸ ἀνατολικὸν προάστειον τῶν Ἀθηνῶν, κληθεῖσα ἐκ τοῦ ὀνόματος τοῦ γείτονος ναοῦ τοῦ Λυκείου Ἀπόλλωνος. Ἐνταῦθα ἐσύχναζεν ὁ Σωκράτης. Ἐνταῦθα δὲ καὶ ὁ Ἀριστοτέλης συνήθιζε νὰ διδάσκῃ ἢ

Σοῦ εἶναι γνωστὸς ἐξ ἀκοῆς ἴσως ὁ Διονύσιος, ὁ τύραννος τῆς Σικελίας, καθὼς ἐπίσης καὶ ὁ Πλάτων ὁ υἱὸς τοῦ Ἀριστίππου; Εἰπέ μου λοιπόν, ποῖος ἔγινεν ἐνδοξότερος; Ποῖος ὑμνεῖται καὶ εὑρίσκεται εἰς τὰ στόματα πολλῶν; Μήπως ὄχι ὁ φιλόσοφος περισσότερον ἀπὸ τὸν τύραννον; Ἂν καὶ ὁ μὲν ἕνας ἐκυριάρχει ἐφ᾽ ὁλοκλήρου τῆς Σικελίας καὶ ἔζη μὲ τρυφὴν καὶ ἐπέρασε τὴν ζωήν του μὲ πολὺν πλοῦτον, μὲ σωματοφύλακας καὶ μὲ ὅλην τὴν ὑπόλοιπον φαντασίαν· ὁ δὲ ἄλλος ἔζη εἰς τὸν κῆπον τῆς Ἀκαδημίας ὅπου ἐπότιζε καὶ ἐφύτευε καὶ ἔτρωγεν ἐλαίας, καὶ παρέθετε πτωχὴν τράπεζαν καὶ εὑρίσκετο ἔξω ἀπὸ ὅλην ἐκείνην τὴν πολυτέλειαν. Καὶ δὲν εἶναι μόνον αὐτὸ ἀξιοθαύμαστον, ἀλλὰ καὶ τὸ ὅτι ἀφοῦ ἔγινε δοῦλος καὶ ἐπωλήθη κατὰ διαταγὴν τοῦ τυράννου, τόσον ὀλίγον ὑποδεέστερος ἀπὸ ἐκεῖνον ἐξ αἰτίας αὐτῶν ἐφάνη, ὥστε ἐξ αὐτοῦ νὰ θεωρηθῇ καὶ ὑπὸ τοῦ ἰδίου τοῦ τυράννου σεβάσμιος. Τοιοῦτον πρᾶγμα εἶναι ἡ ἀρετή· ὄχι μόνον δι᾽ ὅσων πράττει ἀλλὰ καὶ δι᾽ ὅσων ὑφίσταται δὲν ἀφήνει ὄχι μόνον τὸν ἑαυτόν της ἀλλὰ καὶ τοὺς ἐφαρμόζοντας αὐτὴν νὰ κρύπτωνται καὶ νὰ διαβαίνουν ἀπαρατήρητοι.

Καὶ τί συνέβη μὲ τὸν διδάσκαλον αὐτοῦ Σωκράτην; Πόσον ἐνδοξότερος ἦτο τοῦ Ἀρχελάου[7], ἂν καὶ ἐκεῖνος ἦτο βασιλεὺς καὶ ἔζη εἰς πολὺν πλοῦτον, αὐτὸς δὲ ἔζη εἰς τὸ Λύκειον[8] καὶ δὲν εἶχε τίποτε περισσότερον ἀπὸ ἕνα ἔνδυμα καὶ μάλιστα παρουσιάζετο ἐνδεδυμένος μὲ τὸ ἴδιον καὶ κατὰ τὸν χειμῶνα καὶ κατὰ τὸ θέρος καὶ καθ᾽ ὅλας τὰς ἐποχάς; Ἔζη δὲ πάντοτε ἄνευ ὑποδημάτων καὶ παρέμενε νηστικὸς ὅλην τὴν ἡμέραν καὶ διετρέφετο μόνον μὲ ἄρτον καὶ αὐτὸ ἦτο δι᾽ αὐτὸν τὸ προσφάγιον καὶ τὸ γεῦμα. Ἀκόμη δὲ καὶ αὐτὸ τὸ τραπέζι δὲν τὸ ἑτοίμαζε μὲ ἰδικά του τρόφιμα, ἀλλ᾽ ἔπαιρνεν ἀπὸ ἄλλους. Εἰς τόσον μεγάλην πτωχείαν ἔζη. Καὶ ἦτο τόσον ἐνδοξότερος τοῦ βασιλέως, ὥστε ἂν καὶ πολλάκις

ὁμιλῇ περιπατῶν, δι᾽ ὃ οἱ μαθηταὶ αὐτοῦ ἐκλήθησαν Λύκειοι Περιπατητικοί.

τερος, ὡς πολλάκις αὐτὸν καλοῦντος ἐκείνου πρὸς ἑαυτόν, μὴ θελῆσαι τὸ Λύκειον ἀφεῖναι, καὶ πρὸς τὸν ἐκείνου πλοῦτον ἐλθεῖν. Καὶ ἀπὸ τῆς δόξης δὲ τῆς κρατούσης νῦν καὶ τὰ πρότερα φαίνεται. Τούτων μὲν γὰρ τὰ ὀνόματα πολλοῖς 5 γνώριμα, ἐκείνων δὲ οὐδενί.

Ὁ δὲ Σινωπεὺς πάλιν ἕτερος οὗτος φιλόσοφος τοσούτῳ καὶ τούτων καὶ ἑτέρων μυρίων τοιούτων βασιλέων εὐπορώτερος ἦν, καὶ ταῦτα ῥακίοις συζῶν, ὡς τὸν Φιλίππου τὸν Μακεδόνα στρατιὰν ἐπὶ Πέρσας ἄγοντα, πάντα ἀφέντα, ἰ-10 δόντα αὐτὸν ἀπελθεῖν, καὶ ἐρέσθαι δι' ἑαυτοῦ, μή τινος δέοιτο, καὶ εἴ τι κελεύοι· αὐτὸν δὲ οὐδὲν ἀπαγγεῖλαι.

Ἆρά σοι τῶν παραδειγμάτων ἅλις, ἢ βούλει καὶ ἑτέρων ἐπιμνησθῶμεν; Οὗτοι γὰρ οὐχὶ τῶν ἐν βασιλείοις μόνον λαμπρῶν, ἀλλ' αὐτοῦ τοῦ βασιλεύοντος γεγόνασι λα-15 μπρότεροι, τὸν ἰδιωτικὸν ἑλόμενοι βίον καὶ ἀπράγμονα, καὶ πολιτείας οὐδὲ ἐγγὺς βουληθέντες ἐλθεῖν. Καὶ ἐν αὐτῇ δὲ τῇ πολιτείᾳ οὐκ ἐκείνους ὄψει λαμπροὺς τοὺς ἐν πλούτῳ καὶ τρυφῇ καὶ περιουσίᾳ, ἀλλὰ καὶ τοὺς ἐν πενίᾳ, τοὺς ἐν εὐτελείᾳ, τοὺς ἐν ἀτύφῳ ζῶντας βίῳ.

20 *Παρὰ μὲν Ἀθηναίοις Ἀριστείδης, ὃν καὶ τελευτήσαντα ἡ πόλις ἔθαψε, καὶ πλούτῳ καὶ γένει καὶ τρυφῇ καὶ δυνάμει λόγων καὶ ῥώμῃ σώματος καὶ εὐγενείας καὶ τοῖς ἄλλοις πᾶσιν Ἀλκιβιάδου κρατοῦντος τοσοῦτον λαμπρότερος ἦν, ὅσον παιδίου τινὸς εὐτελοῦς φιλόσοφος θαυμαστός. Παρὰ 25 Θηβαίοις Ἐπαμεινώνδας ἄνθρωπος εἰς ἐκκλησίαν καλούμενος, καὶ διὰ τοῦτο μὴ δυνάμενος ἐλθεῖν, ἐπειδὴ αὐτῷ τὸ ἱμάτιον ἔτυχε πλυνόμενον, καὶ ἕτερον περιθέσθαι οὐκ εἶχε, πάντων τῶν γενομένων αὐτόθι στρατηγῶν ἐπισημότερος ἦν.*

---

9. Ἐδῶ ὁμιλεῖ περὶ τοῦ ἠθοποιοῦ Διογένους, ὁ ὁποῖος κατήγετο, ὡς γνωστόν, ἀπὸ τὴν Σινώπην τοῦ Πόντου· ἐντεῦθεν λοιπὸν αἱ προσωνυμίαι Σινωπεὺς καὶ Ποντικός. Ἐγεννήθη περὶ τὰ τέλη τοῦ Ε' αἰῶνος π.Χ. καὶ ἀπέθανε κατὰ τὸ 323 εἰς τὴν Κόρινθον.

τὸν ἐκάλεσεν ἐκεῖνος, δὲν ἠθέλησε ν᾽ ἀφήσῃ τὸ Λύκειον καὶ νὰ ἔλθῃ πρὸς τὸν πλοῦτον ἐκείνου. Καὶ ἀπὸ τὴν φήμην ποὺ ὑπάρχει τώρα φαίνονται καὶ τὰ προηγούμενα. Διότι τὰ ὀνόματα αὐτῶν εἶναι γνωστὰ εἰς πολλούς, ἐνῷ ἐκείνων εἰς κανένα.

Ὁ δὲ Σινωπεὺς[9] πάλιν, ἄλλος φιλόσοφος αὐτός, ἦτο τόσον πλουσιώτερος καὶ ἀπὸ αὐτοὺς καὶ ἀπὸ χιλιάδας ἄλλων τοιούτων βασιλέων, ἂν καὶ ἔζη ρακένδυτος, ὥστε ὁ υἱὸς τοῦ Φιλίππου Ἀλέξανδρος ὁ Μακεδὼν ἐνῷ ὡδήγει τὸ στράτευμα ἐναντίον τῶν Περσῶν, τὰ ἄφησεν ὅλα καὶ ἦλθε διὰ νὰ τὸν ἰδῇ καὶ νὰ τὸν ἐρωτήσῃ μόνος του, μήπως ἐχρειάζετο τίποτε, καὶ ἐὰν ἤθελε νὰ ζητήσῃ τίποτε· αὐτὸς ὅμως τίποτε δὲν ἐζήτησεν.

Ἆρά γε σοῦ εἶναι ἀρκετὰ τὰ παραδείγματα ἢ θέλεις νὰ ἐνθυμηθῶμεν καὶ ἄλλα; Διότι αὐτοὶ ἔγιναν λαμπρότεροι ὄχι μόνον ἀπὸ τοὺς εἰς τὰ ἀνάκτορα ζῶντας ἐπιφανεῖς ἀλλὰ καὶ ἀπὸ τὸν ἴδιον τὸν βασιλέα, προτιμήσαντες τὴν ἰδιωτικὴν καὶ ἀμέριμνον ζωὴν καὶ μὴ ἐπιθυμοῦντες οὔτε νὰ πλησιάσουν εἰς τὰ τῆς διοικήσεως τῆς πολιτείας. Εἰς αὐτὴν ὅμως τὴν πολιτείαν δὲν θὰ ἰδῇς λαμπροὺς τοὺς ζῶντας μὲ πλοῦτον καὶ πολυτέλειαν καὶ ἀφθονίαν, ἀλλὰ τοὺς ζῶντας εἰς πτωχείαν καὶ ἁπλότητα καὶ ταπεινότητα.

Καὶ εἰς μὲν τοὺς Ἀθηναίους ὁ Ἀριστείδης, τὸν ὁποῖον ἐκήδευσεν ὁ δῆμος ὅταν ἀπέθανεν, ἐνῷ καὶ ὡς πρὸς τὸν πλοῦτον καὶ ὡς πρὸς τὸ γένος καὶ ὡς πρὸς τὴν πολυτέλειαν καὶ ὡς πρὸς τὴν ρητορικὴν ἱκανότητα καὶ ὡς πρὸς τὴν σωματικὴν δύναμιν καὶ ὡς πρὸς τὴν ἔνδοξον καταγωγὴν καὶ ὡς πρὸς ὅλα τὰ ἄλλα ὑπερεῖχεν αὐτοῦ ὁ Ἀλκιβιάδης, ἐν τούτοις ἦτο λαμπρότερος, ὅσον εἶναι ἕνας φιλόσοφος ἀπὸ ἕνα παιδὶ ἀνάξιον λόγου. Εἰς τοὺς Θηβαίους ὁ Ἐπαμεινώνδας, ἄνθρωπος ὁ ὁποῖος κληθεὶς εἰς τὴν συνέλευσιν τοῦ δήμου δὲν ἠδυνήθη νὰ μεταβῇ ἐξ αἰτίας τοῦ ὅτι ἔτυχε νὰ πλύνεται τὸ ἔνδυμά του καὶ δὲν εἶχεν ἄλλο νὰ ἐνδυθῇ, ἦτο ὁ ἐπιφανέστερος ὅλων τῶν στρατηγῶν ποὺ

Μὴ τοίνυν μοι τὴν ἐρημίαν εἴπῃς, μηδὲ τὰ βασίλεια. Οὐ γὰρ ἐν τόποις τὰ τῆς λαμπρότητος, καὶ τὰ τῆς περιφανείας, οὐδὲ ἐν ἱματίοις, οὐδὲ ἐν ἀξιώματι, οὐδὲ ἐν δυναστείᾳ, ἀλλ' ἐν ἀρετῇ ψυχῆς καὶ φιλοσοφίᾳ μόνον.

5 *6. Ἀλλ' ἐπειδὴ τὰ παραδείγματα οὐ τοσαύτην ἔχει τὴν ἰσχύν, ἀπ' αὐτοῦ τοῦ σοῦ παιδὸς ποιήσομαι τὴν ἐξέτασιν. Εὑρήσομεν γὰρ αὐτὸν οὐ μόνον λαμπρότερον ὄντα νῦν, ἀλλὰ καὶ δι' ἐκεῖνα τιμιώτερον, δι' ἅπερ ἄτιμον εἶναι φὴς καὶ εὐτελῆ. Εἰ γὰρ βούλει, πείσαντες αὐτὸν ἀπὸ τοῦ ὄρους κατελθεῖν,* 10 *πείσωμεν καὶ εἰς ἀγορὰν ἐμβαλεῖν, καὶ ὄψει πᾶσαν ἐπιστρεφομένην τὴν πόλιν, καὶ ὑποδεικνύντας αὐτὸν ἅπαντας καὶ θαυμάζοντας καὶ ἐκπληττομένους, ὡς ἀγγέλου τινὸς ἐξ οὐρανοῦ παραγενομένου νῦν. Ἢ ἕτερόν σοι τὰ τῆς δόξης τι εἶναι δοκεῖ; Οὐ γὰρ δὴ τῶν ἐν βασιλείοις ἔσται περιφανέ-* 15 *στερος μόνον, ἀλλὰ καὶ αὐτοῦ τοῦ τὸ διάδημα περικειμένου, διὰ τὰ ἱμάτια ἐκεῖνα τὰ εὐτελῆ καὶ κατατετριμμένα. Οὐ γάρ, ἂν οὕτως ἅπαντας ἐξέπληττε χρυσοφορῶν, μᾶλλον δὲ καὶ ἁλουργίδα, καὶ αὐτὸν τὸν στέφανον περικείμενος ἐπὶ τῆς κεφαλῆς, καὶ τοῖς σηρικοῖς ἐπικαθήμενος στρώμασι, καὶ ὑπὸ* 20 *τῶν ἡμιόνων ἑλκόμενος, καὶ τοὺς χρυσοφοροῦντας δορυφόρους ἔχων, ὡς νῦν ῥυπῶν καὶ αὐχμῶν καὶ παχὺ περιβεβλημένος ἱμάτιον, καὶ μηδένα ἀκολουθοῦντα ἐπαγόμενος, καὶ ἀνυπόδετος ὤν. Ἐκεῖνα μὲν γὰρ τὰ τοῦ βασιλέως νόμοις τε ὥρισται, καὶ τῆς συνηθείας ἐστί· καὶ διὰ ταῦτα κἂν εἴποι* 25 *τις θαυμάζων τὸν βασιλέα, ὅτι στολὴν περιβέβληται χρυσῆν, οὐ μόνον οὐ θαυμάζομεν, ἀλλὰ καὶ γελῶμεν τὸ λεχθέν, ὡς οὐδὲν ἔχον παράδοξον· περὶ δὲ τοῦ παιδίου τοῦ σοῦ ἂν ἐλθών τις ἀπαγγείλῃ, ὅτι πλούτου καταγελάσας τοῦ πατρικοῦ,*

ἦσαν ἐκεῖ. Μὴ λοιπὸν μοῦ ὁμιλήσῃς διὰ τὴν ἐρημίαν οὔτε διὰ τὰ ἀνάκτορα. Διότι δὲν χαρακτηρίζεται ἡ λαμπρότης καὶ ἡ δόξα ἀπὸ τοὺς τόπους οὔτε ἀπὸ τὰ ἐνδύματα οὔτε ἀπὸ τὰ ἀξιώματα οὔτε ἀπὸ τὴν ἐξουσίαν, ἀλλ' ἀπὸ τὴν ψυχικὴν ἀρετὴν καὶ τὴν φιλοσοφίαν μόνον.

6. 'Αλλ' ἐπειδὴ τὰ παραδείγματα δὲν ἔχουν καὶ τόσην δύναμιν, θὰ ἀρχίσω τὴν ἐξέτασιν ἀπὸ τὸ ἴδιον τὸ παιδί σου. Διότι θὰ τὸ εὕρωμεν νὰ εἶναι τώρα ὄχι μόνον λαμπρότερον, ἀλλὰ καὶ τιμιώτερον ἐξ αἰτίας ἐκείνων διὰ τὰ ὁποῖα ἰσχυρίζεσαι ὅτι εἶναι ἐπονείδιστος καὶ μηδαμινός. Διότι ἂν θέλῃς, ἀφοῦ τὸν πείσωμεν νὰ κατέλθῃ ἀπὸ τὸ ὄρος, ἂς τὸν πείσωμεν νὰ εἰσέλθῃ εἰς τὴν ἀγοράν. Θὰ ἰδῇς τότε νὰ στρέφεται ὅλη ἡ πόλις καὶ νὰ τὸν ὑποδεικνύουν ὅλοι καὶ νὰ θαυμάζουν καὶ νὰ ἐκπλήττωνται, ὡσὰν νὰ κατῆλθε τώρα ἀπὸ τὸν οὐρανὸν ἕνας ἄγγελος. Ἢ νομίζεις ὅτι εἶναι τίποτε ἄλλο ἡ δόξα; Διότι θὰ εἶναι ἐνδοξότερος ὄχι μόνον ἀπὸ τοὺς εὑρισκομένους εἰς τὰ ἀνάκτορα, ἀλλὰ καὶ ἀπὸ αὐτὸν ποὺ φορεῖ τὸ βασιλικὸν στέμμα, ἐξ αἰτίας ἐκείνων, τῶν εὐτελῶν καὶ ἐφθαρμένων ἐνδυμάτων. Διότι δὲν θὰ ἐξέπληττεν ὅλους τόσον, ἐὰν ἦτο ἐνδεδυμένος μὲ χρυσᾶ, ἢ μᾶλλον ἂν ἐφόρει τὴν πορφυρᾶν ἐσθῆτα καὶ ἔφερεν ἐπὶ τῆς κεφαλῆς τὸ βασιλικὸν στεφάνι καὶ ἐκάθητο ἐπὶ μεταξωτῶν στρωμάτων καὶ ἐσύρετο ὑπὸ ἡμιόνων καὶ εἶχε σωματοφύλακας χρυσοντυμένους, ὅσον τώρα, ποὺ εἶναι ἀτημέλητος καὶ ἰσχνὸς καὶ φορεῖ ἀκαλαίσθητον ἔνδυμα καὶ χωρὶς κανένα ἀκόλουθον καὶ χωρὶς ὑποδήματα. Διότι ἐκεῖνα εἶναι διὰ νόμου καθωρισμένα διὰ τὸν βασιλέα, καὶ εἶναι συνηθισμένον θέαμα· καὶ διὰ τοῦτο ἂν κανεὶς ἔλεγεν ἀπὸ θαυμασμὸν πρὸς τὸν βασιλέα, ὅτι εἶναι ἐνδεδυμένος μὲ χρυσῆν στολήν, ὄχι μόνον δὲν ἐκπληττόμεθα, ἀλλ' ἀντιθέτως περιγελῶμεν τὸ λεχθέν, διότι δὲν ἔχει τίποτε τὸ παράδοξον. Ὅσον διὰ τὸν υἱόν σου, ἐὰν ἔλθῃ κανεὶς καὶ εἴπῃ ὅτι ἀφοῦ περιεφρόνησε τὸν πατρικὸν πλοῦτον καὶ ἀπηρ-

καὶ τὴν βιωτικὴν καταπατήσας φαντασίαν, καὶ τῶν κοσμικῶν ἐλπίδων ἀνώτερος γενόμενος, πρὸς τὴν ἐρημίαν μετέστη, καὶ χιτωνίσκον σαπρὸν ἐνέδυ καὶ φαῦλον, πάντες εὐθέως συνδραμοῦνται καὶ θαυμάσουσι καὶ κροτήσουσιν ὑπὲρ τῆς 5 *μεγαλοψυχίας αὐτόν.*

Καὶ τῶν μὲν βασιλέων μυρία κατηγορουμένων, οὐδὲν τὰ ἱμάτια προστήσεται τὰ χρυσᾶ, τοσοῦτον ἀπέχει θαυμαστοὺς δεῖξαι ὄντας αὐτούς· οὗτος δὲ καὶ ἀπὸ τῶν ἱματίων πολλὰς ἔχει τοῦ θαυμάζεσθαι τὰς ἀφορμάς. Ὥστε αὕτη ἡ 10 *στολὴ τῆς βασιλικῆς μᾶλλον αὐτὸν ἀπόβλεπτον ἀπέφηνε καὶ περιφανῆ, εἴ γε δι' ἐκείνην μὲν οὐδεὶς βασιλέα ἐθαύμασε, διὰ δὲ ταύτην ἅπαντες τὸν περικείμενον ἐκπλαγήσονται.*

Καὶ τί μοι, φησί, τῆς τῶν πολλῶν ὑπονοίας ὄφελος καὶ τῶν ἐπαίνων; Καὶ μὴν δόξα οὐδὲν ἕτερόν ἐστιν, ἀλλ' ἢ 15 *ταῦτα. Ἀλλ' οὐ δέομαι, φησί, ταύτης, δυναστείαν δὲ ζητῶ καὶ τιμήν. Ἀλλ' οἱ ἐπαινοῦντες καὶ τιμήσουσι πάντως. Εἰ δὲ δυναστείαν βούλει καὶ προστασίαν, καὶ ταύτην οὐχ ἧττον τῶν προτέρων παρὰ τούτοις οὖσαν μᾶλλον εὑρήσομεν· καὶ ἔχομεν μὲν αὐτὸ καὶ ἐκ παραδειγμάτων ποιεῖν φανερόν,* 20 *ἐπὶ δὲ τὸν μάλιστά σε παραμυθούμενον τρόπον ἐλθόντες, οὐκ ἐπ' ἄλλων τινῶν, ἀλλ' ἐπ' αὐτοῦ τοῦ σοῦ παιδὸς τὸν λόγον ἐξετάσωμεν τοῦτον. Τί γὰρ δυνάμεως τῆς μεγίστης τεκμήριον εἶναι φής; οὐ τὸ δύνασθαι μὲν ἀμύνεσθαι τοὺς λυποῦντας, δύνασθαι δὲ τοὺς εὐεργετοῦντας ἀμείβεσθαι; Καίτοι γε* 25 *ταύτην ἅπασαν οὐδὲ παρὰ τῷ βασιλεύοντι ἴδοι τις ἄν· καὶ γὰρ πολλοὺς ἔχει τοὺς λυποῦντας, οὓς οὐκ ἂν δύναιτο λυπεῖν, καὶ πολλοὺς τοὺς εὖ ποιοῦντας, οὓς οὐκ ἂν εὐκόλως ἀμείψαιτο. Καὶ γὰρ ἐν πολέμοις πολλάκις λυπήσαντας πο-*

νήθη τὴν κοσμικὴν ματαιοδοξίαν καὶ ὑψώθη ἐπάνω ἀπὸ τὰς κοσμικὰς ἐλπίδας, μετέβη εἰς τὴν ἐρημίαν καὶ ἐνεδύθη χιτώνιον εὐτελὲς καὶ μηδαμινόν, ὅλοι ἀμέσως θὰ προστρέξουν καὶ θὰ ἐκπλαγοῦν καὶ θὰ τὸν χειροκροτήσουν διὰ τὴν μεγαλοψυχίαν του.

Καὶ ὅταν μὲν οἱ βασιλεῖς μυριάκις κατηγοροῦνται, εἰς τίποτε δὲν πρόκειται νὰ ὠφελήσουν τὰ χρυσᾶ ἐνδύματα, διότι ἀπέχουν πολὺ ἀπὸ τοῦ νὰ τοὺς παρουσιάσουν ὡς ἀξιοθαυμάστους. Αὐτὸς ὅμως καὶ ἀπὸ τὰ ἐνδύματα ἔχει πολλὰς ἀφορμὰς διὰ νὰ θαυμάζεται. Ὥστε αὐτὴ ἡ στολὴ τὸν καθιστᾷ περίβλεπτον καὶ ὀνομαστὸν περισσότερον ἀπὸ τὴν βασιλικήν, καθ' ὅσον ἐξ αἰτίας ἐκείνης κανεὶς δὲν θαυμάζει τὸν βασιλέα, ἐξ αἰτίας δὲ αὐτῆς θὰ ἐκπλαγοῦν ὅλοι δι' αὐτὸν ποὺ τὴν φορεῖ.

Καὶ ποῖον, λέγει, τὸ ὄφελος τῆς ἐκτιμήσεως ὑπὸ τῶν πολλῶν καὶ τῶν ἐπαίνων; Καὶ ὅμως ἡ δόξα δὲν εἶναι τίποτε ἄλλο παρὰ αὐτά. Ἀλλὰ δὲν μοῦ χρειάζεται αὐτή, λέγει· ζητῶ ἐξουσίαν καὶ τιμήν. Ἀλλ' ὁπωσδήποτε αὐτοὶ ποὺ τὸν ἐπαινοῦν, καὶ θὰ τὸν τιμήσουν. Ἐὰν δὲ ἐπιθυμῇς νὰ ἔχῃ ὁ υἱός σου ἐξουσίαν καὶ νὰ προΐσταται, θὰ εὕρωμεν καὶ αὐτὰ νὰ ὑπάρχουν μᾶλλον εἰς αὐτοὺς περισσότερον ἀπὸ ὅσον τὰ προηγούμενα. Καὶ δυνάμεθα μὲν νὰ τὸ ἀποδείξωμεν αὐτὸ καὶ μὲ παραδείγματα, διὰ νὰ ἔλθωμεν ὅμως εἰς τὸν τρόπον ἐπιχειρηματολογίας ποὺ σὲ παρηγορεῖ ὑπερβολικά, ἂς ἐφαρμόσωμεν αὐτὴν τὴν σκέψιν ὄχι εἰς ἄλλους ἀλλ' εἰς τὸ ἴδιον τὸ παιδί σου. Τί δηλαδὴ νομίζεις ὅτι εἶναι ἀπόδειξις τῆς μεγίστης δυνάμεως; Μήπως δὲν εἶναι τὸ νὰ ἠμπορῇ κανεὶς νὰ ἀποκρούῃ τοὺς βλάπτοντας καὶ νὰ ἀνταμείβῃ τοὺς εὐεργέτας; Ὅλην αὐτὴν λοιπὸν τὴν δύναμιν οὔτε εἰς τὸν βασιλέα θὰ ἠδύνατο κανεὶς νὰ εὕρῃ· διότι ἔχει πολλοὺς βλάπτοντας, τοὺς ὁποίους δὲν ἠμπορεῖ νὰ τιμωρήσῃ, καὶ πολλοὺς εὐεργέτας, τοὺς ὁποίους δὲν ἠμπορεῖ νὰ ἀνταμείψῃ. Καὶ διότι, ἂν καὶ ἐπεθύμησε νὰ τιμωρήσῃ ἐχθροὺς ποὺ πολλάκις τὸν ἔβλα-

λεμίους, καὶ μυρία αὐτὸν εἰργασμένους κακά, ἀμύνασθαι ἐπεθύμησε μέν, οὐκ ἴσχυσε δέ· καὶ φίλους δὲ μεγάλα ἐπιδειξαμένους ἐκεῖ κατορθώματα, οὐκ ἔσχε τοῖς ἴσοις ἀμείψασθαι, προαναρπασθέντας τῆς ἀντιδόσεως, καὶ ἐν αὐτῷ τῷ πολέμῳ 5 πεσόντας.

Τί οὖν, ἂν ταύτης τῆς δυνάμεως, ἧς οὐδὲ βασιλεῖς ἀπολαύουσιν, ὡς ὁ λόγος ἀπέδειξεν, ἑτέραν πολλῷ μείζονα καὶ τὸν υἱὸν ἔχοντα ἀποδείξωμεν τὸν σόν; Καὶ μηδεὶς ἴσως τὰ ἐν τοῖς οὐρανοῖς ἀγαθὰ ὑπολάβοι λεγόντων ἡμῶν, οἷς 10 ἀπιστεῖς· οὐχ οὕτως ἐπιλελήσμεθα τῶν ὑποσχέσεων· ἀλλ' ἀπὸ τῶν ἐνταῦθα γινομένων παρεξόμεθα τὴν ἀπόδειξιν. Εἰ γὰρ δύναμις αὕτη μεγίστη, τὸ λυποῦντας δύνασθαι ἀμύνεσθαι, πολλῷ μεῖον ταύτης τὸ τοιαύτην εὑρεῖν τοῦ βίου κατάστασιν, ἐν ᾗ μὲν οὐδ' ἂν ἐθέλῃ τις λυπῆσαι δυνήσεται· ὅτι γὰρ ἐ-15 κείνου τοῦτο μεῖζον, ἂν ἐφ' ἕτερον παράδειγμα τὸν λόγον ἀγάγωμεν, δῆλον ἡμῖν ἔσται καὶ φανερόν. Εἰπὲ γάρ μοι, τί βέλτιον, οὕτως ἔμπειρον εἶναι τὰ πολεμικά, ὡς μηδένα τῶν τιτρωσκόντων ἡμᾶς ἄτρωτον διαφυγεῖν, ἢ σῶμα κεκτῆσθαι τοιοῦτον, ὡς μηδένα, κἂν μυρία ποιῇ, δύνασθαι πλῆξαι 20 τὸ σῶμα; Παντί που δῆλον, ὅτι τοῦτο ἐκείνου καὶ δυνατώτερον καὶ θειότερον· καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ ὃ πολλῷ τούτου ἀνώτερον. Ποῖον δὴ τοῦτο; Τὸ φάρμακα εἰδέναι, δι' ὧν ἀφανισθήσεται τὰ τραύματα πάντα. Τριῶν τοίνυν τρόπων ὄντων, ἑνὸς μὲν τοῦ δύνασθαι τοὺς ἀδικοῦντας ἀμύνεσθαι, 25 ἑτέρου δὲ ἀνωτέρου τοῦ καὶ τὰ οἰκεῖα τραύματα θεραπεύειν· οὐ γὰρ ἕπεται τοῦτο πάντως ἐκείνῳ· τρίτου δὲ τοῦ μηδενὶ τῶν ὄντων ἀνθρώπων εὐχείρωτον εἶναι, ὃ δὴ καὶ

ψαν εἰς τὸν πόλεμον καὶ τοῦ ἐπροξένησαν χιλιάδας συμφοράς, ὅμως δὲν ἠδυνήθη· καὶ φίλους, οἱ ὁποῖοι ἐπέδειξαν ἐκεῖ μεγάλας ἀνδραγαθίας, δὲν ἠδυνήθη νὰ τοὺς ἀνταμείψῃ ἐπαξίως, διότι ἐχάθησαν πρὸ τῆς ἀνταμοιβῆς καὶ ἐφονεύθησαν εἰς τὸν πόλεμον.

Τί θὰ εἴπῃς λοιπόν, ἂν ἀποδείξω ὅτι ὁ υἱός σου ἔχει πολὺ μεγαλυτέραν δύναμιν ἀπὸ αὐτήν, τὴν ὁποίαν οὔτε οἱ βασιλεῖς ἀπολαμβάνουν, ὅπως ἀπέδειξεν ὁ λόγος; Καὶ νὰ μὴ νομίσῃ κανεὶς ὅτι ὁμιλῶ περὶ τῶν οὐρανίων ἀγαθῶν, εἰς τὰ ὁποῖα δὲν πιστεύεις· δὲν λησμονῶ τόσον εὔκολα τὰς ὑποσχέσεις. Θὰ δώσω τὴν ἀπόδειξιν ἀπὸ αὐτὰ ποὺ συμβαίνουν ἐδῶ. Διότι ἂν εἶναι μεγάλη αὐτὴ ἡ δύναμις, δηλαδὴ τὸ νὰ ἠμπορῇ κανεὶς νὰ τιμωρῇ τοὺς βλάπτοντας, πολὺ μεγαλυτέρα αὐτῆς εἶναι τὸ νὰ εὕρῃ κανεὶς τέτοιαν κατάστασιν τοῦ βίου, εἰς τὴν ὁποίαν οὔτε καὶ ἂν θέλῃ, νὰ μὴ δύναται νὰ ἐκδικηθῇ· καὶ ἂν θέλῃ κανεὶς νὰ βλάψῃ δὲν θὰ τὸ κατορθώσῃ. Ὅτι δὲ αὐτὸ εἶναι μεγαλύτερον ἀπὸ ἐκεῖνο θὰ γίνῃ φανερὸν καὶ σαφές, ἂν ὁμιλήσω μὲ ἄλλο παράδειγμα. Εἰπέ μου δηλαδή, τί εἶναι καλύτερον, τὸ νὰ εἶναι κανεὶς τόσον ἔμπειρος εἰς τὴν τέχνην τοῦ πολέμου, ὥστε κανεὶς ἀπὸ αὐτοὺς ποὺ μᾶς τραυματίζουν νὰ μὴ φεύγῃ ἀτραυμάτιστος, ἢ τὸ νὰ ἔχῃ τέτοιο σῶμα, ὥστε, κανείς, καὶ ἂν ἀκόμη μετέλθῃ χιλίους τρόπους, νὰ μὴ δύναται νὰ κτυπήσῃ τὸ σῶμα; Εἶναι φανερὸν εἰς τὸν καθένα ὅτι αὐτὸ εἶναι καὶ ἰσχυρότερον καὶ θειότερον ἀπὸ ἐκεῖνο. Καὶ ὄχι μόνον αὐτό, ἀλλὰ καὶ κάτι ἄλλο πολὺ ἀνώτερον ἀπὸ αὐτό. Ποῖον λοιπὸν εἶναι αὐτό; Τὸ νὰ γνωρίζῃ κανεὶς τὰ φάρμακα διὰ τῶν ὁποίων θὰ ἐξαφανισθοῦν ὅλα τὰ τραύματα. Τρεῖς λοιπὸν εἶναι οἱ τρόποι· ὁ μὲν ἕνας εἶναι νὰ ἠμπορῇ κανεὶς νὰ ἀντιμετωπίζῃ αὐτοὺς ποὺ τοῦ προξενοῦν κακόν, ἄλλος δὲ ἀνώτερος νὰ δύναται καὶ τὰ τραύματά του νὰ θεραπεύσῃ διότι αὐτὸ δὲν ἀκολουθεῖ κατ' ἀνάγκην ἐκεῖνο. Τὸν τρίτον δὲ τρόπον, δηλαδὴ τὸ νὰ μὴ εἶναι κανεὶς εὐάλωτος ὑπὸ οὐδενὸς ἀνθρώπου, πρᾶγμα ποὺ εἶναι καὶ ὑπε-

μεῖζον φύσεως ἀνθρωπίνης ἐστί, τοῦτο τὸν υἱὸν τὸν σὸν ἔχοντα ἀποδείξομεν.

7. *Καὶ ὅτι οὐ ψόφος ταῦτα τὰ ῥήματα, καὶ ταύτης τῆς μεγάλης δυνάμεως ἑτέραν πάλιν μείζονα μεταξὺ ζητοῦντες* 5 *εὑρήκαμεν. Οὐ γὰρ δὴ μόνον οὐ δυναμένους, ἀλλ' οὐδὲ βουλομένους ἐκείνων βλάψαι τινὰς ὄψεταί τις· ὥστε διπλᾶ τὰ τῆς ἀσφαλείας αὐτῷ. Τί οὖν θειότερον γένοιτ' ἂν ταύτης τῆς ζωῆς, ἐν ᾗ μηδεὶς μήτε ἐθελήσῃ, μήτε ἂν ἐθέλῃ δυνήσεται ποιῆσαι κακῶς; καὶ μάλιστα, ὅταν τὸ μὴ θέλειν οὐκ* 10 *ἐκ τοῦ μὴ δύνασθαι γίνηται, καθάπερ ἐπὶ πολλῶν, ἀλλ' ἐκ τοῦ μηδεμίαν αἰτίαν εὑρεῖν. Ἐπεί, εἴ γε τοῦτο ἦν καθ' ἑαυτό, τὸ μὴ δύνασθαι λέγω, οὐδὲν τοσοῦτον ἦν· μῖσος γὰρ ἂν ἐτέχθη πολὺ τοῖς θέλουσι μέν, οὐ δυναμένοις δὲ ἀδικεῖν· οὐ μικρὸς δὲ καὶ οὗτος μακαριότητος τρόπος. Αὐτὸ δὴ οὖν* 15 *τοῦτο ἐξετάσωμεν, εἰ δοκεῖ, πρῶτον.*

Τίς οὖν, εἰπέ μοι, τὸν οὐδὲν κοινὸν ἔχοντα πρὸς ἀνθρώπους, οὐ συμβολαίων ἕνεκεν, οὐ γῆς, οὐ χρημάτων, οὐ πραγμάτων, οὐκ ἄλλου οὐδενός, ἐθελήσει βλάψαι ποτέ; ὑπὲρ ποίας χώρας φιλονεικήσει πρὸς αὐτόν, ὑπὲρ τίνων ἀνδραπό- 20 *δων, ὑπὲρ ποίας δόξης; τί δεδοικώς, ὑπὸ τίνος δακνόμενος; Ἢ γὰρ φθόνῳ, ἢ δέει, ἢ ὀργῇ κινούμεθα πρὸς τὸ βλάπτειν ἑτέρους. Ἀλλ' οὗτος ὁ βασιλικώτατος πάντων ἐστὶν ἀνώτερος. Τίς γὰρ φθονήσει τῷ πάντων καταγελῶντι τούτων, περὶ ἃ κόπτονται ἕτεροι καὶ σπουδάζουσι; τίς δὲ* 25 *ὀργιεῖται μηδὲν ἠδικημένος, τίς δὲ φοβηθήσεται, μηδὲν ὑποπτεύων; Οὐκοῦν, ὅτι μὲν οὐ βουλήσονταί τινες ἀδικεῖν, ἐκ τούτου δῆλον· ὅτι δὲ οὐδ' ἂν ἐθέλωσι δυνήσονται, καὶ τοῦτο ὁμοίως ἐκείνῳ δῆλον. Οὐ γὰρ ἔχει τὰς ἀφορμάς,*

ράνω τῆς ἀνθρωπίνης φύσεως, θὰ ἀποδείξωμεν ὅτι τὸν κατέχει ὁ υἱός σου.

7. Καὶ ὅτι αὐτὰ τὰ λόγια δὲν εἶναι ἁπλοῦς θόρυβος τὸ δεικνύει τὸ ὅτι ἐν τῷ μεταξὺ ἀνεζήτησα καὶ εὗρῆκα, ἀπὸ αὐτὴν τὴν μεγάλην δύναμιν ἄλλην μεγαλυτέραν πάλιν. Διότι θὰ παρατηρήσῃ κανεὶς ὅτι ὄχι μόνον δὲν δύνανται, ἀλλὰ οὔτε θέλουν νὰ βλάψουν ὡρισμένους ἐξ αὐτῶν· ὥστε ἡ ἀσφάλειά του εἶναι διπλῆ. Τί λοιπὸν θὰ ἦτο θειότερον ἀπὸ τὴν ζωὴν αὐτήν, εἰς τὴν ὁποίαν κανεὶς οὔτε θὰ θελήσῃ, οὔτε καὶ ἂν θέλῃ θὰ ἠμπορέσῃ νὰ πράξῃ τὸ κακόν; Καὶ μάλιστα, ὅταν τὸ νὰ μὴ θέλῃ δὲν προέρχεται ἀπὸ τὸ ὅτι δὲν ἠμπορεῖ, ὅπως συμβαίνει εἰς πολλούς, ἀλλ' ἐκ τοῦ ὅτι δὲν εὑρίσκει καμμίαν αἰτίαν. Πράγματι δὲν θὰ ἦτο καὶ τόσον σπουδαῖον ἐὰν ἦτο μόνον αὐτό, τὸ ὅτι δὲν ἠμπορεῖ δηλαδή· διότι θὰ ἐγεννᾶτο πολὺ μῖσος εἰς τοὺς θέλοντας μέν, μὴ δυναμένους ὅμως νὰ κάμουν κακόν· δὲν εἶναι δὲ εὐκαταφρόνητος τρόπος μακαριότητος καὶ αὐτός. Αὐτὸ λοιπόν, ἐὰν συμφωνῇς, θὰ ἐξετάσωμεν πρῶτον.

Ποῖος λοιπόν, εἰπέ μου, θὰ θελήσῃ νὰ βλάψῃ ποτὲ τὸν μὴ ἔχοντα κανένα κοινὸν πρὸς τοὺς ἀνθρώπους, οὔτε λόγῳ συμβολαίων ἢ κτημάτων ἢ χρημάτων, οὔτε διὰ κάτι ἄλλο; Διὰ ποῖα κτήματα θὰ φιλονεικήσῃ μὲ αὐτόν; Διὰ ποίους δούλους, διὰ ποίαν δόξαν; ἀπὸ τί φοβούμενος, ἀπὸ ποῖον ἐρεθιζόμενος; Διότι διὰ νὰ βλάψωμεν τοὺς ἄλλους κινούμεθα ἢ ἀπὸ φθόνον ἢ ἀπὸ φόβον ἢ ἀπὸ ὀργήν. Ἀλλ' αὐτὸς ὁ βασιλικώτατος εἶναι ἀνώτερος ὅλων. Διότι ποῖος θὰ φθονήσῃ ὅποιον περιφρονεῖ ὅλα αὐτά, διὰ τὰ ὁποῖα ἄλλοι καταπονοῦνται καὶ μεριμνοῦν; Ποῖος θὰ ὀργισθῇ, χωρὶς καθόλου ν' ἀδικηθῇ; Ποῖος θὰ φοβηθῇ χωρὶς νὰ ἔχῃ καμμίαν ὑποψίαν; Ἑπομένως ὅτι δὲν θὰ θελήσουν μερικοὶ νὰ τὸν ἀδικήσουν εἶναι φανερὸν ἀπὸ αὐτό· ὅτι δέ, οὔτε καὶ ἂν θέλουν θὰ ἠμπορέσουν, καὶ αὐτὸ εἶναι ἐξ ἴσου φανερὸν μὲ ἐκεῖνο. Διότι δὲν δίδει ἀφορμὰς καὶ λαβὰς ἀ-

οὐδὲ τὰς λαβάς, ὅθεν ἄν τις αὐτὸν κατάσχοι· ἀλλ' ὥσπερ ἀετὸς ὑψηλὰ πετόμενος παγίδι στρουθῶν οὐκ ἂν ἁλῴη ποτέ, οὕτω καὶ οὗτος. Πόθεν γὰρ αὐτόν τις βλάψαι δυνήσεται; Χρήματα οὐκ ἔστι παρ' αὐτῷ, ἵνα ἀπειλήσῃ ζημίαν· πατρίδα
5 *οὐκ ἔχει, ἵνα τὴν ὑπερορίαν ἐπανατείνηται· δόξης οὐκ ἐφίεται, ἵνα εἰς ἀτιμίαν ἀγάγῃ· ἕν ἐστι τὸ λειπόμενον, θάνατος· ἀλλ' ἐνταῦθα μάλιστα οὐ δυνήσεται αὐτὸν λυπῆσαί ποτε, ἀλλὰ καὶ ὠφελήσει τὰ μέγιστα. Πρὸς γὰρ ἑτέραν αὐτὸν πέμπει ζωήν, τὴν ποθουμένην αὐτῷ, καὶ δι' ἣν ἅπαντα πράττει καὶ*
10 *πραγματεύεται· ὥστε τοῦτο ἀπαλλαγὴ πόνων ἐστί, καὶ οὐ τιμωρία, ἀλλ' ἱδρώτων λύσις καὶ ἀνάπαυλα.*

Βούλει καὶ ἕτερον τρόπον τῆς δυνάμεως αὐτοῦ μαθεῖν, πολλῷ τούτου φιλοσοφώτερον; Κἂν γὰρ μυρία τις αὐτὸν ἐργάσηται δεινά, κἂν μαστίξῃ, κἂν δήσῃ, τὸ μὲν σῶμα πλήτ-
15 *τεται διὰ τὴν φύσιν, ἡ δὲ ψυχὴ ἄπληκτος διὰ τὴν φιλοσοφίαν μένει· οὐδὲ γὰρ ἁλίσκεται θυμῷ, οὐ χειροῦται μίσει, οὐκ ἀπεχθείᾳ καταγωνίζεται. Καὶ οὔπω τοῦτο μέγα, ἀλλὰ τὸ πολλῷ τούτου θαυμαστότερον· καθάπερ γὰρ εὐεργέτας καὶ προστάτας, οὕτω φιλεῖ τοὺς τὰ τοιαῦτα ἐργασαμένους, οὕτως*
20 *εὔχεται πάντα αὐτοῖς γενέσθαι τὰ ἀγαθά. Καίτοι τί τοσοῦτον ἔδωκας ἂν αὐτῷ, εἰ μυριάκις αὐτὸν βασιλέα τῆς οἰκουμένης ἐποίησας, καὶ ἐπὶ μυρίοις ἔτεσι τὴν βασιλείαν ἐξέτεινας; πόσης ἁλουργίδος τοῦτο τὸ κτῆμα, πόσης ἀρχῆς, πόσης δόξης οὐ τιμιώτερον; τί οὐκ ἄν τις προήκατο, ὥστε*
25 *ψυχὴν τοιαύτην λαβεῖν; Ἐμοὶ δοκεῖ καὶ τοὺς σφόδρα φιλοσωμάτους ἑλεῖν ἂν ταύτης τῆς ζωῆς τὴν ἐπιθυμίαν.*

πὸ ὅπου θὰ ἠμποροῦσε κανεὶς νὰ τὸν πιάσῃ· ἀλλ' ὅπως ὁ ἀετὸς ποὺ πετᾷ ὑψηλὰ δὲν θὰ ἔπιπτε ποτὲ εἰς παγίδα σπουργιτιῶν, ἔτσι καὶ αὐτός. Πράγματι ἀπὸ ποῦ ἀφορμώμενος θὰ ἠμπορέσῃ κανεὶς νὰ τὸν βλάψῃ; Χρήματα δὲν ἔχει, διὰ νὰ τὸν ἀπειλήσῃ μὲ ζημίαν· πατρίδα δὲν ἔχει, διὰ νὰ τὸν ἀπειλῇ μὲ ἐξορίαν· δὲν ἐπιθυμεῖ δόξαν, διὰ νὰ τὸν ὁδηγήσῃ εἰς ἀτιμίαν. Ἕνα μόνον ὑπολείπεται, ὁ θάνατος· ἀλλ' ἐδῶ ἀκόμη περισσότερον δὲν θὰ ἠμπορέσῃ νὰ τὸν λυπήσῃ ποτέ, ἀντιθέτως, μάλιστα, θὰ τὸν ὠφελήσῃ πάρα πολύ. Διότι τὸν στέλλει εἰς ἄλλην ζωήν, τὴν ὁποίαν αὐτὸς ποθεῖ, καὶ ἐξ αἰτίας τῆς ὁποίας κάμνει τὰ πάντα καὶ ἀγωνίζεται· ὥστε τοῦτο εἶναι ἀπαλλαγὴ ἀπὸ τοὺς πόνους καὶ ὄχι τιμωρία, εἶναι παῦσις τοῦ ἱδρῶτος καὶ ἀνάπαυσις.

Θέλεις νὰ μάθῃς καὶ ἄλλην ἔκφρασιν τῆς δυνάμεως αὐτοῦ, πολὺ φιλοσοφικωτέραν ταύτης; Καὶ ἂν ἀκόμη δηλαδὴ τοῦ προξενήσῃ κανεὶς ἀπείρους συμφοράς, καὶ ἂν τὸν μαστιγώσῃ, καὶ ἂν τὸν δέσῃ, τὸ μὲν σῶμα ὑποφέρει ὡς ἐκ τῆς φύσεώς του, ἡ δὲ ψυχὴ παραμένει ἄθικτος ἐξ αἰτίας τῆς φιλοσόφου διαθέσεώς του. Διότι, οὔτε κυριεύεται ἀπὸ θυμὸν οὔτε αἰχμαλωτίζεται ἀπὸ μῖσος οὔτε ἐξ ἀπεχθείας μάχεται ἐναντίον τινός. Καὶ δὲν εἶναι αὐτὸ τὸ σπουδαῖον, ἀλλὰ τὸ πολὺ θαυμαστότερον αὐτοῦ εἶναι τὸ ἑξῆς· ὡσὰν δηλαδὴ εὐεργέτας καὶ προστάτας ἀγαπᾷ αὐτοὺς οἱ ὁποῖοι ἐνήργησαν τοιουτοτρόπως καὶ εὔχεται νὰ ἔχουν ὅλα τὰ ἀγαθά. Ἂν καί, τί τὸ σπουδαῖον θὰ τοῦ ἔδιδες, ἐὰν μυριάκις τὸν ἀνηγόρευες βασιλέα τῆς οἰκουμένης καὶ παρέτεινες ἐπὶ χιλιάδας ἐτῶν τὴν βασιλείαν; Ποίας πορφυρᾶς ἐσθῆτος, ποίας δόξης δὲν εἶναι πολυτιμότερον αὐτὸ τὸ ἀπόκτημα; Τί δὲν θὰ ἔδιδεν, ὥστε νὰ λάβῃ τέτοιαν ψυχήν; Ἐγὼ νομίζω ὅτι καὶ αὐτοὶ ποὺ ἀγαποῦν πάρα πολὺ τὸ σῶμα θὰ ἐπροτίμων τὴν ἐπιθυμίαν αὐτῆς τῆς ζωῆς.

Βούλει καὶ ἑτέρωθεν τὴν δύναμιν ἰδεῖν τοῦ ἀνδρὸς θαυμαστοτέραν καὶ ἡδίστην, ἀπὸ μέρους ταπεινοτέρου μέν, σοὶ δὲ μάλιστα ἡδίστου; Τὰ μὲν γὰρ εἰρημένα δείκνυσιν αὐτὸν ἀχείρωτον ὄντα καὶ ἀνάλωτον· ὅτι δὲ καὶ ἑτέρων 5 προστήσεται, καὶ ἐν ἀσφαλείᾳ καταστήσει πολλῇ, τοῦτο ἴσως ζητεῖς μαθεῖν. Τοῦτο μὲν οὖν πρώτη ἐστὶ προστασία, τὸ καὶ ἑτέρους εἰς τὸν αὐτὸν ζῆλον ἀγαγεῖν, καὶ οὕτω ποιῆσαι ἰσχυρούς· εἰ δὲ μὴ θέλοιεν, ἀλλὰ τὴν ἀνθρωπινωτέραν ταύτην καὶ γηΐνην μετέρχοιντο ζωήν, καὶ ἐν ταύτῃ πάλιν ὄψει 10 δύναμιν αὐτὸν ἔχοντα τοῦ πλουτοῦντός σου μείζονα τὸν μηδὲν ἔχοντα δι' αὐτὸ τοῦτο μάλιστα τὸ μηδὲν ἔχειν. Τίς γὰρ μετὰ πλείονος ἐξουσίας διαλέξεται βασιλεῖ καὶ ἐπιτιμήσει; σὺ ὁ τοσαῦτα κεκτημένος, καὶ ὑπεύθυνος ὢν διὰ ταῦτα καὶ τοῖς ἐκείνου δούλοις, καὶ ὑπὲρ ἁπάντων τρέμων, καὶ μυρίας 15 αὐτῷ παρέχων λαβάς, εἰ βούλοιτό σε ἀδικεῖν ὀργισθείς, ἢ οὗτος ὁ τῶν ἐκείνου χειρῶν ἀνώτερος ὤν; Βασιλεῦσι μὲν γὰρ οὗτοι μάλιστα διελέχθησαν μετ' ἐξουσίας πολλῆς, ὅσοι πάντων ἐγένοντο τῶν βιωτικῶν ἐκτός. Τίνι δὲ μᾶλλον εἴξει καὶ ἐπακούσεται ὁ ἐν δυνάμει ὤν, καὶ ἐν τοῖς βασιλείοις 20 στρεφόμενος, τῷ πλουτοῦντί σοι, καὶ ὃν ὑποπτεύει ἕνεκα χρημάτων πολλὰ πολλάκις ποιεῖν ἢ τῷ μίαν ἔχοντι τῶν ἐπιταγμάτων ὑπόθεσιν, τὴν εἰς τοὺς ἄλλους φιλανθρωπίαν; Τίνα τιμήσει καὶ θαυμάσεται, περὶ οὗ μηδὲν ταπεινὸν ὑποπτεῦσαι δύναιτ' ἄν, ἢ τὸν καὶ τῶν οἰκετῶν ταπεινότερον εἶναι 25 νομιζόμενον τῶν αὐτοῦ; Καθάπερ γὰρ ἐν χρήμασιν, ὅταν ἀναλίσκειν δέοι, ἐκείνοις ὑπακούουσι μᾶλλον, οὕτω καὶ προστῆναι κελεύουσιν.

Εἰ δὲ βούλει, μηδὲν δι' ἑτέρων ἀνυέτω, ἀλλὰ δι' ἑαυτοῦ· καὶ τὸν κακῶς παθόντα καὶ πρὸς τοῦτον ἀγάγωμεν καὶ

Θέλεις νὰ ἰδῇς τὴν δύναμιν τοῦ ἀνδρὸς πλέον θαυμαστὴν καὶ εὐχάριστον καὶ ἀπὸ ἄλλην ἄποψιν, ἄποψιν βεβαίως ταπεινὴν ἀλλὰ πολὺ ἀγαπητὴν εἰς ἐσέ; Αὐτὰ δηλαδὴ ποὺ ἔχουν λεχθῇ ἀποδεικνύουν ὅτι αὐτὸς οὔτε αἰχμαλωτίζεται οὔτε κυριεύεται· ὅτι δὲ καὶ ἄλλων θὰ προΐσταται καὶ θὰ τοὺς καταστήσῃ πολὺ ἀσφαλεῖς, ἴσως αὐτὸ ζητεῖς νὰ μάθῃς. Αὐτὸ λοιπὸν εἶναι ἡ καλυτέρα κηδεμονία, τὸ νὰ φέρῃ καὶ ἄλλους εἰς αὐτὸν τὸν ζῆλον καὶ ἔτσι νὰ τοὺς κάμῃ ἰσχυρούς. Ἂν ὅμως δὲν θέλουν, ἀλλὰ ζοῦν αὐτὴν τὴν κοσμικωτέραν καὶ γηΐνην ζωήν, καὶ εἰς αὐτὴν πάλιν θὰ τὸν ἰδῇς νὰ ἔχῃ δύναμιν μεγαλυτέραν ἀπὸ ἐσὲ τὸν πλούσιον, αὐτὸν ποὺ δὲν ἔχει τίποτε, ἀκριβῶς διὰ τὸν λόγον αὐτόν, δηλαδὴ ἐπειδὴ δὲν ἔχει τίποτε. Διότι, ποῖος θὰ ὁμιλήσῃ μὲ περισσότερον θάρρος πρὸς τὸν βασιλέα; καὶ ποῖος θὰ τὸν ἐλέγξῃ; Σὺ ποὺ ἔχεις τόσον πολλὰ καὶ ἐπομένως ὑπόκεισαι δι' αὐτὰ εἰς τοὺς ὑπαλλήλους του, καὶ τρέμεις δι' ὅλα καὶ δίδεις εἰς αὐτὸν χιλιάδας ἀφορμὰς διὰ νὰ σὲ ἀδικήσῃ ἀπὸ ὀργὴν ἂν ἤθελεν, ἢ αὐτὸς ποὺ εἶναι ὑπεράνω τῶν χειρῶν ἐκείνου; Διότι μὲ βασιλεῖς ὡμίλησαν θαρραλεώτερα αὐτοὶ ποὺ περιεφρόνησαν τὰ ἐγκόσμια. Εἰς ποῖον δὲ θὰ ὑποχωρήσῃ περισσότερον καὶ ποῖον θὰ εἰσακούσῃ ὁ ἔχων τὴν ἐξουσίαν καὶ ζῶν μέσα εἰς τὰ ἀνάκτορα; Εἰς ἐσὲ τὸν πλούσιον, τὸν ὁποῖον ὑποψιάζεται ὅτι καὶ ἐξ αἰτίας τῶν χρημάτων πράττει πολλάκις πολλά, ἢ εἰς αὐτὸν ποὺ ἔχει ἀφιερωθῇ εἰς ἓν ἰδανικόν, δηλαδὴ εἰς τὸ νὰ εὐεργετῇ τοὺς ἄλλους; Ποῖον θὰ ἐκτιμήσῃ καὶ θὰ θαυμάσῃ περισσότερον; Αὐτὸν ποὺ δὲν θὰ ἠδύνατο νὰ ὑποπτευθῇ διὰ τίποτε, ἢ αὐτὸν ποὺ θεωρεῖται ὑποδεέστερος καὶ τῶν δούλων του; Διότι ὅπως ἀκριβῶς ὅταν πρόκειται νὰ διαθέσουν χρήματα εἰς ἐκείνους ὑπακούουν μᾶλλον, ἔτσι διατάσσουν καὶ νὰ προΐστανται ἐκεῖνοι.

8. Ἐὰν δὲ θέλῃς, ἂς μὴ ἐφαρμόσωμεν αὐτὰ εἰς ἄλλους, ἀλλ' εἰς τὸν ἑαυτόν σου· καὶ τὸν κακοπαθήσαντα ἂς τὸν ὁδηγήσωμεν καὶ πρὸς τὸν μοναχὸν υἱόν σου καὶ πρὸς σέ, μᾶλ-

πρὸς σέ, μᾶλλον δὲ μὴ πρὸς σέ, ἀλλὰ πρὸς αὐτὸν τὸν βασιλεύοντα· εἶτα ἴδωμεν τίς μᾶλλον προνοῆσαι δυνήσεται τούτου. Καὶ πρῶτος ἀγέσθω τῶν ἄλλων ὁ πάντων δεινότατα πεπονθώς. Ἔστω γάρ τις υἱὸν ἔχων μονογενῆ, καὶ
5 *ἐν ἀκμῇ τῆς ὥρας αὐτὸν ἀποβαλέτω. Τοῦτον οὔτε ἄρχων, οὔτε βασιλεύς, οὔτε ἄλλος τις ὠφελῆσαι δυνήσεται, μήτι γε σύ· οὐδὲν γὰρ αὐτῷ δώσεις τοιοῦτον, οἷον ἀπολώλεκεν. Ἐὰν δὲ πρὸς τὸν υἱὸν ἀνάγῃς τὸν σόν, πρῶτον μὲν αὐτὸν ἀπό τε τῆς ὄψεως, ἀπό τε τοῦ σχήματος, ἀπό τε τῆς οἰκήσεως*
10 *ἀναστήσει ταχέως, καὶ πείσει μηδὲν ἡγεῖσθαι τὰ ἀνθρώπινα· ἔπειτα δὲ καὶ λόγοις ἀπελάσει τὸ νέφος εὐκόλως. Ἀπὸ δὲ τῆς σῆς οἰκίας καὶ πλέον ἕξει τὸ πένθος ἐκεῖνος. Ὅταν γὰρ ἴδῃ ταύτην καθαρὰν οὖσαν κακῶν, καὶ πολλῆς εὐπραγίας γέμουσαν, καὶ κληρονόμον ἔχουσαν, μᾶλλον κατακαή-*
15 *σεται· ἐκεῖθεν δὲ ἡμερώτερος ἔσται καὶ φιλοσοφώτερος. Ὁρῶν γὰρ τοσαύτης μὲν οὐσίας ὑπερορῶντα τὸν σὸν υἱόν, τοσαύτης δὲ δόξης καὶ λαμπρότητος, οὐκ ἀλγήσει τῷ τελευτήσαντι τοσοῦτον. Πῶς γὰρ αὐτὸν δήξεται τὸ μηδένα κληρονόμον ἔχειν τῶν αὑτοῦ, ὅταν ἴδῃ τούτων πάντων καταφρονοῦντα*
20 *ἕτερον; Καὶ τοὺς περὶ φιλοσοφίας δὲ λόγους εὐκολώτερον παρ' ἐκείνου ἀκούσεται τοῖς ἔργοις ἐπαληθεύοντος. Σὺ δὲ ἂν χᾶναι τολμήσῃς μόνον, καὶ ἀθυμίας αὐτὸν ἐμπλήσεις πολλῆς, ἅτε ἐπ' ἀλλοτρίοις φιλοσοφῶν κακοῖς· ἐκεῖνος δὲ αὐτὸν διὰ τῶν πραγμάτων διδάσκων, πείσει ῥᾳδίως, ὅτι οὐ-*
25 *δὲν ὕπνου πλέον ὁ θάνατος ἔχει· οὐ γὰρ πολλοὺς ἀριθμήσει πατέρας τὰ αὐτὰ πεπονθότας ἐκείνῳ, ἀλλ' ἑαυτὸν δείξει καθ' ἑκάστην ἡμέραν ἐν τῷ σώματι μελετῶντα τὴν τελευτήν, καὶ πρὸς ταύτην παρεσκευασμένον ἀεί, καὶ τοὺς περὶ τῆς ἀναστάσεως λόγους πιστοτέρους ποιήσας, οὕτως ἀποπέμψει*

λον δὲ ὄχι πρὸς σέ, ἀλλὰ πρὸς τὸν ἴδιον τὸν βασιλέα. Ἔπειτα ἂς παρατηρήσωμεν, ποῖος θὰ ἠμπορέσῃ νὰ προνοήσῃ καλύτερα δι' αὐτόν. Καὶ πρῶτον ἂς φέρωμεν αὐτὸν ποὺ ἔπαθε τὰ μεγαλύτερα ἀπὸ τοὺς ἄλλους δεινά. Ἂς ὑποθέσωμεν ὅτι κάποιος ἔχει μοναχουιόν, καὶ τὸν χάνει ἐπάνω εἰς τὸ ἄνθος τῆς ἡλικίας του. Αὐτὸν οὔτε ἄρχων, οὔτε βασιλεύς, οὔτε κανεὶς ἄλλος θὰ ἠμπορέσῃ νὰ τὸν ὠφελήσῃ, οὔτε βέβαια καὶ σύ· διότι δὲν πρόκειται νὰ τοῦ δώσῃς κάτι παρόμοιον πρὸς αὐτὸ ποὺ ἔχει χάσει. Ἐὰν ὅμως τὸν ὁδηγήσῃς πρὸς τὸν υἱόν σου, κατ' ἀρχὰς καὶ ἀπὸ τὴν ὄψιν καὶ ἀπὸ τὸ σχῆμα καὶ ἀπὸ τὴν κατοικίαν θὰ τὸν κάμῃ νὰ ἐκπλαγῇ καὶ θὰ τὸν πείσῃ νὰ θεωρῇ τὰ ἀνθρώπινα μηδαμινά. Ἔπειτα δὲ καὶ μὲ λόγια θὰ διαλύσῃ εὔκολα τὸ νέφος τῆς λύπης. Ἂν ὅμως ἐπισκεφθῇ τὸ ἰδικόν σου σπίτι θὰ αὐξήσῃ τὸ πένθος του. Διότι ὅταν ἰδῇ τὸ σπίτι σου ἀπηλλαγμένον ἀπὸ συμφορὰς καὶ γεμᾶτο ἀπὸ εὐτυχίαν καὶ ἔχον κληρονόμον, θὰ πονέσῃ περισσότερον. Ἀπὸ ἐκεῖ ὅμως θὰ γίνῃ ἡμερώτερος καὶ φιλοσοφώτερος. Διότι ὅταν ἰδῇ τὸν υἱόν σου νὰ περιφρονῇ τόσον μεγάλην περιουσίαν καὶ τόσην δόξαν καὶ λαμπρότητα, δὲν θὰ πονέσῃ τόσον πολὺ διὰ τὸν νεκρόν. Διότι πῶς θὰ τὸν πληγώσῃ τὸ ὅτι δὲν ἔχει κανένα κληρονόμον τῆς περιουσίας του, ὅταν ἰδῇ ἄλλον νὰ καταφρονῇ ὅλα αὐτά; Καὶ τοὺς περὶ φιλοσοφημένης ζωῆς λόγους εὐκολώτερα θὰ τοὺς ἀκούσῃ ἀπὸ ἐκεῖνον, διότι τοὺς ἐπαληθεύει ἐμπράκτως. Σὺ δέ, ἂν τολμήσῃς ν' ἀνοίξῃς καὶ μόνον τὸ στόμα σου, θὰ τὸν γεμίσῃς μὲ πολλὴν στενοχωρίαν, ἐπειδὴ φιλοσοφεῖς διὰ ξένα κακά. Ἐκεῖνος ὅμως δι' ἐμπράκτου διδασκαλίας, θὰ τὸν πείσῃ εὔκολα ὅτι ὁ θάνατος δὲν διαφέρει καθόλου ἀπὸ τὸν ὕπνον· διότι δὲν θ' ἀπαριθμήσῃ πολλοὺς πατέρας, οἱ ὁποῖοι ἔπαθαν τὰ ἴδια μὲ ἐκεῖνον, ἀλλὰ θὰ δείξῃ τὸν ἑαυτόν του νὰ ἐφαρμόζῃ καθημερινῶς εἰς τὸ σῶμά του τὸν θάνατον καὶ νὰ εἶναι ἕτοιμος πάντοτε διὰ τὸν θάνατον, καὶ ἀφοῦ καταστήσῃ τοὺς περὶ τῆς ἀναστάσεως λόγους ἀξιοπίστους, τότε θὰ τὸν ἀφήσῃ

τὸ πολὺ τῆς ὀδύνης ἀποθέμενον βάρος, καὶ τὸν συνδείπνων καὶ περιδείπνων πολλῷ μᾶλλον τὰ τούτου ῥήματα καὶ ἡ διὰ τῶν πραγμάτων ἐπίδειξις ῥᾷον τὸν παθόντα διαθεῖναι δυνήσεται. Καὶ τοῦτον μὲν οὕτως ἰάσεται.

5 *Ἀγέσθω δὲ πρὸς αὐτὸν καὶ ἕτερος, εἰ βούλει, νόσῳ μακρᾷ τοὺς ὀφθαλμοὺς ἐκκοπείς· τί τούτου δυνήσῃ προστῆναι; Ἐκεῖνος μὲν γὰρ δεικνὺς ὅτι οὐδὲν τοῦτο δεινόν, καταkεκλεισμένος τε ἐν οἰκίσκῳ μικρῷ, καὶ πρὸς ἕτερον ἐπειγόμενος φῶς, καὶ τὸ παρὸν οὐδὲν μέγα πρὸς ἐκεῖνο ἡγού-*
10 *μενος, παιδεύσει γενναίως τὴν συμφορὰν ἐνεγκεῖν. Ἀλλὰ σὺ τοὺς ἐπηρεαζομένους πεῖσαι δυνήσῃ φιλοσοφεῖν; Οὐδαμῶς, ἀλλὰ καὶ ἐνοχλήσεις μᾶλλον· τὰ γὰρ οἰκεῖα κακὰ ἐν τοῖς τῶν πέλας ἀγαθοῖς ἀκριβέστερον εἰώθαμεν καθορᾶν. Ὁ δὲ υἱὸς ὁ σὸς καὶ τούτους εὐκολώτερον ἀνακτήσεται. Πα-*
15 *ρίημι τὴν ἀπὸ τῶν εὐχῶν βοήθειαν, πολλῷ τούτων ἁπάντων οὖσαν μείζονα· παρίημι δέ, ἐπειδὴ πρὸς σέ μοι νῦν ὁ λόγος ἐστίν.*

Εἰ δὲ τιμᾶσθαι βούλει διὰ τὸν υἱὸν καὶ μὴ καταφρονεῖσθαι (εἰκὸς γάρ σε καὶ τούτων ἐρᾶν), οὐκ οἶδα πῶς ἂν
20 *ἑτέρως μᾶλλον ἔτυχες τούτου, ἢ παῖδα κτησάμενος τὴν ἀνθρωπίνην ὑπερβαίνοντα φύσιν, καὶ λαμπρὸν οὕτω πανταχοῦ τῆς οἰκουμένης φαινόμενον, καὶ μετὰ τῆς εὐδοκιμήσεως ταύτης οὐδὲ ἐχθρόν τινα ἔχοντα. Ἐν ἐκείνῃ μὲν γὰρ ὢν τῇ δυναστείᾳ, πολλοῖς μὲν αἰδέσιμος, πολλοῖς δὲ καὶ μισητὸς*
25 *ἦν· ἐνταῦθα δὲ πάντες αὐτὸν οἱ τιμῶντες μεθ' ἡδονῆς τοῦτο πράττουσιν. Εἰ γὰρ ταπεινοὶ καὶ ἐκ ταπεινῶν ὄντες τινὲς ἀγροίκων υἱοὶ καὶ χειροτεχνῶν, ἐπὶ τὴν φιλοσοφίαν ταύτην ἐλθόντες, οὕτως ἐγένετο τίμιοι πᾶσιν, ὡς μηδένα τῶν ἐν*

νὰ φύγῃ ἀνακουφισμένον ἀπὸ τὸ πολὺ βάρος τοῦ πόνου. Καὶ ἀπὸ τοὺς συνδαιτυμόνας καὶ προσκεκλημένους εἰς δεῖπνον, πολὺ περισσότερον οἱ λόγοι αὐτοῦ ὡς καὶ ἡ ἐν τῇ πράξει ἐφαρμογή των θὰ δημιουργήσουν καλὴν διάθεσιν εἰς τὸν παθόντα. Καὶ αὐτὸν μὲν ἔτσι θὰ τὸν θεραπεύσῃ.

Ἂς φέρωμεν ὅμως καὶ ἄλλον, ἂν ἐπιθυμῇς, ὁ ὁποῖος μετὰ μακροχρόνιον ἀσθένειαν ἔχασε τὸ φῶς του· εἰς τί θὰ ἠμποροῦσες νὰ τὸν ὠφελήσῃς; Διότι ἐκεῖνος μὲ τὸ νὰ δεικνύῃ ὅτι αὐτὸ δὲν εἶναι καθόλου φοβερόν, ἀφοῦ εἶναι κατάκλειστος εἰς μικρὰν οἰκίαν καὶ σπεύδει πρὸς ἄλλο φῶς, ἐν σχέσει πρὸς τὸ ὁποῖον θεωρεῖ τὸ παρὸν φῶς μηδαμινόν, θὰ τὸν διδάξῃ νὰ ὑποφέρῃ γενναίως τὴν συμφοράν. Ἀλλὰ ἐσὺ θὰ ἠμπορέσῃς νὰ πείσῃς αὐτοὺς ποὺ ὑποφέρουν νὰ φιλοσοφοῦν; Καθόλου· ἀντιθέτως θὰ τοὺς ἐνοχλήσῃς· διότι ἔχομεν συνηθίσει νὰ παρατηρῶμεν μὲ μεγαλυτέραν ὀδύνην τὰς ἰδικάς μας συμφοράς, ὅταν τὰς συγκρίνωμεν μὲ τὰ ἀγαθὰ τῶν συνανθρώπων μας. Ὁ υἱός σου ὅμως καὶ αὐτοὺς εὐκολώτερα θὰ τοὺς ἐπαναφέρῃ. Ἀφήνω κατὰ μέρος τὴν ἐκ τῶν προσευχῶν βοήθειαν, ποὺ εἶναι κατὰ πολὺ μεγαλυτέρα ὅλων αὐτῶν· τὴν ἀφήνω δέ, διότι τώρα ὁμιλῶ πρὸς σὲ τὸν ἄπιστον.

Ἐὰν θέλῃς δὲ νὰ ἐκτιμᾶσαι διὰ τὸν υἱόν σου, καὶ ὄχι νὰ καταφρονῆσαι (διότι εἶναι φυσικὸν νὰ ἐπιθυμῇς σφοδρῶς καὶ αὐτὰ) δὲν γνωρίζω, μὲ ποῖον ἄλλον τρόπον θὰ τὸ ἐπετύγχανες, παρὰ μὲ τὸ νὰ ἀποκτοῦσες παιδί, ποὺ νὰ ὑπερβαίνῃ τὴν ἀνθρωπίνην φύσιν, καὶ νὰ διαλάμπῃ εἰς ὅλην τὴν οἰκουμένην καὶ μαζὶ μὲ τὴν εὐδοκίμησιν αὐτὴν νὰ μὴ ἔχῃ ἐπὶ πλέον κανένα ἐχθρόν. Διότι ἐὰν ἦτο εἰς ἐκείνην τὴν ἐξουσίαν, εἰς πολλοὺς μὲν θὰ ἦτο σεβαστός, εἰς πολλοὺς ὅμως καὶ μισητός· ἐδῶ ὅμως, ὅλοι ὅσοι τὸν ἐκτιμοῦν, τὸ κάνουν αὐτὸ μὲ μεγίστην εὐχαρίστησιν. Διότι, ἐὰν μερικοὶ κατώτεροι καὶ καταγόμενοι ἀπὸ γονεῖς κατωτέρους, χωρικοὺς καὶ χειροτέχνας, ἀφοῦ προσῆλθον εἰς τὸν μοναχισμόν, ἔγιναν τόσον σεβαστοὶ εἰς ὅλους, ὥστε κανεὶς ἀπὸ

τοῖς μεγάλοις ὄντων ἀξιώμασιν αἰσθυνθῆναι πρὸς τὸ καταγώγιον τούτων ἐλθεῖν, καὶ λόγων μετασχεῖν καὶ τραπέζης, ἀλλ' ὥσπερ μεγάλων τινῶν ἀγαθῶν, ὅπερ οὖν καὶ ἔστιν, ἀπολαύσαντας οὕτω διατεθῆναι, πολλῷ μᾶλλον, ὅταν ἀπὸ λα- 5 *μπροῦ μὲν ὁρμώμενον γένους, λαμπρᾶς δὲ οὐσίας, τοσούτων δὲ ἐλπίδων, πρὸς ἐκείνην ἴδωσιν ἐλθόντα τὴν ἀρετήν, τοῦτο ἐργάσονται. Ὥστε ὃ μᾶλλον πενθεῖς, τὸ ἐκ τοιούτων ἐπ' ἐκεῖνα βαδίσαι, τοῦτό ἐστιν ὃ μάλιστα πάντων αὐτὸν εὐδόκιμον ποιεῖ, καὶ πάντας οὐχ ὡς ἀνθρώπῳ, ἀλλ' ὡς ἀγγέλῳ* 10 *τινὶ προσέχειν ἀναπείθει λοιπόν. Οὐ γὰρ δὴ ταῦτα, ἃ περὶ τῶν ἄλλων ὑποπτεύουσιν, ὑπονοήσουσι καὶ περὶ τούτου, ὅτι τιμῆς ἐρῶν, καὶ χρημάτων ἐφιέμενος, καὶ λαμπρὸς ἐκ ταπεινοῦ γενέσθαι ἐπιθυμῶν, ταύτην εἵλετο τὴν ὁδόν· ταῦτα γὰρ εἰ καὶ περὶ τῶν ἄλλων λεγόμενα ψευδῆ τέ ἐστι καὶ πο-* 15 *νηρίας ῥήματα, ἐπὶ τοῦ σοῦ παιδὸς οὔτε ὑπόνοιαν δυνήσεται παρασχεῖν.*

9. Καὶ μή τοι νομίσῃς βασιλέων ὄντων εὐσεβῶν ταῦτα γίνεσθαι μόνον, ἀλλὰ κἂν μεταπέσῃ τὰ τῆς ἀρχῆς καὶ οἱ κρατοῦντες ἄπιστοι γένωνται, καὶ τότε τὰ τοῦ παιδὸς ἔσται λα- 20 *μπρότερα. Οὐ γὰρ δὴ οἷα τὰ τῶν Ἑλλήνων τοιαῦτα καὶ τὰ παρ' ἡμῖν, οὐδὲ ταῖς τῶν κρατούντων ἕπεται γνώμαις, ἀλλ' ἕστηκεν ἐπὶ τῆς οἰκείας ἰσχύος, καὶ τότε μάλιστα φαίνεται, ὅταν μάλιστα πολεμῆται· ἐπεὶ καὶ ὁ στρατιώτης εὐδόκιμος μέν ἐστι καὶ εἰρήνης οὔσης, λαμπρότερος δὲ ἔσται καταλα-* 25 *βόντος πολέμου. Ὥστε καὶ Ἑλλήνων κρατούντων, ὁμοίως ἔσται σοι καὶ μειζόνως τὰ τῆς τιμῆς. Οἱ γὰρ δὴ τότε τὸν υἱὸν αἰδούμενοι τὸν σόν, πολλῷ μᾶλλον τοῦτο ποιήσουσιν, ὅταν παρατατιόμενον ἴδωσι, καὶ πλείονι κεχρημένον τῇ παρρησίᾳ, καὶ πολλὰς τῆς εὐδοκιμήσεως ἔχοντα τὰς ἀφορμάς.*

ὅσους εὑρίσκονται εἰς ὑψηλὰ ἀξιώματα νὰ μὴ ἐντρέπεται νὰ ἔλθῃ πρὸς τὸ ἡσυχαστήριον αὐτῶν, καὶ νὰ συνομιλήσῃ καὶ νὰ συμφάγῃ μετ' αὐτῶν, ἀλλὰ νὰ τοὺς ἀντιμετωπίζουν εὐνοϊκὰ ὡσὰν νὰ ἀπήλαυσαν μεγάλα ἀγαθά, ὅπως πράγματι εἶναι μεγάλα, πολὺ περισσότερον θὰ κάμουν τοῦτο, ὅταν τὸν ἰδοῦν, ἐνῷ κατάγεται ἀπὸ λαμπρὸν γένος, μὲ μεγάλην περιουσίαν καὶ μὲ τόσας προοπτικάς, νὰ στρέφεται πρὸς τὴν ἀρετὴν αὐτήν. Ὥστε αὐτὸ διὰ τὸ ὁποῖον πενθεῖς, τὸ ὅτι δηλαδὴ ἐγκατέλειψε τόσα ἀγαθὰ καὶ ἐπροτίμησεν ἐκεῖνα, αὐτὸ εἶναι, ποὺ περισσότερον ἀπὸ ὅλα τὸν καθιστᾷ ἐπιτυχημένον, καὶ καταπείθει ὅλους νὰ τὸν ἀκούουν ὄχι ὡς ἄνθρωπον ἀλλ' ὡς ἄγγελον. Διότι δὲν πρόκειται νὰ ὑπονοήσουν αὐτὰ ποὺ ὑποψιάζονται περὶ τῶν ἄλλων, ὅτι δηλαδὴ ἐξέλεξεν αὐτὴν τὴν ὁδὸν ἐπειδὴ δῆθεν ἀγαπᾷ τὴν δόξαν καὶ ἐπιδιώκει πλούτη καὶ ἐπιθυμεῖ ἀπὸ τὴν εὐτελῆ καταγωγὴν νὰ γίνῃ λαμπρός· διότι, ἐὰν αὐτὰ λεγόμενα περὶ τῶν ἄλλων εἶναι ψευδῆ καὶ συκοφαντικά, διὰ τὸ ἰδικόν σου παιδὶ οὔτε κἂν ὑποψίαν θὰ δημιουργήσουν.

9. Καὶ μὴ νομίσῃς φυσικὰ ὅτι αὐτὰ συμβαίνουν μόνον ὅταν ὑπάρχουν εἰς τὴν ἐξουσίαν εὐσεβεῖς βασιλεῖς, ἀλλὰ καὶ ἂν ἀλλάξῃ χεῖρας ἡ ἐξουσία καὶ ἀνέλθουν εἰς αὐτὴν ἄπιστοι, καὶ τότε ἀκόμη θὰ ἔχῃ μεγαλυτέραν λαμπρότητα ὁ υἱός σου. Διότι δὲν συμβαίνουν εἰς ἡμᾶς αὐτὰ ποὺ συμβαίνουν εἰς τοὺς εἰδωλολάτρας, οὔτε ἀκολουθεῖ ὑποδείξεις ἐξουσιαζόντων, ἀλλ' εἶναι στερεωμένος εἰς τὴν ἰδικήν του δύναμιν, καὶ τότε διακρίνεται περισσότερον, ὅταν περισσότερον πολεμῆται. Καὶ ὁ στρατιώτης ἄλλωστε εἶναι μὲν ἔνδοξος καὶ ἐν καιρῷ εἰρήνης, ὅμως καθίσταται ἐνδοξότερος ὅταν γίνῃ πόλεμος. Ὥστε καὶ ἐὰν ἐξουσιάζουν εἰδωλολάτραι, θὰ χαίρῃς τῆς ἰδίας καὶ μεγαλυτέρας τιμῆς. Διότι αὐτοὶ ποὺ ἐσέβοντο τότε τὸν υἱόν σου, πολὺ περισσότερον θὰ τὸ κάμουν αὐτὸ ὅταν τὸν ἰδοῦν ἑτοιμασμένον καὶ διαθέτοντα περισσότερον θάρρος καὶ ἔχοντα πολλὰς εὐκαιρίας εὐδοκιμήσεως.

Βούλει καὶ τὰ πρὸς σὲ ἐξετάσωμεν, ἢ περιττὸς οὗτος ὁ λόγος; Ὁ γὰρ πρὸς ἑτέρους οὕτως ἥμερος ὢν καὶ πρᾶ-ος, ὡς μηδενὶ λαβὴν παρασχεῖν, πολλῷ μᾶλλον ἐν πολλῇ τὸν πατέρα ἕξει τιμῇ, καὶ θεραπεύσει πολλῷ πλέον, ἢ εἰ
5 *δυναστείαν μετῆλθε κοσμικήν. Ἐν ἀρχῇ μὲν γὰρ μεγάλη γενόμενος ἄδηλον εἰ μὴ καὶ τοῦ πατρὸς ἔμελλεν ὑπερορᾶν· νῦν δὲ βίον εἵλετο, δι' ὃν καὶ τοῦ βασιλέως βασιλικώτερος ὤν, πάντων ἔσται πρὸς σὲ ταπεινότερος. Τοιαύτη γὰρ ἡ παρ' ἡμῖν φιλοσοφία· τὰ δοκοῦντα ἐναντία εἶναι, μετριοφροσύνην*
10 *καὶ ὕψος, συνάγει εἰς μίαν ψυχήν. Καὶ τότε μὲν ἅτε χρη-μάτων ἐρῶν, καὶ ἠσμένισεν ἂν σου τὴν τελευτήν· νῦν δὲ καὶ εἰς μῆκος ἐκταθῆναί σοι τὴν ζωὴν εὔχεται, ὥστε καὶ ἐν τούτῳ λαμπροὺς αὐτῷ γενέσθαι τοὺς στεφάνους. Οὐ γὰρ δὴ μικρὸς ἡμῖν κεῖται μισθὸς τοῖς τοὺς γεγεννηκότας τιμῶ-*
15 *σιν, ἀλλ' ὡς δεσπότας αὐτοὺς ἡγεῖσθαι κελευόμεθα, λόγῳ τε καὶ ἔργῳ θεραπεύειν, ὅταν μηδὲ τὰ τῆς εὐσεβείας παρα-βλάπτηται. Τί γάρ, φησίν, αὐτοῖς ἀνταποδώσεις καθὼς αὐ-τοί σοι; Ἐννόησον οὖν τὸν ἐν τοῖς ἄλλοις ἅπασι πρὸς ἄκρον ἥκοντα τῆς ἀρετῆς, πῶς εἰκὸς καὶ τοῦτο μετὰ πολλῆς φυλά-*
20 *ξεσθαι τῆς ὑπερβολῆς τὸ καλόν. Κἂν γὰρ ἀποθανεῖν ὑπὲρ τῆς σῆς δέοι κεφαλῆς, οὐ παραιτήσεται, ἅτε οὐ μόνον διὰ τὸν παρὰ τῆς φύσεως κείμενον νόμον θεραπεύων σε καὶ τι-μῶν, ἀλλὰ πρὸ τῶν ἄλλων διὰ τὸν Θεόν, δι' ὃν καὶ πάντων τῶν ἄλλων ὁμοῦ κατεφρόνησεν.*

25 *Ὅταν οὖν καὶ εὐδοκιμώτερος ᾖ νῦν καὶ εὐπορώτερος καὶ δυνατώτερος καὶ ἐλευθεριώτερος, καὶ μᾶλλόν σου δοῦ-λος ἢ πρότερον μετὰ τῆς τοσαύτης μεγαλονοίας, τίνος ἕνε-κεν, εἰπέ μοι, θρηνεῖς; ὅτι καθ' ἑκάστην οὐ τρέμεις τὴν*

Θέλεις νὰ ἐξετάσωμεν καὶ αὐτὰ ποὺ σὲ ἀφοροῦν ἢ εἶναι περιττὸν τοῦτο; Διότι αὐτὸς ποὺ εἶναι πρὸς τοὺς ἄλλους τόσον ἥμερος καὶ πρᾶος, ὥστε νὰ μὴ δίδῃ ἀφορμὰς εἰς κανένα, θὰ περιβάλῃ μὲ πολὺ περισσοτέραν τιμὴν τὸν πατέρα του, καὶ θὰ τὸν ὑπηρετήσῃ πολὺ περισσότερον, παρὰ ἐὰν ἀνήρχετο εἰς κοσμικὴν ἐξουσίαν. Διότι ἐὰν ἀνήρχετο εἰς μέγα ἀξίωμα, εἶναι ἄγνωστον ἂν δὲν ἐπρόκειτο νὰ περιφρονήσῃ τὸν πατέρα του· τώρα ὅμως ἐξέλεξε ζωὴν ἐξ αἰτίας τῆς ὁποίας μὲ τὸ νὰ εἶναι βασιλικώτερος καὶ ἀπὸ τὸν βασιλέα θὰ εἶναι ἀπὸ ὅλους περισσότερον ταπεινὸς πρὸς σέ. Διότι τέτοια εἶναι ἡ ἰδική μας φιλοσοφία· τὰ θεωρούμενα ἀντίθετα, δηλαδὴ τὴν μετριοφροσύνην καὶ τὸ ὕψος, συγκεντρώνει εἰς μίαν ψυχήν. Καὶ τότε μέν, ἐπειδὴ θὰ ἐπεθύμει πάρα πολὺ τὰ χρήματα, θὰ ηὐχαριστεῖτο μᾶλλον διὰ τὸν θάνατόν σου, τώρα ὅμως εὔχεται νὰ παραταθῇ ἐπὶ πολὺ ἡ ζωή σου, ὥστε καὶ εἰς αὐτὸν νὰ δοθοῦν ἐξ αἰτίας τούτου λαμπροὶ στέφανοι. Διότι δὲν εἶναι μικρὴ ἡ ἀνταμοιβὴ ποὺ δίδεται εἰς τοὺς τιμῶντας τοὺς γονεῖς των, ἔχομεν δὲ τὴν ἐντολὴν νὰ τοὺς θεωρῶμεν αὐθέντας, καὶ νὰ τοὺς ὑπηρετῶμεν καὶ διὰ λόγων καὶ δι' ἔργων, ὅταν βεβαίως δὲν παραμελοῦνται τὰ τῆς εὐσεβείας. Διότι, λέγει, τί θὰ τοὺς ἀνταποδώσῃς, ἰσάξιον τῶν ἰδικῶν των προσφορῶν; Νὰ καταλάβῃς λοιπόν, ὅτι αὐτὸς ποὺ εἰς ὅλα τὰ ἄλλα πλησιάζει πρὸς τὴν τελειότητα τῆς ἀρετῆς, καὶ αὐτὸ τὸ καλὸν θὰ τὸ διαφυλάξῃ μὲ ὑπερβάλλοντα ζῆλον. Διότι, καὶ ἂν ἀκόμη χρειασθῇ ν' ἀποθάνῃ χάριν τῆς ἰδικῆς σου ζωῆς, δὲν θὰ παραλείψῃ νὰ τὸ κάμῃ, διότι σὲ ὑπηρετεῖ καὶ σὲ τιμᾷ ὄχι μόνον ἐξ αἰτίας τοῦ φυσικοῦ νόμου, ἀλλὰ πρὶν ἀπὸ ὅλα τοῦ Θεοῦ, χάριν τοῦ ὁποίου περιεφρόνησε καὶ ὅλα τὰ ἄλλα.

Ὅταν λοιπὸν τώρα μὲ τὴν τόσην μεγαλοσύνην εἶναι καὶ εὐδοκιμώτερος καὶ πλουσιώτερος καὶ δυνατώτερος καὶ ἐλευθερώτερος καὶ περισσότερον ἀφωσιωμένος εἰς σέ, παρὰ προηγουμένως, εἰπέ μου, διατί θρηνεῖς; Μήπως διότι

ἡμέραν, μή ποτε ἐν πολέμῳ πέσῃ, μή ποτε προσκρούσῃ βασιλεῖ, μή ποτε βασκανίᾳ τῶν συστρατευομένων ἁλῷ; ἢ οὐχὶ καὶ ταῦτα, καὶ τούτων πλείονα δεδοίκασι τῶν εὐδοκιμούντων οἱ πατέρες; Καθάπερ γὰρ οἱ παιδίον ἐφ' ὑψηλοῦ τινος 5 *στήσαντες τόπου τρέμειν ἀναγκάζονται μὴ καταπέσῃ, οὕτω καὶ οἱ πρὸς μεγάλην ἀρχὴν ἀνάγοντες τοὺς υἱεῖς. Ἀλλ' ἔχει τινὰ ἡδονὴν ἡ ζώνη, καὶ ἡ χλαμύς, καὶ ἡ τοῦ κήρυκος φωνή. Καὶ μέχρι πόσων ἡμερῶν ταῦτα, εἰπέ μου; μέχρι τριάκοντα, καὶ ἑκατόν, καὶ δὶς τοσοῦτον; Καὶ τί μετὰ ταῦτα; οὐχ* 10 *ὥσπερ ὄναρ, οὐχ ὥσπερ μῦθος, οὐχ ὥσπερ σκιὰ πάντα διῆλθεν ἐκεῖνα; Νῦν δὲ αὐτῷ μέχρι τέλους τὰ τῆς τιμῆς, μᾶλλον δὲ καὶ μετὰ τὴν τελευτήν, καὶ πολλῷ πλέον τότε, καὶ ταύτην αὐτὸν οὐδεὶς ἀφαιρήσεται τὴν ἀρχήν, ἅτε οὐχ ὑπὸ ἀνθρώπων, ἀλλ' ὑπ' αὐτῆς χειροτονηθέντα τῆς ἀρετῆς.*

15 *Ἀλλ' ἐβούλου πολυτελῆ φοροῦντα ἱμάτια, καὶ ἐφ' ἵππου φερόμενον ὁρᾶν, καὶ πλῆθος ἔχοντα οἰκετῶν, καὶ παρασίτους τρέφοντα καὶ κόλακας. Τίνος ἕνεκεν ταῦτα ἤθελες; οὐχ ἡδονὴν αὐτῷ διὰ τούτων ἁπάντων κατασκευάζων; Ἂν οὖν ἀκούσῃς αὐτοῦ λέγοντος (ἡμῖν γὰρ ἴσως οὐ πείσῃ), ὅτι* 20 *τῶν ἐν τρυφῇ ζώντων καὶ πορνείαις καὶ μουσικῇ καὶ παρασίτοις καὶ κόλαξι καὶ τῇ ἄλλῃ βλακείᾳ, τοσούτῳ τὸν βίον ἡγεῖται τοῦτον ἡδίω, ὡς ἑλέσθαι μυρίους θανάτους πολλάκις, εἴ τις κελεύοιτο ταύτην τὴν ἡδονὴν ἀφέντα πρὸς ἐκείνην μεταπηδῆσαι, τί πρὸς ταῦτα ἐρεῖς; Οὐκ οἶδας ὅσην ὁ* 25 *ἀπράγμων βίος ἔχει τὴν ἡδονήν; τάχα οὐδὲ ἄλλος ἀνθρώπων οὐδείς, ἅτε μηδέπω ταύτης γευσάμενος καθαρῶς. Ὅταν δὲ καὶ λαμπρότης προσῇ, καὶ τὰ ἄμικτα ταῦτα πάλιν*

δὲν τρέμεις καθημερινῶς μὴ τυχὸν σκοτωθῇ εἰς τὸν πόλεμον, μὴ τυχὸν συγκρουσθῇ μὲ τὸν βασιλέα, μὴ τυχὸν περιέλθῃ εἰς τὴν δυσμένειαν τῶν συστρατιωτῶν του; Ἢ μήπως ὄχι μόνον αὐτά, ἀλλὰ καὶ περισσότερα ἀπὸ αὐτὰ δὲν φοβοῦνται οἱ πατέρες τῶν ἐπιφανῶν υἱῶν; Διότι ὅπως αὐτοὶ ποὺ ἀφήνουν εἰς ἕνα ὑψηλὸν μέρος ἕνα παιδὶ καταπιέζονται ἀπὸ τὸν τρόμον μήπως πέσῃ, ἔτσι καὶ αὐτοὶ ποὺ ὁδηγοῦν τοὺς υἱούς των εἰς μεγάλα ἀξιώματα. Ἀλλὰ ἔχει καὶ κάποιαν ἡδονὴν ἡ ζώνη καὶ ἡ χλαμὺς καὶ ἡ ἐπίσημος φωνὴ τοῦ κήρυκος. Ἐπὶ πόσας ὅμως ἡμέρας θὰ διαρκέσουν αὐτά, εἰπέ μου; Μήπως τριάκοντα, ἑκατόν, ἢ διπλασίας τούτων; Καὶ τί θὰ συμβῇ ὕστερα ἀπὸ αὐτά; Δὲν παρέρχονται ὅλα ἐκεῖνα ὡσὰν τὸ ὄνειρον, ὡσὰν μῦθος, καὶ ὡσὰν σκιαί; Τώρα ὅμως αὐτὸς θὰ τιμᾶται μέχρι τέλους τῆς ζωῆς του, μᾶλλον δὲ καὶ μετὰ τὸν θάνατον, καὶ πολὺ περισσότερον τότε, καὶ κανεὶς δὲν θὰ τοῦ ἀφαιρέσῃ αὐτὸ τὸ ἀξίωμα, διότι εἶναι διαλεγμένος ὄχι ἀπὸ ἀνθρώπους, ἀλλὰ ἀπὸ τὴν ἰδίαν τὴν ἀρετήν.

Θὰ ἤθελες βεβαίως νὰ φορῇ πολυτελῆ ἐνδύματα καὶ νὰ ἐπιθεωρῇ καθήμενος ἐπὶ ἵππου, καὶ νὰ ἔχῃ πλῆθος ὑπηρετῶν καὶ νὰ διατρέφῃ παράσιτα καὶ κόλακας. Διατί θὰ τὰ ἤθελες αὐτά; Δὲν θὰ τὰ ἤθελες διὰ νὰ τοῦ δημιουργήσῃς εὐχαρίστησιν δι' ὅλων αὐτῶν; Ἂν λοιπὸν τὸν ἀκούσῃς νὰ λέγῃ (διότι ἴσως δὲν πεισθῇς εἰς ἡμᾶς) ὅτι ἐν συγκρίσει πρὸς αὐτοὺς ποὺ ζοῦν μέσα εἰς πολυτέλειαν, πορνείαν, μουσικήν, παράσιτα καὶ κόλακας καὶ εἰς τὴν λοιπὴν νωθρότητα, αὐτὸς θεωρεῖ τὴν ζωὴν αὐτὴν τόσον περισσότερον εὐχάριστον, ὥστε θὰ ἐπροτίμα νὰ ἀποθάνῃ μυριάκις, ἐὰν τὸν διέτασσε κανεὶς ν' ἀφήσῃ αὐτὴν τὴν εὐχάριστον ζωὴν καὶ νὰ μεταπηδήσῃ πρὸς ἐκείνην, τί θὰ εἰπῇς ἔναντι αὐτῶν; Δὲν γνωρίζεις πόσην ἡδονὴν προσφέρει ἡ ἀμέριμνος ζωή; Ἴσως δὲ καὶ κανεὶς ἄλλος ἄνθρωπος δὲν τὴν γνωρίζει, ἐπειδὴ οὐδέποτε ἐγεύθη τὴν ζωὴν αὐτὴν ὁλοκάθαρον. Ὅταν ὅμως εἶναι παροῦσα καὶ ἡ λαμπρότης, καὶ

συνέρχηται, ἀσφάλειά τε καὶ εὐδοκίμησις, τί ταύτης βέλτιον γένοιτ' ἂν τῆς ζωῆς; Ἀλλὰ τί μοι ταῦτα διαλέγῃ, φησί, πόρρω φιλοσοφίας ἑστῶσι; Τί οὖν καὶ τὸν υἱὸν κωλύεις γενέσθαι ταύτης ἐγγύς; ἀρκεῖ μέχρι σοῦ στῆναι τὰ τῆς ζη- 5 *μίας. Οὐχ ἡγῇ μεγίστην εἶναι ζημίαν, ὅταν πρὸς ἔσχατον γῆρας ἐλάσαντες, ἅτε μηδὲν ἐπὶ τῆς πρώτης ἡλικίας καρπωσάμενοι χρηστόν, δυσχεραίνητε πρὸς τὸ γῆρας;*

Καὶ μὴν διὰ τοῦτο, φησίν, αὐτὸ δυσχεραίνομεν, ὅτι μεγάλα ἡμᾶς ὤνησεν ἡ νεότης. Ποῖα μεγάλα; δεῖξον ἔχοντα 10 *τὸν γέροντα τὰ μεγάλα ἐκεῖνα· εἰ γὰρ εἶχεν αὐτά, καὶ μεμενήκει διαρκῆ, οὐκ ἂν ὡς ἔρημος ὢν ἁπάντων τούτων οὕτως ὠδύρετο· εἰ δὲ ἀπέπτη καὶ ἐμαράνθη, ποῖα μεγάλα τὰ οὕτω ταχέως σβεννύμενα; Ἀλλ' οὐχ ὁ παῖς τοῦτο πείσεται ὁ σός, ἀλλ' εἴ ποτε εἰς γῆρας ἔλθοι μακρόν, οὐκ ὄψει* 15 *ταῦτα ἀποδυσπετοῦντα ἅπερ καὶ ὑμεῖς, ἀλλὰ χαίροντα καὶ γαννύμενον καὶ ἀγαλλόμενον· τὰ γὰρ ἀγαθὰ αὐτῷ τότε ἀκμάζει μᾶλλον. Ὁ δὲ πλοῦτος ὁ ὑμέτερος, κἂν μυρία ἀγαθὰ κεκτημένος ᾖ, ἐπὶ τῆς πρώτης αὐτὰ συνέστειλεν ἡλικίας· οὗτος δὲ οὐχ οὕτως, ἀλλὰ μένει καὶ ἐν γήρᾳ καὶ μετὰ τὴν τελευ-* 20 *τὴν συναπέρχεται. Διὰ ταῦτα ὑμεῖς μὲν τὴν οὐσίαν ὑμῖν αὐξανομένην ὁρῶντες ἐν γήρᾳ, καὶ πολλὰς καὶ δόξης καὶ τρυφῆς ὑποθέσεις ἔχοντες ἐπηρεάζεσθε ἅτε οὐκ ἀρκούσης τῆς ἡλικίας πρὸς τὴν ἀπόλαυσιν· διὰ τοῦτο καὶ πρὸς τὴν τελευτὴν φρίττετε, καὶ πάντων ἐλεεινοτέρους, εἶναί φατε τότε* 25 *μάλιστα, ὅταν εὐδοκιμῆτε. Ἐκεῖνος δὲ τότε ἀναπαύσεται μάλιστα, ὅταν γηράσῃ, ἅτε εἰς λιμένα ἐπειγόμενος ἐλθεῖν, καὶ νεότητα μὲν ἔχων ἀεὶ ἀκμάζουσαν, εἰς γῆρας δὲ οὐδέποτε ἐπείγουσαν. Σὺ δὲ τοιαύτην τρυφὴν τὸν υἱὸν ἐβούλου*

συνενοῦνται τὰ ἀμιγῆ αὐτά, δηλαδὴ ἡ ἀσφάλεια καὶ ἡ εὐδοκίμησις, ποία ζωὴ θὰ ἦτο καλυτέρα ἀπὸ αὐτήν; Ἀλλὰ διατί τὰ λέγεις αὐτὰ εἰς ἐμέ, λέγει, ὁ ὁποῖος εἶμαι ἀφιλοσόφητος; Διατί ὅμως καὶ σὺ ἐμποδίζεις τὸν υἱόν σου νὰ πλησιάσῃ τὴν φιλοσοφίαν αὐτήν; Εἶναι ἀρκετὸν νὰ σταματήσῃ εἰς ἐσὲ τὸ κακόν. Δὲν νομίζεις ὅτι εἶναι μεγάλη ζημία, τὸ ὅτι, ἐνῷ ἔχετε φθάσει εἰς βαθὺ γῆρας, χωρὶς εἰς τὴν νεανικήν σας ἡλικίαν νὰ ἔχετε κάμει τίποτε καλόν, παρουσιάζετε ἐμπόδια καὶ εἰς τὰ γηρατειά;

Ἀληθῶς, λέγει, ἐμποδίζομεν τοῦτο, ἀκριβῶς ἐπειδὴ ἡ νεότης μᾶς ἐχάρισε μεγάλα ἀγαθά. Ποῖα μεγάλα ἀγαθά; Δεῖξε μου ἕνα γέροντα, ποὺ νὰ ἔχῃ τὰ μεγάλα ἐκεῖνα ἀγαθά. Διότι, ἐὰν τὰ εἶχε αὐτά, καὶ εἶχαν παραμείνει διαρκῆ, δὲν θὰ ἐθρηνοῦσεν ὡσὰν νὰ μὴ εἶχε τίποτε ἀπὸ ὅλα αὐτά· ἐὰν δὲ ἐπέταξαν καὶ ἐμαράνθησαν, πῶς εἶναι μεγάλα αὐτά, ποὺ τόσον γρήγορα χάνονται; Ὅμως αὐτὸ δὲν θὰ τὸ πάθῃ ὁ υἱός σου, ἀλλ' ἐὰν κάποτε φθάσῃ εἰς βαθὺ γῆρας, δὲν θὰ τὸν ἰδῇς νὰ δυσφορῇ δι' αὐτά, ὅπως κάμετε ἐσεῖς, ἀλλὰ νὰ χαίρεται καὶ νὰ λαμπρύνεται καὶ νὰ ἀγάλλεται, διότι τὰ ἰδικά του ἀγαθὰ τότε ἀκμάζουν περισσότερον. Ὁ ἰδικός σας ὅμως πλοῦτος, καὶ ἂν ἔχῃ μυρία ἀγαθά, περιορίζεται εἰς τὴν νεανικὴν ἡλικίαν. Εἰς αὐτὸν ὅμως δὲν συμβαίνει τοῦτο, ἀλλὰ διατηρεῖται καὶ εἰς τὰ γηρατειά, καὶ τὸν ἀκολουθεῖ καὶ μετὰ τὸν θάνατον. Ἐξ αἰτίας αὐτῶν, σεῖς μέν, βλέποντες ὅτι αὐξάνει ἡ περιουσία σας κατὰ τὸ γῆρας, καὶ ὅτι ἔχετε πολλὰς εὐκαιρίας δόξης καὶ καλοζωΐας, ἐνοχλεῖσθε, ἐπειδὴ δὲν ἐπαρκεῖ ἡ ἡλικία σας διὰ νὰ τὰ ἀπολαύσῃ. Δι' αὐτὸ καὶ σᾶς καταλαμβάνει φρίκη πρὸ τοῦ θανάτου, καὶ ὁμολογεῖτε ὅτι εἶσθε οἱ πλέον ἀξιολύπητοι ὅλων, τότε μάλιστα ὅταν εὐτυχῆτε. Ἐκεῖνος ὅμως τότε θὰ ἀναπαυθῇ περισσότερον, ὅταν γηράσῃ, ἐπειδὴ ἐπιθυμεῖ ἀνυπόμονα νὰ φθάσῃ εἰς λιμάνι καὶ ἔχει νεότητα πάντοτε ἀκμαίαν ἡ ὁποία οὐδέποτε σπεύδει πρὸς τὰ γηρατειά. Σὺ ὅ-

τρυφᾶν, δι' ἣν ἂν μετενόησε μυριάκις, καὶ ἤλγησεν ἐν γήρᾳ γενόμενος. Ἀλλὰ μὴ γένοιτο, μηδὲ τοὺς ἐχθροὺς τοὺς ὑμετέρους τοιαῦτα τρυφῆσαί ποτε. Καὶ τί λέγω τὸ γῆρας; ἐν γὰρ ἡμέρᾳ μιᾷ σβέννυται τὰ τῆς ἡδονῆς ἐκείνης· μᾶλλον 5 δὲ οὐκ ἐν ἡμέρᾳ, οὐδὲ ἐν ὥρᾳ, ἀλλὰ καὶ ἐν μικρᾷ καὶ ἀκαριαίᾳ ῥοπῇ; Τί γάρ ἐστιν ἡδονή; οὐ τὸ γαστρίζεσθαι, καὶ συβαριτικὰς παρατίθεσθαι τραπέζας, καὶ γυναιξὶν ὡραίαις συγγίνεσθαι καθάπερ τινὰς χοίρους ἐν βορβόρῳ κυλινδομένους;

10. Ἀλλὰ γὰρ μήπω τοῦτο· τὴν δὲ ἡδονὴν ἐξετάσωμεν 10 τέως, εἰ μὴ ψυχρά τίς ἐστι καὶ εὐτελής, καὶ εἰ βούλει, πρώτην τὴν ἡδίω δοκοῦσαν εἶναι τὴν τῆς τρυφῆς. Δεῖξον οὖν μοι τὸν ταύτης καιρόν, καὶ πόσον κατέχειν ὑμᾶς δύναιν' ἂν μέρος ἡμέρας; τοσοῦτον, ὅσον οὐδὲ ὀφθῆναι καλῶς. Ἅμα τε γὰρ ἐνεπλήσθη τις, καὶ τὴν ἡδονὴν ἔσβεσε, καὶ πρὸ τῆς 15 πλησμονῆς δὲ ῥεύματος θᾶττον παρέρχεται, πρὸς αὐτὸν ἀφανιζομένη τὸν λαιμόν, καὶ οὐδὲ τοῖς σιτίοις ἀρκοῦσα συγκατελθεῖν· ὁμοῦ τε γὰρ παρῆλθε τὴν γλῶτταν, καὶ συγκατέλυσε τὴν ἰσχύν. Καὶ σιωπῶ τὰ λοιπὰ κακά, καὶ ὅσος ἀπὸ ταύτης γίνεται τῆς τρυφῆς ὁ χειμών· οὐ γὰρ μόνον ἡδίων ὁ μὴ 20 τρυφήσας, ἀλλὰ καὶ κουφότερος, καὶ ῥᾷον διακείσεται τοῦ διασπασθέντος ὑπὸ τῆς πλησμονῆς· «Ὕπνος γάρ», φησίν, «ὑγιείας ἐν σπλάγχνῳ μετρίῳ». Τί δεῖ λέγειν τὰς νόσους, τὰς ἀηδίας, τὰς συμφοράς, τὰς δαπάνας τὰς εἰκῇ; ὅσαι αἱ αἰτιάσεις, ὅσαι αἱ ἐπιβουλαί, ὅσαι αἱ ἀπὸ τούτων ἐπήρειαι 25 τῶν συμποσίων βλαστάνουσιν; Ἀλλὰ τὸ πόρναις γυναιξὶν

10. Ἐκκλ. 34, 24.

μως ἐπιθυμοῦσες νὰ ἔχῃ ὁ υἱός σου τέτοιαν καλοζωΐαν, διὰ τὴν ὁποίαν χιλιάδας φορὰς θὰ μετενόει καὶ θὰ ἐπονοῦσε φθάνων εἰς τὸ γῆρας. Ἀλλ' εἴθε νὰ μὴ συμβῇ, οὔτε οἱ ἐχθροί μας νὰ ζήσουν τέτοιαν καλοπέρασιν. Καὶ διατί ἀναφέρω τὰ γηρατειά; Διότι καὶ ἐντὸς μιᾶς ἡμέρας χάνεται ἡ ἡδονὴ ἐκείνη, μᾶλλον δέ, ὄχι ἐντὸς μιᾶς ἡμέρας ἢ μιᾶς ὥρας, ἀλλὰ καὶ εἰς ἐλαχίστην χρονικὴν στιγμήν. Διότι, τί εἶναι ἡ ἡδονή; Δὲν εἶναι ἡ γαστριμαργία καὶ ἡ παράθεσις συβαριτικῶν γευμάτων καὶ ἡ συνεύρεσις μὲ ὡραίας γυναῖκας, ὅπως ἀκριβῶς οἱ χοῖροι, ποὺ κυλίονται εἰς τὸν βοῦρκον;

10. Ἀλλὰ δὲν εἶναι καιρὸς νὰ ὁμιλήσωμεν δι' αὐτὸ ἀκόμη. Ἂς ἐξετάσωμεν προηγουμένως τὴν ἡδονήν, μήπως δὲν εἶναι πρᾶγμα ἀνωφελὲς καὶ μηδαμινόν, καὶ ἂν θέλῃς πρῶτον αὐτὴν ποὺ φαίνεται νὰ εἶναι περισσότερον γλυκεῖα, δηλαδὴ τὴν ἡδονὴν τῆς λαιμαργίας. Δεῖξε μου λοιπὸν τὴν διάρκειάν της, καὶ πόσον μέρος τῆς ἡμέρας θὰ ἠδύνατο νὰ μᾶς κατέχῃ; Τόσον, ὅσον οὔτε ἠμπορεῖ νὰ ἰδωθῇ καλὰ καλά. Διάτι μόλις κανεὶς χορτάσῃ, σβήνει καὶ ἡ ἡδονή, μάλιστα δὲ πρὸ τοῦ κορεσμοῦ παρέρχεται γρηγορώτερα ἀπὸ ἄνεμον καὶ ἐξαφανίζεται πλησίον τοῦ φάρυγγος, καὶ δὲν ἀρκεῖ νὰ συγκαταβῇ οὔτε μὲ τὰς τροφάς. Διότι μόλις περνᾷ ἀπὸ τὴν γλῶσσαν, συγχρόνως χάνει καὶ τὴν ἰσχύν της. Καὶ ἀποσιωπῶ τὰ ὑπόλοιπα κακὰ καὶ τὴν τρικυμίαν ποὺ προέρχεται ἀπὸ τὴν καλοπέρασιν αὐτήν. Διότι αὐτὸς ὁ ὁποῖος ἀπέχει ἀπὸ τὴν λαιμαργίαν, δὲν εἶναι μόνον περισσότερον εὐχαριστημένος, ἀλλὰ καὶ ἐλαφρότερος καὶ εἰς καλυτέραν ψυχικὴν κατάστασιν ἀπὸ τὸν παραχορτασθέντα ἐκ τοῦ κορεσμοῦ. Διότι λέγει, «Ὕπνος ὑγείας παρατηρεῖται ὅταν ὁ στόμαχος εἶναι μετρίως φορτωμένος»[10]. Διατί πρέπει νὰ ὁμιλῶμεν διὰ τὰς ἀσθενείας, τὰς ἀηδίας, τὰς συμφορὰς καὶ τὰ ἄσκοπα ἔξοδα; Πόσαι ἀφορμαί, πόσαι ἐπιβουλαί, πόσαι ὕβρεις δὲν προέρχονται ἀπὸ τὰ συμπόσια αὐτά; Ἀλλὰ μήπως τὸ νὰ σχετίζεται κανεὶς μὲ διεφθαρμέ-

ὁμιλεῖν ἡδύ; Καὶ ποία μετὰ τοσαύτης αἰσχύνης ἡδονὴ γένοιτ' ἄν; Μάλιστα δὲ μηδὲ ἐνταῦθα τοῦτο ἐξετάζωμεν τέως, μηδὲ τὰς ἐκ τῶν ἐραστῶν μάχας, μηδὲ τοὺς ἐκ τῶν ἀντεραστῶν πολέμους, μηδὲ τὰς κατηγορίας· ἀλλ' ἔστω τις μετ'
5 *ἐξουσίας ἀπολαύων τῆς ἀσελγείας ἐκείνης, καὶ μήτε ἀντεραστὴν ἐχέτω, μήτε ὑπερορἀσθω παρὰ τῆς ἐρωμένης, τά τε χρήματα ὥσπερ ἐκ πηγῶν ἀναλισκέτω, καίτοι οὐδαμοῦ ταῦτα συμβεβηκέναι πάντα δυνατόν, ἀλλὰ δεῖ τὸν μὲν μὴ μέλλοντα ἔχειν ἀντεραστὴν τὴν οὐσίαν καταλῦσαι πᾶσαν, νικῶντα*
10 *τῇ φιλοτιμίᾳ τοὺς ἄλλους ἅπαντας, τὸν δὲ μὴ βουλόμενον ἀπορεῖν ὑπερορᾶσθαι παρὰ τῆς πόρνης καὶ διαπτύεσθαι πάλιν.*

Πλὴν ἀλλὰ μηδὲν ἔστω τούτων, ἀλλὰ πάντα αὐτῷ κατὰ νοῦν προχωρείτω· ποῦ τὴν ἐκ τούτων ἡδονὴν ἐπιδεῖξαι ἔχεις
15 *ἡμῖν; Οὐδὲ γὰρ ἐν αὐτῷ τῷ τῆς μίξεως φαίνεται καιρῷ, ἀλλ' ὁ μὲν πληρώσας τὴν συνουσίαν, καὶ τὴν ἡδονὴν ἔσβεσεν, ὁ δὲ ἐν τῇ μίξει ὤν, οὐκ ἔστιν ἐν ἡδονῇ, ἀλλ' ἐν θορύβῳ καὶ ταραχῇ καὶ οἴστρῳ καὶ μανίᾳ καὶ κλόνῳ πολλῷ καὶ βρασμῷ. Ἀλλ' οὐχ ἡ παρ' ἡμῖν ἡδονὴ τοιαύτη· μὴ γέ-*
20 *νοιτο· ἀλλὰ διαπαντὸς ἀχείμαστον τηρεῖ τὴν ψυχήν, καὶ θόρυβον οὐδένα, οὐδὲ κλόνον ἐπάγει, καθαρὰν δέ τινα εὐφροσύνην καὶ εἰλικρινῆ καὶ ἔνδοξον καὶ τέλος οὐκ ἔχουσαν, δυνατωτέραν τε πολλῷ καὶ σφοδροτέραν τῆς παρ' ὑμῖν. Ὅτι γὰρ ἡδίων αὕτη ἡ ἡδονή, τὴν μὲν ὑμετέραν ἱκανὸς ἀπο-*
25 *στῆσαι φόβος· κἂν γὰρ βασιλεὺς γράμματα καταπέμψῃ θάνατον ἀπειλοῦντα, τὸ πλέον τῶν ἀνθρώπων ἐκστήσεται ταύτης τῆς ἡδονῆς· ἐκείνης δέ, κἂν μυρίους θανάτους τις ἐπιφέρῃ, οὐ πείσει καταφρονεῖν, ἀλλὰ καὶ γελασθήσεται μᾶλλον· οὕτω τυραννικωτέρα τε αὕτη ἐστὶν ἐκείνης καὶ ἡδίων,*

νας γυναῖκας εἶναι εὐχάριστον; Καὶ τί εἴδους ἡδονὴ θὰ ἦτο αὐτὴ ἡ μὲ τόσην ἐντροπήν; Καὶ μάλιστα ἂς μὴ ἐξετάσωμεν ἐδῶ τώρα τὰς μεταξὺ τῶν ἐραστῶν φιλονεικίας, οὔτε τὰς μεταξὺ τῶν ἀντεραστῶν συγκρούσεις, οὔτε τὰς κατηγορίας. Ἔστω ὅτι κάποιος ἀπολαμβάνει τὴν ἀσέλγειαν ἐκείνην ἀνεμποδίστως καὶ δὲν ἔχει ἀντεραστήν, οὔτε περιφρονεῖται ὑπὸ τῆς ἐρωμένης καὶ ἐξοδεύει τὰ χρήματα ὡσὰν νὰ ἐξέρχωνται ἀπὸ πηγήν, ἂν καὶ δὲν εἶναι δυνατὸν συγχρόνως νὰ συμβαίνουν ὅλα αὐτὰ κάπου, ἀλλ᾽ εἶναι ἀνάγκη, αὐτὸς ποὺ δὲν πρόκειται νὰ ἔχῃ ἀντεραστὴν νὰ σπαταλήσῃ ὅλην τὴν περιουσίαν του, ὑπερισχύων μὲ τὴν φιλοδοξίαν του ὅλων τῶν ἄλλων, αὐτὸ δὲ ποὺ δὲν θέλει νὰ πτωχύνῃ, νὰ περιφρονηθῇ καὶ ἐξευτελισθῇ ἀπὸ τὴν πόρνην.

Ὅμως ἔστω ὅτι δὲν συμβαίνει τίποτε ἀπὸ αὐτά, ἀλλὰ ὅλα τοῦ ἔρχονται βολικά· ποῦ ἠμπορεῖς νὰ μᾶς δείξῃς τὴν ἡδονὴν αὐτήν; Διότι οὔτε καὶ κατὰ τὴν διάρκειαν τῆς συνευρέσεως φαίνεται, ἀλλὰ καὶ αὐτὸς ποὺ ἔχει πραγματοποιήσει τὴν συνεύρεσιν ταύτην, καὶ τὴν ἡδονὴν ἔσβησε, αὐτὸς δὲ ποὺ εὑρίσκεται εἰς τὴν στιγμὴν τῆς ἐπαφῆς, δὲν εὑρίσκεται εἰς ἡδονήν, ἀλλ᾽ εἰς σύγχυσιν καὶ ταραχὴν καὶ οἶστρον καὶ πολλὴν ἀταξίαν καὶ σεισμόν. Ὅμως ἡ ἰδική μας ἡδονὴ δὲν εἶναι τέτοια — μὴ γένοιτο — ἀλλὰ διατηρεῖ πάντοτε ἤρεμον τὴν ψυχὴν καὶ οὐδεμίαν ταραχὴν ἢ ἀταξίαν ἐπιφέρει, ἀλλὰ μίαν καθαρὰν καὶ εἰλικρινῆ καὶ ἔνδοξον εὐφροσύνην χωρὶς τέλος, πολὺ ἰσχυροτέραν καὶ σφοδροτέραν τῆς ἰδικῆς σας. Πράγματι εἶναι γλυκυτέρα ἡ ἡδονὴ αὕτη διότι τὴν ἰδικήν σας εἶναι ἀρκετὸς ὁ φόβος διὰ νὰ τὴν ἀπομακρύνῃ. Διότι ἐὰν ἐκδώσῃ διατάγματα ὁ βασιλεύς, ποὺ νὰ ἀπειλοῦν μὲ θάνατον δι᾽ αὐτὴν τὴν ἡδονήν, οἱ περισσότεροι ἄνθρωποι θὰ ἀπομακρυνθοῦν ἀπὸ αὐτήν, ἐνῷ ἐκείνην, καὶ ἂν ἀκόμη ἐπιφέρῃ κανεὶς χιλιάδας θανατώσεις, δὲν θὰ πεισθοῦν νὰ τὴν περιφρονήσουν, ἀλλὰ μᾶλλον θὰ περιγελασθῇ· τόσον αὐθεντικωτέρα καὶ γλυκυτέρα εἶναι αὕτη ἀπὸ ἐκείνην, ὥστε οὔτε σύγκρισις θὰ ἠδύνατο

καὶ οὐδ' ἂν σύγκρισιν δέξαιτο πρὸς ἐκείνην. Μὴ δὴ βασκήνῃς τὸ παιδί ἀπὸ τῶν ῥεόντων ἀγαθῶν, μᾶλλον δὲ οὐδὲ ὄντων, ἐπὶ τὰ ὄντα καὶ μένοντα διαβαίνοντι, μηδὲ θρήνει τὸν μακαρίζεσθαι ἄξιον, ἀλλ' εἴ τις μὴ τοιοῦτος καθάπερ ἐν εὐ-
5 *ρίπῳ τῷ παρόντι βίῳ φερόμενος.*

Καὶ τὸ δὴ κεφάλαιον. Εἰ γὰρ καὶ ἄπιστος σὺ καὶ Ἕλλην, ὅπως κἂν τοῦτον παραδέξῃ τὸν λόγον. Ἀκούεις Κωκυτοὺς πάντως καὶ Πυριφλεγέθοντας ποταμούς, καὶ Στυγὸς ὕδωρ, καὶ Τάρταρον τοσοῦτον ἀπέχοντα τῆς γῆς, ὅσον αὕτη
10 *τοῦ οὐρανοῦ, καὶ πολλοὺς κολάσεων τρόπους. Εἰ γὰρ καὶ μετὰ ἀληθείας, ὡς ἔχει ταῦτα εἰπεῖν οὐκ ἠδυνήθησαν Ἕλληνες, ἅτε ἀπὸ λογισμῶν κινηθέντες καὶ παρακουσμάτων τῶν παρ' ἡμῖν, ἀλλ' ὅμως εἰκόνα τινὰ κρίσεως ἔλαβον· καὶ ποιητὰς καὶ φιλοσόφους καὶ λογοποιούς, καὶ πάντας εὑρήσεις*
15 *ὑπὲρ τούτων φιλοσοφοῦντας τῶν δογμάτων. Ἀκούεις δὲ καὶ Ἠλύσιον πεδίον, καὶ μακάρων νήσους, καὶ λειμῶνας, καὶ μυρσίνας, καὶ λεπτὴν αὔραν, καὶ εὐωδίαν πολλήν, καὶ χοροὺς ἐκεῖ διατρίβοντας, καὶ λευκὴν περιβεβλημένους στολήν, χορεύοντάς τε καὶ ᾄδοντας ὕμνους τινάς, καὶ ὅλως καὶ πονη-*
20 *ροῖς καὶ ἀγαθοῖς ἀποκειμένην ἀντίδοσιν μετὰ τὴν ἐντεῦθεν ἀποδημίαν. Πῶς οὖν οἴει μετὰ τοιούτων βιοῦν τῶν λογισμῶν τούς τε ἀγαθούς, τούς τε οὐ τοιούτους; Οὐχ οἱ μὲν ταῦτα στρέφοντες, κἂν ἀλύπως αὐτοῖς καὶ μετὰ πολλῆς τῆς ἡδονῆς τὰ τοῦ παρόντος προχωρῇ βίου, καθάπερ ὑπό τινος*

---

11. Ὁ Κωκυτός, παραπόταμος τοῦ ἠπειρωτικοῦ Ἀχέροντος, ἦτο διὰ τοὺς ἀρχαίους Ἕλληνας ὁ ποταμὸς τῶν θρήνων, εἷς τῶν ποταμῶν τοῦ Ἅδου, συνεκδοχικῶς δὲ ὁ κωκυτός, ὡς οὐσιαστικόν, σημαίνει θρῆνον, ὀδυρμόν.

12. Περιφλεγέθων· εἷς τῶν ποταμῶν τοῦ Ἅδου, εἶχεν ὕδατα πυριφλεγῆ κατὰ τὰ μυθολογούμενα.

13. Ἡ Στὺξ ἦτο ποταμὸς ἢ κατὰ τὸν Σχολιαστὴν τοῦ Ὁμήρου «κρήνη ἐν Ἅιδου», εἰς τὴν ὁποίαν ὡρκίζοντο οἱ θεοὶ τοῦ Ὁμήρου τοὺς φρικωδεστάτους ὅρκους των.

14. Ὁ Τάρταρος ἦτο ἄβυσσος σκοτεινή, τόπος καθείρξεως τοῦ Κρόνου καὶ τῶν Τιτάνων. Ἐπίσης οὕτω ἐκαλεῖτο ὁ κάτω κόσμος καθόλου συνωνύμως τῷ Ἅδῃ, ἢ ὁ τόπος τῶν κολαζομένων, δηλαδὴ ἡ Κόλασις.

νὰ γίνῃ πρὸς ἐκείνην. Μὴ κακολογεῖς δὲ τὸν υἱόν σου, ποὺ μεταβαίνει ἀπὸ τὰ μάταια ἀγαθά, ποὺ μᾶλλον εἶναι ἀνύπαρκτα, εἰς τὰ ὑπάρχοντα καὶ μόνιμα ἀγαθά, οὔτε νὰ θρηνῇς αὐτὸν ποὺ εἶναι ἀξιομακάριστος, ἀλλὰ αὐτὸν ποὺ δὲν τὸν ὁμοιάζει, καὶ σύρεται εἰς τὴν παροῦσαν ζωὴν ἄλλοτε ἐμπρὸς καὶ ἄλλοτε ὀπίσω.

Καὶ διὰ νὰ ἀνακεφαλαιώσωμεν λοιπόν. Ἂν καὶ ἐσὺ εἶσαι ἄπιστος καὶ εἰδωλολάτρης, ὅμως θὰ παραδεχθῇς αὐτὸν τὸν λόγον. Ἀκούεις βεβαίως νὰ γίνεται λόγος περὶ Κωκυτῶν[11] καὶ Πυριφλεγεθόντων[12] ποταμῶν καὶ περὶ τοῦ ὕδατος τῆς Στυγὸς[13] καὶ περὶ τοῦ Ταρτάρου[14], ποὺ ἀπέχει τόσον ἀπὸ τὴν γῆν, ὅσον αὐτὴ ἀπὸ τὸν οὐρανὸν καὶ περὶ πολλῶν τρόπων τιμωριῶν. Διότι, ἂν καὶ δὲν ἠδυνήθησαν οἱ Ἕλληνες νὰ τὰ ἐκφράσουν ὅπως εἶναι πραγματικῶς, καθ' ὅσον ἀφωρμήθησαν ἀπὸ διαλογισμοὺς ἰδίους καὶ παρανοήσεις τῶν ἰδικῶν μας πραγμάτων, ἀλλ' ὅμως ἐσχημάτισαν κάποιαν εἰκόνα μελλούσης κρίσεως. Καὶ θὰ εὕρῃς νὰ φιλοσοφοῦν περὶ τῶν δοξασιῶν αὐτῶν καὶ ποιηταὶ καὶ φιλόσοφοι καὶ ῥήτορες. Πληροφορεῖσαι βεβαίως καὶ περὶ Ἠλυσίου πεδίου[15] καὶ περὶ νήσων μακάρων[16] καὶ λειβαδιῶν καὶ μυρτιῶν καὶ δροσερᾶς αὔρας καὶ περὶ πολλῆς εὐωδίας καὶ ὁμίλων χορευτῶν, ποὺ ζοῦν ἐκεῖ καὶ εἶναι ἐνδεδυμένοι μὲ λευκὴν στολήν, ποὺ χορεύουν καὶ ψάλλουν ὡρισμένους ὕμνους, καὶ ὅτι γενικῶς ὑπάρχει ἀνταπόδοσις διὰ τοὺς καλοὺς καὶ τοὺς κακοὺς μετὰ τὸν θάνατον. Πῶς λοιπὸν νομίζεις ὅτι ζοῦν μὲ τὰς αὐτὰς ἐκτιμήσεις καὶ οἱ καλοὶ καὶ οἱ κακοί; Μήπως αὐτοὶ ποὺ διαστρέφουν ταῦτα καὶ ἂν ἀκόμη χωρὶς βάσανα διάγουν τὴν ζωήν των, δὲν ὁδηγοῦν-

---

15. Ἠλύσιον πεδίον ἢ Ἠλύσια πεδία. Τόπος εἰς τὸν ὁποῖον, ἥρωες τυχόντες ἐξαιρέτου εὐνοίας τῶν θεῶν ἀπῆλθον ἐκεῖ ἄνευ θανάτου καὶ ἔζων μακάριοι ὑπὸ τὴν κυβέρνησιν τοῦ Ροδαμάνθυος. Ὁ Ὅμηρος τοποθετεῖ ταῦτα εἰς τὸ δυσμικὸν ἄκρον τῆς γῆς, πλησίον τοῦ Ὠκεανοῦ. Τοῦ Ἡσιόδου τὰ Ἠλύσια πεδία ἔκειντο ἐν ταῖς τῶν Μακάρων νήσοις, ὡς καὶ ὁ Πίνδαρος παραδέχεται.

16. Μακάρων νῆσοι· ἐνταῦθα κατῴκουν οἱ ἥρωες, οἱ ὁποῖοι ἐκαλοῦντο καὶ ἡμίθεοι, ἀνῆκον δὲ οὗτοι κατὰ τὸν Ἡσίοδον εἰς τὸ τέταρτον γένος.

ἐλαύνονται μάστιγος τοῦ συνειδότος καὶ τῆς προσδοκίας τῶν δεξομένων αὐτοὺς δεινῶν· οἱ δὲ ἀγαθοὶ κἂν μυρία πάσχωσι κακά, κατὰ Πίνδαρον, ἐλπίδα κουροτρόφον ἔχουσιν οὐκ ἀφιεῖσαν τῶν παρόντων κακῶν αἴσθησιν λαβεῖν; Ὥστε καὶ 5 κατὰ τοῦτο μείζων ἐκείνη ἡ ἡδονή. Πολλῷ γὰρ βέλτιον, ἀπὸ πόνων προσκαίρων ἀρξάμενον πρὸς ἀνάπαυσιν ἄπειρον τελευτᾶν, ἢ τῶν δοκούντων εἶναι ἡδίστων ἐν βραχεῖ γευσάμενον, ἐπὶ τὰ πικρότερα καὶ φορτικώτερα λῆξαι κακά. Ὅταν δὲ πρὸς τούτῳ καὶ ὡμολογημένον ᾖ, ὅτι καὶ ἐνταῦθα 10 οὗτος ὁ βίος ἡδίων, οὐχὶ τοῦτο ὅπερ ἀρχόμενος ἔφην ἀνάγκη νῦν ποιεῖν, ἐλεεῖν τοὺς τὰ τοιαῦτα δακρύοντας ἀγαθά;

Οὐ δὴ θρήνων ἄξιος ὁ παῖς ὁ σός, ἀλλὰ κρότων καὶ στεφάνων, ἐπὶ τὴν ἀκύμαντον ζωὴν καὶ τὸν εὔδιον λιμένα ἐλθών. Ἀλλ᾽ ὀνειδίζουσί σε πατέρες πολλοὶ υἱοὺς ἔχοντες 15 ἐν τῷ παρόντι στρεφομένους βίῳ, καὶ δακρύουσί σε, ὅταν ἴδωσιν ἕτεροι καὶ γελῶσιν ἄλλοι. Διὰ τί δὲ μὴ τούτους σὺ μᾶλλον καταγελᾷς καὶ πενθεῖς; Μὴ γὰρ δὴ τοῦτο σκοπῶμεν, εἰ σκώπτουσιν ἡμᾶς, ἀλλ᾽ εἰ καλῶς καὶ δικαίως· κἂν μὲν τοῦτο ᾖ, καὶ μὴ γελώντων ἐκείνων ἡμεῖς δακρύωμεν, 20 ἐὰν δὲ ἀδίκως τοῦτο πράττωσι, κἂν ἅπαντες γελῶσιν, ἡμεῖς μὲν ἑαυτοὺς μακαρίζωμεν, ἐκείνους δὲ θρηνῶμεν, ἅτε πάντων ἀθλιωτέρους ὄντας, καὶ τῶν μαινομένων οὐδὲν διαφέροντας. Τὸ γὰρ γελᾶν τὰ πολλῶν ἐπαίνων ἄξια καὶ στεφάνων, μαινομένων ἐστί, καὶ τῶν τὰ αὐτὰ νοσούντων αὐ- 25 τοῖς. Εἰπὲ γάρ μοι, εἰ περὶ τὴν τῶν ὀρχουμένων καὶ τὴν τῶν ἡνιόχων μανίαν ἐπτοημένου τοῦ παιδὸς ἐπῄνουν σε καὶ ἐ-

ται ὡσὰν ἀπὸ κάποιαν μάστιγα, τὴν συνείδησιν, καὶ τὴν ἀναμονὴν τῶν βασάνων ποὺ πρόκειται νὰ ὑποστοῦν, οἱ δὲ καλοί, καὶ ἂν ἀκόμη ὑποφέρουν μυρία βάσανα, κατὰ τὸν Πίνδαρον, ἔχουν ἐλπίδα τροφὸν τῶν υἱῶν ποὺ δὲν τοὺς ἐπιτρέπει νὰ αἰσθανθοῦν τὰ παρόντα βάσανα; Ὥστε καὶ ὡς πρὸς αὐτὸ εἶναι ἀνωτέρα ἡ ἡδονὴ ἐκείνη. Διότι εἶναι πολὺ καλύτερον νὰ ἀρχίζῃ κανεὶς ἀπὸ προσκαίρους πόνους καὶ νὰ καταλήγῃ εἰς αἰωνίαν ἀνάπαυσιν, παρὰ νὰ ἀπολαμβάνῃ συντόμως τὰ θεωρούμενα ὡς τὰ πλέον εὐχάριστα καὶ νὰ καταλήξῃ εἰς τὰ πικρότερα καὶ πλέον ἀνυπόφορα κακά. Καὶ ὅταν μάλιστα μαζὶ μὲ αὐτὸ γίνῃ παραδεκτὸν ὅτι καὶ ἐδῶ ἀκόμη ὁ βίος αὐτὸς εἶναι γλυκύτερος, δὲν εἶναι ἀνάγκη νὰ κάμωμεν τώρα αὐτό ποὺ εἶπα ὅταν ἤρχισα, δηλαδὴ νὰ λυπούμεθα αὐτοὺς ποὺ θρηνοῦν διὰ τὰ τοιαῦτα ἀγαθά;

Ὅμως εἰς τὸν υἱόν σου δὲν ταιριάζει θρῆνος, ἀλλὰ χειροκροτήματα καὶ στεφάνια, ἐπειδὴ ἦλθεν εἰς τὴν ἤρεμον ζωὴν καὶ εἰς τὸν γαλήνιον λιμένα. Ἀλλὰ σὲ χλευάζουν πολλοὶ πατέρες, ποὺ ἔχουν υἱοὺς προσκεκολλημένους εἰς τὴν παροῦσαν ζωήν, καὶ ἄλλοι δακρύζουν ὅταν σὲ ἰδοῦν καὶ ἄλλοι σὲ περιγελοῦν. Διατί ὅμως δὲν τοὺς περιγελᾷς καὶ δὲν τοὺς θρηνεῖς ἐσὺ καλύτερα; Ἂς μὴ σκεπτώμεθα δὲ αὐτό, δηλαδὴ τὸ ἐὰν μᾶς εἰρωνεύωνται, ἀλλὰ ἐὰν δικαιολογημένως καὶ ὀρθῶς πράττουν. Καὶ ἐὰν συμβαίνῃ αὐτό, καὶ χωρὶς νὰ γελοῦν ἐκεῖνοι ἡμεῖς ἂς δακρύζωμεν, ἐὰν ὅμως ἀδίκως κάμνουν αὐτό, καὶ ἂν ὅλοι μᾶς περιγελοῦν, ἡμεῖς μὲν ἂς μακαρίζωμεν τοὺς ἑαυτούς μας καὶ ἂς θρηνῶμεν δι᾽ ἐκείνους, διότι εἶναι ἀθλιώτεροι ὅλων, καὶ διότι δὲν διαφέρουν καθόλου ἀπὸ τοὺς μανιακούς. Διότι τὸ νὰ καταγελᾷ κανεὶς αὐτὰ ποὺ εἶναι ἄξια ἐπαίνων καὶ στεφάνων εἶναι χαρακτηριστικὸν τῶν μανιακῶν ἀνθρώπων καὶ αὐτῶν ποὺ ἔχουν τὴν ἰδίαν μὲ αὐτοὺς ἀσθένειαν. Διατί, εἰπέ μου, ἐὰν σὲ ἐθαύμαζαν καὶ σὲ ἐπαινοῦσαν ὅλοι ἐπειδὴ θὰ ἐκυριεύετο ὁ υἱός σου ἀπὸ τὴν μανίαν τῶν χορευτῶν

θαύμαζον ἅπαντες καὶ μακαριστὸν εἶναι ἔλεγον, οὐχὶ χλεύην εἶναι τὸ πρᾶγμα ἐνόμισας; Τί δέ, εἰ γενναῖόν τι καὶ ἐπαίνων ἄξιον πράττοντος ἐγέλων ἐκεῖνοι καὶ ὠνείδιζον, οὐχὶ παραπαίειν αὐτοὺς ἂν ἔφης; Τοῦτο δὴ ποιῶμεν καὶ νῦν,
5 *μὴ τῇ τῶν πολλῶν ὑπονοίᾳ, ἀλλ' ἀκριβεῖ λογισμῶν ἐξετάσει τὴν περὶ τοῦ παιδὸς ἐπιτρέποντες ψῆφον, καὶ ὄψει τοὺς γελῶντας τούτους ἀνδραπόδων μᾶλλον ἢ ἐλευθέρων ὄντας παίδων πατέρας, ὅταν πρὸς τὸν υἱὸν ἐξετάζωνται ἐκεῖνοι τὸν σόν.*

10 *Νῦν μὲν γὰρ ὑπὸ τοῦ πάθους σκοτούμενος, οὐδὲ διαβλέψαι πρὸς ταῦτα δυνήσῃ· ὅταν δὲ μικρὸν ἀναπαύσῃ, καὶ ὁ υἱὸς πολλὴν ἐπιδείξηται τὴν ἀρετήν, οὐκέτι σοι λόγων δεήσει, ἀλλὰ ταῦτα σὺ πρὸς ἑτέρους ἐρεῖς καὶ πλείονα τούτων. Καὶ οὐχ ἁπλῶς σοι ταῦτα μαντεύομαι, ἀλλ' ἀπὸ τῆς πείρας αὐτῆς.*
15 *Καὶ γάρ ἐμοὶ γέγονεν ἑταῖρος, πατέρα ἄπιστον ἔχων πλουτοῦντα καὶ εὐδόκιμον καὶ πάντοθεν λαμπρόν· καὶ οὗτος ὁ πατὴρ τὸ μὲν πρῶτον καὶ ἄρχοντας ἐκίνησε, καὶ δεσμὰ ἠπείλησε, καὶ πάντων αὐτὸν ἀποδύσας ἐπὶ τῆς ἀλλοτρίας εἴασε γῆς, καὶ τῆς ἀναγκαίας δεόμενον τροφῆς, ὡς ταύτῃ πεί-*
20 *σων πρὸς τὴν βιωτικωτέραν ζωὴν ἐπανελθεῖν· ἐπειδὴ δὲ εἶδε πρὸς οὐδὲν τούτων ἐνδόντα, ἡττηθεὶς παλινῳδίαν ᾖσε, καὶ νῦν τιμᾷ τὸν υἱόν, καὶ αἰδεῖται μᾶλλον πατρός· καὶ πολλοὺς ἔχων ἑτέρους παῖδας εὐδοκιμοῦντας, οὐδὲ δούλους ἐκείνους τούτου φησὶν εἶναι ἐπιτηδείους· καὶ αὐτὸς δὲ πολ-*
25 *λῷ λαμπρότερός ἐστι διὰ τὸν υἱόν.*

Ταῦτα καὶ ἐπὶ τοῦ παιδὸς ὀψόμεθα τοῦ σοῦ, καὶ ὅτι οὐ ψεύδομαι, διὰ τῶν ἔργων αὐτῶν εἴσῃ καλῶς. Διὸ σιγήσομαι λοιπόν, τοσοῦτόν σου δεηθείς, ἐνιαυτὸν ἀνάμεινον μόνον, ἢ καὶ ἐλάττονα χρόνον. Οὐδὲ γὰρ δεῖται πολλῶν ἡ-

καὶ τῶν ἁμαξοδηγῶν καὶ σὲ ἐχαρακτήριζαν εὐτυχισμένον, δὲν θὰ ἐθεώρεις εἰρωνείαν αὐτὸ τὸ πρᾶγμα; Τί λοιπόν; Ἐὰν ἔκαμε κάτι τὸ εὐγενὲς καὶ ἀξιέπαινον καὶ ἐκεῖνοι τὸν ἐπεριγελοῦσαν καὶ τὸν εἰρωνεύοντο, μήπως δὲν θὰ ἔλεγες ὅτι εἶναι παράφρονες; Αὐτὸ λοιπὸν ἂς κάμωμεν καὶ τώρα. Ὄχι κατὰ τὴν γνώμην τῶν πολλῶν, ἀλλὰ μὲ ἀκριβῆ ἐξέτασιν τῶν λογισμῶν, νὰ ἐπιτρέψωμεν νὰ γίνῃ ἡ κρίσις διὰ τὸν υἱόν σου καὶ θὰ ἰδῇς ὅτι αὐτοὶ ποὺ εἰρωνεύονται εἶναι πατέρες δούλων μᾶλλον παρὰ ἐλευθέρων τέκνων, ὅταν συγκριθοῦν αὐτὰ πρὸς τὸν υἱόν σου.

Τώρα βεβαίως ἐπειδὴ εἶσαι θολωμένος ἀπὸ τὸ πάθος, δὲν θὰ δυνηθῇς νὰ διακρίνῃς αὐτὰ καλά. Ὅταν ὅμως ἀναπαυθῇς ὀλίγον, καὶ ὁ υἱός σου ἐπιδείξῃ πολλὴν ἀρετήν, δὲν θὰ χρειασθῇς πλέον λόγια, ἀλλὰ αὐτὰ καὶ περισσότερα ἀπὸ αὐτὰ θὰ εἴπῃς ἐσὺ πρὸς ἄλλους. Καὶ δὲν σοῦ προλέγω αὐτὰ τυχαίως, ἀλλὰ ἀπὸ τὴν ἰδίαν τὴν πεῖραν μου. Διότι εἶχα καὶ ἐγὼ ἕνα φίλον, ποὺ εἶχε πατέρα ἄπιστον, πλούσιον καὶ ἐπιτυχημένον καὶ καθ' ὅλα ἔνδοξον. Καὶ αὐτός, ὁ πατέρας του, κατ' ἀρχὰς μὲν ὑπεκίνησε τοὺς ἄρχοντας καὶ ἠπείλησε μὲ φυλακὴν καὶ ἀφοῦ τὸν ἀπεγύμνωσεν ἀπὸ ὅλα, τὸν ἐγκατέλειψεν εἰς ξένην χώραν, διὰ νὰ στερῆται καὶ τὴν καθημερινὴν τροφήν, ὥστε νὰ τὸν ἀναγκάσῃ μὲ αὐτὸν τὸν τρόπον νὰ ἐπανέλθῃ εἰς τὴν κοσμικωτέραν ζωήν. Ὅταν ὅμως εἶδεν ὅτι δὲν ὑπέκυπτεν εἰς τίποτε ἀπὸ αὐτά, νικημένος ἤλλαξε στάσιν καὶ τώρα ἐκτιμᾷ τὸν υἱόν του καὶ τὸν σέβεται περισσότερον καὶ ἀπὸ πατέρα· καὶ μολονότι εἶχε πολλὰ ἄλλα παιδιὰ ἐπιτυχημένα, δὲν τὰ θεωρεῖ ὅμως ἄξια, οὔτε ὡς δούλους του· καὶ αὐτὸς ὁ ἴδιος εἶναι πολὺ ἐνδοξότερος ἐξ αἰτίας τοῦ υἱοῦ του.

Τὰ ἴδια θὰ συμβοῦν καὶ εἰς τὸ ἰδικόν σου παιδί, καὶ ὅτι δὲν ψεύδομαι, θὰ τὸ γνωρίσῃς καλὰ ἀπὸ τὰ ἴδια τὰ γεγονότα. Δι' αὐτὸ λοιπὸν θὰ σιωπήσω. Μόνον αὐτὸ θὰ σὲ παρακαλέσω, νὰ περιμένῃς ἕνα μόνον ἔτος ἢ καὶ ὀλιγώτερον

*μερῶν ἡ παρ' ἡμῖν ἀρετή, ἅτε δὴ θείᾳ βλαστάνουσα χάριτι,
καὶ ὄψει πάντα τὰ εἰρημένα ἐπὶ τῶν πραγμάτων αὐτῶν δει-
κνύμενα· καὶ οὐ μόνον ἐπαινέσεις τὰ γεγενημένα, ἀλλὰ κἂν
μικρὸν διαναστῆναι θελήσῃς, ταχέως καὶ πρὸς τὸν αὐτὸν ἥ-*
5 *ξεις ζῆλον ἐκείνῳ, διδάσκαλον ἔχων τῆς ἀρετῆς τὸν υἱόν.*

χρόνον. Ἄλλωστε δὲν χρειάζεται πολὺν χρόνον ἡ ἰδική μας ἀρετή, ἐπειδὴ βλαστάνει μὲ τὴν ἐπενέργειαν τῆς θείας χάριτος, καὶ θὰ ἰδῇς ὅλα αὐτὰ ποὺ ἔχομεν εἴπει, νὰ ἀποδεικνύωνται ἐμπράκτως. Καὶ τότε ὄχι μόνον θὰ ἐπαινέσῃς αὐτὰ ποὺ θὰ ἔχουν συντελεσθῆ, ἀλλὰ καὶ ἂν ἐπ' ὀλίγον θελήσῃς νὰ ἐπαναστατήσῃς, γρήγορα θὰ γυρίσῃς πάλιν εἰς τὸν ἴδιον ἐκεῖνον ζῆλον, ἔχων διδάσκαλον ἀρετῆς τὸν υἱόν σου.

ΛΟΓΟΣ ΤΡΙΤΟΣ

ΠΡΟΣ ΠΙΣΤΟΝ ΠΑΤΕΡΑ

1. Φέρε δὴ λοιπὸν καὶ τὸν πιστὸν πατέρα διδάξωμεν, ὅτι τοῖς ἐνάγουσιν αὐτοῦ τὸν υἱὸν πρὸς τὸ τῷ Θεῷ δοκοῦν πολεμεῖν οὐ χρή. Καίτοι γε κινδυνεύει λοιπὸν καὶ οὗτος ἡμῖν ἐκ περιουσίας ὁ λόγος γίνεσθαι καὶ τοὐναντίον ἐκβαίνειν, ὅπερ ἔμπροσθεν ἔλεγον. Τότε μὲν γὰρ ἔφην ὅτι με τοῦ ἀγῶνος τούτου ὁ νόμος οὐκ ἀναγκάζει πρὸς τὸν Ἕλληνα ἀποδύσασθαι, ἀλλὰ τοὺς ἔσω κρίνειν μόνον κελεύσας ὁ ἀπόστολος Παῦλος, τῆς πρὸς τοὺς ἔξωθεν μάχης ἀφῆκεν ἐλευθέρους ἡμᾶς.

Νινὶ δέ, ὡς ἔοικεν, οὐδὲ τούτων ἐσμὲν ὑπεύθυνοι τῶν παλαισμάτων· εἰ γὰρ καὶ πρὸ τούτου πρὸς τὸν χριστιανὸν ὑπὲρ τούτων διαλέγεσθαι αἰσχρὸν εἶναι ἐδόκει, πολλῷ μᾶλλον νῦν. Πῶς γὰρ οὐ καταδύσεται ὁ πιστὸς ὑπὲρ τούτων δεόμενος παραινέσεως, ὑπὲρ ὧν οὐδὲν ἂν ἡμῖν ἀντειπεῖν ὁ ἄπιστος ἔχοι; Τί οὖν; σιγήσομεν διὰ τοῦτο, καὶ οὐδὲν ἐροῦμεν; Οὐδαμῶς. Εἰ γὰρ ἦν τις ὁ τὸ μέλλον ἐγγυησόμενος, καὶ καταστήσων δῆλον ἡμῖν, ὡς οὐδεὶς ἔσται λοιπὸν ὁ τὰ τοιαῦτα τολμήσων καὶ ἡμᾶς ἔδει τὴν ἡσυχίαν ἄγειν, καὶ τοῖς παρελθοῦσι χαρίσασθαι τὸ λαθεῖν· ἐπεὶ δ' οὐδένα τούτων ἀξιόπιστον ἔχομεν ἐγγυητήν, ἀναγκαία λοιπὸν ἡ τῶν λόγων παραίνεσις. Ἂν μὲν γὰρ εὕρῃ τοὺς ταύτην νοσοῦντας τὴν νόσον, ἐργάσεται τὸ αὐτῆς· ἂν δὲ μηδεὶς τῇ ἀρρωστίᾳ περιπέσῃ, ὅπερ εὐχόμεθα γέγονε. Καὶ γὰρ τοῖς ἰατροῖς

---

1. Εἰς τὴν ἀρχὴν τῆς προηγουμένης πραγματείας.

ΛΟΓΟΣ ΤΡΙΤΟΣ

ΠΡΟΣ ΠΙΣΤΟΝ ΠΑΤΕΡΑ

1. Ἂς διδάξωμεν λοιπὸν καὶ τὸν πιστὸν πατέρα ὅτι δὲν πρέπει νὰ καταπολεμῇ αὐτοὺς ποὺ ὁδηγοῦν τὸν υἱόν του εἰς τὸ θέλημα τοῦ Θεοῦ. Ἂν καὶ βεβαίως ὑπάρχει φόβος νὰ ἐπαναλάβωμεν τὰ λόγια μας καὶ νὰ συμβῇ τὸ ἀντίθετον, αὐτὸ δηλαδὴ ποὺ ἔλεγα προηγουμένως[1]. Ἔλεγα δηλαδὴ τότε, ὅτι ὁ νόμος δὲν μὲ ὑποχρεώνει ν' ἀρχίσω τὸν ἀγῶνα αὐτὸν μὲ τὴν ἀναφορὰν πρὸς τὸν εἰδωλολάτρην, διότι ὁ Ἀπόστολος Παῦλος, ποὺ ἔδωσεν ἐντολὴν νὰ κρίνωμεν μόνον τοὺς ἐντὸς τῆς Ἐκκλησίας, μᾶς ἄφησεν ἐλευθέρους ἀπὸ τὸν ἀγῶνα ἐναντίον τῶν ἔξω τῆς Ἐκκλησίας εὑρισκομένων.

Τώρα δέ, ὅπως φαίνεται, δὲν εἴμεθα ὑπεύθυνοι οὔτε δι' αὐτοὺς τοὺς ἀγῶνας. Διότι, ἐὰν καὶ πρὶν ἀπὸ αὐτὸ ἐθεωρεῖτο ἐντροπὴ νὰ ὁμιλῶμεν πρὸς τὸν χριστιανὸν δι' αὐτά, πολὺ περισσότερον πρέπει νὰ θεωρῆται τώρα. Διότι, πῶς δὲν θὰ καταβυθισθῇ ὁ πιστός, ποὺ ἔχει ἀνάγκην συμβουλῆς δι' αὐτά, περὶ τῶν ὁποίων τίποτε δὲν θὰ ἠδύνατο νὰ ἀντείπῃ ὁ ἄπιστος; Τί λοιπόν; Θὰ σιωπήσωμεν ἐξ αἰτίας τούτου, καὶ δὲν θὰ εἴπωμεν τίποτε; Καθόλου. Διότι ἐὰν βεβαίως ὑπῆρχε κάποιος νὰ μᾶς ἐγγυηθῇ διὰ τὸ μέλλον καὶ νὰ μᾶς φανερώσῃ, ὅτι δὲν θὰ ὑπάρξῃ κανεὶς ποὺ θὰ ἀποτολμήσῃ τέτοια πράγματα, τότε καὶ ἡμεῖς ἔπρεπε νὰ εἴμεθα ἥσυχοι, καὶ νὰ λησμονήσωμεν τὰ περασμένα. Ἐπειδὴ ὅμως δὲν ἔχομεν κανένα ἀξιόπιστον ἐγγυητὴν αὐτῶν, εἶναι ἀπαραίτητος ἡ διὰ λόγων νουθεσία. Καὶ ἂν μὲν συναντήσῃ τοὺς πάσχοντας ἀπὸ αὐτὴν τὴν νόσον, θὰ τὴν ἀνακόψῃ, ἂν ὅμως δὲν προσβληθῇ κανεὶς ἀπὸ τὴν νόσον, ἔχει πραγματοποιηθῇ αὐτὸ ποὺ εὐχόμεθα. Διότι καὶ διὰ τοὺς ἰατροὺς μετὰ τὴν ἑτοιμασίαν τῶν φαρμάκων διὰ τοὺς

μετὰ τὸ παρασκευάσαι τοῖς ἀρρωστοῦσι τὰ φάρμακα, εὐχῆς ἔργον ἐστί, μηδὲ εἰς χρείαν αὐτῶν καταστῆναι τὸν κάμνοντα· καὶ ἡμεῖς τοίνυν εὐχόμεθα μὲν μηδενὶ τῶν ἀδελφῶν τῶν ἡμετέρων χρείαν ταύτης γενέσθαι τῆς παραινέσεως·
5 *εἰ δ' ἄρα γένοιτο, ὃ μὴ γένοιτο, ὁ δεύτερος, κατὰ τὴν παροιμίαν, αὐτοὺς οὐ διαφεύξεται πλοῦς.*

Διαπλαττέσθω τοίνυν καὶ ὁ πιστὸς ἡμῖν ἤδη τοιοῦτος, οἷος ὁ ἄπιστος, καὶ πάντα ἐκείνῳ προσεοικέτω, πλὴν τῆς περὶ τὸ θεῖον δόξης, καὶ θρηνείτω ὅμοια, καὶ προκυλινδεί-
10 *σθω τῶν ποδῶν τῶν ἁπάντων, καὶ τὴν πολιὰν προβαλλέσθω, καὶ τὸ γῆρας, καὶ τὴν ἐρημίαν, καὶ πάντα ἐκεῖνα λεγέτω, καὶ κινείτω πρὸς ὅσον βούλεται ὀργῆς τοὺς δικάζοντας· μᾶλλον δὲ καὶ πρὸς τοῦτον οὐκέτι ἡμῖν ἐπ' ἀνθρώπων ἐστὶν ἡ δίκη· ἤκουσε γὰρ ὅσα ἐφιλοσόφησαν παρ' ἡμῖν οἱ*
15 *τοῦ θείου πληρωθέντες Πνεύματος ἄνθρωποι περὶ τοῦ φρικτοῦ καὶ φοβεροῦ δικαστηρίου, τοῦ μετὰ τὴν ἐντεῦθεν ἀποδημίαν. Καὶ δεῖ πρὸ τῶν ἄλλων ἁπάντων ἐκείνης αὐτὸν ἀναμνῆσαι τῆς ἡμέρας, καὶ τοῦ ποταμηδὸν ῥέοντος πυρός, τῆς οὐδέποτε σβεννυμένης φλογός, τῆς ἀφανιζομένης ἀκτῖ-*
20 *νος, τῆς κρυπτομένης σελήνης, τῶν πιπτόντων ἄστρων, τῶν ἑλισσομένων οὐρανῶν, τῶν κλονουμένων δυνάμεων, τῆς τινασσομένης πανταχόθεν καὶ ἀναβρασσομένης γῆς, τῆς φοβερᾶς καὶ ἐπαλλήλου τῶν σαλπίγγων ἠχῆς, τῶν διατρεχόντων τὴν οἰκουμένην ἀγγέλων, τῶν παρεστηκυιῶν χιλιάδων,*
25 *τῶν λειτουργουσῶν μυριάδων, τῶν μετ' αὐτοῦ τοῦ κριτοῦ παραγινομένων τῶν στρατοπέδων, τοῦ ἔμπροσθεν λάμποντος σημείου, τοῦ τιθεμένου θρόνου, τῶν ἀνοιγομένων βίβλων, τῆς ἀπροσίτου δόξης, τῆς φοβερᾶς καὶ φρικτῆς τοῦ δικάζοντος φωνῆς, τοὺς μὲν εἰς τὸ πῦρ πέμποντος τὸ ἡτοιμασμέ-*
30 *νον τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ, τοὺς δὲ τῶν θυ-*

---

2. Παραπέμπεται ὁ ἀναγνώστης εἰς τὰ παράπονα καὶ τὰς διαμαρτυρίας τοῦ ἀπίστου πατρός, τὰ ὁποῖα περιγράφονται εἰς τὴν προηγουμένην πραγματείαν.

ἀσθενεῖς των εὐχῆς ἔργον εἶναι νὰ μὴ χρειασθοῦν κἂν εἰς τὸν ἀσθενῆ. Καὶ ἡμεῖς λοιπὸν εὐχόμεθα νὰ μὴ χρειασθῇ κανεὶς ἀπὸ τοὺς ἀδελφούς μας αὐτὴν τὴν συμβουλήν. Ἐὰν ὅμως χρειασθῇ, ὃ μὴ γένοιτο, δὲν θὰ τοὺς διαφύγῃ κατὰ τὴν παροιμίαν, ὁ δεύτερος πλοῦς.

Ἂς διαπλασθῇ λοιπὸν ὁ πιστός, καθὼς ὁ ἄπιστος, καὶ ἂς ὁμοιάζῃ κατὰ πάντα πρὸς ἐκεῖνον, ἐκτὸς ἀπὸ τὴν περὶ τὸ θεῖον δόξαν, καὶ ἂς θρηνῇ ὁμοίως καὶ ἂς κυλίεται πρὸ τῶν ποδῶν ὅλων καὶ ἂς ἐπικαλῆται τὰ λευκά του μαλλιὰ καὶ τὸ γῆρας καὶ τὴν μοναξιάν, καὶ ἂς λέγῃ ὅλα ἐκεῖνα, καὶ ἂς κινῇ τοὺς δικαστὰς μὲ ὅσην ὀργὴν θέλει[2]. Μᾶλλον δὲ ἐναντίον αὐτοῦ δὲν θὰ ἰσχύσῃ ἡ συνηθισμένη διὰ τοὺς ἀνθρώπους διαδικασία τῆς δίκης, διότι αὐτὸς ἤκουσεν ὅσα ἐφιλοσόφησαν μεταξύ μας οἱ φωτισθέντες ἀπὸ τὸ Ἅγιον Πνεῦμα ἄνθρωποι περὶ τοῦ φρικτοῦ καὶ φοβεροῦ δικαστηρίου, ποὺ ὑπάρχει μετὰ τὴν ἐκ τῆς γῆς ἀναχώρησιν. Καὶ πρέπει, πρὶν ἀπὸ ὅλα τὰ ἄλλα νὰ τοῦ ὑπενθυμίσωμεν ἐκείνην τὴν ἡμέραν καὶ τὸ πῦρ ποὺ ρέει ὡσὰν ποτάμι, καὶ τὴν φλόγα ποὺ ποτὲ δὲν σβήνει καὶ τὴν ἀκτῖνα ποὺ ἐξαφανίζεται, τὴν σελήνην ποὺ χάνει τὸ φῶς, τὰ ἄστρα ποὺ πίπτουν, τοὺς οὐρανοὺς ποὺ περιστρέφονται, τὰς δυνάμεις ποὺ συγκλονίζουν καὶ τὴν γῆν ποὺ παντοῦ ἐκτινάσσεται καὶ ἐκρήγνυται. Ἐπίσης νὰ ὑπενθυμίσωμεν τὸν φοβερὸν καὶ συνεχῆ ἦχον τῶν σαλπίγγων, τοὺς διασχίζοντας τὴν οἰκουμένην ἀγγέλους, τὰς χιλιάδας ποὺ παρίστανται, τὰς μυριάδας ποὺ λειτουργοῦν, τὰ στρατεύματα ποὺ ἔρχονται μὲ τὸν ἴδιον τὸν κριτήν, τὸ λαμπρὸν σημεῖον ποὺ προηγεῖται αὐτοῦ, τὸν θρόνον ποὺ στήνεται, τὰ βιβλία ποὺ ἀνοίγονται, τὴν ἀπλησίαστον δόξαν, τὴν φοβερὰν καὶ φρικτὴν φωνὴν τοῦ δικαστοῦ, ποὺ στέλλει ἄλλους μὲν εἰς τὸ πῦρ, ποὺ ἔχει ἑτοιμασθῆ διὰ τὸν διάβολον καὶ τὰ ὄργανά του, ἄλλους δὲ τοὺς κλείει τὴν θύραν μετὰ τὸν πολὺν ἀ-

ρῶν ἀποκλείοντος, μετὰ τὸν πολὺν τῆς παρθενίας πόνον, καὶ τῶν διακόνων αὐτοῦ τοῖς μὲν ἐπιτάττοντος τὰ ζιζάνια δῆσαι καὶ εἰς τὴν κάμινον ἐμβαλεῖν, τοῖς δὲ ἄλλους τινὰς συμποδίσαι, καὶ τὼ χεῖρε στραγγαλῶσαι, καὶ ἀπαγαγεῖν εἰς τὸ σκό-
5 *τος τὸ ἐξώτερον, καὶ τῷ ἀνηκέστῳ παραδοῦναι τῶν ὀδόντων βρυγμῷ· καὶ τὸν μὲν ὑπὲρ ἀκολάστων ὀφθαλμῶν μόνον, τὸν δὲ ὑπὲρ ἀκαίρου γέλωτος, τὸν δὲ ὅτι τὸν πλησίον κατεδίκαζεν ἀνεξετάστως, τὸν δὲ ὅτι μόνον ἐκακηγόρησε, σφοδροτάτῃ καὶ χαλεπωτάτῃ μετιόντος κολάσει· ὅτι γὰρ καὶ τούτων*
10 *κεῖται τιμωρία, αὐτοῦ τοῦ μέλλοντος ἐπάγειν τὰ βασανιστήρια ἔστιν ἀκοῦσαι λέγοντος καὶ ἀπειλοῦντος. Πρὸς τοῦτον πάντας ἡμᾶς ἐντεῦθεν ἀπελθεῖν ἀνάγκη τὸν δικαστήν, καὶ τὴν ἡμέραν ἐκείνην ἰδεῖν, καθ' ἣν γυμνὰ καὶ τετραχηλισμένα πάντα, οὐ τὰ πράγματα λέγω, οὐδὲ τὰ ῥήματα μόνον, ἀλλὰ*
15 *καὶ αὐτὰ τὰ νοήματα.*

2. Καὶ γὰρ τῶν δοκούντων εἶναι μικρῶν νῦν, τότε φοβερὰς ὑφέξομεν τὰς εὐθύνας· οὕτως ὁ κριτὴς μετὰ τῆς αὐτῆς ἀκριβείας τήν τε ἡμετέραν καὶ τὴν τῶν πλησίον ἡμᾶς ἀπαιτεῖ σωτηρίαν. Διὰ τοῦτο ὁ Παῦλος πανταχοῦ παραινεῖ
20 *μὴ τὸ ἑαυτοῦ ζητεῖν, ἀλλὰ τὸ τοῦ πλησίον ἕκαστον· διὰ τοῦτο καὶ Κορινθίοις σφόδρα ἐπιτιμᾷ, ὅτι μὴ προενόησαν, μηδὲ ἐπεμελήσαντο τοῦ πεπορνευκότος, ἀλλ' ὑπερεῖδον αὐτοῦ τὸ τραῦμα ἐπιτριβόμενον, καὶ Γαλάταις δὲ ἐπιστέλλων ἔλεγεν· «ἀδελφοί, ἐὰν καὶ προληφθῇ ἄνθρωπος ἔν τινι παραπτώμα-*
25 *τι, ὑμεῖς οἱ πνευματικοὶ καταρτίζετε τὸν τοιοῦτον. Καὶ Θεσσαλονικεῦσι δὲ πρὸ τούτων τὰ αὐτὰ ταῦτα παραινεῖ λέγων· «ὥστε παρακαλεῖτε εἰς τὸν ἕνα, καθὼς καὶ ποιεῖτε»· καὶ πάλιν, «νουθετεῖτε τοὺς ἀτάκτους, παραμυθεῖσθε τοὺς ὀλιγοψύχους, ἀντέχεσθε τῶν ἀσθενῶν».*

---

3. Γαλ. 6, 1.
4. Α' Θεσ. 5, 11.
5. Α' Θεσ. 5, 14.

γῶνα τῆς παρθενίας. Καὶ τοὺς ὑπηρέτας αὐτοῦ ἄλλους μὲν νὰ διατάσσῃ νὰ δέσουν τὰ ζιζάνια καὶ νὰ τὰ ρίψουν εἰς τὸ καμίνι, ἄλλους δὲ νὰ δέσουν μερικῶν ἄλλων τὰ πόδια καὶ τὰ χέρια των ὀπισθάγκωνα καὶ ἀφοῦ τοὺς μεταφέρουν εἰς τὸ βαθύτατον σκότος νὰ τοὺς παραδώσουν εἰς τὸν ἀθεράπευτον τριγμὸν τῶν ὀδόντων, Καὶ ἀκόμη ὅτι εἰς ἄλλον μὲν μόνον διὰ τοὺς ἀκολάστους ὀφθαλμοὺς εἰς ἄλλον διὰ τὸν ἄσκοπον γέλωτα, εἰς ἄλλον δὲ διότι κατεδίκαζε τὸν πλησίον αὐτοῦ χωρὶς ἐξέτασιν καὶ εἰς ἄλλον διότι ἁπλῶς ἐκακολόγησεν, ἐπιβάλλει αὐστηροτάτην καὶ φοβερωτάτην τιμωρίαν. Ὅτι βεβαίως ὑπάρχει τιμωρία καὶ δι' αὐτά, ἠμπορεῖ κανεὶς νὰ ἀκούσῃ νὰ τὸ λέγῃ καὶ τὸ ἀπειλῇ ἀπὸ τὸν ἐπιβάλλοντα τὰ βασανιστήρια. Πρὸς αὐτὸν τὸν δικαστὴν ἀναποφεύκτως θὰ ἀπέλθωμεν καὶ θὰ ἴδωμεν τὴν ἡμέραν ἐκείνην, κατὰ τὴν ὁποίαν ὅλα θὰ εἶναι γυμνὰ καὶ καταβεβλημένα, ὄχι μόνον αἱ πράξεις καὶ τὰ λόγια, ἀλλὰ καὶ αὐταὶ αἱ σκέψεις.

2. Πράγματι τότε θὰ φέρωμεν φοβερὰς εὐθύνας δι' αὐτά, ποὺ τώρα φαίνονται ἀσήμαντα. Ἔτσι, ὁ κριτὴς μὲ τὴν ἰδίαν ἀκρίβειαν ζητεῖ καὶ τὴν ἰδικήν μας καὶ τὴν τῶν πλησίον μας σωτηρίαν. Δι' αὐτὸ ὁ Παῦλος παντοῦ συμβουλεύει τὸν καθένα νὰ μὴ ἐπιζητῇ μόνον τὴν ἰδικήν του, ἀλλὰ καὶ τὴν τοῦ πλησίον σωτηρίαν. Διὰ τοῦτο κατηγορεῖ σφοδρῶς τοὺς Κορινθίους, διότι δὲν ἐπρονόησαν καὶ δὲν ἐφρόντισαν διὰ τὸν πόρνον, ἀλλὰ παρέβλεψαν τὸ τραῦμα του ἐρεθισμένον. Καὶ πρὸς τοὺς Γαλάτας γράφων ἔλεγεν, «ἀδελφοί, ἐὰν καταληφθῇ ἄνθρωπος εἰς κάποιον παράπτωμα, σεῖς οἱ πνευματικοὶ νὰ τὸν καταρτίζετε»[3]. Καὶ πρὸ αὐτῶν συμβουλεύει τοὺς Θεσσαλονικεῖς τὰ ἴδια ἀκριβῶς λέγων, «ὥστε νὰ παρηγορῆτε ὁ εἷς τὸν ἄλλον, ὅπως καὶ τὸ πράττετε»[4] καὶ πάλιν, «νουθετεῖτε τοὺς ἀτάκτους, παρηγορεῖτε τοὺς ὀλιγοψύχους, φροντίζετε διὰ τοὺς ἀσθενεῖς»[5].

Ἵνα γὰρ μή τις λέγῃ· 'τί μοι καὶ τῆς τῶν ἄλλων προνοίας; ὁ ἀπολλύμενος ἀπολλύσθω, καὶ ὁ σῳζόμενος σῳζέσθω· οὐδὲν τούτων πρὸς ἐμέ, τὰ ἐμαυτοῦ σκοπεῖν ἐπιτέταγμαι'· ἵνα μή τις ταῦτα λέγῃ, τὴν θηριώδη ταύτην καὶ ἀπάνθρω- 5 *πον ἔννοιαν ἀναιρῶν, ἐπετείχισεν αὐτῇ τούτους τοὺς νόμους, πολλὰ τῶν οἰκείων κελεύων παρορᾶν, ὥστε τὰ τῶν πλησίον ἱστᾶν, καὶ βίου ταύτην ἀκρίβειαν πανταχοῦ εἶναι διορίζεται.*

Καὶ Ῥωμαίοις δὲ γράφων, πολλὴν τοῦ μέρους τούτου κελεύει ποιεῖσθαι πρόνοιαν, τοὺς ἰσχυροὺς τοῖς ἀσθενέσιν 10 *ὥσπερ πατέρας ἐφιστάς, καὶ μεριμνᾶν ἀναπείθων τὴν σωτηρίαν αὐτῶν. Ἀλλ' ἐνταῦθα μὲν ἐν παραινέσεως τάξει καὶ συμβουλῆς ταῦτα φησίν· ἑτέρωθι δὲ καὶ μετὰ πολλῆς τῆς σφοδρότητος τὰς τῶν ἀκουόντων κατασείει ψυχάς· τοὺς γὰρ ἀμελοῦντας τῆς τῶν ἀδελφῶν σωτηρίας, εἰς αὐτὸν ἁμαρτά-* 15 *νειν φησὶ τὸν Χριστόν, καὶ τοῦ Θεοῦ κατασκάπτειν τὴν οἰκοδομήν.*

Καὶ ταῦτα οὐ παρ' ἑαυτοῦ, ἀλλὰ παρὰ τοῦ διδασκάλου μαθὼν ἔλεγε. Καὶ γὰρ ὁ τοῦ Θεοῦ μονογενὴς διδάξαι βουλόμενος, ὡς ἀναγκαῖον τοῦτό ἐστι τὸ ὄφλημα καὶ τοὺς μὴ 20 *βουλομένους αὐτὸ καταθεῖναι μεγάλα ἐκδέξεται κακά, ἔλεγεν· «Ὃς ἐὰν σκανδαλίσῃ ἕνα τῶν μικρῶν τούτων, συμφέρει αὐτῷ ἵνα κρεμασθῇ μύλος ὀνικὸς περὶ τὸν τράχηλον αὐτοῦ καὶ καταποντισθῇ ἐν τῷ πελάγει τῆς θαλάσσης».*

Καὶ ὁ τὸ τάλαντον δὲ προσενεγκών, οὐχ ὅτι τῶν οἰ- 25 *κείων τι παρεῖδεν, ἀλλ' ὅτι τῆς τῶν πλησίον σωτηρίας ἠμέλησεν, ἐκείνῃ τῇ τιμωρίᾳ κολάζεται. Ὥστε κἂν ἅπαντα ἡμῖν καλῶς ᾖ διηκριβωμένα τὰ κατὰ τὸν ἡμέτερον βίον, οὐδὲν ὄφελος ἡμῖν, ταύτης τῆς ἁμαρτίας ἱκανῆς οὔσης ἡμᾶς εἰς τὸ τῆς γεέννης καταποντίσαι πέλαγος. Εἰ γὰρ τοὺς ἐν τοῖς*

---

6. Ματθ. 18, 6.

Διὰ νὰ μὴ λέγῃ λοιπὸν κανείς, 'τί μ' ἐνδιαφέρουν οἱ ἄλλοι; Αὐτὸς ποὺ χάνεται ἃς χαθῇ, καὶ αὐτὸς ποὺ σώζεται ἃς σωθῇ· τίποτε ἀπ' αὐτὰ δὲν μ' ἐνδιαφέρει· ἔχω προσταγὴν νὰ σκέπτωνται μόνον τὰ ἰδικά μου'· διὰ νὰ μὴ λέγῃ λοιπὸν κανεὶς αὐτά, ἐλέγχων ὁ Παῦλος τὴν θηριώδη καὶ ἀπάνθρωπον αὐτὴν σκέψιν, τὴν ὠχύρωσε μὲ αὐτοὺς τοὺς νόμους, δίδων ἐντολὴν νὰ παραβλέπωμεν πολλὰ ἀπὸ τὰ ἰδικά μας, διὰ νὰ τακτοποιῶμεν τὰ τῶν πλησίον, καὶ διατάσσει νὰ κυβερνᾷ παντοῦ ἡ ἀκρίβεια αὐτὴ τῆς ζωῆς.

Καὶ εἰς τοὺς Ρωμαίους γράφων, τοὺς παραγγέλλει νὰ φροντίζουν πολὺ διὰ τὴν ἐντολὴν αὐτήν, ἐπιβάλλων τοὺς ἰσχυροὺς ὡς πατέρας τῶν ἀδυνάτων καὶ παρακινῶν αὐτοὺς νὰ μεριμνοῦν ὑπὲρ τῆς σωτηρίας αὐτῶν. Ἀλλὰ ἐδῶ μὲν λέγει αὐτὰ ὑπὸ τύπον προτροπῆς καὶ συμβουλῆς, ἀλλοῦ ὅμως μὲ πολλὴν σφοδρότητα συγκλονίζει τὰς ψυχὰς τῶν ἀκουόντων. Διότι αὐτοὶ ποὺ παραμελοῦν τὴν σωτηρίαν τῶν ἀδελφῶν, ἁμαρτάνουν ἔναντι τοῦ ἰδίου τοῦ Χριστοῦ καὶ καταστρέφουν ἐκ θεμελίων τὸ οἰκοδόμημα.

Καὶ αὐτὰ δὲν τὰ ἔλεγεν ἀφ' ἑαυτοῦ, ἀλλὰ τὰ ἔμαθεν ἀπὸ τὸν διδάσκαλον. Ὁ Μονογενὴς δηλαδὴ υἱὸς τοῦ Θεοῦ θέλων νὰ διδάξῃ πόσον ἀπαραίτητον εἶναι αὐτὸ τὸ χρέος, καὶ ὅτι ὅσοι δὲν θέλουν νὰ τὸ ἐκπληρώσουν θὰ ὑποστοῦν μεγάλας συμφοράς, ἔλεγεν· «ὅποιος σκανδαλίσῃ ἕνα ἀπὸ αὐτοὺς τοὺς μικροὺς ἔχει συμφέρον νὰ κρεμασθῇ εἰς τὸν λαιμόν του ὁλόκληρος μυλόπετρα καὶ νὰ καταποντισθῇ εἰς τὸ πέλαγος τῆς θαλάσσης»[6].

Αὐτὸς δὲ ποὺ ἐπέστρεφε τὸ τάλαντον, ὄχι διότι παρημέλησε τίποτε ἀπὸ τὰ ἰδικά του, ἀλλ' ἐπειδὴ παρέβλεψε τὴν σωτηρίαν τῶν πλησίον τιμωρεῖται μὲ ἐκείνην τὴν τιμωρίαν. Ὥστε καὶ ἂν ἀκόμη εἶναι τακτοποιημένα ὅλα ὅσα ἀφοροῦν τὴν ἰδικήν μας ζωήν, δὲν ὠφελούμεθα καθόλου, διότι αὐτὴ ἡ ἁμαρτία εἶναι ἀρκετὴ νὰ μᾶς καταποντίσῃ εἰς τὸ πέλαγος τοῦ πυρός. Διότι, ἐὰν αὐτοὺς ποὺ δὲν ἤθελη-

σωματικοῖς μὴ βουληθέντας βοηθεῖν τῷ πλησίον οὐδεὶς ἐξαιρήσεται λόγος, ἀλλὰ κἂν παρθενίαν ἠσκηκότες ὦσιν, ἔξω που ῥιφήσονται τοῦ νυμφῶνος· ὁ τῷ πολλῷ μεῖζον ἐκλελοιπὼς (πολλῷ γὰρ μεῖζον ἡ τῆς ψυχῆς προστασία) πῶς οὐκ 5 εἰκότως ἅπαντα πείσεται τὰ δεινά; Τὸν γὰρ ἄνθρωπον οὐχ ἑαυτῷ μόνον αὐταρκεῖν κατεσκεύασεν ὁ Θεός, ἀλλὰ καὶ ἑτέροις πολλοῖς. Διὰ τοῦτο καὶ φωστῆρας ὁ Παῦλος καλεῖ τοὺς πιστούς, ἐνδεικνύμενος ὅτι καὶ ἑτέροις χρησίμους εἶναι δεῖ αὐτούς· ὁ γὰρ φωστήρ, ἕως ἂν ἑαυτὸν φωτίζῃ μόνον, 10 οὐκ ἂν εἴη φωστήρ. Διὰ τοῦτο, καὶ Ἑλλήνων εἶναι χείρους φησὶ τοὺς τῶν πλησίον ἀμελοῦντας, οὑτωσὶ λέγων· «εἰ δέ τις τῶν ἰδίων, καὶ μάλιστα τῶν οἰκείων οὐ προνοεῖ, τὴν πίστιν ἤρνηται, καὶ ἔστιν ἀπίστου χείρων». Τί γὰρ βούλει τὴν πρόνοιαν ἐνταῦθα δηλοῦσθαι; ἆρα τὴν τῶν ἀναγκαίων 15 χορηγίαν; Ἐγὼ μὲν γὰρ αὐτὸν οἶμαι τὴν τῆς ψυχῆς ἐπιμέλειαν λέγειν. Εἰ δὲ φιλονεικοίης, καὶ οὕτω τὸ ἐμὸν στήσεται μᾶλλον. Εἰ γὰρ περὶ σώματος ταῦτά φησι, καὶ τὸν μὴ παρέχοντα τὴν ἐφήμερον ταύτην τροφὴν τοσαύτῃ κολάσει παρέδωκε, καὶ τῶν Ἑλλήνων ἔφησεν εἶναι χείρω, ποῦ κεί- 20 σεται ὁ τὸ μεῖζον καὶ ἀναγκαιότερον παρορῶν;

3. Φέρε οὖν συλλογισώμεθα λοιπὸν τῆς ἁμαρτίας ἡμῶν τὸ μέγεθος, καὶ κατὰ μικρὸν ἀναβαίνοντες, δείξωμεν ὅτι πάντων ἐπέκεινα τῶν ἁμαρτημάτων ἐστὶν ἡ περὶ τοὺς παῖδας ὀλιγωρία, καὶ πρὸς αὐτὴν ἥκει τῆς πονηρίας τὴν κορυφήν. 25 Ἔστι τοίνυν πρῶτος κακίας καὶ πονηρίας βαθμὸς καὶ ὠμότητος τὸ τοὺς φίλους περιορᾶν· μᾶλλον δὲ κατωτέρω τὸν λόγον ἀγάγωμεν· τοῦτο γὰρ οὐκ οἶδ' ὅπως μικροῦ δεῖν με παρέλαθεν, ὅτι ὁ πρότερος νόμος, ὁ τοῖς Ἰουδαίοις δοθείς,

7. Α' Τιμ. 5, 8.

σαν νὰ βοηθήσουν σωματικῶς τοὺς πλησίον δὲν τοὺς σώζει καμμία δικαιολογία, καὶ ἀκόμη ἂν ἔχουν ζήσει ἐν παρθενίᾳ θὰ ριφθοῦν ἔξω ἀπὸ τὸν νυμφῶνα, αὐτὸς ποὺ παρέλειψε τὸ πολὺ σπουδαιότερον (διότι ἡ προστασία τῆς ψυχῆς εἶναι πολὺ σπουδαιοτέρα), πῶς δὲν θὰ ὑποστῇ εὐλόγως ὅλας τὰς τιμωρίας; Ἄλλωστε, ὁ Θεὸς δὲν ἐδημιούργησε τὸν ἄνθρωπον διὰ νὰ ἐξυπηρετῇ μόνον τὸν ἑαυτόν του, ἀλλὰ καὶ πολλοὺς ἄλλους. Δι' αὐτὸ καὶ ὁ Παῦλος ὀνομάζει τοὺς πιστοὺς ἀστέρας φωτεινούς, θέλων ν' ἀποδείξῃ ὅτι πρέπει νὰ εἶναι χρήσιμοι καὶ εἰς ἄλλους. Διότι ὁ ἀστήρ, ἐὰν ἐφώτιζε μόνον τὸν ἑαυτόν του, δὲν θὰ ἦτο ἀστήρ. Δι' αὐτὸ καὶ εἶναι χειρότεροι, λέγει, ἀπὸ τοὺς εἰδωλολάτρας, αὐτοὶ ποὺ ἀμελοῦν τοὺς πλησίον, λέγων τὰ ἑξῆς. «Ἐὰν κάποιος δὲν προνοῇ χάριν τῶν ἰδικῶν του, καὶ μάλιστα τῶν συγγενῶν, ἔχει ἀρνηθῇ τὴν πίστιν καὶ εἶναι χειρότερος ἀπὸ ἄπιστον»[7]. Τί νομίζεις ὅτι ἐννοεῖ μὲ τὴν πρόνοιαν; Ἆρά γε τὴν προμήθειαν τῶν ἀναγκαίων διὰ τὴν ζωήν; Ἐγὼ τοὐλάχιστον ἔχω τὴν γνώμην ὅτι ἐννοεῖ τὴν φροντίδα τῆς ψυχῆς. Ἐὰν ἐσὺ ἀντιταχθῇς, καὶ ἔτσι ἡ ἰδική μου γνώμη θὰ σταθεροποιηθῇ καλύτερα. Διότι, ἐὰν τὰ λέγῃ αὐτὰ περὶ τοῦ σώματος, καὶ εἰς αὐτὸν ποὺ δὲν δίδει τὴν ἐφήμερον αὐτὴν τροφὴν ἐπεφύλαξε τέτοιαν τιμωρίαν, καὶ εἶπεν ὅτι εἶναι χειρότερος ἀπὸ τὸν εἰδωλολάτρην, ποῦ θὰ σταθῇ αὐτὸς ποὺ παραβλέπει τὸ σπουδαιότερον καὶ ἀναγκαιότερον;

3. Ἐλθὲ λοιπὸν νὰ ἐξετάσωμεν τὸ μέγεθος τῆς ἁμαρτίας καὶ προχωροῦντες ὀλίγον κατ' ὀλίγον νὰ ἀποδείξωμεν ὅτι ὑπεράνω ὅλων τῶν ἁμαρτημάτων εἶναι ἡ παραμέλησις τῶν παιδιῶν καὶ ὅτι ἐγγίζει τὴν κορυφὴν τῆς κακίας. Εἶναι λοιπὸν πρῶτος βαθμὸς κακίας καὶ πονηρίας τὸ νὰ περιφρονῇ κανεὶς τοὺς φίλους. Καλύτερα ὅμως ἂς προχωρήσωμεν τὸν λόγον μας παρακάτω. Διότι δὲν γνωρίζω πῶς ὀλίγον ἔλειψε νὰ λησμονήσω τοῦτο, ὅτι ὁ προηγούμενος νόμος, ποὺ ἐδόθη εἰς τοὺς Ἰουδαίους, δὲν ἐπιτρέπει νὰ

οὐδὲ τὰ ὑποζύγια τῶν ἐχθρῶν ἀφίησι παρορᾶν οὔτε πεπτωκότα οὔτε πλανώμενα, ἀλλὰ τὰ μὲν ὁδηγῆσαι, τὰ δὲ συνδιαναστῆσαι κελεύει. Ἔστιν οὖν πρῶτος μὲν κάτωθεν ἀναβαίνων κακίας καὶ ὠμότητος βαθμός, τὸ τὰ τῶν ἐχθρῶν κτήνη 5 καὶ θρέμματα κακῶς πάσχοντα παρατρέχειν· δεύτερος δὲ μετ' ἐκεῖνον ἀνώτερος, τὸ τῶν ἐχθρῶν ἀμελεῖν· ὅσῳ γὰρ ἄνθρωπος ἀλόγου τιμιώτερος, τοσούτῳ μείζων ἐκείνης αὕτη ἡ ἁμαρτία· τρίτος δὲ μετὰ τοῦτον, τὸ τῶν ἀδελφῶν καταφρονεῖν, κἂν ἀγνῶτες ὄντες τυγχάνωσι· τέταρτος, τὸ τοὺς 10 οἰκείους περιορᾶν· πέμπτος, ὅταν μὴ σώματος αὐτοῖς μόνον, ἀλλὰ καὶ τῆς ψυχῆς ἀπολλυμένης καταφρονῶμεν· ἕκτος, ὅταν μὴ τῶν οἰκείων, ἀλλὰ καὶ τῶν παίδων ἡμῖν διαφθειρομένων ὀλιγωρῶμεν· ἕβδομος, ὅταν μηδὲ ἑτέρους τοὺς ἐπιμελομένους ζητῶμεν· ὄγδοος, ὅταν καὶ ἀφ' ἑαυτῶν τοῦτο 15 βουλομένους ποιεῖν κωλύωμεν καὶ ἀπείργωμεν· ἔνατος, ὅταν μὴ κωλύωμεν μόνον, ἀλλὰ καὶ πολεμῶμεν. Ὥστε εἰ τῷ πρώτῳ καὶ τῷ δευτέρῳ καὶ τρίτῳ τῆς κακίας ταύτης βαθμῷ τοσαύτη κόλασις ἕπεται, τῷ πάντας ἀναβεβηκότι τούτους, τούτῳ δὴ τῷ ὑμετέρῳ, πόσον ἕψεται πῦρ ἐνάτῳ μετ' ἐκεῖνον 20 τυγχάνοντι; μᾶλλον δὲ οὐκ ἔνατον μόνον, οὐδὲ δέκατον, ἀλλὰ καὶ ἑνδέκατον οὐκ ἄν τις ἁμάρτοι τοῦτον προσειπών.

Τί δήποτε; Ὅτι οὐ τῇ φύσει πολλῷ μεῖζον τὸ ἁμάρτημα τῶν προηριθμημένων ἐστὶ μόνον, ἀλλὰ καὶ ἀπὸ τοῦ χρόνου χαλεπώτερον. Τί δὲ τοῦτό ἐστι τὸ ἀπὸ τοῦ χρόνου; Ὅτι 25 τὰ αὐτὰ ἁμαρτάνουσιν ἡμῖν νῦν τοῖς ἐν τῷ νόμῳ οὐ τὰ αὐτὰ κείσεται βασανιστήρια, ἀλλὰ πολλῷ χαλεπώτερα, ὅσῳ καὶ

παραβλέπωνται οὔτε τὰ ὑποζύγια τῶν ἐχθρῶν, οὔτε ὅταν ἔχουν πέσει, οὔτε ὅταν ἔχουν χαθῇ, ἀλλὰ διατάσσει τὰ μὲν νὰ ὁδηγοῦνται πρὸς τοὺς ἰδιοκτήτας των, τὰ δὲ νὰ σηκώνωνται. Ὑπάρχει λοιπὸν πρῶτος βαθμὸς τῆς κακίας καὶ τῆς σκληρότητος, ποὺ ἀρχίζει ἐκ τῶν κάτω, τὸ νὰ παραβλέπῃ κανεὶς τὰ ζῶα καὶ τὰ θρέμματα ὅταν ὑποφέρουν· δεύτερος δὲ ὕστερα ἀπὸ ἐκεῖνον ὑψηλότερος εἶναι τὸ νὰ παραμελῇ κανεὶς τοὺς ἐχθρούς. Διότι, ὅσον ἀνώτερος εἶναι ὁ ἄνθρωπος ἀπὸ τὸ ἄλογον ζῶον, τόσον μεγαλυτέρα εἶναι αὐτὴ ἡ ἁμαρτία ἀπὸ ἐκείνην. Τρίτος δὲ ὕστερα ἀπὸ αὐτὸν εἶναι τὸ νὰ περιφρονῇ κανεὶς τοὺς ἀδελφοὺς καὶ ἂν ἀκόμη εἶναι ἄγνωστοι μεταξύ των· τέταρτος, τὸ νὰ παραβλέπῃ κανεὶς τοὺς συγγενεῖς, πέμπτος, τὸ νὰ καταφρονῶμεν ὄχι μόνον τὸ φθαρτὸν σῶμα, ἀλλὰ καὶ τὴν ψυχήν· ἕκτος, ὅταν παραμελῶμεν ὄχι μόνον τοὺς συγγενεῖς, ἀλλὰ καὶ τὰ παιδιὰ ποὺ διαφθείρονται· ἕβδομος, ὅταν οὔτε ἄλλους εὑρίσκωμεν διὰ νὰ φροντίσουν· ὄγδοος, ὅταν, ἐνῷ θέλουν μόνοι των νὰ κάμουν αὐτό, ἡμεῖς τοὺς ἐμποδίζομεν καὶ τοὺς ἀποτρέπομεν· καὶ ἔνατος, ὅταν ὄχι μόνον ἐμποδίζωμεν, ἀλλὰ καὶ καταπολεμῶμεν. Ὥστε, ἐὰν εἰς τὸν πρῶτον καὶ τὸν δεύτερον καὶ τὸν τρίτον βαθμὸν κακίας ἐπιφυλάσσεται τόσον μεγάλη τιμωρία, εἰς αὐτὸν ποὺ ἔχει περάσει εἰς ὅλους αὐτούς, εἰς αὐτὸν λοιπὸν τὸν ἰδικόν σας, ποὺ εἶναι ἔνατος ὕστερα ἀπὸ ἐκεῖνον, ποία τιμωρία ἐπιφυλάσσεται; Μᾶλλον δὲ ὄχι μόνον ἔνατον, οὔτε δέκατον, ἀλλὰ καὶ ἑνδέκατον ἂν τὸν ὠνόμαζε κανεὶς δὲν θὰ ἔκαμε λάθος.

Τί συμβαίνει λοιπόν; Τὸ ὅτι τὸ ἁμάρτημα τοῦτο ὄχι μόνον ὡς πρὸς τὴν φύσιν εἶναι πολὺ σοβαρώτερον ἀπὸ τὰ προαριθμηθέντα, ἀλλὰ καὶ ἀπὸ τὴν ἄποψιν τοῦ χρόνου εἶναι φοβερώτερον. Τί σημαίνει ὅμως αὐτό; Σημαίνει ὅτι ἡμεῖς ποὺ κάμνομεν τὰ ἴδια ἁμαρτήματα τώρα, ἔχοντες τὸν νόμον δὲν θὰ ὑποστῶμεν τὰς ἰδίας, ἀλλὰ πολὺ φοβερωτέρας τιμωρίας, καθ' ὅσον καὶ μεγαλυτέραν δωρεὰν ἀπελαύ-

μείζονος ἀπηλαύσαμεν δωρεᾶς, καὶ τελειοτέρας διδασκαλίας μετέσχομεν, καὶ πλείονι τετιμήμεθα τιμῇ. Ὅταν οὖν καὶ τῇ φύσει, καὶ τῷ χρόνῳ σφοδρὸν οὕτω τὸ ἁμάρτημα γίνηται τοῦτο, ἐννόησον ὅσην οἴσει τὴν φλόγα ἐπὶ τὴν τῶν τολμών-
5 *των αὐτὸ κεφαλήν. Καὶ ὅτι οὐχ ἁπλῶς ταῦτα συλλογίζομαι, καὶ ἀπ' αὐτοῦ τοῦ πράγματος ἐπιδείξω τοῦτο συμβάν, ἵν' εἰδῆτε ὅτι, κἂν τὰ ἡμέτερα ἡμῖν ἅπαντα ᾖ διῳκημένα, τῆς γοῦν τῶν παίδων ἀμελοῦντες σωτηρίας, τὴν ἐσχάτην τίσομεν δίκην. Ἐρῶ δὲ ὑμῖν τινα λόγον οὐκ ἐμόν ἀλλ' ἐν ταῖς*
10 *θείαις κείμενον Γραφαῖς. Ἱερεύς τις ἦν παρὰ τοῖς Ἰουδαίοις, μέτριος ἄνθρωπος καὶ ἐπιεικής, Ἠλεὶ τούτῳ ὄνομα ἦν. Οὗτος ὁ Ἠλεὶ γίνεται δύο παίδων πατήρ· καὶ ὁρῶν αὐτοὺς ἐπὶ κακίαν βαδίζοντας, οὐ κατεῖχεν οὐδὲ ἐκώλυε· μᾶλλον δὲ κατεῖχε μὲν καὶ ἐκώλυε, οὐ μετὰ πάσης δὲ τοῦ-*
15 *το ἐποίει σπουδῆς. Τὰ ἐγκλήματα δὲ τῶν παίδων τούτων ἦν πορνεία τε καὶ γαστριμαργία. Ἤσθιον γάρ, φησί, πρὸ τοῦ καθαγιασθῆναι τὰ κρέα τὰ ἱερὰ καὶ τὴν θυσίαν ἀνενεχθῆναι τῷ Θεῷ. Ταῦτα δὲ ἀκούων ὁ πατήρ, τιμωρίαν μὲν οὐκ ἐπέθηκε, λόγῳ δὲ καὶ παραινέσει ἐπειρᾶτο τῆς πονηρίας*
20 *ταύτης ἀπάγειν αὐτούς, καὶ τοιαῦτα συνεχῶς πρὸς αὐτοὺς ἔλεγε ῥήματα· «μὴ τέκνα, μὴ ποιεῖτε οὕτως, ὅτι οὐκ ἀγαθὴ ἡ ἀκοή, ἣν ἐγὼ ἀκούω περὶ ὑμῶν τοῦ ποιεῖν τὸν λαὸν μὴ λατρεύειν τῷ Κυρίῳ. Ἐὰν ἁμαρτὼν ἁμάρτῃ ἀνὴρ εἰς ἄνδρα, προσεύξονται περὶ αὐτοῦ πρὸς Κύριον· ἐὰν δὲ τῷ Κυρίῳ*
25 *ἁμάρτῃ ἄνθρωπος, τίς προσεύξεται περὶ αὐτοῦ;». Καίτοι πολλὴ ἡ τῶν ῥημάτων βαρύτης, καὶ ἡ ἐντροπή, καὶ τὸν νοῦν ἔχοντα ἱκανὴ ἀνακτήσασθαι· τό τε γὰρ ἁμάρτημα ἐπῆρε, καὶ φοβερὸν ἔδειξε, τήν τε ἐπικειμένην δίκην ἀφόρητον ἀπέφηνε καὶ φρικτήν· ἀλλ' ὅμως ἐπειδὴ μὴ πᾶν ὅσον ἐχρῆν*
30 *ἐπεδείξατο, καὶ αὐτὸς μετ' ἐκείνων ἀπώλετο. Καὶ γὰρ ἀ-*

---

8. Α' Βασ. 2, 24-25.

σαμεν καὶ τελειοτέραν διδασκαλίαν ἐδιδάχθημεν, καὶ μὲ περισσοτέραν τιμὴν ἐτιμήθημεν. Ὅταν λοιπὸν καὶ ὡς πρὸς τὴν φύσιν καὶ ὡς πρὸς τὸν χρόνον γίνεται τόσον μεγάλο ἁμάρτημα, σκέψου πόσην τιμωρίαν θὰ ἐπιφέρῃ τοῦτο εἰς τὴν κεφαλὴν αὐτῶν ποὺ τὸ ἀποτολμοῦν. Καὶ ὅτι δὲν τὰ σκέπτομαι αὐτὰ τυχαίως, θὰ τὸ ἀποδείξω καὶ ἀπὸ αὐτὸ τὸ πρᾶγμα, διὰ νὰ γνωρίσετε ὅτι καὶ ἂν ἀκόμη ἡ προσωπική μας διαγωγὴ εἶναι καθ' ὅλα τακτοποιημένη, ἐφ' ὅσον παραμελοῦμεν τὴν σωτηρίαν τῶν παιδιῶν, θὰ ὑποστῶμεν τὴν μεγαλυτέραν τιμωρίαν. Θὰ σᾶς εἴπω δὲ ἕνα λόγον, ὄχι ἰδικόν μου, ἀλλ' εὑρισκόμενον εἰς τὰς θείας Γραφάς. Ὑπῆρχε κάποιος ἱερεὺς εἰς τοὺς Ἰουδαίους, ἄνθρωπος πρᾶος καὶ ἐπιεικής, ποὺ ὠνομάζετο Ἠλεί. Αὐτὸς ὁ Ἠλεὶ ἀπέκτησε δύο παιδιά, καὶ ἐνῷ παρετήρει ὅτι ἔκλιναν πρὸς τὴν κακίαν, δὲν τὰ συνεκράτει, οὔτε τὰ ἠμπόδιζε· μᾶλλον δὲ τὰ συνεκράτει καὶ τὰ ἠμπόδιζε, ὅμως αὐτὸ δὲν τὸ ἔκαμε μὲ μεγάλον ζῆλον. Τὰ δὲ ἁμαρτήματα τῶν παιδιῶν αὐτῶν ἦσαν ἡ πορνεία καὶ ἡ γαστριμαργία. Ἔτρωγαν δηλαδή, λέγει, πρὶν νὰ καθαγιασθοῦν τὰ ἱερὰ κρέατα, καὶ πρὶν νὰ προσφερθῇ ἡ θυσία πρὸς τὸν Θεόν. Ὅταν ἤκουσεν αὐτὰ τὰ πράγματα ὁ πατήρ των, δὲν τὰ ἐτιμώρησε, προσεπάθει δὲ ἁπλῶς μὲ λόγια καὶ συμβουλὰς νὰ τοὺς ἀποκόψῃ ἀπὸ τὴν ἁμαρτίαν αὐτήν, καὶ συνεχῶς ἔλεγε πρὸς αὐτὰ τέτοια λόγια· «Μὴ κάμετε ἔτσι τέκνα· διότι δὲν ἀκούω καλὰ λόγια διὰ σᾶς, ἀφοῦ ἐμποδίζετε τὸν λαὸν νὰ λατρεύῃ τὸν Κύριον. Ἐὰν ἄνθρωπος ἁμαρτήσῃ πρὸς ἄνθρωπον, θὰ προσευχηθοῦν δι' αὐτὸν πρὸς τὸν Κύριον· ἂν δὲ ἄνθρωπος ἁμαρτήσῃ πρὸς τὸν Κύριον, ποῖος θὰ προσευχηθῇ δι' αὐτόν;»[8]. Ἂν καὶ εἶναι μεγάλη ἡ σπουδαιότης καὶ σοβαρότης τῶν λόγων καὶ ἱκανὴ νὰ διορθώσῃ αὐτὸν ποὺ ἔχει νοῦν, διότι καὶ τὸ ἁμάρτημα ἐτόνισε καὶ ἐπαρουσίασε φοβερόν, καὶ τὴν ἀναμενομένην τιμωρίαν ἐχαρακτήρισεν ὡς ἀφόρητον καὶ φρικτήν, ἐπειδὴ ὅως δὲν ἐπέδειξεν ὅλον ἐκεῖνο ποὺ ἐχρειάζετο, ἐχάθη καὶ αὐτὸς μαζί των. Διότι ἔπρεπε νὰ προσθέσῃ

πειλὰς προσθεῖναι ἐχρῆν, καὶ ἐξ ὄψεως ποιῆσαι τῆς ἑαυτοῦ, καὶ μάστιγας ἐπιθεῖναι, καὶ βαρύτερον πολλῷ γενέσθαι καὶ χαλεπώτερον. Ἐπειδὴ οὖν τούτων οὐδὲν ἐποίησεν, ἑαυτῷ τε κἀκείνοις ἐξεπολέμωσε τὸν Θεόν, καὶ φει-
5 σάμενος αὐτοῦ τῶν παίδων ἀκαίρως μετὰ τῶν παίδων καὶ τὴν ἑαυτοῦ προσαπώλεσε σωτηρίαν.

Ἄκουσον γοῦν τί φησι πρὸς αὐτὸν ὁ Θεός, μᾶλλον δὲ πρὸς αὐτὸν μὲν οὐκέτι, οὐδὲ γὰρ ἀποκρίσεως αὐτὸν ἄξιον ἔκρινεν εἶναι λοιπόν, ἀλλ᾽ ὥσπερ τινὰ οἰκέτην τὰ μέγιστα
10 προσκεκρουκότα, δι᾽ ἑτέρου ποιεῖ μαθεῖν τὰ καταληψόμενα αὐτὸν κακὰ (τοσαύτη ἦν ἡ τοῦ Θεοῦ τότε ὀργή). Ἄκουσον γοῦν τί φησι πρὸς τὸν ἐκείνου μαθητὴν περὶ τοῦ διδασκάλου· καὶ γὰρ καὶ τῷ μαθητῇ, καὶ ἑτέρῳ προφήτῃ, καὶ πᾶσιν ὑπὲρ τῶν ἐκείνου μᾶλλον διελέγετο κακῶν, ἢ ἐκείνῳ· οὕτως
15 αὐτὸν εἰς τέλος ἀπέστραπτο. Τί δὴ οὖν φησι τῷ Σαμουήλ; Ἔγνω ὅτι κακολογοῦντες Θεὸν οἱ υἱοὶ αὐτοῦ, καὶ οὐκ ἐνουθέτει αὐτούς· καὶ οὐχ οὕτως, καὶ μὴν ἐνουθέτησεν, ἀλλ᾽ οὐδὲ νουθεσίαν εἶναι τοῦτό φησιν ὁ Θεός· οὕτως αὐτῆς κατέγνω, ἐπειδὴ τὸ σφοδρὸν οὐκ εἶχε καὶ ἐπιτεταμένον.
20 Ὥστε κἂν προνοῶμεν τῶν παίδων, μὴ τοσοῦτον δὲ ὅσον χρή, οὐδὲ πρόνοια τοῦτό ἐστιν, ὥσπερ οὖν οὐδ᾽ ἡ τοῦ Ἠλεὶ νουθεσία. Εἰπὼν δὲ τὸ ἔγκλημα, καὶ τὴν κόλασιν ἐπάγει μετὰ πολλῆς τῆς ὀργῆς· «ὤμοσα γάρ», φησί, «τῷ οἴκῳ Ἠλεί, εἰ ἐξιλάσεται ἡ ἁμαρτία τῷ οἴκῳ Ἠλεὶ ἢ ἐν θυμιάματι, ἢ
25 ἐν θυσίαις ἕως τοῦ αἰῶνος». Εἶδες ἀγανάκτησιν ἐπιτεταμένην, καὶ ἀσύγγνωστον κόλασιν; Πάντως αὐτόν, φησίν, ἀπολέσθαι χρή, καὶ οὐκ αὐτὸν μόνον οὐδὲ τοὺς παῖδας, ἀλλὰ καὶ τὴν οἰκίαν ἅπασαν μετ᾽ ἐκείνου, καὶ οὐδὲν ἔσται φάρμακον, ὃ τὴν πληγὴν ταύτην ἰάσεται· καίτοι πλὴν τῆς εἰς τοὺς

---

9. Α' Βασ. 3, 14.

καὶ ἄλλας ἀπειλάς, καὶ νὰ τὰς ἀποδείξῃ μὲ τὴν αὐστηρότητα τῆς στάσεώς του καὶ νὰ ἐπιβάλῃ τιμωρίας καὶ νὰ γίνῃ πολὺ αὐστηρότερος καὶ σκληρότερος. Ἐπειδὴ ὅμως τίποτε ἀπὸ ὅλα αὐτὰ δὲν ἔκαμε, κατέστησε τὸν Θεὸν ἐχθρὸν αὐτοῦ καὶ τῶν παιδιῶν του, καὶ ἐπειδὴ ἐλυπήθη τὰ παιδιά του εἰς ὑπόθεσιν ἀκατάλληλον ἔχασε μαζὶ μὲ τὴν σωτηρίαν τῶν παιδιῶν του καὶ τὴν ἰδικήν του.

Ἄκουσε λοιπὸν τί λέγει ὁ Θεὸς πρὸς αὐτόν, μᾶλλον δὲ ὄχι πλέον πρὸς αὐτόν, διότι δὲν τὸν ἔκρινε πλέον οὔτε ἄξιον ἀπαντήσεως, ἀλλὰ ὡσὰν δοῦλον ποὺ ἔχει διαπράξει μεγάλον ἁμάρτημα τὸν πληροφορεῖ διὰ τὰς συμφορὰς ποὺ θὰ τὸν πλήξουν διὰ μέσου ἄλλου (τόσον μεγάλη ἦτο ἡ ὀργὴ τοῦ Θεοῦ τότε). Ἄκουσε λοιπὸν τί λέγει πρὸς τὸν μαθητὴν ἐκείνου περὶ τοῦ διδασκάλου. Διότι καὶ εἰς τὸν μαθητὴν καὶ εἰς ἄλλον προφήτην καὶ εἰς ὅλους ὡμιλοῦμε περισσότερον διὰ τὰς συμφορὰς ἐκείνου, παρὰ εἰς τὸν ἴδιον. Ἔτσι λοιπὸν τὸν ἐγκατέλειψεν ἐντελῶς. Τί λέγει λοιπὸν εἰς τὸν Σαμουήλ; Ἔμαθεν ὅτι οἱ υἱοί του ὕβριζαν τὸν Θεὸν καὶ δὲν τοὺς ἐνουθέτει. Ἐν τούτοις τοὺς ἐνουθέτησεν, ὄχι ὅμως τόσον πολύ. Ἀλλ' ὁ Θεὸς δὲν τὸ λέγει νουθεσίαν αὐτό· ἔτσι τὴν ἀπέρριψεν, ἐπειδὴ δὲν εἶχε δριμύτητα καὶ αὐστηρότητα. Ὥστε καὶ ἂν ἀκόμη μεριμνῶμεν διὰ τὰ παιδιά, ὄχι ὅμως τόσον ὅσον εἶναι ἀναγκαῖον, αὐτὸ δὲν εἶναι μέριμνα, ὅπως ἀκριβῶς δὲν ἦτο ἡ νουθεσία τοῦ Ἠλεί. Ἀναφέρων δὲ τὸ ἁμάρτημα, ἐπιφέρει καὶ τὴν τιμωρίαν μὲ πολλὴν ὀργήν· «διότι, λέγει, ὡρκίσθην εἰς τὸν οἶκον τοῦ Ἠλεί, ὅτι δὲν θὰ ἐξιλεωθῇ ἡ ἁμαρτία εἰς τὸν οἶκον τοῦ Ἠλεὶ εἰς τὸν αἰῶνα οὔτε μὲ θυμιάματα οὔτε μὲ θυσίας»[9]. Βλέπεις ἀγανάκτησιν ἔντονον, καὶ ἀσυγχώρητον τιμωρίαν; Ὁπωσδήποτε, λέγει, πρέπει αὐτὸς νὰ καταστραφῇ, καὶ ὄχι μόνον αὐτὸς καὶ τὰ παιδιά, ἀλλὰ καὶ ὅλη ἡ οἰκία μαζί του, καὶ δὲν θὰ ὑπάρξῃ φάρμακον, ποὺ θὰ θεραπεύσῃ αὐτὴν τὴν πληγήν. Καὶ τοῦτο μολονότι, ἐκτὸς ἀ-

παῖδας ῥαθυμίας, οὐδὲν ἕτερον εἶχεν ἐγκαλεῖν ὁ Θεὸς τῷ πρεσβύτῃ τότε ἐκείνῳ, ἀλλ' ἦν ἅπαντα τὰ ἄλλα θαυμαστός, καὶ τὴν φιλοσοφίαν αὐτοῦ πᾶσαν οὐκ ἐκ τῶν ἄλλων μόνον, ἀλλὰ καὶ ἀπ' αὐτῶν τῶν κατὰ τὴν συμφορὰν ταύτην ἐπισυμ- 5 *βάντων ἐστὶν ἰδεῖν.*

Πρῶτον μὲν γάρ, ἐπειδὴ ταῦτα πάντα ἤκουσε, καὶ πρὸς ἔσχατον τιμωρίας ἥκοντα εἶδεν ἑαυτόν, οὐκ ἀπεδυσπέτησεν, οὐκ ἐδυσχέρανεν, οὐκ εἶπέ τι τοιοῦτον, οἷον εἰκὸς τοὺς πολλούς· μὴ γὰρ ἐγὼ τῆς ἑτέρων κύριός εἰμι γνώμης; τῶν 10 *οἰκείων ἁμαρτημάτων ὀφείλω δίκας· οἱ παῖδες δὲ ἡλικίαν ἔχουσι, καὶ αὐτοὶ ἂν εἶεν δίκαιοι κολάζεσθαι μόνον. Τούτων οὐδὲν οὔτε εἶπεν οὔτε ἐνενόησεν· ἀλλ' ὥσπερ οἰκέτης εὐγνώμων καὶ ἓν μόνον εἰδώς, τὰ παρὰ τοῦ Δεσπότου εὐκόλως φέρειν, κἂν λυπηρὰ ὄντα τύχῃ, οὕτω τὰ πολλῆς γέμοντα φιλο-* 15 *σοφίας ἐφθέγγετο ῥήματα· «Κύριος γάρ», φησίν, «τὸ ἀρεστὸν ἐνώπιον αὐτοῦ ποιήσει». Καὶ οὐκ ἐντεῦθεν μόνον, ἀλλὰ καὶ ἑτέρωθέν ἐστιν αὐτοῦ τὴν ἀρετὴν κατιδεῖν. Πολέμου γὰρ καταλαβόντος τοὺς Ἰουδαίους, ἐπειδή τις ἐλθὼν ἀπήγγειλε τὰς ἐν τῷ πολέμῳ συμφορὰς καὶ πῶς οἱ παῖδες αὐτοῦ κατε-* 20 *κόπησαν αἰσχρῶς καὶ ἐλεεινῶς ἐν τῇ μάχῃ, ταῦτα μὲν οὖν ἀκούων ἡσύχαζεν· ὡς δὲ προσέθηκεν ἐκεῖνος τῇ σφαγῇ ταύτῃ τῆς κιβωτοῦ τὴν ἁρπαγὴν τὴν ὑπὸ τῶν πολεμίων γενομένην, τότε δὴ σκοτωθεὶς ὑπὸ τῆς ἀθυμίας ὁ γέρων ἔπεσεν ἀπὸ τοῦ δίφρου εἰς τὰ ὀπίσω ἐχόμενα τῆς πύλης, καὶ συνε-* 25 *τρίβη ὁ νῶτος αὐτοῦ, ὅτι πρεσβύτης ἦν καὶ βαρὺς καὶ ἔνδοξος, καὶ αὐτὸς ἔκρινε τὸν Ἰσραὴλ εἴκοσιν ἔτη.*

Εἰ δὲ τὸν ἱερέα, τὸν πρεσβύτην, τὸν ἔνδοξον, τὸν εἴκοσιν ἔτη προστάντα ἀλήπτως τοῦ τῶν Ἑβραίων γένους, τὸν ἐν χρόνοις πολιτευόμενον οὐ πολλὴν ἀπαιτοῦσιν ἀκρίβειαν,

---

10. Α' Βασ. 3, 18.

πὸ τὴν ἀμέλειαν ἔναντι τῶν παιδιῶν, δὲν εἶχε τίποτε ἄλλο ὁ Θεὸς νὰ κατηγορήσῃ τὸν γέροντα ἐκεῖνον τότε, διότι ὡς πρὸς ὅλα τὰ ἄλλα ἦτο ἔξοχος, καὶ τὸν ἐμφιλόσοφον βίον του δυνάμεθα νὰ τὸν παρατηρήσωμεν ὄχι μόνον ἀπὸ ὅλα τὰ ἄλλα, ἀλλὰ καὶ ἀπὸ τὰ γεγονότα ποὺ συνέβησαν κατὰ τὴν συμφοράν.

Πρῶτον μὲν δηλαδή, ὅταν ἤκουσεν ὅλα αὐτὰ καὶ εἶδε τὸν ἑαυτόν του νὰ ἔρχεται πολὺ κοντὰ εἰς τὴν τιμωρίαν, δὲν ἀπεθαρρύνθη, δὲν δυσηρεστήθη, δὲν ἐξέφρασε τίποτε τέτοιο, ὅπως εἶναι φυσικὸν εἰς τοὺς πολλούς. Μήπως ἐγὼ εἶμαι κύριος τῆς θελήσεως καὶ τῶν ἀποφάσεων τῶν ἄλλων; Ἐγὼ δικάζομαι διὰ τὰ ἰδικά μου ἁμαρτήματα, ἐνῷ τὰ παιδιὰ εἶναι ἐνήλικα καὶ εἶναι ὀρθὸν αὐτὰ μόνον νὰ τιμωροῦνται. Τίποτε ἀπὸ αὐτὰ δὲν εἶπεν οὔτε ἐσκέφθη. Ἀλλ' ὡς εὐγνώμων δοῦλος καὶ ἓν μόνον γνωρίζων, νὰ ὑποφέρῃ ἀγογγύστως τὰ ὑπὸ τοῦ Θεοῦ ἐπιφερόμενα, καὶ ἂν ἀκόμη τύχῃ νὰ εἶναι δυσάρεστα, ἔτσι ἐξέφραζε τὰ γεμᾶτα ἀπὸ πολλὴν φιλοσοφίαν λόγια· «ὁ Κύριος, αὐτὸς θὰ ἐνεργήσῃ τὸ ἀρεστὸν εἰς αὐτόν»[10]. Καὶ ὄχι μόνον ἀπὸ αὐτὰ ἐδῶ, ἀλλὰ καὶ ἀπὸ ἀλλοῦ δυνάμεθα νὰ παρατηρήσωμεν τὴν ἀρετήν του. Ὅταν κάποτε οἱ Ἰουδαῖοι εἶχαν πόλεμον, κάποιος ἦλθε καὶ ἀνήγγειλε τὰ δυσάρεστα τοῦ πολέμου καὶ πῶς τὰ παιδιά του κατεσφάγησαν ἀγρίως καὶ ἀθλίως εἰς τὴν μάχην. Ἀκούων αὐτὰ ἦτο ἀτάραχος. Μόλις ὅμως ἐκεῖνος προσέθεσεν εἰς τὴν σφαγὴν αὐτήν, τὴν ἁρπαγὴν τῆς Κιβωτοῦ τῆς Διαθήκης ὑπὸ τῶν ἐχθρῶν, τότε καταληφθεὶς ὑπὸ σκοτοδίνης ἐξ αἰτίας τῆς λύπης, ἔπεσεν ὁ γέρων ἀπὸ τὸ κάθισμα πρὸς τὸ ὀπίσω μέρος τῆς πύλης καὶ συνετρίβη ἡ πλάτη του, διότι ἦτο γέρων καὶ βαρὺς ἐκ τῆς ἡλικίας, καὶ σεβαστὸς καὶ αὐτὸς ἐκυβέρνησε τὸν Ἰσραὴλ ἐπὶ εἴκοσιν ἔτη.

Ἐὰν δὲ τὸν ἱερέα, τὸν γέροντα, τὸν ἔνδοξον αὐτόν, ποὺ ἐκυβέρνησε μὲ ἐπιτυχίαν ἐπὶ εἴκοσι ἔτη τὸ ἔθνος τῶν Ἑβραίων, αὐτὸν ποὺ ἐπολιτεύετο εἰς χρόνια τὰ ὁποῖα δὲν

οὐδὲν τούτων ἴσχυσε παραιτήσασθαι, ἀλλ', ἐπειδὴ τῶν παίδων οὐκ ἐπεμελήθη μετὰ ἀκριβείας, σφόδρα καὶ ἐλεεινῶς ἀπώλετο, καὶ τῆς ὀλιγωρίας ταύτης ἡ ἁμαρτία, καθάπερ κῦμα ἄγριον καὶ μέγα, πάντα ὑπερέσχεν ἐκεῖνα, καὶ τὰ κατορθώματα ἔκρυψεν ἅπαντα· τίς ἡμᾶς λήψεται δίκη τοὺς ἐν χρόνοις γενομένους πολλῷ μείζονα ἀπαιτοῦσι φιλοσοφίαν, καὶ τῆς ἀρετῆς ἀποδέοντας τῆς ἐκείνου, καὶ τῶν παίδων οὐ μόνον οὐ προϊσταμένους, ἀλλὰ καὶ τοῖς βουλομένοις τοῦτο ποιεῖν ἐπιβουλεύοντας καὶ πολεμοῦντας, καὶ βαρβάρου παντὸς χαλεπώτερον περὶ τὰ ἔκγονα διακειμένους; Ἡ μὲν γὰρ ἐκείνων ὠμότης μέχρι δουλείας καὶ ἀναστατώσεως καὶ ἀνδραποδισμοῦ τῆς πατρίδος καὶ τῶν τοῦ σώματος ἕστηκε κακῶν, ὑμεῖς δὲ αὐτὴν καταδουλοῦτε τὴν ψυχήν, καὶ καθάπερ τινὰ αἰχμάλωτον δήσαντες, οὕτω δαίμοσι πονηροῖς καὶ ἀγρίοις καὶ τοῖς ἐκείνων παραδίδοτε πάθεσιν. Ὅταν γὰρ μήτε αὐτοὶ παραινῆτέ τι πνευματικόν, μήτε ἑτέρους βουλομένους τοῦτο ποιεῖν ἀφίητε, οὐδὲν ἕτερον ἢ τοῦτο ἐργάζεσθε.

Καὶ μή μοι λεγέτω τις ὅτι πολλοὶ μειζόνως τοῦ Ἠλεὶ τῶν οἰκείων ἀμελήσαντες παίδων οὐδὲν ἔπαθον οἷον ὁ Ἠλεί· ἔπαθον μὲν γὰρ καὶ πολλοὶ πολλάκις καὶ χαλεπώτερα τούτων, καὶ διὰ ταύτην τὴν ἁμαρτίαν. Πόθεν γὰρ ἄωροι θάνατοι; πόθεν νόσοι χαλεπαὶ καὶ συνεχεῖς, καὶ ἡμῖν καὶ τοῖς παισὶν αὐτοῖς; πόθεν ζημίαι, πόθεν περιστάσεις, πόθεν τὰ μυρία κακά; οὐκ ἐκ τοῦ μοχθηροὺς ὄντας τοὺς παῖδας περιορᾶν; Καὶ ὅτι οὐ στοχασμὸς τοῦτό ἐστιν, ἱκανὰ μὲν καὶ τὰ τοῦ πρεσβύτου πιστώσασθαι πάθη· ἐγὼ δὲ ὑμῖν καὶ λόγον ὑπὲρ τούτων ἐρῶ σοφοῦ τινος ἀνδρὸς τῶν παρ' ἡμῖν· περὶ γὰρ παίδων οὗτος διαλεγόμενος οὕτω πώς φησι· «Μὴ εὐφραίνου ἐπὶ υἱοῖς ἀσεβέσιν· εἰ μή ἐστι φόβος μετ' αὐτῶν

ἀπαιτοῦν πολλὴν ἀκρίβειαν, τίποτε ἀπὸ αὐτὰ δὲν ἠμπόρεσε νὰ κλονίσῃ, ἀλλ' ἐπειδὴ δὲν ἐμερίμνησε διὰ τὰ παιδιά του μὲ αὐστηρότητα κατεστράφη ὁλοκληρωτικῶς καὶ ἀθλίως, καὶ ἡ ἁμαρτία τῆς ἐλλιποῦς φροντίδος, ὡσὰν ἄγριον καὶ μέγα κῦμα κατέβαλεν ὅλα ἐκεῖνα, καὶ ἀπέκρυψεν ὅλα τὰ κατορθώματά του, τότε ποία τιμωρία ἀναμένει ἡμᾶς, ποὺ ἐφθάσαμεν εἰς χρόνους ἀπαιτοῦντας πολὺ μεγαλυτέραν φιλοσοφίαν, καὶ εἴμεθα κατώτεροι τῆς ἀρετῆς του, καὶ ὄχι μόνον δὲν κυβερνῶμεν τὰ παιδιά μας, ἀλλὰ καὶ αὐτοὺς ποὺ θέλουν νὰ κάμουν αὐτὸ ἐχθρευόμεθα καὶ πολεμοῦμεν, καὶ φερόμεθα πρὸς τὰ παιδιὰ χειρότερα ἀπὸ κάθε βάρβαρον; Ἡ μὲν λοιπὸν σκληρότης ἐκείνων ἔφθασε μέχρι τῆς δουλείας καὶ τῆς καταστροφῆς καὶ αἰχμαλωσίας τῆς πατρίδος καὶ τῶν σωματικῶν κακῶν, σεῖς δὲ ὑποδουλώνετε τὴν ἰδίαν τὴν ψυχήν, καὶ ἀφοῦ τὴν ἐδέσατε ὡσὰν αἰχμάλωτον, ἔτσι τὴν παρεδώσατε εἰς ἀγρίους καὶ πονηροὺς δαίμονας καὶ εἰς τὰ πάθη ἐκείνων. Διότι ὅταν οὔτε σεῖς συμβουλεύτε κάτι πνευματικὸν οὔτε ἄλλους ἀφήνετε νὰ κάμουν αὐτό, δὲν πράττετε τίποτε ἄλλο παρὰ τοῦτο.

Καὶ ἂς μὴ μοῦ εἰπῇ κανεὶς ὅτι πολλοὶ ποὺ ἀμέλησαν τὰ παιδιά των πολὺ περισσότερον ἀπὸ τὸν Ἠλεὶ δὲν ἔπαθαν τίποτε τέτοιο ποὺ ἔπαθεν ὁ Ἠλεί. Ἔπαθαν ὅμως πολλάκις πολλοὶ καὶ χειρότερα ἀπὸ αὐτά, ἐξ αἰτίας τῆς αὐτῆς ἁμαρτίας. Διότι, ἀπὸ ποῦ προέρχονται οἱ πρόωροι θάνατοι; Ἀπὸ ποῦ αἱ φοβεραὶ καὶ μακραὶ ἀσθένειαι καὶ εἰς ἡμᾶς καὶ εἰς τὰ ἴδια τὰ παιδιά; Ἀπὸ ποῦ αἱ τιμωρίαι, ἀπὸ ποῦ οἱ κρίσιμοι καιροί, ἀπὸ ποῦ οἱ προπηλακισμοί, ἀπὸ ποῦ αἱ χιλιάδες συμφοραί; Μήπως ὄχι ἐκ τοῦ ὅτι παραμελοῦμεν τὰ παιδιὰ ἐνῷ εἶναι πονηρά; Καὶ ὅτι αὐτὸ δὲν εἶναι εἰκασία, εἶναι ἐπαρκῆ τὰ παθήματα τοῦ γέροντος διὰ νὰ τὸ πιστοποιήσουν. Ἐγὼ ὅμως θὰ σᾶς εἰπῶ δι' αὐτὰ ἕνα λόγον ἑνὸς ἰδικοῦ μας σοφοῦ ἀνδρός. Ὁμιλῶν αὐτὸς περὶ τῶν παιδιῶν ἐκφράζεται ἔτσι περίπου· «νὰ μὴ εὐφρένεσαι δι' ἀσεβεῖς υἱούς· ἐὰν δὲν τρέφουν φόβον Θεοῦ, μὴ ἐμπιστευθῇς τὴν

Θεοῦ, μὴ ἐμπιστεύσῃς τῇ ζωῇ αὐτῶν. Στενάξεις γὰρ πένθει ἀώρῳ, καὶ ἐξάπινα αὐτῶν συντέλειαν γνώσῃ». Πολλοὶ μὲν οὖν, ὅπερ ἔφην, πολλὰ τοιαῦτα πεπόνθασιν· εἰ δέ τινες καὶ διέφυγον, ἀλλ' οὐκ εἰς τέλος ἐκφεύξονται, ἀλλ' ἐπὶ κακῷ 5 *τῆς ἑαυτῶν κεφαλῆς· πικροτέραν γὰρ ἀπελθόντες ἐκεῖ δώσουσι δίκην.*

Τίνος γὰρ ἕνεκεν», φησίν, «οὐκ ἐνταῦθα πάντες κολάζονται; Ὅτι ὥρισεν ἡμέραν ὁ Θεός, ἐν ᾗ μέλλει κρίνειν τὴν οἰκουμένην· αὕτη δὲ οὔπω πάρεστιν ἡ ἡμέρα. Καὶ ἄλλως 10 *δὲ τοῦτο εἰ ἐγίνετο, προανάλωτο ἂν καὶ προανήρπαστο ἡμῶν ἅπαν τὸ γένος. Ἀλλ' ἵνα μήτε τοῦτο συμβῇ, μήτε ῥαθυμότεροι πολλοὶ γίγνωνται τῇ μελλήσει τῆς κρίσεως, λαμβάνων τινὰς ὑπευθύνους ἁμαρτήμασιν ὁ Θεός, καὶ κολάζων ἐνταῦθα, διδάσκει τοὺς λοιποὺς δι' ἐκείνων, τὰ μέτρα τῶν κειμένων* 15 *αὐτοῖς τιμωριῶν, ἵνα ἐπιστῶνται ὅτι, κἂν ἐνταῦθα μὴ δῶσι δίκην, ἀπελθόντες ἐκεῖ δώσουσι πάντως χαλεπωτέραν. Μὴ γάρ, ἐπειδὴ προφήτην οὐ πέμπει νῦν, οὐδὲ προαγορεύει τὴν τιμωρίαν, καθάπερ ἐπὶ τοῦ Ἠλεί, διὰ ταῦτα ἀναισθητῶμεν· οὐ γάρ ἐστι προφητῶν καιρός, μᾶλλον δὲ πέμπει καὶ* 20 *νῦν. Τὰ γὰρ πρὸς ἐκείνους εἰρημένα οὐχ ἧττον καὶ πρὸς ἡμᾶς εἴρηται, καὶ οὐχὶ τῷ Ἠλεὶ μόνον, ἀλλὰ καὶ πᾶσι τοῖς τὰ αὐτὰ ἁμαρτάνουσιν ἐκείνῳ δι' ἐκείνου καὶ τῶν ἐκείνου διαλέγεται παθῶν. Οὐδὲ γάρ ἐστι προσωπολήπτης ὁ Θεός, οὐδὲ ὁ τὸν ἐλάττονα ἁμαρτόντα οὕτω πανέστιον ἀνατρέψας,* 25 *τοὺς χαλεπώτερα πεπλημμεληκότας ἀτιμωρήτους ἀφίησι.*

4. Καὶ γὰρ οὐδὲ τοῦτό ἐστιν εἰπεῖν, ὅτι οὐ πολὺς αὐτῷ τοῦ πράγματος ὁ λόγος· πολλὴν γὰρ ὑπὲρ τῆς τῶν παίδων ἀνατροφῆς ποιεῖται σπουδήν. Ἐπιθυμίαν τε γὰρ τοσαύτην τῇ φύσει διὰ τοῦτο ἐνέσπειρεν, ἵνα ὥσπερ εἰς ἀνάγκην τι-

---

11. Ἐκκλ. 16, 1-3.

ζωήν των. Διότι θὰ ἀναστενάξῃς ἐξ αἰτίας προώρου θανάτου καὶ αἰφνιδίως θὰ γνωρίσῃς τὸ τέλος των»[11]. Πολλοὶ μὲν λοιπόν, ὅπως εἶπα, ἔχουν πάθει πολλὰ τέτοια· καὶ ἐὰν μερικοὶ διέφυγαν, ὅμως τελικῶς δὲν θὰ ξεφύγουν, ἀλλὰ ἡ συμφορὰ θὰ τοὺς πλήξῃ εἰς τὴν κεφαλήν, διότι, ὅταν ἀπέλθουν ἐκεῖ, θὰ ὑποστοῦν βαρυτέραν τιμωρίαν.

Διατί ὅμως, λέγει, δὲν τιμωροῦνται ὅλοι ἐδῶ; Διότι ὁ Θεὸς ὥρισεν ἡμέραν, κατὰ τὴν ὁποίαν θὰ κρίνῃ τὴν οἰκουμένην· αὐτὴ δὲ ἡ ἡμέρα δὲν ἔφθασεν ἀκόμη. Ἄλλωστε, ἐὰν ἐγίνετο αὐτό, θὰ εἶχεν ἐκλείψει καὶ θὰ εἶχε προαρπαχθῇ ὁλόκληρον τὸ γένος μας. Ἀλλὰ διὰ νὰ μὴ συμβῇ οὔτε αὐτὸ οὔτε νὰ γίνωνται πολλοὶ ἀμελέστεροι ἀπὸ τὴν βραδύτητα τῆς κρίσεως, λαμβάνων ὁ Θεὸς μερικοὺς ὑπαιτίους ἁμαρτημάτων καὶ τιμωρῶν αὐτοὺς ἐδῶ, διδάσκει τοὺς ὑπολοίπους δι' αὐτῶν, τὰ μέτρα τῶν τιμωριῶν ποὺ τοὺς ἀναμένουν, διὰ νὰ γνωρίζουν ὅτι καὶ ἂν ἀκόμη δὲν τιμωρηθοῦν ἐδῶ, ὅταν μεταβοῦν ἐκεῖ θὰ ὑποστοῦν φοβερωτέραν τιμωρίαν. Ὅμως ἂς μὴ γινώμεθα ἀναίσθητοι ἐξ αἰτίας αὐτῶν, δηλαδὴ ἐπειδὴ τώρα δὲν στέλλει προφήτην οὔτε προαγγέλλει τὴν τιμωρίαν ὅπως εἰς τὸν Ἠλεί· διότι δὲν εἶναι πλέον ἐποχὴ προφητῶν. Στέλλει ὅμως καὶ τώρα. Διότι αὐτὰ ποὺ ἔχουν λεχθῇ πρὸς ἐκείνους, ἔχουν λεχθῇ καὶ δι' ἡμᾶς, καὶ ὄχι μόνον εἰς τὸν Ἠλεί, ἀλλὰ καὶ εἰς ὅλους ἐκείνους ποὺ διαπράττουν τὰ ἴδια ἁμαρτήματα μὲ αὐτόν, ὁμιλεῖ δι' ἐκείνου καὶ διὰ τῶν παθημάτων του. Διότι ὁ Θεὸς δὲν εἶναι προσωπολήπτης, ὥστε ἐνῷ ἠφάνισε οἰκογενειακῶς τὸν ὀλιγώτερον ἁμαρτήσαντα, νὰ ἀφήσῃ ἀτιμωρήτους τοὺς ὑποπέσαντας εἰς φοβερώτερα ἁμαρτήματα.

4. Καὶ δὲν ἠμπορεῖ κανεὶς νὰ εἰπῇ ὅτι δὲν εἶναι μεγάλη ἡ σπουδαιότης τοῦ πράγματος αὐτοῦ· διότι δεικνύει μεγάλην τὴν ἐπιμέλειαν εἰς τὴν ἀνατροφὴν τῶν παιδιῶν. Δι' αὐτὸ ἄλλωστε ἐνεφύτευσε τόσην ἐπιθυμίαν εἰς τὴν ἀνθρωπίνην φύσιν, ὥστε νὰ καταστήσῃ εἰς τοὺς γονεῖς τὴν μέρι-

νὰ ἄφυκτον τῆς περὶ τὰ τεχθέντα προνοίας καταστήσῃ τοὺς φυτευσαμένους αὐτά· νόμους τε εἰσήνεγκεν ὕστερον ὑπὲρ τῆς τούτων ἐπιμελείας διαλεγόμενος ἡμῖν. Καὶ ἑορτὰς δὲ τιθείς, κελεύει τὰ παιδία αὐτῶν διδάσκειν τὴν ὑπόθεσιν.
5 *Περὶ γὰρ τοῦ πάσχα διαλεχθεὶς ἐπήγαγε· «καὶ ἀπαγγελεῖς τῷ υἱῷ σου ἐν τῇ ἡμέρᾳ ἐκείνῃ λέγων· διότι τοῦτο ἐποίησεν ὁ Θεός μοι, ὡς ἐξεπορευόμην ἐξ Αἰγύπτου». Καὶ ἐπὶ τοῦ νόμου δὲ τὸ αὐτὸ τοῦτο ποιεῖ· περὶ γὰρ τῶν πρωτοτόκων εἰπὼν προστίθησι πάλιν· «Ἐὰν δὲ ἐρωτήσῃ σε ὁ υἱός σου με-*
10 *τὰ ταῦτα λέγων· τί τοῦτο; ἐρεῖς πρὸς αὐτόν, ὅτι ἐν χειρὶ κραταιᾷ ἐξήγαγεν ἡμᾶς Κύριος ἐξ Αἰγύπτου ἐξ οἴκου δουλείας. Ἡνίκα δὲ ἐσκλήρυνε Φαραὼ ἐξαποστεῖλαι ἡμᾶς, ἀπέκτεινε πᾶν πρωτότοκον ἐν γῇ Αἰγύπτου ἀπὸ πρωτοτόκων ἀνθρώπων ἕως πρωτοτόκων κτηνῶν. Διὰ τοῦτο ἐγὼ θύω*
15 *Κυρίῳ πᾶν διανοῖγον μήτραν ἀρσενικόν». Διὰ πάντων εἰς θεογνωσίαν κελεύων ἄγειν αὐτούς.*

Καὶ αὐτοῖς δὲ τοῖς παιδίοις πολλὰ περὶ τῶν γεγεννηκότων αὐτοὺς διατάττεται, τοὺς μὲν εὐνοϊκῶς διακειμένους τιμῶν, κολάζων δὲ τοὺς ἀγνώμονας, καὶ ταύτῃ πάλιν αὐ-
20 *τοὺς ποθεινοτέρους τοῖς φυτευσαμένοις ποιῶν. Ὅταν γάρ τινος ποιήσῃ τις ἡμᾶς κυρίους, μεγίστην ἡμῖν ἀνάγκην τῆς ὑπὲρ αὐτοῦ προνοίας ἐπιτίθησι τὴν τιμήν· καὶ γὰρ εἰ μηδὲν ἕτερον, τοῦτο γοῦν ἡμᾶς δυσωπῆσαι ἱκανόν, τὸ πάντα τὰ ἐκείνου ἐν ταῖς ἡμετέραις κεῖσθαι χερσί, καὶ οὐκ ἂν ἀνα-*
25 *σχοίμεθα προδοῦναι ταχέως τὸν οὕτως ἐμπιστευθέντα ἡμῖν. Ὅταν δὲ μετὰ τοῦτο καὶ συνοργίζηται καὶ ἀγανακτῇ πλέον τῶν ὑβρισμένων αὐτῶν καὶ χαλεπὸς γίνηται τιμωρός, καὶ ταύτῃ πολὺ πλέον ἐφέλκεται· ὅπερ οὖν ἐποίησε καὶ ὁ Θεός.*

---

12. Ἐξ. 13, 8.
13. Ἐξ. 13, 8. 14, 15.

μναν τῶν παιδιῶν, ὡσὰν ἀναπόφευκτον ἀνάγκην. Ἔπειτα δὲ ὁμιλῶν εἰς ἡμᾶς ἔθεσε νόμους περὶ τῆς ἐπιμελείας αὐτῶν. Καὶ καθορίζων ἑορτάς, ἐντέλλεται νὰ διδάσκουν εἰς τὰ παιδιά των τὴν ὑπόθεσιν αὐτῶν. Ὁμιλήσας δηλαδὴ περὶ τοῦ Πάσχα, εἶπε· «καὶ ἐκείνην τὴν ἡμέραν νὰ γνωστοποιήσῃς εἰς τὸν υἱόν σου· διὰ τοῦτο ἐνήργησεν ὁ Θεὸς ἐπ' ἐμὲ ὅταν ἐξηρχόμην ἀπὸ τὴν Αἴγυπτον»[12]. Καὶ εἰς τὴν περίπτωσιν τοῦ Μωσαϊκοῦ νόμου κάνει τὸ ἴδιον. Ἔπειτα ὁμιλήσας περὶ τῶν πρωτοτόκων, προσθέτει πάλιν· «Ἐὰν δὲ ἐρωτήσῃ ὁ υἱός σου μετὰ ταῦτα, τί σημαίνει τοῦτο; θὰ τοῦ εἴπῃς ὅτι ὁ Κύριος μᾶς ἐξήγαγεν ἀπὸ τὴν Αἴγυπτον, ἀπὸ τὸν χῶρον τῆς δουλείας μὲ ἰσχυρὰν δύναμιν. Ὅταν δὲ ὁ σκληροτράχηλος Φαραὼ ἠρνήθη νὰ μᾶς ἐξαποστείλῃ, ἀπέκτεινε τὰ πρωτότοκα εἰς τὴν γῆν τῆς Αἰγύπτου, ἀπὸ πρωτότοκα ἀνθρώπων ἕως πρωτότοκα κτηνῶν. Διὰ τοῦτο ἐγὼ θυσιάζω εἰς τὸν Κύριον πᾶν ἀρσενικὸν διανοῖγον μήτραν»[13]. Δι' ὅλων αὐτῶν ἐπιδιώκει νὰ τοὺς ὁδηγήσῃ εἰς γνῶσιν Θεοῦ.

Καὶ εἰς τὰ ἴδια τὰ παιδιὰ πολλὰ διατάσσει περὶ τῶν γονέων των, τιμῶν τοὺς συμπεριφερομένους πρὸς αὐτοὺς μὲ σεβασμόν, τιμωρῶν δὲ τοὺς ἀγνώμονας, καὶ μὲ αὐτὸν τὸν τρόπον καθιστῶν αὐτὰ ποθεινότερα εἰς τοὺς γονεῖς των. Διότι, ὅταν κάποιος μᾶς καταστήσῃ ὑπευθύνους δι' ἕνα παιδί, διὰ τῆς τιμῆς μὲ τὴν ὁποίαν μᾶς περιβάλλει μᾶς ἐξαναγκάζει νὰ φροντίζωμεν πάρα πολὺ δι' αὐτό. Καὶ ἂν ὄχι τίποτε ἄλλο, αὐτὸ καὶ μόνον εἶναι ἀρκετὸν νὰ μᾶς κάμῃ νὰ ἐντραπῶμεν, τὸ ὅτι δηλαδὴ ὅλαι αἱ ὑποθέσεις του εὑρίσκονται εἰς τὰ ἰδικά μας χέρια καὶ δὲν θὰ ἠνεχόμεθα νὰ προδώσωμεν ἀμέσως αὐτόν, ποὺ τόσον μᾶς ἐνεπιστεύθη. Ὅταν δὲ ὕστερα ἀπὸ αὐτὸ καὶ ὀργίζεται καὶ ἀγανακτῇ περισσότερον ἀπὸ αὐτοὺς ποὺ ἔχουν ὑβρισθῆ, καὶ γίνεται σκληρὸς τιμωρός, πολὺ περισσότερον ἐπίσης μὲ αὐτὸν τὸν τρόπον ἐφελκύει πρὸς τὸ καθῆκον. Αὐτὸ ἀκριβῶς ἔκαμε καὶ ὁ Θεός. Μαζὶ δὲ μὲ αὐτὰ ἔθεσε καὶ τρίτον δεσμόν, ἐὰν δὲ

Πρὸς τούτοις καὶ τὸν ἀπὸ τῆς φύσεως τρίτον ἐπήγαγε δεσμόν, εἰ δὲ βούλει, πρῶτον. Καὶ ἵνα μὲν τῶν προσταγμάτων αὐτοῦ μὴ καταφρονῶσιν οἱ πατέρες, κελευόμενοι τρέφειν τοὺς παῖδας, τὴν ἀπὸ τῆς φύσεως ἐπέθηκεν ἀνάγκην. Ἵνα
5 *δὲ μή ποτε ταῖς τῶν παίδων ὕβρεσιν ἀσθενεστέρα γενομένη αὕτη διαρρήγνυται, τήν τε παρ' αὐτοῦ καὶ τὴν παρ' αὐτῶν τῶν γεννησαμένων ἐπετείχισε τιμωρίαν, καὶ τούτους μετὰ ἀκριβείας ὑποτάσσων πολλῆς, κἀκείνων ταύτῃ διεγείρων τὸν πόθον.*

10 *Οὐ ταύτῃ δὲ μόνον, ἀλλὰ καὶ ἑτέρῳ τετάρτῳ τρόπῳ σφοδρῶς ἡμᾶς καὶ μετὰ ἀκριβείας αὐτοῖς συνέδησεν. Οὐ γὰρ τοὺς παῖδας μόνον κακοὺς μὲν ὄντας περὶ τοὺς γεγεννηκότας κολάζει, γινομένους δὲ ἀγαθοὺς ἀποδέχεται, ἀλλὰ καὶ ἐπὶ τῶν πατέρων τὸ αὐτὸ δὴ τοῦτο ποιεῖ, κολάζων μὲν*
15 *πικρῶς τοὺς ἀμελοῦντας αὐτῶν, τιμῶν δὲ καὶ ἐπαινῶν τοὺς ἐπιμελουμένους. Καὶ γὰρ τὸν πρεσβύτην τοῦτον, καίτοι τἆλλα ὄντα λαμπρόν, ἀπὸ ταύτης τῆς ὀλιγωρίας ἐτιμωρήσατο μόνης, καὶ τὸν πατριάρχην δὲ τῶν ἄλλων οὐχ ἧττον ἀπὸ ταύτης ἐτίμησε τῆς προνοίας· λέγων γὰρ τὰς πολλὰς καὶ*
20 *μεγάλας δωρεὰς ἐκείνας, ἃς ὑπέσχετο δώσειν αὐτῷ, καὶ τὴν αἰτίαν τιθείς, ταύτην ἐτίθει· «ᾔδειν γάρ», φησίν, «ὅτι συντάξει Ἀβραὰμ τοῖς υἱοῖς αὐτοῦ, καὶ τῷ οἴκῳ αὐτοῦ μετ' αὐτόν, καὶ φυλάξουσι τὰς ὁδοὺς Κυρίου τοῦ Θεοῦ, ποιεῖν δικαιοσύνην καὶ κρίσιν». Ταῦτα δέ μοι εἴρηται νῦν, ἵνα*
25 *μάθωμεν ὅτι οὐκ οἴσει πρᾴως ὁ Θεὸς ἀμελουμένων τῶν οὕτω περισπουδάστων αὐτῷ. Οὐδὲ γάρ ἐστι τοῦ αὐτοῦ τοσαῦτα μὲν ὑπὲρ τῆς τούτων πραγματεύεσθαι σωτηρίας, καταφρονουμένων δὲ αὐτῶν τούτων παρορᾶν. Οὐ τοίνυν περιόψεται, ἀλλὰ καὶ ἀγανακτήσει, καὶ ὀργιεῖται σφοδρῶς, καθάπερ ἀποδέ-*
30 *δεικται διὰ τῶν πραγμάτων αὐτῶν. Διὰ τοῦτο καὶ ὁ μακάριος Παῦλος παραινεῖ συνεχῶς λέγων, «οἱ πατέρες, ἐκ-*

---

14. Γεν. 18, 19.

θέλης, καὶ πρῶτον, ποὺ πηγάζει ἀπὸ τὴν φύσιν. Καὶ διὰ νὰ μὴ περιφρονοῦν τὰς ἐντολάς του οἱ πατέρες ὑποχρεούμενοι νὰ ἀνατρέφουν τὰ παιδιά των, ἐπέβαλε τὴν φυσικὴν ἀναγκαιότητα. Διὰ νὰ μὴ γίνεται δὲ αὕτη ἀπὸ τὰς ὕβρεις τῶν παιδιῶν ἀσθενεστέρα καὶ διασπᾶται, τὴν κατωχύρωσεν ὁ Θεὸς μὲ τὴν τιμωρίαν ἐκ μέρους τοῦ ἰδίου καὶ ἐκ μέρους τῶν γονέων, αὐτὰ μὲν ὑποτάσσων μὲ πολλὴν αὐστηρότητα, ἐκείνων δὲ τὸν πόθον τοιουτοτρόπως διεγείρων.

Ὄχι μόνον δὲ μὲ αὐτήν, ἀλλὰ καὶ μὲ ἄλλον, τέταρτον τρόπον, μᾶς συνέδεσε μὲ αὐτὰ πάρα πολὺ σφιχτὰ καὶ αὐστηρά. Διότι δὲν τιμωρεῖ τὰ παιδιὰ μόνον, ὅταν εἶναι ἀχάριστα πρὸς τοὺς γονεῖς, καὶ δὲν ἐπιδοκιμάζει αὐτὰ μόνον ὅταν γίνωνται καλά, ἀλλὰ καὶ εἰς τοὺς πατέρας τὸ αὐτὸ πράττει, τιμωρῶν δηλαδὴ σκληρὰ τοὺς παραμελοῦντας αὐτά, τιμῶν δὲ καὶ ἐπαινῶν τοὺς φροντίζοντας. Ἄλλωστε καὶ τὸν γέροντα αὐτόν, ποὺ κατὰ τὰ ἄλλα ἦτο λαμπρός, τὸν ἐτιμώρησε μόνον ἐξ αἰτίας τῆς ἀμελείας ἐκείνης, καὶ τὸν πατριάρχην τῶν ἄλλων, δηλαδὴ τὸν Ἀβραάμ, δὲν ἐτίμησεν ὀλιγώτερον ἐξ αἰτίας τῆς φροντίδος αὐτῆς. Διότι ἐξαγγέλλων τὰς μεγάλας καὶ πολλὰς δωρεάς, τὰς ὁποίας ὑπεσχέθη νὰ τοῦ δώσῃ τὸ ἐδικαιολόγει λέγων· «διότι ἐγνώριζα ὅτι ὁ Ἀβραὰμ θὰ φροντίσῃ διὰ τοὺς υἱούς του καὶ τὴν οἰκογένειάν του μετ' αὐτόν, ὥστε νὰ φυλάξουν τὰς ὁδοὺς τοῦ Κυρίου τοῦ Θεοῦ, διάγοντες δικαίως καὶ ἐναρέτως»[14]. Αὐτὰ δὲ τὰ εἶπα τώρα, διὰ νὰ μάθωμεν ὅτι ὁ Θεὸς δὲν θὰ φερθῇ μὲ ἐπιείκειαν εἰς αὐτοὺς ποὺ παραμελοῦν αὐτοὺς διὰ τοὺς ὁποίους τόσον πολὺ ἐνδιαφέρεται. Διότι δὲν εἶναι ἴδιον αὐτοῦ, ἐνῷ τόσον πολὺ φροντίζει διὰ τὴν σωτηρίαν, νὰ τοὺς παραβλέπῃ ὅταν παραμελοῦνται. Ὄχι μόνον λοιπὸν δὲν θὰ τοὺς παραβλέψῃ, ἀλλὰ καὶ θ' ἀγανακτήσῃ καὶ θὰ ὀργισθῇ πάρα πολύ, ὅπως ἔχει ἀποδειχθῇ ἐκ τῶν πραγμάτων αὐτῶν. Δι' αὐτὸ καὶ ὁ μακάριος Παῦλος συμβουλεύει συνεχῶς λέγων, «οἱ πατέρες ἀνατρέ-

τρέφετε τὰ τέκνα ἐν παιδείᾳ καὶ νουθεσίᾳ Κυρίου». Εἰ γὰρ ἡμεῖς ἀγρυπνεῖν ὑπὲρ τῶν ψυχῶν αὐτῶν κελευόμεθα ὡς λόγον ἀποδώσοντες, πολλῷ μᾶλλον ὁ πατὴρ ὁ γεννησάμενος, ὁ θρεψάμενος, ὁ συνοικοῦντα ἔχων διαπαντός. Ὥσπερ γὰρ
5 *ἐπὶ τῶν οἰκείων ἁμαρτημάτων οὐκ ἔχει καταφυγεῖν εἰς ἀπολογίαν καὶ συγγνώμην, οὕτως οὐδὲ ὑπὲρ τῶν τοῖς παισὶν ἁμαρτανομένων. Καὶ τοῦτο πάλιν ὁ μακάριος Παῦλος κατέστησε φανερόν. Νομοθετῶν γὰρ ὁποίους τινὰς εἶναι χρὴ τοὺς ἐπὶ τὴν τῶν ἄλλων ἐρχομένους ἀρχήν, μετὰ τῶν*
10 *ἄλλων ἁπάντων τῶν ἀναγκαίως αὐτοῖς ὀφειλόντων προσεῖναι, καὶ τὴν τῶν παίδων ἐπιμέλειαν ἀπαιτεῖ, ὡς οὐκ οὔσης ἡμῖν συγγνώμης διαστραφέντων ἐκείνων· καὶ μάλα εἰκότως.*

Εἰ μὲν γὰρ ἐκ φύσεως ἡ κακία τοῖς ἀνθρώποις προσῆν, εἰκότως ἄν τις πρὸς ἀπολογίαν κατέφυγεν· ἐπειδὴ δὲ
15 *ἐκ προαιρέσεως καὶ φαῦλοι γινόμεθα καὶ σπουδαῖοι, τίνα ἂν λόγον ἔχοι εὐπρόσωπον εἰπεῖν ὁ τὸν μάλιστα πάντων ποθούμενον διατραφῆναι, καὶ γενέσθαι πονηρὸν ἀφιείς; Ὅτι οὐκ ἐβούλετο ποιῆσαι χρηστόν; Ἀλλ' οὐδεὶς ἂν τοῦτο εἴποι πατήρ· ἡ γὰρ φύσις ἐφέστηκε πρὸς τοῦτο αὐτὸν διεγείρουσα*
20 *συνεχῶς. Ἀλλ' οὐκ ἠδύνατο; Ἀλλ' οὐδὲ τοῦτο· καὶ γὰρ τὸ ἁπαλὸν ὄντα ἔτι λαβεῖν, καὶ τὸ πρῶτον καὶ μόνον τὴν ἐξουσίαν ἐγχειρισθῆναι τὴν ἐκείνου, καὶ τὸ διαπαντὸς ἔχειν ἔνδον, ῥᾳδίαν αὐτῷ καὶ σφόδρα εὔκολον ποιεῖ τὴν προστασίαν. Ὥστε οὐδαμόθεν τὴν διαστροφὴν γίνεσθαι τῶν παί-*
25 *δων, ἀλλ' ἐκ τῆς περὶ τὰ βιωτικὰ μανίας· τὸ γὰρ πρὸς ἐκεῖνα μόνον ἀποβλέπειν, καὶ μηδὲν τούτων ἐθέλειν προτιμᾶν, καὶ τῶν παίδων μετὰ τῆς αὐτῶν ψυχῆς ἀναγκάζονται ἀμελεῖν. Τούτους ἐγὼ τοὺς πατέρας (καὶ μή τις θυμοῦ τὸ λεγόμενον εἶναι νομιζέτω) καὶ αὐτῶν τῶν παιδοκτόνων χεί-*

---

15. Ἐφ. 6, 4.

φετε τὰ τέκνα ἐν παιδείᾳ καὶ νουθεσίᾳ Κυρίου»[15]. Ἐὰν δὲ ἡμεῖς ἔχωμεν διαταχθῆ ν' ἀγρυπνῶμεν περὶ τῶν ψυχῶν των, διότι πρόκειται νὰ λογοδοτήσωμεν, πολὺ περισσότερον ὁ πατὴρ ποὺ τὰ ἐγέννησε, τὰ ἔθρεψε καὶ τὰ ἔχει συγκατοίκους του. Ὅπως ἀκριβῶς δὲ διὰ τὰ ἰδικά του ἁμαρτήματα δὲν ἔχει εὐχέρειαν ἀπολογίας καὶ συγγνώμης, τὸ αὐτὸ συμβαίνει καὶ διὰ τὰ ἁμαρτήματα τῶν παιδιῶν του. Καὶ αὐτὸ πάλιν κατέστησε φανερὸν ὁ μακάριος Παῦλος. Νομοθετῶν δὲ πῶς πρέπει νὰ φέρωνται οἱ ἀσκοῦντες ἐξουσίαν ἔναντι τῶν ἄλλων, μαζὶ μὲ ὅλα τὰ ἄλλα ποὺ εἶναι ἀπαραίτητον νὰ ἐφαρμόζουν, ἀπαιτεῖ καὶ τὴν ἐπιμέλειαν τῶν παιδιῶν, διότι δὲν θὰ ὑπάρξῃ συγγνώμη, ἐὰν ἐκεῖνα διαστραφοῦν. Καὶ πολὺ εὐλόγως.

Ἐὰν βέβαια ἐκ φύσεως ὑπῆρχεν εἰς τοὺς ἀνθρώπους ἡ κακία, εὐλόγως θὰ ἠδύνατο κανεὶς ν' ἀπολογηθῇ. Ἐπειδὴ ὅμως μὲ τὴν θέλησίν μας γινόμεθα καὶ κακοὶ καὶ σπουδαῖοι, ποίαν εὔλογον δικαιολογίαν θὰ ἠμποροῦσε νὰ εἰπῇ αὐτὸς ποὺ ἐπέτρεψεν ὥστε νὰ διαστραφῇ καὶ νὰ γίνῃ κακὸς ὁ ὑπὸ πάντων ἀγαπητός; Ὅτι δὲν ἤθελε νὰ πράξῃ τὸ καλόν; Κανεὶς πατέρας δὲν θὰ ἠμποροῦσε νὰ τὸ ἰσχυρισθῇ αὐτό, διότι ἡ φύσις παρίσταται διὰ νὰ διεγείρῃ συνεχῶς αὐτὸν πρὸς τοῦτο. Ἀλλὰ δὲν ἠμποροῦσε; Οὔτε αὐτὸ συμβαίνει. Διότι τὸ γεγονὸς ὅτι τὸ παραλαμβάνει ἀπὸ βρέφος καὶ ἔχει αὐτὸς μόνος τὴν ἐξουσίαν του, καὶ τὸ ἔχει πάντοτε μέσα εἰς τὸ σπίτι του, καθιστᾷ τὴν προστασίαν του εὔκολον καὶ ἁπλουστάτην. Ἄρα ἀπὸ πουθενὰ ἀλλοῦ δὲν προέρχεται ἡ διαστροφὴ τῶν παιδιῶν, πλὴν τῆς μανίας διὰ βιοτικὰ πράγματα. Μὲ τὸ νὰ ἀποβλέπουν δηλαδὴ μόνον πρὸς ἐκεῖνα καὶ νὰ μὴ θέλουν ν' ἀσχοληθοῦν μὲ τίποτε ἄλλο, ἀναγκάζονται ν' ἀμελοῦν μαζὶ μὲ τὴν ἰδικήν των ψυχὴν καὶ τὰ παιδιά. Αὐτοὺς τοὺς πατέρας (καὶ ἂς μὴ νομίσῃ κανεὶς ὅτι αὐτὸ ποὺ λέγω εἶναι ἀποτέλεσμα θυμοῦ) θὰ ἐχαρακτήριζα χειροτέρους καὶ ἀπὸ τοὺς ἰδίους τοὺς παιδοκτόνους, Διότι, ἐκεῖνοι μὲν χωρίζουν τὸ σῶμα ἀπὸ τὴν

ρους εἶναι φαίην ἄν. Ἐκεῖνοι μὲν γὰρ τὸ σῶμα τῆς ψυχῆς διιστῶσιν, οὗτοι δὲ ταύτην μετ' ἐκείνου φέροντες εἰς τὴν τῆς γεέννης ἐμβάλλουσι πυράν· κἀκεῖνον μὲν ἀνάγκη τὸν θάνατον καὶ παρὰ τῆς φύσεως δέξασθαι πάντως, τοῦτον
5 *δὲ ἐνῆν καὶ διαφυγεῖν, εἰ μὴ ἡ τῶν πατέρων αὐτὸν ἐπήγαγε ῥαθυμία. Πρὸς τούτοις, τὴν μὲν τοῦ σώματος τελευτὴν ἀνάστασις ἐπελθοῦσα ταχέως ἀφανίσαι δυνήσεται· τὴν δὲ τῆς ψυχῆς ἀπώλειαν οὐδὲν ἔτι παραμυθήσεται· οὐ γὰρ σωτηρία αὐτὴν διαδέχεται λοιπόν, ἀλλ' ἀθάνατα ἀνάγκη*
10 *κολάζεσθαι. Ὥστε οὐκ ἀπεικότως τῶν παιδοκτόνων τοὺς τοιούτους πατέρας χείρους ἂν εἴποιμεν εἶναι. Οὐδὲ γάρ ἐστιν οὕτω δεινὸν ἀκονῆσαι ξίφος, καὶ δεξιὰν ὁπλίσαι, καὶ εἰς αὐτὸν τοῦ παιδὸς βαπτίσαι τὸν λαιμόν, ὡς τὸ ψυχὴν ἀπολέσαι καὶ διαφθεῖραι· ταύτης γὰρ ἡμῖν ἴσον οὐδέν.*

15 *5. Τί οὖν; πόλιν οἰκοῦντα, καὶ οἰκίαν καὶ γυναῖκα ἔχοντα οὐκ ἔνι σωθῆναι, φησί; Μάλιστα μὲν οὐχ εἷς σωτηρίας τρόπος, ἀλλὰ πολλοὶ καὶ διάφοροι. Καὶ τοῦτο λέγει μὲν ἀορίστως ὁ Χριστός, πολλὰς εἶναι μονὰς ἀποφαινόμενος παρὰ τῷ Πατρί· λέγει δὲ μετὰ διορισμοῦ τινος ὁ Παῦλος οὕτω*
20 *γράφων· Ἄλλη δόξα ἡλίου, καὶ ἄλλη δόξα σελήνης, καὶ ἄλλη δόξα ἀστέρων· ἀστὴρ γὰρ ἀστέρος διαφέρει ἐν δόξῃ. Ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· οἱ μὲν ὡς ἥλιος λάμψουσιν, οἱ δὲ ὡς σελήνη, οἱ δὲ ὡς ἀστέρες. Καὶ οὐδὲ ἐνταῦθα ἔστη τῆς διαφορᾶς, ἀλλὰ καὶ ἐν αὐτοῖς τούτοις πολλὴν δείκνυσιν*
25 *εἶναι τὴν διαλλαγήν, καὶ τοσαύτην, ὅσην ἐν ἀριθμῷ τοσούτῳ συμβαίνειν εἰκός. Ἀστὴρ γάρ, φησίν, ἀστέρος διαφέρει ἐν δόξῃ. Ἐννόησον τοίνυν ἀπὸ τοῦ ἡλιακοῦ μεγέθους πρὸς τὸν ἔσχατον πάντων ἀστέρα ὁδεύων, πόσους ἀξιωμάτων βαθμοὺς καταβαίνειν εἰκός. Πῶς οὖν οὐκ ἄτοπον, εἰ μὲν εἰς βασί-*

---

16. Α' Κορ. 15, 41.

ψυχήν, αὐτοὶ δέ, φέροντες τὴν ψυχὴν μαζὶ μὲ τὸ σῶμα, τὴν ρίπτουν εἰς τὸ πῦρ τῆς Κολάσεως. Καὶ ἐκεῖνον μὲν τὸν θάνατον εἶναι ἀναπόφευκτον νὰ ὑποστῇ λόγῳ τοῦ φυσικοῦ νόμου, αὐτὸν ὅμως εἶναι δυνατὸν καὶ νὰ τὸν ἀποφύγῃ, ἐὰν δὲν τὸν ὡδηγοῦσεν ἐκεῖ ἡ ἀμέλεια τῶν πατέρων. Ἐπὶ πλέον τὸν μὲν θάνατον τοῦ σώματος θὰ ἠμπορέσῃ νὰ ἐξαφανίσῃ ταχέως, ὅταν ἔλθῃ ἡ ἀνάστασις, τὴν ἀπώλειαν ὅμως τῆς ψυχῆς τίποτε πλέον δὲν θὰ ἐξουδετερώσῃ. Διότι δὲν τὴν ἀκολουθεῖ πλέον ἡ σωτηρία, ἀλλὰ εἶναι καταδικασμένη νὰ τιμωρῆται αἰωνίως. Ὥστε δικαίως θὰ ἐχαρακτηρίζαμεν τοὺς τοιούτους πατέρας χειροτέρους τῶν παιδοκτόνων. Διότι δὲν εἶναι τόσον φοβερὸν ν' ἀκονήσῃ κανεὶς ξίφος καὶ νὰ ὁπλίσῃ τὸ χέρι καὶ νὰ τὸ βυθίσῃ εἰς τὸν ἴδιον τὸν λαιμὸν τοῦ παιδιοῦ, ὅσον εἶναι τὸ νὰ διαφθείρῃ τὴν ψυχὴν καὶ νὰ τὴν ὁδηγήσῃ εἰς τὴν ἀπώλειαν. Διότι δι' ἡμᾶς δὲν ὑπάρχει τίποτε ἴσον πρὸς τὴν ψυχήν.

5. Τί λοιπόν; Ὁ κατοικῶν εἰς πόλιν καὶ ἔχων οἰκίαν καὶ γυναῖκα δὲν δύναται, λέγει, νὰ σωθῇ; Δὲν ὑπάρχει μόνον ἕνας ἀλλὰ πολλοὶ καὶ διάφοροι τρόποι σωτηρίας. Καὶ αὐτὸ ὁ μὲν Χριστὸς τὸ λέγει ἀορίστως, διακηρύσσων ὅτι ὑπάρχουν πολλαὶ μοναὶ πλησίον τοῦ Πατρός. Περισσότερον συγκεκριμένως δὲ ὁμιλεῖ ὁ Παῦλος, γράφων· «ἄλλη δόξα ἡλίου, καὶ ἄλλη δόξα σελήνης, καὶ ἄλλη δόξα ἀστέρων· διότι ὁ ἀστὴρ διαφέρει ἀπὸ ἀστέρα εἰς δόξαν»[16]. Αὐτὸ δὲ τὸ ὁποῖον λέγει ἔχει τὴν ἑξῆς σημασίαν. Ἄλλοι μὲν θὰ λάμψουν ὡσὰν ἥλιος, ἄλλοι δὲ ὡς σελήνη, ἄλλοι δὲ ὡς ἀστέρες. Καὶ δὲν σταματᾷ οὔτε ἐδῶ ἡ διαφορά, ἀλλὰ καὶ μεταξὺ αὐτῶν τῶν ἰδίων δεικνύει, ὅτι εἶναι μεγάλη ἡ διαφορά, τόσον δὲ μεγάλη, ὅσον εἶναι φυσικὸν εἰς ἀναλόγως μεγάλον ἀριθμόν. «Διότι, λέγει, ὁ ἀστὴρ διαφέρει ἀπὸ ἀστέρα εἰς δόξαν». Ἐξέτασε λοιπόν, ἐκκινῶν ἀπὸ τὸ μέγεθος τοῦ ἡλίου, καὶ προχωρῶν πρὸς τὸν μικρότερον ἀπὸ ὅλους τοὺς ἀστέρας, πόσους βαθμοὺς ἀξίας εἶναι φυσικὸν νὰ κατέλθῃς. Πῶς λοιπὸν δὲν θὰ ἦτο ἄτοπον, ἐὰν ὡδηγοῦσες τὸν

λεια τὸν υἱὸν ἦγες, ἅπαντα ποιεῖν τε καὶ πάσχειν, κἀκεῖνον ἀναπείθων ὁμοίως, ὥστε αὐτὸν ἐγγὺς ποιῆσαι τοῦ βασιλέως, καὶ μηδὲν ὅλως ὑπολογίζεσθαι, μὴ δαπάνην, μὴ κίνδυνον, μὴ θάνατον αὐτόν· περὶ δὲ τῆς ἐν τοῖς οὐρανοῖς στρα- 5 *τείας προκειμένης ἡμῖν τῆς σκέψεως, μὴ ἀλγεῖν, εἰ τὸν ἔσχατον λάβοι τόπον, καὶ πάντων ὕστατος γένοιτο;*

Πλήν ἀλλ', εἰ δοκεῖ, καὶ αὐτὸ τοῦτο ἴδωμεν, εἰ δυνατὸν τὸν ἐν μέσῳ στρεφόμενον ταύτην γοῦν τὴν λῆξιν λαβεῖν. Ὁ μὲν γὰρ μακάριος Παῦλος ἀπεφήνατο ἐν βραχεῖ περὶ 10 *τούτου, καὶ τοὺς τὰς γυναῖκας ἔχοντας οὐκ ἔφησεν ἄλλως δύνασθαι σῴζεσθαι, πλὴν εἰ μὴ οὕτως αὐτὰς ἔχοιεν ὡς οὐκ ἔχοντες, καὶ τῷ κόσμῳ μὴ παραχρῷντο· Ἡμεῖς δὲ αὐτό, εἰ βούλει, καὶ τῷ λόγῳ ἐπέλθωμεν. Ἔχεις οὖν εἰπεῖν, ὅτι ἢ σοῦ συμβουλεύοντος ἤκουσεν ὁ υἱός, ἢ ἀφ' ἑαυτοῦ συνεῖδέ* 15 *ποτε, ὅτι τὸν ὀμνύντα, κἂν εὐορκῇ, προσκρούειν ἔνι Θεῷ; Τί δέ, ὅτι τὸν μνησικακοῦντα σωθῆναι οὐκ ἔνι; Ὁδοὶ γάρ, φησί, μνησικάκων εἰς θάνατον. Ἀλλ' ὅτι τὸν κακήγορον οὕτως ἠτίμωσεν ὁ Θεός, ὡς καὶ τῆς ἀναγνώσεως ἀπεῖρξαι τῶν θείων λόγων; Τί δέ, ὅτι τὸν ἀλαζόνα καὶ ὑβριστὴν* 20 *ἐξέβαλε τῶν οὐρανῶν, καὶ τῷ τῆς γεέννης παρέδωκε πυρί; τί δέ, ὅτι τὸν ἀκολάστοις ἐνορῶντα ὀφθαλμοῖς ὡς ἀπηρτισμένον, οὕτως ἐκόλασε μοιχόν; Ἀλλὰ τὸ πρόχειρον τοῦτο πᾶσιν ἁμάρτημα, τὸ κρίνειν τοὺς πλησίον καὶ χαλεπωτέραν ἐπισπᾶσθαι τὴν κόλασιν, παρῄνεσάς ποτε φυγεῖν, καὶ τοὺς* 25 *τοῦ Χριστοῦ περὶ τούτων κειμένους νόμους ἀνέγνως αὐτῷ; ἢ οὐδὲ οἶδας ὅτι ποτὲ ταῦτά ἐστι; Πῶς οὖν αὐτὰ δυνήσεται κατορθοῦν ὁ υἱός, ὧν οὐδὲ τοὺς νόμους οἶδεν ὁ μέλλων αὐτὸν διδάξειν πατήρ;*

---

17. Παρμ. 12, 28.

υἱόν σου εἰς τὰ ἀνάκτορα, νὰ κάμνῃς καὶ νὰ ὑπομείνῃς τὰ πάντα, καὶ ἐκεῖνον πείθων ἐπίσης, ὥστε νὰ τὸν φέρῃς πλησίον τοῦ βασιλέως καὶ γενικῶς νὰ μὴ ὑπολογίζῃ τίποτε, οὔτε ἔξοδα οὔτε κίνδυνον οὔτε τὸν ἴδιον τὸν θάνατον, τώρα δὲ ποὺ πρόκειται νὰ σκεφθῶμεν περὶ τῆς οὐρανίας ἐκστρατείας, νὰ μὴ πονοῦμεν, ἐὰν ἐπρόκειτο νὰ καταλάβῃ τὴν τελευταίαν θέσιν καὶ ἐγίνετο τελευταῖος ὅλων;

Πλὴν ὅμως, ἂν νομίζῃς, ἂς ἐξετάσωμεν καὶ τὸ θέμα ἐὰν ἠμπορῇ ὁ ζῶν ἐν μέσῳ τοῦ κόσμου νὰ καταλήξῃ εἰς τὸ σημεῖο αὐτό. Ὁ μὲν μακάριος Παῦλος ὡμίλησε συντόμως περὶ αὐτοῦ, καὶ εἶπεν ὅτι οἱ ἔχοντες γυναῖκας δὲν δύνανται νὰ σωθοῦν ἀλλοιῶς, παρὰ μόνον ἐὰν τὰς ἔχουν ἔτσι, ὡσὰν νὰ μὴ τὰς ἔχουν, καὶ δὲν περιφρονήσουν τὸν κόσμον. Ἡμεῖς δέ, ἂν θέλῃς, ἂς τὸ συζητήσωμεν. Ἠμπορεῖς λοιπὸν νὰ εἰπῇς ὅτι ὁ υἱός σου ἢ ἀπὸ ἐσὲ ἤκουσεν ἢ ἀφ' ἑαυτοῦ ἐγνώρισε ποτὲ ὅτι ὁ ὁρκιζόμενος ἔρχεται εἰς ἀντίθεσιν πρὸς τὸν Θεόν, καὶ ἂν ἀκόμη τηρῇ τοὺς ὅρκους του; Ἐπίσης ὅτι δὲν εἶναι δυνατὸν νὰ σωθῇ αὐτὸς ποὺ μνησικακεῖ; Διότι λέγει: «Ὁδοὶ μνησικάκων εἰς θάνατον»[17]. Καὶ ὅτι ὁ Θεὸς ἠτίμωσε τόσον πολὺ τὸν κακολόγον, ὥστε νὰ τὸν ἐμποδίσῃ καὶ ἀπὸ τὴν ἀνάγνωσιν τῶν θείων λόγων; Καὶ ὅτι ἐξεδίωξε τὸν ὑπερήφανον καὶ ὑβριστὴν ἀπὸ τὴν οὐράνιον βασιλείαν καὶ τὸν παρέδωσεν εἰς τὸ πῦρ τῆς γεέννης; Καὶ ὅτι ἐτιμώρησε ὡς μοιχὸν αὐτὸν ποὺ παρετήρησε μὲ ἀκόλαστον βλέμμα, ὡσὰν νὰ εἶχε διαπράξει τὴν πρᾶξιν; Ἀλλὰ συνεβούλευσες ποτὲ νὰ ἀποφεύγῃ τὸ συνηθισμένον αὐτὸ εἰς ὅλους ἁμάρτημα, δηλαδὴ τὸ νὰ κρίνῃ κανεὶς τοὺς πλησίον καὶ νὰ ἐπισύρῃ μὲ αὐτὸ χειροτέραν τιμωρίαν καὶ τοῦ ἀνέγνωσες ποτὲ τὰς περὶ τούτων τεθείσας ἐντολὰς τοῦ Χριστοῦ; Ἢ μήπως οὔτε κἂν γνωρίζεις ὅτι ὑπάρχουν αὐτά; Πῶς λοιπὸν θὰ ἠμπορέσῃ ὁ υἱός σου, νὰ κατορθώσῃ αὐτά, περὶ τῶν ὁποίων οὔτε τὰς ἐντολὰς γνωρίζει ὁ πατήρ του ποὺ μέλλει νὰ τὸν διδάξῃ;

Καὶ εἴθε τοῦτο μόνον ἦν τὸ δεινόν, τὸ μηδὲν τῶν χρησίμων συμβουλεύειν αὐτοῖς, καὶ οὐκ ἂν τοσοῦτον ἦν· νυνὶ δὲ αὐτοὺς καὶ πρὸς τἀναντία ὠθεῖται. Οὐδὲ γὰρ ἄλλο τι τῶν πατέρων ἔστιν ἀκοῦσαι διαλεγομένων πρὸς τοὺς παίδας,
5 *ὅταν αὐτοὺς παρακαλῶσιν ὑπὲρ τῆς τῶν λόγων σπουδῆς, ἀλλ' ἢ ταυτὶ τὰ ῥήματα· ὁ δεῖνα, φησί, ταπεινὸς καὶ ἐκ ταπεινῶν τὴν ἀπὸ τῶν λόγων κτησάμενος δύναμιν, ἦρξε μεγίστας ἀρχάς, πλοῦτον ἐκτήσατο πολύν, γυναῖκα ἔλαβεν εὔπορον, οἰκίαν ᾠκοδόμησε λαμπράν, φοβερός ἐστιν ἅπασι καὶ*
10 *ἐπίδοξος. Πάλιν ἕτερος, ὁ δεῖνα, φησί, τῶν Ἰταλῶν γλῶσσαν ἐκπαιδευθείς, ἐν τοῖς βασιλείοις ἐστὶ λαμπρός, καὶ πάντα ἄγει καὶ φέρει τὰ ἔνδον. Καὶ ἕτερος ἕτερον δείκνυσι πάλιν, πάντες δὲ τοὺς ἐπὶ γῆς εὐδοκίμους· τῶν δὲ ἐν τοῖς οὐρανοῖς οὐδὲ ἅπαξ τις μέμνηται, ἀλλὰ κἂν μνησθῆναι ἕτε-*
15 *ρος ἐπιχειρήσῃ, ὡς πάντα ἀνατρέπων ἐλαύνεται.*

6. Ὅταν οὖν ἐξ ἀρχῆς αὐτοῖς ταῦτα ἐπᾴδητε, οὐδὲν ἕτερον ἀλλ' ἢ τὴν ὑπόθεσιν αὐτοὺς πάντων διδάσκετε τῶν κακῶν, δύο τοὺς τυραννικωτάτους ἐντιθέντες ἔρωτας, τὸν τῶν χρημάτων λέγω, καὶ τὸν τούτου παρανομώτερον, τὸν
20 *τῆς δόξης τῆς κενῆς καὶ ματαίας. Τούτων δὲ ἕκαστος καὶ καθ' ἑαυτὸν μὲν πάντα ἀνατρέψαι ἱκανός· ὅταν δὲ καὶ ὁμοῦ συνελθόντες εἰς τὴν τοῦ νέου ψυχὴν ἁπαλὴν οὖσαν ἐμπέσωσι, καθάπερ τινὲς χείμαρροι συναφθέντες, ἅπαντα διαφθείρουσι τὰ καλά, τοσαύτας ἀκάνθας, τοσαύτην ἄμμον, τοσοῦτον ἐπι-*
25 *συνάγοντες τὸν φορυτόν, ὡς ἄκαρπόν τε καὶ ἄγονον τῶν ἀγαθῶν πάντων ἐκείνων ἐργάσασθαι τὴν ψυχήν. Καὶ μαρτυρήσειαν ἂν ἡμῖν ὑπὲρ τούτων καὶ οἱ τῶν ἔξωθεν λόγοι· τούτων γὰρ τῶν παθῶν θάτερον, οὐχὶ συνημμένον, ἀλλὰ καὶ καθ' ἑαυτό, ὁ μὲν ἀκρόπολιν, ὁ δὲ κεφαλὴν προσεῖπε τῶν*

Καὶ μακάρι μόνον αὐτὸ νὰ ἦτο τὸ κακόν, τὸ νὰ μὴ συμβουλεύῃ δηλαδὴ τίποτε χρήσιμον, καὶ δὲν θὰ ἦτο τόσον μεγάλον κακόν. Τώρα ὅμως τοὺς ὠθεῖτε καὶ πρὸς τὰ ἀντίθετα. Καὶ τίποτε ἄλλο δὲν εἶναι δυνατὸν νὰ ἀκούσῃ κανεὶς ὅταν οἱ πατέρες ὁμιλοῦν πρὸς τὰ παιδιά των καὶ τὰ παρακαλοῦν νὰ σπουδάσουν ρητορικήν, παρὰ αὐτὰ ἐδῶ τὰ λόγια. ‘Ὁ τάδε, λέγει, ἐνῷ εἶναι κατώτερος καὶ κατάγεται ἀπὸ κατωτέρους γονεῖς, ἀφοῦ ἀπέκτησε τὴν ἐκ τῶν ρητορικῶν σπουδῶν ἱκανότητα, ἀνῆλθεν εἰς ὕψιστα ἀξιώματα, ἀπέκτησε πολὺν πλοῦτον, ἐνυμφεύθη πλουσίαν γυναῖκα, ἔκτισε πολυτελὲς σπίτι, εἶναι φοβερὸς εἰς ὅλους καὶ φιλόδοξος’. Ἄλλος πάλιν λέγει, ‘ὁ τάδε ποὺ ἔμαθε τὴν ἰταλικὴν γλῶσσαν, εἶναι ἔνδοξος εἰς τὰ ἀνάκτορα καὶ κυβερνᾷ ὅλα τὰ ἐσωτερικά θέματα’. Καὶ ἄλλος πάλιν δεικνύει ἄλλον, ὅλοι ὅμως τοὺς εἰς τὴν γῆν ἐπιτυχημένους. Κανεὶς δὲ οὔτε μίαν φορὰν δὲν ἐνθυμεῖται τὰ οὐράνια πράγματα, ἀλλὰ καὶ ἂν ἄλλος ἐπιχειρήσῃ ἔστω καὶ νὰ τὰ μνημονεύσῃ, ἐκδιώκεται, ὡσὰν νὰ πρόκειται ν' ἀνατρέψῃ τὰ πάντα.

6. Ὅταν λοιπὸν ἐξ ἀρχῆς τοὺς ἐπαναλαμβάνετε αὐτά, δὲν κάμνετε τίποτε παρὰ νὰ τοὺς διδάσκετε τὴν ὑπόθεσιν ὅλων τῶν κακῶν, ἐμβάλλοντες μέσα των τοὺς δύο τυραννικωτέρους πόθους, ἐννοῶ τὸν πόθον τοῦ χρήματος καὶ τὸν χειρότερον αὐτοῦ, τὸν πόθον τῆς κούφου καὶ ματαίας δόξης. Ἀπὸ αὐτοὺς δὲ τοὺς πόθους ὁ καθεὶς καὶ μόνος του βεβαίως εἶναι ἱκανὸς νὰ ἀνατρέψῃ τὰ πάντα, ὅταν ὅμως συγκεντρωθοῦν ὅλοι καὶ ἐπιπέσουν ἐπὶ τῆς τρυφερᾶς ψυχῆς τοῦ παιδιοῦ, ὡσὰν χείμαρροι, ποὺ ἡνώθησαν, καταστρέφουν ὅλα τὰ καλά, ἐπιφέροντες τόσον πολλὰ ἀγκάθια, τόσον πολλὴν ἄμμον, τόσον πολὺν βόρβορον, ὥστε νὰ καταστήσῃ τὴν ψυχὴν ἄκαρπον καὶ ἄγονον ἀπὸ ὅλα ἐκεῖνα τὰ ἀγαθά. Καὶ θὰ ἠμποροῦσαν νὰ συνηγορήσουν δι' ἡμᾶς ὑπὲρ τούτων καὶ οἱ λόγοι τῶν ἐθνικῶν συγγραφέων. Διότι τὸ καθένα ἀπὸ τὰ πάθη αὐτά, ὄχι συνηνωμένον ἀλλὰ καθ' ἑαυτό, ἄλλος μὲν τὸ ὠνόμασεν ἀκρόπολιν τῶν κακῶν, ἄλλος

κακῶν. Εἰ δὲ κεχωρισμένον ἀκρόπολίς ἐστι καὶ κεφαλή, ὅταν τὸ χαλεπώτερον πολλῷ προσλάβῃ καὶ δυνατώτερον, τὴν δοξομανίαν λέγω, καὶ μετ' ἐκείνου φερόμενον ἐμπέσῃ καὶ ῥιζωθῇ καὶ προκαταλάβῃ τὴν τοῦ νέου ψυχήν, τίς λοιπὸν 5 ταύτην ἀναμοχλεῦσαι τὴν νόσον δυνήσεται, καὶ μάλιστα ὅταν καὶ οἱ πατέρες μὴ μόνον ὅπως διασαλευθείη, ἀλλ' ὅπως καὶ πάγια γένηται τὰ πονηρὰ ταῦτα φυτά, καὶ ποιῶσι πάντα καὶ λέγωσι;

Τίς οὖν οὕτως ἀνόητος, ὡς μὴ ἀπογνῶναι τῆς σωτη- 10 ρίας τοῦ τὰ τοιαῦτα παιδευομένου παιδός; Ἀγαπητὸν γὰρ τῶν ἐναντίων ἀπολαύουσαν ψυχὴν διαφυγεῖν πονηρίαν· ὅταν δὲ πανταχοῦ χρήματα τὰ ἔπαθλα ᾖ, καὶ ἄνδρες ἐναγεῖς εἰς ζῆλον προκείμενοι, ποία σωτηρίας ἐλπίς; Τοὺς γὰρ χρημάτων ἐρῶντας καὶ βασκάνοις καὶ κακοήθεις καὶ πολυόρ- 15 κους καὶ ἐπιόρκους καὶ θρασεῖς καὶ λοιδόρους καὶ κλέπτας καὶ ἀναισχύντους καὶ ἰταμοὺς καὶ ἀγνώμονας καὶ πάντα ἀνάγκη εἶναι τὰ κακά. Καὶ μάρτυς τούτων ἀξιόπιστος ὁ μακάριος Παῦλος, ῥίζαν τῶν ἐν τῷ βίῳ κακῶν τὴν φιλαργυρίαν εἰπών· καὶ πρὸ τούτου δὲ ὁ Χριστὸς αὐτὸ τοῦτο 20 ἐδήλωσεν, ἀποφαινόμενος μὴ εἶναι δυνατὸν τῷ Θεῷ δουλεύειν τὸν ἐκείνῳ τῷ πάθει δουλεύοντα. Ὅταν οὖν ἐξ ἀρχῆς ὁ νέος ἐπὶ ταύτην ἄγηται τὴν δουλείαν, πότε δυνήσεται γενέσθαι ἐλεύθερος, πότε ἀνασχεῖν τοῦ κλυδωνίου, πάντων ὠθούντων, πάντων καταδυόντων, καὶ εἰς πολλὴν τοῦ καταβα- 25 πτίζεσθαι καθιστώντων ἀνάγκην αὐτόν; Εἰ γὰρ μηδενὸς ἐνοχλοῦντος, εἰ πολλῶν ὀρεγόντων χεῖρα ἀναστῆναι δυνηθείη καὶ διαβλέψαι καὶ τὴν ἅλμην ἀπονίψασθαι τῆς κακίας, οὐκ ἀγαπητόν; εἰ γὰρ πολλῷ τῷ χρόνῳ ταῖς θείαις ᾠδαῖς ἐπᾳδόμενος ἰσχύσειε τὰ προσπεσόντα ἀπελάσαι νοσήματα, οὐκ ἐπαι- 30 νεῖν αὐτὸν δεῖ καὶ στεφανοῦν μυριάκις;

δὲ κεφαλὴν τούτων. Ἐὰν δὲ ἡ ἀκρόπολις εἶναι κάτι ξεχωριστὸν καὶ κορυφαῖον, ὅταν προσλάβῃ τὸ πολὺ χειρότερον καὶ ἰσχυρότερον, ἐννοῶ τὴν δοξομανίαν καὶ μαζὶ μὲ ἐκεῖνο ἐμπέσῃ καὶ ριζωθῇ καὶ κατακιριεύσῃ τὴν ψυχὴν τοῦ νέου, ποῖος τότε θὰ δυνηθῇ ν' ἀντιμετωπίσῃ τὴν ἀσθένειαν αὐτὴν καὶ μάλιστα ὅταν καὶ οἱ πατέρες κάμνουν καὶ λέγουν τὸ πᾶν ὥστε ὄχι μόνον νὰ μὴ διασαλευθοῦν, ἀλλ' ἀντιθέτως νὰ σταθεροποιηθοῦν τὰ βλαβερὰ αὐτὰ φυτά;

Ποῖος λοιπὸν εἶναι τόσον ἀνόητος, ὥστε νὰ μὴ χάσῃ κάθε ἐλπίδα διὰ τὴν σωτηρίαν τοῦ παιδιοῦ, ποὺ λαμβάνει τέτοιαν ἀνατροφήν; Εἶναι βεβαίως δύσκολον ἡ ψυχὴ ποὺ δοκιμάζει τὰ ἀντίθετα νὰ ξεφύγῃ ἀπὸ τὴν πονηρίαν. Ὅταν δὲ παντοῦ τὰ βραβεῖα εἶναι χρήματα καὶ ἄνθρωποι μιαροὶ πρόκεινται πρὸς μίμησιν, ποία ἐλπὶς σωτηρίας ὑπάρχει; Διότι αὐτοὶ ποὺ ἐπιθυμοῦν σφοδρῶς τὰ πλούτη εἶναι ἀναπόφευκτον νὰ εἶναι καὶ βάσκανοι καὶ κακοήθεις καὶ πολύορκοι καὶ ἐπίορκοι καὶ θρασεῖς καὶ ὑβρισταὶ καὶ κλέπται καὶ ἀδιάντροποι καὶ αὐθάδεις καὶ ἀχάριστοι καὶ ὅλα τὰ κακά. Καὶ ἀξιόπιστος μάρτυς αὐτῶν εἶναι ὁ μακάριος Παῦλος ποὺ ἐχαρακτήρισε τὴν φιλαργυρίαν ρίζαν ὅλων τῶν κακῶν εἰς τὴν ζωήν. Καὶ πρὸ αὐτοῦ βεβαίως ὁ Χριστὸς τὸ αὐτὸ ἐδήλωσε, λέγων ὅτι δὲν εἶναι δυνατὸν νὰ ὑπηρετῇ τὸν Θεὸν ὁ ὑπηρετῶν τὸ πάθος ἐκεῖνο. Ὅταν συνεπῶς ἐξ ἀρχῆς ὁ νέος ὁδηγῆται εἰς αὐτὴν τὴν δουλείαν, πότε θὰ δυνηθῇ νὰ ἐλευθερωθῇ, πότε ν' ἀντιμετωπίσῃ τὴν καταιγίδα, ὅταν ὅλοι τὸν ὠθοῦν, ὅλοι τὸν καταβυθίζουν καὶ τὸν ἀναγκάζουν νὰ βυθισθῇ ἐντελῶς; Διότι, ἐὰν ἐνῷ κανεὶς δὲν ἐμποδίζει καὶ πολλοὶ ἁπλώνουν τὸ χέρι διὰ νὰ βοηθήσουν, δυνηθῇ νὰ ἐγερθῇ καὶ νὰ ἰδῇ καθαρὰ καὶ νὰ ἀποπλύνῃ τὴν ἁλμύραν τῆς κακίας, δὲν θὰ εἶναι αὐτὸ εὐχάριστον; Καὶ ἐὰν ἐπὶ πολὺν καιρὸν μελῳδούμενος μὲ θεῖα ᾄσματα, ἠδύνατο ν' ἀπολυτρωθῇ ἀπὸ τὰ συσσωρευθέντα νοσήματα, δὲν πρέπει νὰ τὸν ἐπαινέσουν καὶ νὰ τὸν στεφανώσουν μυριάκις; Διότι εἶναι φοβερὸν πρᾶγμα ἡ συνήθεια.

Δεινὸν γὰρ συνήθεια, δεινὸν κρατῆσαι καὶ ἑλεῖν ψυχήν, καὶ μάλιστα ὅταν αὕτη μὲν ἡδονὴν ἔχῃ συμπράττουσαν, ἐκείνη δὲ πρὸς ἣν ἐπειγόμεθα καὶ μεθορμίσασθαι σπεύδομεν, πολλοὺς παρέχῃ τοὺς πόνους ἡμῖν. Διὰ τοῦτο καὶ ὁ Θεὸς τῶν 5 Ἑβραίων τοὺς παῖδας, ἐπειδὴ ἔδει τὴν παλαιὰν τῶν κακῶν ἀποθέσθαι συνήθειαν, τὴν ἐν Αἰγύπτῳ λέγω, λαβὼν καταμόνας αὐτοὺς ἐπὶ τῆς ἐρημίας, καὶ τῶν διαφθειρόντων ἀποστήσας ὡς πορρωτάτω, καθάπερ ἐπὶ μοναστηρίου τινὸς τῆς ἐρημίας διέπλαττεν αὐτῶν τὰς ψυχάς, πᾶσαν ὁδὸν ἰατρείας 10 κινῶν, καὶ τραχυτέραν καὶ προσηνεστέραν, καὶ οὐδὲν ὅλως παραλιμπάνων τῶν ὀφειλόντων εἰς τὴν θεραπείαν κατασκευασθῆναι τὴν ἐκείνων. Καὶ οὐδὲ οὕτως διέφυγον τὴν κακίαν, ἀλλὰ μεταξὺ τοῦ μάννα κρόμμυα καὶ σκόροδα καὶ τὰ ἐν Αἰγύπτῳ πάντα ἐζήτουν κακά. Τοσοῦτόν ἐστι συνήθεια κακόν.

15 *Εἶτα Ἰουδαῖοι μὲν τοσαύτης ἀπολαύοντες ἐπιμελείας τῆς παρὰ τοῦ Θεοῦ, καὶ δημαγωγὸν ἔχοντες οὕτως ἄριστον καὶ γενναῖον, καὶ φόβῳ καὶ ἀπειλῇ καὶ εὐεργεσίᾳ καὶ κολάσει καὶ παντὶ τρόπῳ παιδαγωγούμενοι, καὶ τοσαῦτα ὁρῶντες θαύματα, οὐκ ἐγένοντο βελτίους· σὺ δὲ τὸν υἱὸν τὸν σὸν 20 νέον ὄντα ἐν Αἰγύπτῳ μέσῃ, μᾶλλον δὲ ἐν μέσῃ τῇ παρατάξει τοῦ διαβόλου στρεφόμενον, οὐδενός τι χρήσιμον συμβουλεύοντος ἀκούοντα, πάντας ἐπὶ τἀναντία αὐτὸν ἄγοντας ὁρῶντα, καὶ πάντων μᾶλλον τοὺς γεννησαμένους καὶ θρεψαμένους, οἴει δυνήσεσθαι διαδῦναι τὰς τοῦ διαβόλου παγί-25 δας; Πόθεν; ἀφ' ὧν σὺ παραινεῖς; Ἀλλ' ἐπὶ τἀναντία παρακαλεῖς, φιλοσοφίας μὲν οὔτε ὄναρ μεμνῆσθαι συγχωρῶν, ἄνω δὲ καὶ κάτω τὸν παρόντα βίον καὶ τὰ τούτου στρέφων, μειζόνως κλυδωνίζεσθαι παρασκευάζεις. Ἀλλ' οἴκοθεν, καὶ*

Πολὺ φοβερὸν πράγμα εἶναι ἡ συνήθεια, ἱκανὸν νὰ κυριαρχήσῃ καὶ νὰ ὑποτάξῃ τὴν ψυχήν, καὶ μάλιστα ὅταν αὐτὴ ἔχῃ συνεργάτιδα τὴν ἡδονήν, ἐνῷ ἐκείνη ἡ δύναμις πρὸς τὴν ὁποίαν ἐπειγόμεθα καὶ σπεύδομεν νὰ μετακινηθῶμεν μᾶς παρέχει πολλοὺς κόπους. Δι' αὐτὸ λοιπὸν ὁ Θεός, ἐπειδὴ τὰ παιδιὰ τῶν Ἑβραίων ἔπρεπε νὰ ἀποβάλουν τὴν παλαιὰν συνήθειαν τῶν κακῶν, ἐννοῶ αὐτὴν ποὺ ἀπέκτησαν εἰς τὴν Αἴγυπτον, ἀφοῦ τοὺς ὡδήγησε κατὰ μόνας εἰς τὴν ἔρημον καὶ τοὺς ἀπεμάκρυνεν ὅσον τὸ δυνατὸν μακρύτερα ἀπὸ τοὺς διαστροφεῖς, ὡσὰν εἰς κάποιον ἐρημικὸν μοναστήριον, διέπλαττε τὰς ψυχάς των μεταχειριζόμενος κάθε τρόπον θεραπείας καὶ τὸν σκληρότερον καὶ τὸν ἠπιώτερον, χωρὶς ν' ἀφήνῃ τίποτε ἀπὸ ὅσα ἔπρεπε νὰ χρησιμοποιηθοῦν διὰ τὴν θεραπείαν ἐκείνων. Καὶ οὔτε ἔτσι ὅμως δὲν ἐξέφυγαν ἀπὸ τὴν κακίαν, ἀλλὰ ἀντὶ τοῦ μάννα ἐζητοῦσαν κρεμμύδια καὶ σκόρδα καὶ ὅλα τὰ κακὰ ποὺ εἶχαν εἰς τὴν Αἴγυπτον. Τόσον μεγάλον κακὸν εἶναι ἡ συνήθεια.

Ἔπειτα, οἱ Ἰουδαῖοι, ἐνῷ ἀπελάμβαναν τόσην φροντίδα ἐκ μέρους τοῦ Θεοῦ καὶ εἶχαν τόσον σπουδαῖον καὶ δυνατὸν ἀρχηγὸν καὶ ἐπαιδαγωγοῦντο μὲ φόβον καὶ ἀπειλήν, μὲ εὐεργεσίαν καὶ τιμωρίαν, καὶ μὲ κάθε τρόπον, καὶ εἶδαν τόσα θαύματα, δὲν ἔγιναν καλύτεροι. Ἐσὺ δὲ νομίζεις ὅτι ὁ υἱός σου, ποὺ εἶναι νέος εἰς τὸ μέσον τῆς Αἰγύπτου, μᾶλλον δὲ περιφερόμενος ἀνάμεσα εἰς τὴν παράταξιν τοῦ διαβόλου, χωρὶς νὰ ἀκούῃ κανενὸς τὴν χρήσιμον συμβουλήν, χωρὶς νὰ βλέπῃ ὅτι ὅλοι τὸν ὁδηγοῦν εἰς τὰ ἀντίθετα, καὶ περισσότερον ἀπὸ ὅλους αὐτοὶ ποὺ τὸν ἐγέννησαν καὶ τὸν ἀνέθρεψαν, θὰ ἠμπορέσῃ νὰ ὑπερπηδήσῃ τὰς παγίδας τοῦ διαβόλου; Πῶς; Μὲ αὐτὰ ποὺ τὸν συμβουλεύεις; Ἀλλὰ ἐσὺ τὸν προτρέπεις τὰ ἀντίθετα, μὴ ἐπιτρέπων εἰς αὐτὸν οὔτε εἰς τὸν ὕπνον του νὰ σκεφθῇ τὴν φιλοσοφίαν, στρέφων δὲ ἄνω καὶ κάτω τὴν παροῦσαν ζωὴν καὶ τὰ εἰς αὐτὴν ἀνήκοντα, τὸν προετοιμάζεις νὰ ὑποστῇ μεγαλυτέραν τρικυμίαν. Ἀλλὰ μήπως ἀπὸ τὸν ἑαυτόν του;

παρ' ἑαυτοῦ; Μάλιστα μὲν οὐχ ἱκανὸς ἑαυτῷ ὁ νέος πρὸς τὴν τῆς ἀρετῆς κατόρθωσιν· εἰ δ' ἄρα τι καὶ τέκοι γενναῖον, ταῖς τῶν λόγων ἐπομβρίαις τῶν παρὰ σοῦ πρὶν ἢ βλαστῆσαι ταχέως ἀποπνιγήσεται. Ὥσπερ γὰρ σῶμα ὑγιεινῶν μὲν
5 *οὐκ ἀπολαῦον σιτίων, τοῖς δὲ νοσώδεσιν ἐντρεφόμενον, οὐκ ἔνι πρὸς μικρὸν γοῦν ἀρκέσαι χρόνον, οὕτως οὐδὲ ψυχήν, τοιαῦτα παιδευομένην, γενναῖόν τι καὶ μέγα ἐννοῆσαί ποτε, ἀλλ' ἀνάγκη τὴν τοιαύτην ἀσθενοῦσαν καὶ μαλακιζομένην, καθάπερ τινὶ φθόῃ τῇ κακίᾳ συνεχομένην διηνεκῶς, οὕτως*
10 *ὕστερον εἰς τὴν γέενναν καταστρέψαι, καὶ τὴν ἀπώλειαν τὴν ἐκεῖ.*

7\. *Εἰ δὲ μὴ φῆς ταῦτα οὕτως ἔχειν, ἀλλὰ δυνατὸν εἶναι καὶ ἐν μέσῳ στρεφόμενον πάντα κατορθοῦντα τῆς ἀρετῆς, καὶ μὴ παίζων, ἀλλὰ σπουδάζων ἀληθῶς ταῦτα λέγεις,*
15 *μὴ κατοκνήσῃς ἡμᾶς διδάξαι τὸ καινὸν τοῦτο καὶ παράδοξον μάθημα· οὐδὲ γὰρ βούλομαι πράγματα εἰκῇ τοσαῦτα ἔχειν, οὐδὲ τοσούτοις ἐπέχεσθαι μάτην. Ἀλλὰ γὰρ οὐ δύναμαι τοῦτο μαθεῖν· οὐ γὰρ ἐᾶτε ὑμεῖς καὶ δι' ὧν λέγετε καὶ δι' ὧν ποιεῖτε ἀντιφθεγγόμενοι ταύτῃ τῇ ψήφῳ, καὶ τἀναντία παι-*
20 *δεύοντες· ὥσπερ γὰρ ἐξεπίτηδες ἀπολέσθαι σπουδάζοντες τοὺς υἱούς, οὕτως ἅπαντα κελεύετε ποιεῖν, ἃ τοὺς ποιοῦντας σωθῆναι οὐκ ἔνι. Ὅρα δὲ ἄνωθεν. «Οὐαί, φησί, τοῖς γελῶσιν»· ὑμεῖς δὲ πολλὰς αὐτοῖς παρέχετε γέλωτος ἀφορμάς. «Οὐαὶ τοῖς πλουτοῦσιν»· ὑμεῖς δὲ ὅπως χρεματίσαιντο, πάν-*
25 *τα πράττετε». «Οὐαί ὅταν καλῶς εἴπωσιν ὑμᾶς πάντες οἱ ἄνθρωποι»· ὑμεῖς δὲ καὶ οὐσίας ὁλοκλήρους ὑπὲρ τῆς τῶν δήμων εὐφημίας ἐκενώσατε πολλάκις. Πάλιν δέ, «ὁ τὸν ἀδελφὸν ὑβρίζων ὑπεύθυνός ἐστι τῇ γεέννῃ»· ὑμεῖς δὲ καὶ ἀδρανεῖς εἶναι νομίζετε καὶ δειλοὺς τοὺς σιγῇ τὰς παρὰ*

18\. Λουκᾶ 6, 24 ἑ.

Δὲν εἶναι βεβαίως ἱκανὸς ὁ νέος νὰ κατορθώσῃ μόνος του τὴν ἀρετήν. Ἐὰν δὲ ἀφ' ἑαυτοῦ ἐγεννοῦσε κάτι τὸ εὐγενές, μὲ τὴν βροχὴν τῶν λόγων σου θὰ ἀποπνιγῇ πρὶν βλαστήσῃ. Ὅπως δὲ τὸ σῶμα ποὺ δὲν τρέφεται μὲ ὑγιεινὰς τροφάς, ἀλλὰ μὲ βλαβεράς, δὲν εἶναι δυνατὸν νὰ ζήσῃ πολὺν χρόνον, ἔτσι καὶ ἡ ψυχὴ ποὺ διαπαιδαγωγεῖται τοιουτοτρόπως δὲν εἶναι δυνατὸν νὰ διανοηθῇ ποτὲ τίποτε σπουδαῖον καὶ ὑψηλόν, ἀλλ' εἶναι ἀναπόφευκτον ἡ τοιαύτη ἀσθενὴς καὶ ἀδύνατος ψυχή, καταθλιβομένη διαρκῶς ἀπὸ τὴν κακίαν ὡσὰν ἀπὸ φθίσιν, νὰ καταστραφῇ ἔτσι, ὕστερα εἰς τὴν κόλασιν καὶ τὴν ἐκεῖ ἀπώλειαν.

7. Καὶ ἐὰν δὲν παραδεχθῇς ὅτι συμβαίνουν αὐτά, ἀλλὰ ὅτι εἶναι δυνατὸν νὰ ἐπιτύχῃ κανεὶς τὴν ἀρετὴν εὑρισκόμενος μέσα εἰς τὸν κόσμον, καὶ λέγῃς αὐτὰ ὄχι ἀστεϊζόμενος ἀλλὰ ἐξετάζων μὲ εἰλικρίνειαν, μὴ βαρεθῇς νὰ μᾶς διδάξῃς τὸ νέον αὐτὸ καὶ παράξενον μάθημα. Διότι δὲν θέλω βεβαίως νὰ ἔχω ἀσκόπως τόσας ἐνοχλήσεις, οὔτε νὰ στεροῦμαι ματαίως ἀπὸ τόσον πολλά. Ἀλλὰ φυσικὰ δὲν ἠμπορῶ νὰ τὸ μάθω, διότι σεῖς δὲν τὸ ἐπιτρέπετε, ἀντιλέγοντες πρὸς αὐτὴν τὴν ἄποψιν καὶ μὲ ὅσα λέγετε καὶ μὲ ὅσα πράττετε καὶ διδάσκοντες τὰ ἀντίθετα. Ἀνατρέφοντες δὲ τοὺς υἱούς σας, τοὺς διδάσκετε νὰ κάμνουν πράγματα ποὺ δὲν εἶναι δυνατὸν νὰ σώσουν ὅσους τὰ ἐφαρμόζουν, ὡσὰν ἐξεπίτηδες νὰ προσπαθῆτε νὰ τοὺς καταστρέψετε. Κύτταξε δὲ τὸ πρᾶγμα ἀπὸ περιωπῆς, «Οὐαί, λέγει, τοῖς γελῶσιν»[18]· Ἐσεῖς ὅμως, ἀντιθέτως, τοὺς παρέχετε πολλὰς ἀφορμὰς γέλωτος· «Οὐαὶ τοῖς πλουτοῦσιν», ἐσεῖς ὅμως κάμετε τὸ πᾶν, διὰ νὰ πλουτήσουν. «Οὐαί, ὅταν καλῶς εἴπωσιν ὑμᾶς πάντες οἱ ἄνθρωποι»· ἐσεῖς ὅμως καὶ περιουσίας ὁλοκλήρους ἐδαπανήσατε πολλάκις, διὰ νὰ ἐπιτύχετε τὴν παρὰ τῶν ἀνθρώπων ὑπόληψιν. Ἀκόμη δέ, «ὁ ὑβρίζων τὸν ἀδελφόν του εἶναι ἔνοχος διὰ νὰ ριφθῇ εἰς τὴν κόλασιν»· ἐσεῖς ὅμως θεωρεῖτε αὐτοὺς ποὺ ὑπομένουν μὲ σιωπὴν τὰς ὕβρεις τῶν ἄλλων, ὡς ὀκνηροὺς καὶ δειλούς.

τῶν ἑτέρων φέροντας ὕβρεις. Μάχης κελεύει καὶ δίκης καταφρονεῖν ὁ Χριστός· ὑμεῖς δὲ αὐτοὺς ἐν τούτοις στρέφετε τοῖς κακοῖς διαπαντός. Τὸν ὀφθαλμὸν πολλάκις ἐξορύττειν ἐκέλευσεν, ὅταν βλάπτῃ· ὑμεῖς δὲ τούτους μάλιστα ποιεῖτε 5 *φίλους, ὅσοιπερ ἂν δύνωνται χρήματα δοῦναι, κἂν τὴν ἐσχάτην παιδεύσωσι κακίαν. Ἐκβαλεῖν γυναῖκα οὐκ ἀφῆκε, πλὴν ἐπ' αἰτίᾳ μόνῃ πορνείας· ὑμεῖς δέ, ὅταν ἐξῇ χρήματα λαβεῖν, καὶ ταύτης καταφρονεῖν κελεύετε τῆς ἐντολῆς. Τὸν ὅρκον ἀπεῖρξε παντελῶς· ὑμεῖς δέ, ἂν ἴδητε φυλαττόμενον,* 10 *καὶ γελᾶτε. «Ὁ φιλῶν τὴν ψυχὴν αὐτοῦ», φησίν, «ἀπολέσει αὐτήν»· ὑμεῖς δὲ αὐτοὺς πάντοθεν εἰς ταύτην ἐμβάλλετε τὴν φιλίαν. «Ἐὰν μὴ ἀφῆτε», φησί, «τοῖς ἀνθρώποις τὰ παραπτώματα αὐτῶν, οὐδὲ ὑμῖν ὁ Πατὴρ ὑμῶν ἀφήσει ὁ οὐράνιος»· ὑμεῖς δὲ καὶ ὀνειδίζετε, ὅταν τοὺς ἠδικηκότας μὴ* 15 *θέλωσιν ἀμύνεσθαι, καὶ εἰς τὴν δύναμιν αὐτοὺς ταύτην ταχέως ἐπείγεσθε ἀγαγεῖν. Τοὺς δόξης ἐρῶντας πάντα εἰκῇ ποιεῖν ἀπεφήνατο ὁ Χριστός, κἂν νηστεύωσι, κἂν εὔχωνται, κἂν ἐλεῶσιν· ὑμεῖς δέ, ὅπως ταύτης ἐπιτύχοιεν, ἅπαντα πραγματεύεσθε.*

20 *Καὶ τί δεῖ πάντα ἐπιέναι; ὅταν γὰρ καὶ τὰ εἰρημένα μυρίας ἱκανὰ παρασκευάσαι γεέννας ᾖ, οὐχὶ πάντα ὁμοῦ συνελθόντα μόνον, ἀλλὰ καὶ καθ' ἑαυτὸ τούτων ἕκαστον· ὑμεῖς δὲ πάντα ὁμοῦ συμφορήσαντες, καὶ τὸ ἀφόρητον τῶν ἁμαρτημάτων ἐπιθέντες φορτίον, οὕτως εἰς τὸν τοῦ πυρὸς* 25 *πέμπετε ποταμόν. Πότε σωθῆναι δυνήσονται, τοσαύτην κομίζοντες τῷ πυρὶ τὴν τροφήν; Καὶ οὐ τοῦτο μόνον ἐστὶ τὸ δεινόν, ὅτι τἀναντία τοῖς τοῦ Χριστοῦ παραινεῖτε προστάγμασιν, ἀλλ' ὅτι καὶ προσηγορίαις εὐφήμοις περιστέλλετε τὴν κακίαν, τὸ μὲν ἱπποδρόμοις καὶ θεάτροις προσκεῖσθαι δια-*

---

19. Ἰω. 12, 25.
20. Ματθ. 6, 14.

Ὁ Χριστὸς δίδει ἐντολὴν νὰ περιφρονῆτε τὰς φιλονεικίας καὶ τὰς δικαστικὰς διαμάχας· σεῖς ὅμως τοὺς ὁδηγεῖτε πάντοτε εἰς αὐτὰ τὰ κακά. Παρήγγειλε πολλάκις νὰ ἐκβάλλωμεν τὸν ὀφθαλμὸν ὅταν βλάπτῃ· ἐσεῖς ὅμως κάμετε φίλους, ὅσους ἠμποροῦν νὰ σᾶς δώσουν χρήματα, ἔστω καὶ ἂν σᾶς διδάξουν τὴν χειροτέραν κακίαν. Δὲν ἐπέτρεψε τὴν ἐκδίωξιν τῆς γυναικός, πλὴν τῆς μοναδικῆς περιπτώσεως τῆς μοιχείας· ἐσεῖς ὅμως, προκειμένου νὰ λάβετε χρήματα, καὶ αὐτὴν τὴν ἐντολὴν παραβαίνετε. Ἀπηγόρευσεν ἐντελῶς τὸν ὅρκον· ἐσεῖς ὅμως, ὅταν ἰδῆτε κάποιον νὰ τὸν ἀποφεύγῃ, τὸν εἰρωνεύεσθε. Λέγει· «ὁ ἀγαπῶν τὴν ζωὴν αὐτοῦ θὰ τὴν χάσῃ»[19]· ἐσεῖς ὅμως τοὺς ὁδηγεῖτε ὁπωσδήποτε εἰς αὐτὴν τὴν ἀγάπην. Λέγει, «ἐὰν δὲν συγχωρήσετε εἰς τοὺς ἀνθρώπους τὰ παραπτώματα αὐτῶν οὔτε τὰ ἰδικά σας θὰ συγχωρήσῃ ὁ Πατήρ σας ὁ οὐράνιος»[20]· ἐσεῖς ὅμως καὶ εἰρωνεύεσθε, ὅταν οἱ ἀδικημένοι δὲν θέλουν νὰ ἀνταποδώσουν τὰ ἴσα, καὶ σπεύδετε νὰ τοὺς ὁδηγήσετε ἀμέσως εἰς τὴν πρᾶξιν αὐτήν. Ὁ Χριστὸς εἶπεν ὅτι οἱ ποθοῦντες σφοδρῶς τὴν δόξαν, ὅλα τὰ κάμουν ματαίως, ἔστω καὶ ἂν νηστεύουν καὶ ἂν προσεύχωνται καὶ ἂν ἐλεοῦν· ἐσεῖς ὅμως διαθέτετε τὰ πάντα, προκειμένου νὰ τὴν ἐπιτύχετε.

Καὶ τί χρειάζεται νὰ τὰ ἐξετάσωμεν ὅλα λεπτομερῶς ἀφοῦ καὶ τὰ λεχθέντα εἶναι ἱκανὰ νὰ ἐπιφέρουν μυρίας κολάσεις, ὄχι μόνον ὅλα μαζὶ συνηνωμένα, ἀλλὰ καὶ τὸ καθένα ἀπὸ αὐτὰ μόνον του; Ἐσεῖς ὅμως συσσωρεύσαντές τα ὅλα μαζί, καὶ φορτώσαντες τὸ δυσβάστακτον φορτίον τῶν ἁμαρτημάτων, τοὺς στέλλετε ἔτσι εἰς τὸν ποταμὸν τοῦ πυρός. Πότε θὰ ἠμπορέσουν νὰ σωθοῦν, ἐφ' ὅσον μεταφέρουν τόσον πολλὴν τροφὴν διὰ τὸ πῦρ; Καὶ δὲν εἶναι μόνον αὐτὸ τὸ φοβερόν, ὅτι δηλαδὴ συμβουλεύετε τὰ ἀντίθετα πρὸς τὰς ἐντολὰς τοῦ Χριστοῦ, ἀλλὰ καὶ ὅτι ἐνδύετε τὴν κακίαν μὲ ὡραῖα λόγια, ὀνομάζοντες κομψότητα τὸ νὰ ἐπισκέπτεται κανεὶς τοὺς ἱπποδρόμους καὶ τὰ θέατρα, τὸ νὰ πλουτῇ

παντὸς ἀστειότητα καλοῦντες, τὸ δὲ πλουτεῖν ἐλευθερίαν, τὸ δὲ δόξης ἐρᾶν μεγαλοψυχίαν, τὴν δὲ ἀπόνοιαν παρρησίαν, καὶ τὴν μὲν ἀσωτίαν φιλανθρωπίαν, τὴν δὲ ἀδικίαν ἀνδρείαν. Εἶτα, ὥσπερ οὐκ ἀρκούσης ταύτης τῆς ἀπάτης,
5 *καὶ τὴν ἀρετὴν ἐναντίοις καλεῖτε ὀνόμασιν, ἀγροικίαν μὲν τὴν σωφροσύνην, δειλίαν δὲ τὴν ἐπιείκειαν, ἀνανδρίαν δὲ τὴν δικαιοσύνην ὀνομάζοντες, καὶ τὸ μὲν ἄτυφον δουλοπρεπές, τὴν δὲ ἀνεξικακίαν ἀσθένειαν· καθάπερ δεδοικότες μὴ παρ' ἑτέρων τὴν ἀληθῆ τούτων προσηγορίαν ἀκούσαντες*
10 *φύγωσι τὴν λύμην οἱ παῖδες. Οὐδὲ γὰρ μικρὸν εἰς τὴν τῶν κακῶν ἀποτροπὴν τὸ γυμνὰς αὐτὰς καὶ κυρίας τῶν κακῶν προφέρεσθαι τὰς ὀνομασίας· ἀλλὰ τοσαύτην ἔχει τὴν ἰσχὺν πρὸς τὸ πλῆξαι τοὺς ἁμαρτάνοντας, ὡς πολλοὺς πολλάκις ἐπὶ τοῖς αἰσχίστοις ὄντας περιφανεῖς μὴ φέρειν πράως*
15 *καλουμένους τοῦτο, ὅπερ εἰσίν, ἀλλ' ἀγριαίνειν καὶ ἐκθηριοῦσθαι, ὡς τὰ δεινότατα πάσχοντας. Τὴν γοῦν ἡταιρηκυῖαν γυναῖκα, καὶ τὸν πεπορνευμένον παῖδα ἂν καλέσῃ τις ἀπὸ τῆς αἰσχίστης πράξεως ταύτης, ἀκατάλλακτος γέγονεν ἐχθρός, ἅτε τὰ μέγιστα ἠδικηκώς. Καὶ οὐ τούτους μόνον, ἀλ-*
20 *λὰ καὶ τὸν πλεονέκτην, καὶ τὸν μέθυσον, καὶ τὸν ἀλαζόνα, καὶ πάντας ἁπλῶς τοὺς τὰ δεινότερα ἐργασαμένους ἴδοι τις ἂν οὐχ οὕτως ἐπὶ τῷ πράττειν αὐτὰ καὶ τῇ παρὰ τῶν πολλῶν δόξῃ δακνομένους καὶ ἀλγοῦντας, ὡς ἐπὶ τοῖς τῶν οἰκείων ἔργων ὀνόμασι.*

25 *Πολλοὺς δὲ καὶ σωφρονισθέντας οἶδα τούτῳ τῷ τρόπῳ, καὶ γενομένους τοῖς ὀνείδεσιν ἐπιεικεστέρους. Ἀλλ' ὑμεῖς καὶ ταύτην ἀνῃρήκατε τὴν παραμυθίαν· καὶ τὸ δὴ χαλεπώτερον, ὅτι οὐ διὰ τῶν ῥημάτων μόνον, ἀλλὰ καὶ διὰ τῶν πραγμάτων ταύτην αὐτοῖς ποιεῖσθε τὴν παραίνεσιν, οἰ-*
30 *κίας οἰκοδομοῦντες λαμπράς, ἀγροὺς ὠνούμενοι πολυτελεῖς, τὴν ἄλλην περιβάλλοντες φαντασίαν, καὶ διὰ πάντων πυκνῷ τινι νέφει συσκιάζοντες αὐτῶν τὴν ψυχήν. Πόθεν οὖν δυ-*

ἐλευθερίαν, τὸ νὰ ποθῇ κανεὶς τὴν δόξαν γενναιότητα, τὴν ἀπερισκεψίαν θάρρος, τὴν ἀσωτίαν φιλανθρωπίαν καὶ τὴν ἀδικίαν ἀνδρείαν. Ἔπειτα, ὡσὰν νὰ μὴ φθάνῃ ἡ ἀπάτη αὐτή, ὀνομάζετε καὶ τὴν ἀρετὴν μὲ ἀντίθετα ὀνόματα, λέγοντες δηλαδὴ τὴν σωφροσύνην ἀγραμματωσύνην, δειλίαν τὴν ἐπιείκειαν, τὴν δικαιοσύνην ἀνανδρίαν, καὶ τὴν μὲν ταπείνωσιν δουλοπρέπειαν, τὴν δὲ ἀνεξικακίαν ἀδυναμίαν, ὡσὰν νὰ φοβῆσθε μήπως ἀκούσουν τὰ παιδιὰ ἀπὸ τοὺς ἄλλους τὸν πραγματικὸν χαρακτηρισμὸν αὐτῶν καὶ ἀποφύγουν τὸν ὄλεθρον. Διότι δὲν εἶναι ἀσήμαντον πρᾶγμα εἰς τὴν ἀποτροπὴν τῶν κακῶν τὸ νὰ προσφέρωνται ἀσυγκάλυπτοι καὶ κυρίαι τῶν κακῶν αἱ ὀνομασίαι αὐταί. Ἀλλὰ ἔχουν τόσην δύναμιν διὰ νὰ πλήξουν τοὺς ἁμαρτάνοντας, ὥστε πολλάκις πολλοί, ποὺ εἶναι ὑπερήφανοι διὰ τὰ χειρότερα κακά, δὲν ἀνέχονται εὔκολα νὰ ὀνομάζωνται αὐτὸ ποὺ εἶναι, ἀλλὰ ἀγριεύουν καὶ ἀποθηριοῦνται, ὡσὰν νὰ εὑρίσκωνται εἰς τὰς χειροτέρας συμφοράς. Τὴν πόρνην δηλαδὴ γυναῖκα καὶ τὸν πόρνον νεανία, ἂν τοὺς χαρακτηρίσῃ κανεὶς ἀπὸ τὴν αἰσχροτάτην αὐτὴν πρᾶξιν, ἔγινε μισητὸς ἐχθρός, ὡσὰν νὰ ἔχῃ διαπράξει τὴν μεγαλυτέραν ἀδικίαν. Καὶ ὄχι μόνον αὐτούς, ἀλλὰ καὶ τὸν πλεονέκτην καὶ τὸν μέθυσον καὶ τὸν ὑπερήφανον, καὶ ὅλους γενικῶς αὐτοὺς ποὺ διέπραξαν τὰ χειρότερα, θὰ τοὺς ἔβλεπε κανεὶς νὰ ἐνοχλοῦνται καὶ νὰ πονοῦν, ὄχι τόσον λόγῳ τοῦ ὅτι πράττουν αὐτὰ καὶ ἐξ αἰτίας τῆς γνώμης τῶν πολλῶν, ὅσον λόγῳ τῶν χαρακτηρισμῶν τῶν πράξεών των.

Γνωρίζω δὲ μάλιστα πολλοὺς ποὺ ἐσωφρονίσθησαν μὲ τὸν τρόπον αὐτὸν καὶ ἔγιναν μὲ τοὺς ὀνειδισμοὺς ἠπιώτεροι. Ἐσεῖς ὅμως ἀνετρέψατε καὶ αὐτὴν τὴν παρηγορίαν· καὶ τὸ χειρότερον μάλιστα εἶναι ὅτι ὄχι μόνον μὲ τὰ λόγια, ἀλλὰ καὶ ἐμπράκτως τοὺς δίδετε αὐτὴν τὴν συμβουλήν, κτίζοντες πολυτελῆ σπίτια, ἀγοράζοντες ἀκριβοὺς ἀγρούς, παρουσιάζοντες τὴν ἐξωτερικὴν ὄψιν, καὶ μὲ ὅλα αὐτά, ὡσὰν πυκνὸν νέφος, σκοτίζετε τὴν ψυχὴν αὐτῶν. Ἀπὸ ποῦ

νήσομαι πεισθῆναι, ὅτι σωθῆναι οἷόν τε τούτους, ὅταν ἴδω πρὸς ταῦτα παρακαλουμένους, ἃ τοὺς ποιοῦντας ὁ Χριστὸς ἀπεφήνατο πάντως ἀπολέσθαι; ὅταν θεάσωμαι τῆς μὲν ψυχῆς αὐτῶν, ὥσπερ τινὸς παρέργου, καταφρονοῦντας ὑμᾶς, τῶν 5 δὲ ὄντως περιττῶν, ὡς ἀναγκαίων καὶ προηγουμένων φροντίζοντας; Ὅπως μὲν γὰρ οἰκέτης ἔσται, καὶ ὅπως ἵππος, καὶ ὅπως ἱμάτιον τῷ παιδὶ κάλλιστον, πάντα ποιεῖτε· ὅπως δὲ αὐτὸς γένοιτο καλός, οὐδὲ ἐννοῆσαί ποτε, ἀνέχεσθε ἀλλὰ καὶ ξύλων καὶ λίθων μέχρι τούτου προάγοντες τὴν σπουδήν, 10 τὴν ψυχὴν οὐδὲ τοῦ πολλοστοῦ τῆς ἐπιμελείας ταύτης ἀξιοῦτε μέρους· ἀλλ' ἵνα μὲν ἄγαλμα ἐπὶ τῆς οἰκίας ἑστήκῃ θαυμαστόν, καὶ ἡ στέγη γένηται χρυσῆ, πάντα ὑπομένετε· τὸ δὲ πάντων τιμιώτερον ἄγαλμα ἡ ψυχὴ ὅπως γένηται χρυσῆ, οὐδὲ φροντίζειν ἐθέλετε.

15 *8. Ἀλλ' οὔπω τὸ κολοφῶνα τῶν κακῶν εἶπον, οὐδὲ τὸ κεφάλαιον ἐξεκάλυψα τῆς συμφορᾶς, πολλάκις μὲν ἐλθὼν εἰπεῖν καὶ ἐρυθριάσας, πολλάκις δὲ καὶ αἰσχυνθείς. Τί ποτ' οὖν ἐστι τοῦτο; τολμητέον γὰρ ἤδη καὶ λεκτέον αὐτό. Καὶ γὰρ ἀνανδρίας ἂν εἴη πολλῆς, μέλλοντάς τι κακὸν ἐξαιρεῖν, 20 μηδὲ φωνὴν ἀφιέναι τολμᾶν ὑπὲρ αὐτοῦ, ὡς τῆς σιγῆς αὐτομάτως ἰασομένης τὴν νόσον. Οὐ τοίνυν σιγήσομεν, κἂν μυριάκις αἰσχύνεσθαι μέλλωμεν καὶ ἐρυθριᾶν. Οὐδὲ γὰρ ἰατρὸς μέλλων σηπεδόνα καθαίρειν, παραιτήσεται μεταχειρίσασθαι σίδηρον, καὶ καθεῖναι δακτύλους εἰς αὐτὸν τοῦ 25 τραύματος τὸν πυθμένα· οὐκοῦν οὐδὲ ἡμεῖς τὸν ὑπὲρ τούτων λόγον παραιτησόμεθα, ὅσῳ καὶ χαλεπωτέρα ἡ σηπεδών.*

Τί ποτ' οὖν ἐστι τὸ κακόν; Ἔρως καινός τις καὶ παράνομος εἰς τὸν ἡμέτερον εἰσεκώμασε βίον, νόσημα ἐπέπεσε χαλεπὸν καὶ ἀνίατον, λοιμὸς κατέσκηψε πάντων λοι-

λοιπὸν θὰ ἠμπορέσω νὰ πεισθῶ, ὅτι εἶναι δυνατὸν νὰ σωθοῦν αὐτοί, ὅταν βλέπω ὅτι προτρέπονται νὰ κάμνουν αὐτά, ποὺ ὅσοι τὰ κάνουν, ὁ Χριστὸς εἶπε ὅτι ὁπωσδήποτε θὰ ἀπολεσθοῦν; Ὅταν ἰδῶ ὅτι καταφρονεῖτε μὲν τὴν ψυχήν των, ὡσὰν κάτι περιττόν, καὶ φροντίζετε ὡσὰν ἀναγκαῖα καὶ πρωτεύοντα δι' αὐτὰ ποὺ ὄντως εἶναι περιττά; Καὶ διὰ νὰ ἐξασφαλίσετε εἰς τὸ παιδί σας τὸν καλύτερον ὑπηρέτην, τὸν καλύτερον ἵππον, καὶ τὴν ὡραιοτέραν στολήν, κάμετε τὸ πᾶν, ὅμως οὔτε κἂν ἀνέχεσθε νὰ σκεφθῆτε πῶς θὰ γίνῃ καλό, καὶ ἐνῷ προωθεῖτε τὴν μάθησίν του μέχρι τῶν δένδρων καὶ τῶν πετρωμάτων, τὴν ψυχήν του δὲν τὴν θεωρεῖτε ἀξίαν οὔτε δι' ἐλάχιστον μέρος τῆς φροντίδος αὐτῆς. Κάμετε τὸ πᾶν, διὰ νὰ ἐξασφαλίσετε διὰ τὸ σπίτι ἕνα θαυμάσιον ἄγαλμα καὶ νὰ γίνῃ χρυσῆ ἡ στέγη του, οὔτε κἂν ὅμως θέλετε νὰ φροντίσετε νὰ γίνῃ χρυσῆ ἡ ψυχή, ποὺ εἶναι τὸ πολυτιμότερον ἀπὸ ὅλα τὰ ἀγάλματα.

8. Ἀλλ' ἀκόμη δὲν ἀνέφερα τὸ ἀποκορύφωμα τῶν κακῶν, οὔτε τὸ κυριώτερον μέρος τῆς συμφορᾶς ἀπεκάλυψα, διότι ὁσάκις ἡτοιμάσθην νὰ τὸ εἰπῶ ἐκοκκίνησα, πολλάκις δὲ καὶ ἐντράπηκα. Ποῖον λοιπὸν εἶναι αὐτό; Διότι πρέπει πλέον νὰ τὸ ἀποτολμήσωμεν καὶ νὰ τὸ εἴπωμεν. Ἄλλωστε θὰ ἦτο μεγάλη ἀνανδρία, ἐνῷ πρόκειται νὰ ἐκριζώσωμεν ἕνα κακὸν νὰ μὴ τολμῶμεν οὔτε κἂν νὰ ὁμιλήσωμεν δι' αὐτό, ὡσὰν νὰ πρόκειται ἡ σιωπὴ νὰ ἰατρεύσῃ ἀφ' ἑαυτῆς τὴν ἀσθένειαν. Δὲν θὰ σιωπήσωμεν λοιπόν, καὶ ἂν ἀκόμη πρόκειται μυριάκις νὰ ἐντραπῶμεν καὶ νὰ κοκκινίσωμεν. Διότι καὶ ὁ ἰατρός, προκειμένου νὰ καθαρίσῃ τὴν μολυσμένην πληγήν, θὰ παραιτηθῇ ἀπὸ τοῦ νὰ χρησιμοποιήσῃ τὸν σίδηρον, καὶ νὰ βυθίσῃ τὰ δάκτυλά του εἰς τὸν πυθμένα τοῦ τραύματος; Λοιπόν, οὔτε καὶ ἡμεῖς πρόκειται νὰ σταματήσωμεν τὸν λόγον αὐτόν, καθ' ὅσον ἡ μόλυνσις εἶναι χειροτέρα.

Ποῖον λοιπὸν εἶναι τὸ κακόν; Κάποιος παράδοξος καὶ παράνομος ἔρως εἰσῆλθεν εἰς τὴν ζωήν μας. Ἐπέπεσεν ἀσθένεια βαρεῖα καὶ ἀθεράπευτος καὶ ἐνέσκηψε πανώλης

μῶν χαλεπώτερος, καινή τις παρανομία ἐπενοήθη καὶ ἀφόρητος· οὐ γὰρ οἱ θετοὶ μόνον, ἀλλὰ καὶ αὐτοὶ οἱ τῆς φύσεως ἀνατρέπονται νόμοι. Μικρὸν εἰς ἀσελγίας λόγον πορνεία λοιπόν· καὶ καθάπερ ἐν ταῖς ὀδύναις τὸ τυραννικώτερον πά-
5 *θος τοῦ προτέρου τὴν αἴσθησιν ἔκρυψεν ἐπελθόν, οὕτω καὶ ἡ τῆς ὕβρεως ταύτης ὑπερβολὴ οὐκέτι ἀφόρητον ποιεῖ φαίνεσθαι τὸ ἀφόρητον, τὴν περὶ τὴν γυναῖκα ἀσέλγειαν. Ἀγαπητὸν γὰρ εἶναι δοκεῖ τὸ δυνηθῆναι τὰ δίκτυα ταῦτα διαφυγεῖν, καὶ κινδυνεύει λοιπὸν περιττὸν εἶναι τὸ τῶν γυναικῶν*
10 *γένος, τῶν νέων ἀντ' ἐκείνων πάντα τὰ ἐκείνων πληρούντων. Καὶ οὐ τοῦτό πω δεινόν, ἀλλ' ὅτι καὶ μετὰ πολλῆς τολμᾶται τῆς ἀδείας μύσος τοσοῦτον, καὶ νόμος γέγονεν ἡ παρανομία. Οὐδεὶς δέδοικεν, οὐδὲ τρέμει λοιπόν· οὐδεὶς αἰσχύνεται, οὐδὲ ἐρυθριᾷ, ἀλλὰ καὶ ἐγκαλλωπίζεται τῷ γέ-*
15 *λωτι τούτῳ, καὶ μαίνεσθαι δοκοῦσιν οἱ σωφρονοῦντες, καὶ παραπαίειν οἱ νουθετοῦντες· κἂν μὲν ἀσθενέστεροι τύχωσιν ὄντες, συνεκόπησαν ταῖς πληγαῖς· ἂν δὲ δυνατώτεροι, χλευάζονται, γελῶνται, μυρίοις πλύνονται σκώμμασιν. Οὐδὲν ὄφελος δικαστηρίων, οὐδὲ νόμων, οὐδὲ παιδαγωγῶν, οὐ πα-*
20 *τέρων, οὐκ ἀκολούθων, οὐ διδασκάλων· τοὺς μὲν γὰρ ἴσχυσαν διαφθεῖραι χρήμασιν, οἱ δ' ὅπως αὐτοῖς μισθὸς γένοιτο μόνον ὁρῶσι· τῶν δὲ ἐπιεικεστέρων, καὶ φροντιζόντων τῆς τῶν ἐμπιστευθέντων αὐτοῖς σωτηρίας, οἱ μὲν κλέπτονται ῥᾳδίως καὶ ἀπατῶνται, οἱ δὲ καὶ δεδοίκασι τῶν ἀκολάστων*
25 *τὴν δύναμιν. Ῥᾷον γὰρ ἄν τις ὑποπτευθεὶς ἐπὶ τυραννίδι διασωθείη, ἢ τῶν μιαρῶν ἐκείνων ἀπάγειν πειραθείς, τὰς ἐκείνων διαφύγοι χεῖράς ποτε· οὕτω καθάπερ ἐπ' ἐρημίας*

χειροτέρα ὅλων· ἐπενοήθη κάποια νέα καὶ φοβερὰ παρανομία, διότι ἀνατρέπονται ὄχι μόνον οἱ ἀνθρώπινοι, ἀλλὰ καὶ οἱ φυσικοὶ νόμοι. Κατήντησε λοιπὸν ἡ πορνεία νὰ θεωρῆται ἀσήμαντος ἀσέλγεια. Καὶ ὅπως εἰς τὰς ὀδύνας, ὅταν ἐπέλθῃ βασανιστικώτερον πάθος καλύπτει τὴν ἐντύπωσιν τοῦ προηγουμένου, ἔτσι καὶ τὸ ὑπερβολικὸν μέγεθος αὐτῆς τῆς ὕβρεως κάμνει τὸ ἀνυπόφορον, νὰ μὴ φαίνεται πλέον ἀνυπόφορον, δηλαδὴ τὴν ἀκολασίαν περὶ τὴν γυναῖκα. Διότι φαίνεται ὅτι εἶναι εὐχάριστον τὸ νὰ ἠμπορέσῃ νὰ διαφύγῃ κανεὶς ἀπὸ τὰ δίκτυα αὐτά, καὶ κινδυνεύει εἰς τὸ ἑξῆς νὰ γίνῃ περιττὸν τὸ γυναικεῖον φῦλον, ἐφ' ὅσον οἱ νέοι ἀναπληρώνουν ἀντὶ ἐκείνων ὅλα τὰ εἰς ἐκείνας ἀνήκοντα. Καὶ δὲν εἶναι μόνον αὐτὸ τὸ κακόν, ἀλλ' ὅτι μὲ πολλὴν ἐλευθερίαν ἀποτολμᾶται τοιαύτη ἀκολασία, καὶ ἐνομιμοποιήθη ἡ παρανομία. Κανεὶς λοιπὸν δὲν φοβεῖται, καὶ δὲν τρέμει. Κανεὶς δὲν ἐντρέπεται οὔτε κοκκινίζει, ἀλλὰ καὶ ὑπερηφανεύεται διὰ τὴν γελοίαν αὐτὴν πρᾶξιν, καὶ θεωροῦνται παράφρονες οἱ σώφρονες καὶ ὅτι δῆθεν παραπλανῶνται οἱ νουθετοῦντες· καὶ ἂν μὲν τύχῃ νὰ εἶναι κατώτεροι σωματικῶς δέρονται, ἂν δὲν εἶναι ἰσχυρότεροι χλευάζονται, καταγελῶνται, περιλούονται μὲ μυριάδας ἐμπαιγμούς. Εἰς τίποτε δὲν ὠφελοῦν τὰ δικαστήρια οὔτε οἱ νόμοι οὔτε οἱ παιδαγωγοὶ οὔτε οἱ πατέρες οὔτε οἱ ὑπηρέται οὔτε οἱ διδάσκαλοι. Διότι ἄλλους μὲν κατώρθωσαν νὰ διαφθείρουν διὰ χρημάτων, αὐτοὶ δὲ ἐνδιαφέρονται πῶς νὰ ἀποκτήσουν μισθόν. Ἐξ ἐκείνων δὲ ποὺ εἶναι φρονιμώτεροι καὶ φροντίζουν διὰ τὴν σωτηρίαν αὐτῶν ποὺ τοὺς ἔχουν ἐμπιστευθῆ, ἄλλοι μὲν πολὺ εὐκόλως ἀποκοιμίζονται καὶ ἐξαπατῶνται, ἄλλοι δὲ φοβοῦνται τὴν δύναμιν τῶν ἀνηθίκων. Ἄλλωστε εὐκολώτερον θὰ ἠδύνατο νὰ γλυτώσῃ κάποιος ποὺ ἔχει γίνει ὕποπτος ὅτι ἐποφθαλμιᾷ τὸν βασιλικὸν ἀξίωμα, παρὰ νὰ ξεφύγῃ ἀπὸ τὰ χέρια τῶν μιαρῶν ἐκείνων κάποιος ποὺ θὰ προσπαθήσῃ νὰ ἁρπάξῃ ἀπὸ αὐτοὺς τὰ παιδιά. Ἔτσι, ὡσὰν εἰς μεγάλην ἐρημίαν, μέσα εἰς τὰς πό-

πολλῆς, ἐν μέσαις ταῖς πόλεσιν ἄρρενες ἐν ἄρσεσιν τὴν ἀσχημοσύνην κατεργάζονται.

Εἰ δέ τινες ταύτας διέφυγον τὰς παγάς, τὴν γοῦν πονηρὰν τῶν τὰ τοιαῦτα ὑβριζομένων δυσκόλως διαφεύξον-
5 *ται δόξαν· πρῶτον μέν, ὅτι ὀλίγοι σφόδρα εἰσί, καὶ ταύτῃ ῥαδίως ἂν τῷ τῶν πονηρῶν κρύπτοιντο πλήθει· δεύτερον, ὅτι καὶ αὐτοὶ οἱ μιαροὶ καὶ ἐναγεῖς ἐκεῖνοι δαίμονες, οὐκ ἔχοντες ἑτέρως ἀμύνασθαι τοὺς ὑπειδόντας αὐτῶν, ταύτῃ σπουδάζουσιν ἀδικεῖν. Ἐπειδὴ γὰρ οὐκ ἴσχυσαν καιρίαν*
10 *δοῦναι πληγήν, οὐδ' αὐτῆς καθικέσθαι τῆς ψυχῆς, τὸν γοῦν ἔξωθεν αὐτοῖς περικείμενον τρῶσαι κόσμον ἐπιχειροῦσι, καὶ τὴν εὔκλειαν ἅπασαν ἀνελεῖν. Ὅθεν καὶ πολλῶν θαυμαζόντων ἤκουσα, πῶς οὐδέπω καὶ τήμερον ὄμβρος ἕτερος κατηνέχθη πυρός, πῶς οὐδέπω τὰ τῶν Σοδόμων ἔπαθεν*
15 *ἡμῖν ἡ πόλις, τοσούτῳ χαλεπωτέρας ἀξία κολάσεως οὖσα, ὅσον μηδὲ τοῖς ἐκείνων ἐσωφρονίσθη κακοῖς; Ἀλλὰ καίτοι τῆς χώρας ἐκείνης ἐν δισχιλίοις λοιπὸν ἔτεσι, φωνῆς λαμπρότερον διὰ τῆς ὄψεως πρὸς ἅπασαν βοώσης τὴν οἰκουμένην μηδὲ τοιοῦτον τολμᾶν, οὐ μόνον οὐκ ὀκνηρότεροι περὶ*
20 *τὴν ἁμαρτίαν ἐγένοντο ταύτην, ἀλλὰ καὶ ἰταμώτεροι, καθάπερ φιλονεικοῦντες τῷ Θεῷ, καὶ διὰ τῶν ἔργων δεῖξαι σπουδάζοντες, ὅτι τοσούτῳ τοῖς κακοῖς ἐπιθήσονται τούτοις, ὅσῳπερ ἂν αὐτοῖς μειζόνως ἀπειλῇ. Πῶς οὖν οὐδὲν γέγονε τοιοῦτον, ἀλλὰ τὰ μὲν Σοδόμων ἁμαρτήματα τολμᾶται, τὰ*

---

21. Ἡ πόλις αὕτη μετὰ ἑτέρας πόλεως Γόμορα ἐξοργίσασα τὸν Θεὸν διὰ τῆς ἐσχάτης ἀκολασίας της, ἐδέχθη ἐξ οὐρανοῦ πῦρ καὶ θεῖον (θειάφι) καὶ ἐξηφανίσθη τελείως ἀπὸ προσώπου τῆς γῆς. Διεσώθη μόνον ἡ οἰκογένεια τοῦ εὐσεβοῦς Λώτ, πλὴν τῆς γυναικός του, ἡ ὁποία ἐξ αἰτίας παραβάσεως τῆς ἐντολῆς τοῦ Θεοῦ, μετεβλήθη εἰς στήλην ἅλατος.

λεις διαπράττουν τὴν ἀκολασίαν οἱ ἀρσενικοὶ μὲ ἀρσενικούς.

Ἐὰν δὲ μερικοὶ ἔχουν ξεφύγει τὰς παγίδας αὐτάς, ὅμως δυσκόλως θὰ ἀποφύγουν τὴν κακὴν φήμην αὐτῶν οἱ ὁποῖοι διαπράττουν τὰς ἀσχημίας αὐτάς. Πρῶτον μὲν διότι εἶναι πάρα πολὺ ὀλίγοι καὶ κατ' αὐτὸν τὸν τρόπον εὐκόλως θὰ ἠμποροῦσαν νὰ ἐπισκιάζωνται ἀπὸ τὸ πλῆθος τῶν κακῶν, δεύτερον δέ, διότι καὶ οἱ ἴδιοι οἱ μιαροὶ καὶ οἱ μολυσμένοι ἐκεῖνοι δαίμονες ἐπειδὴ δὲν ἠμποροῦν κατ' ἄλλον τρόπον νὰ βλάψουν αὐτοὺς οἱ ὁποῖοι τοὺς περιεφρόνησαν, προσπαθοῦν νὰ τοὺς τιμωρήσουν διὰ τοῦ τρόπου αὐτοῦ, Διότι ἀφοῦ δὲν ἠμπόρεσαν νὰ τοὺς πλήξουν θανασίμως οὔτε νὰ ἐγγίσουν τὴν ἰδίαν τὴν ψυχήν των, ἐπιχειροῦν τοὐλάχιστον νὰ πληγώσουν τὸν διάκοσμον τῆς σωφροσύνης των, τὸν ὁποῖον λαμβάνουν ἀπὸ τὴν κοινωνίαν, καὶ νὰ καταστρέψουν τὴν καλὴν ὑπόληψίν των. Διὰ τοῦτο καὶ ἤκουσα ὅτι πολλοὶ παραξενεύονται, πῶς ἀκόμη καὶ σήμερα δὲν ἔβρεξεν ἄλλην πυρίνην βροχήν, πῶς δὲν ἔπαθεν ἡ πόλις μας αὐτὰ ποὺ ἔπαθαν τὰ Σόδομα[21] ἐνῷ εἶναι ἀξία διὰ πολὺ σκληροτέραν τιμωρίαν, καθόσον δὲν ἐσωφρονίσθη οὔτε μὲ τὰ κακὰ ἐκείνων; Ἀλλὰ μολονότι ἡ χώρα ἐκείνη ἐπὶ δύο χιλιάδες ἔτη βοᾷ διὰ τῆς ὄψεώς της δυνατώτερα καὶ ἀπὸ φωνὴν πρὸς ὅλην τὴν οἰκουμένην, διὰ νὰ μὴ ἀποτολμήσῃ παρόμοιον ἁμάρτημα, ὄχι μόνον δὲν ἐμειώθη ἡ τάσις τούτων διὰ τὴν ἁμαρτίαν αὐτήν, ἀλλὰ καὶ ἔγιναν περισσότερον αὐθάδεις, ὡσὰν νὰ φιλονεικοῦν καὶ μάχωνται μὲ τὸν Θεόν, καὶ προσπαθοῦν νὰ ἀποδείξουν ἐμπράκτως ὅτι τόσον περισσότερον θὰ εἶναι προσκεκολλημένοι εἰς τὰ κακὰ αὐτὰ ὅσον περισσότερον τοὺς ἀπειλεῖ. Πῶς λοιπὸν δὲν ἔγινε τίποτε τέτοιο, ἐνῷ τὰ μὲν Σοδομιτικὰ ἁμαρτήματα διαπράττονται, ὅμως δὲν ἐπιβάλλονται αἱ τιμωρίαι τῶν Σοδόμων; Ἐπειδὴ τοὺς ἀναμένει ἄλλο πῦρ καυστικώτερον καὶ τιμωρία ἀτελεύτητος. Ἄλλωστε καὶ ἐκεῖνοι, ἐνῷ διέπραξαν πολὺ βαρύτερα ἁμαρτήματα ἀπὸ τοὺς καταστραφέντας διὰ τοῦ

δὲ Σοδόμων οὐ γίνεται πάθη; Ὅτι πῦρ αὐτοὺς ἕτερον χαλεπώτερον μένει, καὶ κόλασις οὐκ ἔχουσα τέλος. Καὶ γὰρ τῶν ὑπὸ τοῦ κατακλυσμοῦ διαφθαρέντων πολλῷ μιαρώτερα τολμησάντων ἐκείνων, τῶν μετὰ ταῦτα λέγω, οὐδεὶς ἐξ ἐ-
5 *κείνου γέγονεν ὄμβρος τοιοῦτος. Κἀνταῦθα δὲ πάλιν ἡ αἰτία ἡ αὐτή· ἐπεὶ τίνος ἕνεκεν οἱ μὲν παρὰ τὴν ἀρχὴν γενόμενοι, ὅτε οὔτε δικαστήρια ἦν, οὐδὲ ἀρχόντων ἐπέκειτο φόβος, οὐ νόμος παρῆν ἀπειλῶν, οὐ προφητῶν χορὸς ῥυθμίζων, οὐ προσδοκία γεέννης, οὐ βασιλείας ἐλπίς, οὐκ ἄλλη*
10 *φιλοσοφία, οὐ τὰ θαύματα τὰ καὶ λίθους ἀναστῆσαι δυνάμενα, πῶς οὗτοι μὲν οἱ μηδενὸς τούτων ἀπολαύσαντες ὑπὲρ ὧν ἥμαρτον τοσαύτην ἔδωκαν δίκην, οἱ δὲ πάντων τούτων μετεσχηκότες, καὶ μεταξὺ τοσούτου ζῶντες φόβου καὶ θείων δικαστηρίων καὶ ἀνθρωπίνων, οὐδέπω καὶ τήμερον τὰ αὐτὰ*
15 *ἔπαθον ἐκείνοις, χαλεπωτέρας ὄντες ἄξιοι κολάσεως; Ἆρ' οὐχὶ καὶ παιδὶ δῆλόν ἐστιν, ὅτι σφοδροτέρᾳ τηροῦνται δίκῃ; Εἰ γὰρ ἡμεῖς ὀργιζόμεθα οὕτως καὶ ἀγανακτοῦμεν, ὁ Θεὸς ὁ πάντων μάλιστα τοῦ τῶν ἀνθρώπων γένους κηδόμενος, καὶ τὴν κακίαν σφόδρα ἀποστρεφόμενος καὶ μισῶν, πῶς*
20 *ἀνάσχοιτο ταῦτα τολμᾶσθαι ἀτιμωρητί;*

Οὐκ ἔστι ταῦτα, οὐκ ἔστιν· ἀλλ' ἐποίσει πάντως αὐτοῖς τὴν χεῖρα τὴν κραταιάν, καὶ τὴν πληγὴν τὴν ἀφόρητον, καὶ τῶν βασανιστηρίων τὴν ὀδύνην ἐκείνων, οὕτως οὖσαν χαλεπήν, ὡς τὰ ἐν Σοδόμοις πάθη πρὸς ταῦτα παραβαλλόμε-
25 *να παίγνια εἶναι νομίζεσθαι. Τίνας γὰρ οὐ παρήλασαν οὗτοι βαρβάρους, ποίων θηρίων γένος διὰ τῆς ἀναισχύντου μίξεως ταύτης; Ἔστιν ἔν τισι τῶν ἀλόγων οἶστρος πολύς, καὶ ἐπιθυμία ἀφόρητος, μανίας οὐδὲν διαφέρουσα· ἀλλ' ὅμως τοῦτον οὐκ οἶδε τὸν ἔρωτα, ἀλλ' ἕστηκεν εἴσω τῶν τῆς*
30 *φύσεως ὅρων· κἂν μυριάκις καχλάζῃ, τοὺς τῆς φύσεως οὐκ ἀνατρέπει νόμους. Οἱ δὲ λογικοὶ δῆθεν, καὶ θείας ἀπολαύ-*

κατακλυσμοῦ, ἐννοῶ τοὺς μετέπειτα, καμμία τέτοια ραγδαία βροχὴ δὲν ἔγινε μετὰ ἀπὸ ἐκεῖνον. Καὶ ἐδῶ πάλιν ὁ λόγος εἶναι ὁ ἴδιος. Διατί τάχα οἱ πρῶτοι ἄνθρωποι, ὅταν οὔτε δικαστήρια ὑπῆρχαν, οὔτε φόβος ὑπῆρχεν ἀπὸ τοὺς ἄρχοντας οὔτε νόμος νὰ τοὺς ἀπειλῇ οὔτε ὅμιλος προφητῶν διὰ νὰ τοὺς ἐπαναφέρῃ εἰς τάξιν οὔτε φόβος κολάσεως οὔτε ἐλπὶς βασιλείας αἰωνίου οὔτε ἄλλη γνῶσις ἀληθείας οὔτε καὶ τὰ θαύματα ποὺ ἠμποροῦν νὰ ἀναστήσουν καὶ τοὺς λίθους, πῶς λοιπὸν ἐκεῖνοι ποὺ δὲν ἀπήλαυσαν τίποτε ἀπὸ αὐτά, ἐτιμωρήθησαν τόσον αὐστηρὰ διὰ τὰς ἁμαρτίας των, καὶ αὐτοὶ ποὺ ἔχουν συμμετάσχει εἰς ὅλα αὐτὰ καὶ ζοῦν μέσα εἰς τόσον φόβον καὶ θείων καὶ ἀνθρωπίνων δικαστηρίων, δὲν ἐτιμωρήθησαν ἀκόμη μέχρι σήμερον μὲ τὰς αὐτὰς τιμωρίας, ἐνῷ εἶναι ἄξιοι σκληροτέρας τιμωρίας; Ἆρα δὲν εἶναι εὐνόητον καὶ εἰς ἕνα παιδί, ὅτι τοὺς ἐπιφυλάσσεται αὐστηροτέρα τιμωρία; Διότι, ἐὰν ἡμεῖς ὀργιζώμεθα ἔτσι καὶ ἀγανακτῶμεν, ὁ Θεὸς ποὺ φροντίζει δι' ὅλα καὶ ἰδιαιτέρως διὰ τὸ ἀνθρώπινον γένος, καὶ ἀποστρέφεται καὶ μισεῖ σφοδρῶς τὴν κακίαν, πῶς θὰ ἠνείχετο νὰ ἀποτολμῶνται αὐτὰ χωρὶς τιμωρίαν;

Δὲν εἶναι ἔτσι, ὄχι! Ἀλλὰ θὰ ἐπιφέρῃ ἐπ' αὐτῶν τὴν παντοδύναμον χεῖρα του καὶ τὴν ἀφόρητον πληγὴν καὶ τὴν ὀδύνην τῶν βασανιστηρίων ἐκείνων, ποὺ εἶναι τόσον φοβερά, ὥστε αἱ συμφοραὶ τῶν Σοδόμων συγκρινόμεναι πρὸς αὐτὰ νὰ θεωροῦνται ἀστεῖαι. Διότι ποίους βαρβάρους δὲν ἐξεπέρασαν, ποῖον γένος θηρίων, διὰ τῆς μιαρᾶς αὐτῆς σαρκικῆς μίξεως; Ὑπάρχει εἰς μερικὰ ἀπὸ τὰ ἄλογα ζῶα μεγάλη γενετήσιος ὁρμὴ καὶ ἐπιθυμία ἀσυγκράτητος, ποὺ δὲν διαφέρει καθόλου ἀπὸ τὴν τρέλλαν. Ἀλλ' ὅμως δὲν γνωρίζουν τὸν ἔρωτα αὐτὸν τοῦ ἀρσενικοῦ πρὸς τὸν ἀρσενικόν, ἀλλὰ σταματοῦν εἰς τὰ ὅρια ποὺ ἔθεσεν ἡ φύσις. Καὶ ἂν ἀκόμη μυριάκις κοχλάζῃ μέσα των τὸ πάθος, ὅμως δὲν ἀνατρέπουν τοὺς νόμους τῆς φύσεως. Οἱ δῆθεν ὅμως λογι-

σαντες διδασκαλίας, καὶ τὸ πρακτέον καὶ τὸ μὴ τοιοῦτον ἑτέροις διαγορεύοντες, καὶ γραμμάτων ἐξ οὐρανοῦ καταβάντων ἀκούσαντες, οὐχ οὕτως ἀδεῶς ταῖς πόρναις, ὥσπερ τοῖς νέοις συγγίνονται. Καθάπερ γὰρ μήτε ἀνθρώπων ὄν-
5 *των, μήτε προνοίας Θεοῦ ἐφεστώσης καὶ δικαζούσης τοῖς γινομένοις, ἀλλ' ὥσπερ σκότου πάντα καταλαβόντος, καὶ μηδενὸς μήτε ὁρῶντος ταῦτα, μήτε ἀκούοντος, οὕτω πάντα τολμῶσι, καὶ μετὰ τοσαύτης μανίας. Οἱ δὲ τῶν ὑβριζομένων παίδων πατέρες φέρουσι ταῦτα σιγῇ, καὶ οὐ κατορύτ-*
10 *τουσι μετὰ τῶν παίδων ἑαυτούς, οὐδὲ ἐπινοοῦσί τινα παραμυθίαν τῷ κακῷ. Εἰ γὰρ εἰς ὑπερορίαν ἀπὸ ταύτης ἑλκύσαι τῆς νόσου τοὺς υἱεῖς ἔδει, εἰ γὰρ εἰς θάλασσαν, εἰ γὰρ εἰς νήσους, εἰ γὰρ εἰς ἄβατον γῆν, εἰς γὰρ καὶ εἰς τὴν ὑπὲρ ἡμᾶς οἰκουμένην, οὐκ ἔδει πάντα ποιῆσαι καὶ παθεῖν ὥστε*
15 *μὴ ταῦτα γενέσθαι τὰ μιάσματα; Ἀλλ' εἰ μὲν ἐπίνοσόν που καὶ λοιμικόν ἐστι χωρίον, οὐκ ἀπάξομεν ἐκεῖ τοὺς υἱεῖς, κἂν μεγάλα κερδαίνειν μέλλωσι, κἂν σφόδρα ὑγιεινοὶ τυγχάνωσιν ὄντες; νυνὶ δὲ τοσαύτης τὰ πάντα κατεχούσης λύμης, οὐ μόνον αὐτοὶ πρὸς ταῦτα ἕλκομεν τὰ βάραθρα αὐτούς,*
20 *ἀλλὰ καὶ τοὺς ἀπαλλάξαι βουλομένους ὡς λυμεῶνας ἀπελαύνομεν. Καὶ πόσης οὐκ ἄξια ταῦτα ὀργῆς, πόσων σκηπτῶν, ὅταν τὴν μὲν γλῶτταν αὐτοῖς ἐκκαθαίρειν διὰ τῆς ἔξωθεν σοφίας σπουδάζωμεν, τὴν δὲ ψυχὴν ἐν αὐτῷ τῆς ἀσελγείας τῷ βορβόρῳ κειμένην καὶ σηπομένην διαπαντὸς*
25 *μὴ μόνον περιορῶμεν, ἀλλὰ καὶ ἐγερθῆναι βουλομένην κωλύωμεν.*

Ἔτι οὖν τολμήσει τις εἰπεῖν, ὅτι δυνατὸν σωθῆναι τοὺς ἐν τοιούτοις ὄντας κακοῖς; Πόθεν; Οἱ μὲν γὰρ τὴν τῶν ἀκολάστων διαφυγόντες μανίαν (ὀλίγοι δέ εἰσιν οὗτοι),

κοί, ποὺ ἐνώρισαν τὴν θείαν διδασκαλίαν καὶ διδάσκουν εἰς ἄλλους τί πρέπει καὶ τί δὲν πρέπει νὰ κάμνουν καὶ ἤκουσαν Γραφὰς ποὺ κατῆλθαν ἀπὸ τὸν οὐρανόν, συνάπτουν σχέσεις μὲ τὰς πόρνας ὄχι τόσον ἀδίστακτα ὅσον μὲ τοὺς νέους. Ἀποτολμοῦν τὰ πάντα μὲ τόσην μανίαν, ὡσὰν νὰ μὴ ὑπάρχουν ἄνθρωποι, μήτε νὰ ὑπάρχῃ ἡ πρόνοια τοῦ Θεοῦ, ἡ ὁποία τιμωρεῖ τὰς παρανομίας, ἀλλ' ὡσὰν νὰ κατέλαβε τὰ πάντα σκότος καὶ κανεὶς πλέον οὔτε τὰ βλέπει οὔτε τὰ ἀκούει. Οἱ δὲ πατέρες τῶν διαφθειρομένων παιδιῶν ὑπομένουν αὐτὰ σιωπηλῶς καὶ δὲν ἐξαφανίζονται μαζὶ μὲ αὐτὰ οὔτε σκέπτονται καμμίαν διόρθωσιν τοῦ κακοῦ. Διότι καὶ ἐὰν ἔπρεπε νὰ μεταφέρουν τὰ παιδιά των ἐξορίαν εἰς ξένην χώραν ἐξ αἰτίας τοῦ πάθους αὐτοῦ, εἴτε εἰς θάλασσαν, εἴτε εἰς τὰς νήσους, εἴτε εἰς ἀπάτητον γῆν, εἴτε εἰς τὴν ὑπεράνω ἡμῶν οἰκουμένην, δὲν θὰ ἔπρεπε νὰ κάμουν τὸ πᾶν, καὶ νὰ ὑποφέρουν τὰ πάντα, ὥστε νὰ μὴ συμβοῦν αὐταὶ αἱ αἰσχρότητες; Καὶ ἂν ὑπάρχῃ κάπου ἕνα χωρίον προσβληθὲν ἀπὸ ἀσθένειαν καὶ μάλιστα χολέραν, δὲν θὰ μεταφέρωμεν ἀπὸ ἐκεῖ τοὺς υἱούς, καὶ ἂν ἀκόμη πρόκειται νὰ κερδίσουν ἐκεῖ πολλὰ καὶ ἡ ὑγεία των εἶναι ἀρίστη; Τώρα δὲ ὅμως ποὺ τόση διαφθορὰ ὑπάρχει παντοῦ, ὄχι μόνον σύρομεν αὐτοὺς πρὸς τὰ βάραθρα αὐτά, ἀλλὰ ἀπομακρύνομεν καὶ ἐκείνους ποὺ θέλουν νὰ τοὺς ἀπαλλάξουν ὡσὰν καταστροφεῖς. Καὶ πόσης ὀργῆς ἄξια δὲν εἶναι αὐτὰ καὶ πόσων κεραυνῶν, ὅταν τὸ μὲν λεκτικὸν αὐτῶν προσπαθοῦμεν νὰ τὸ διορθώσωμεν καὶ νὰ τὸ καθορίσωμεν διὰ τῆς κοσμικῆς σοφίας, τὴν δὲ ψυχὴν ποὺ κεῖται μέσα εἰς τὸν βόρβορον τῆς ἀσελγείας καὶ σαπίζει διαρκῶς, ὄχι μόνον παραμελοῦμεν, ἀλλὰ καὶ ὅταν θέλῃ νὰ ἀνορθωθῇ τὴν ἐμποδίζομεν;

Ἀκόμη λοιπὸν θὰ τολμήσῃ νὰ εἰπῇ κανεὶς ὅτι εἶναι δυνατὸν αὐτοὶ ποὺ εἶναι τόσον βυθισμένοι εἰς τοιαύτας ἁμαρτίας νὰ σωθοῦν; Ἀπὸ ποῦ; Διότι αὐτοὶ ποὺ διέφυγαν τὴν μανίαν τῶν ἀκολάστων (εἶναι δὲ ὀλίγοι αὐτοί), τοὺς

τοὺς τυραννικοὺς ἐκείνους ἔρωτας, καὶ τὰ πάντα διαφθείροντας, τοὺς τῶν χρημάτων καὶ τοὺς τῆς δόξης οὐ διαφεύγουσιν· οἱ δὲ πλείους καὶ τούτοις αὐτοῖς, καὶ τοῖς τῆς ἀσελγείας μετὰ πλείονος κατέχονται τῆς ὑπερβολῆς. Εἶτα
5 *λόγους μὲν αὐτοῖς ἐνθεῖναι βουλόμενοι, οὐχὶ τὰ διακόπτοντα τὴν παίδευσιν ἀναιροῦμεν μόνον, ἀλλὰ καὶ τὰ συνιστῶντα κατασκευάζομεν, καὶ παιδαγωγοὺς καὶ διδασκάλους ἐφιστῶντες, καὶ χρήματα ἀναλίσκοντες, καὶ τὴν ἀπὸ τῶν ἄλλων πραγμάτων παρέχοντες σχολήν, καὶ τῶν ἐν τοῖς Ὀλυμπια-*
10 *κοῖς ἀγῶσι παιδοτριβῶν συνεχέστερον ἐπιφωνοῦντες αὐτοῖς τήν τε ἐκ τῆς ἀπαιδευσίας πενίαν, καὶ τὸν ἀπὸ τῆς παιδεύσεως πλοῦτον, καὶ πάντα ποιοῦντες καὶ λέγοντες, καὶ δι' ἑαυτῶν, καὶ δι' ἄλλων, ὥστε αὐτοὺς εἰς τὸ τέλος ἀγαγεῖν τῆς προκειμένης σπουδῆς, καὶ οὐδὲ οὕτω πολλάκις περιγι-*
15 *νόμεθα· τρόπων δὲ ἐπιείκειαν, καὶ πολιτείας ἀρίστης ἀκρίβειαν αὐτόματον οἰησόμεθα παραγενέσθαι, καὶ ταῦτα τοσούτων ὄντων τῶν διακοπτόντων αὐτήν; Καὶ τί ταύτης τῆς ἀλογίας χεῖρον γένοιτ' ἄν, τὸ μὲν ῥᾷστον οὕτω μεγάλης ἀξιοῦν τιμῆς καὶ σπουδῆς· ὡς οὐκ ἐνὸν ταύτης ἄνευ αὐτὸ*
20 *κατορθωθῆναί ποτε· ὃ δὲ πολλῷ δυσχερέστερόν ἐστι, τοῦτο καθεύδουσιν ἡμῖν ἐφίστασθαι νομίζειν, καθάπερ τι τῶν φαύλων καὶ οὐδαμινῶν; Φιλοσοφία γὰρ ψυχῆς λόγων παιδεύσεως τούτῳ δυσκολώτερόν τε ἐστι καὶ ἐργωδέστερον, ὅσῳ τοῦ λέγειν τὸ πράττειν, καὶ ὅσῳ ῥημάτων ἔργα ἐστὶν*
25 *ἐπιπονώτερα.*

9. Καὶ τί δεῖ φιλοσοφίας, φησί, καὶ πολιτείας ἀκριβοῦς τοῖς ἡμετέροις παισί; Τοῦτο γάρ ἐστι, πάντα ἀπολώλεκεν, ὅτι πρᾶγμα οὕτως ἀναγκαῖον, καὶ τὴν ἡμετέραν συνέχον ζωήν, περιττὸν εἶναι καὶ πάρεργον δοκεῖ. Καὶ περὶ

---

22. Ὑπὸ τὴν ἔννοιαν τοῦ μοναχικοῦ βίου.

τυραννικοὺς ἐκείνους ἔρωτας, ποὺ διαφθείρουν τὰ πάντα, ὅμως δὲν διαφεύγουν τὸν πόθον τοῦ πλούτου καὶ τῆς δόξης. Οἱ περισσότεροι μάλιστα καταλαμβάνονται μὲ μεγάλην ὁρμὴν καὶ ἀπὸ τὰ ἴδια αὐτὰ πάθη, καὶ ἀπὸ τὰ πάθη τῆς ἀσελγείας συγχρόνως. Ἔπειτα, θέλοντες νὰ τοὺς καλλιεργήσωμεν τὴν εὐγλωττίαν, δὲν ἀπορρίπτομεν μόνον τὰ ἐμποδίζοντα τὴν παίδευσιν, ἀλλὰ δημιουργοῦμεν καὶ τὰ διευκολύνοντα αὐτήν, διορίζοντες καὶ παιδαγωγοὺς καὶ διδασκάλους καὶ χρήματα δαπανῶντες καὶ ἀπαλλάσσοντες αὐτοὺς ἀπὸ τὰς ἄλλας ἀσχολίας καὶ τονίζοντες εἰς αὐτοὺς τακτικώτερον ἀπὸ ὅσον οἱ παιδοτρίβαι εἰς τοὺς Ὀλυμπιακοὺς ἀγῶνας ἀφ' ἑνὸς μὲν τὴν πενίαν λόγῳ τῆς ἀπαιδευσίας, καὶ ἀφ' ἑτέρου τὸν πλοῦτον ποὺ ἀποκτᾷ κανεὶς ἀπὸ τὴν μόρφωσιν, καὶ πράττοντες καὶ λέγοντες τὸ πᾶν καὶ μόνοι μας καὶ μὲ τοὺς ἄλλους, ὥστε νὰ τοὺς ὁδηγήσωμεν εἰς τὸ τέλος τῆς ἐν λόγῳ παιδείας· καὶ παρὰ ταῦτα πολλάκις οὔτε ἔτσι τὸ ἐπιτυγχάνομεν. Νομίζομεν δὲ ὅτι θὰ προκύψῃ καλλιέργεια συμπεριφορᾶς καὶ ὀρθότητος ἀρίστου βίου, ἐνῷ ὑπάρχουν τόσον πολλά, ποὺ τὴν διακόπτουν; Καὶ τί χειρότερον θὰ ἠδύνατο νὰ γίνῃ ἀπὸ τὸν παραλογισμὸν αὐτόν; Τὸ μὲν εὐκολώτερον δηλαδὴ νὰ γίνεται ἀντικείμενον τόσον μεγάλης τιμῆς καὶ ἐπιμελείας, ὡσὰν νὰ μὴ εἶναι δυνατὸν χωρὶς αὐτὴν νὰ κατορθωθῇ ποτὲ αὐτό, ἐκεῖνο δὲ ποὺ εἶναι δυσκολώτερον, τοῦτο νὰ νομίζωμεν ὅτι θὰ μᾶς ἔλθῃ ἐνῷ κοιμούμεθα, ὡς νὰ ἦτο κάτι ἀπὸ τὰ εὐτελῆ καὶ μηδαμινά; Διότι ἡ παίδευσις τῆς ψυχῆς εἶναι ἔργον τόσον δυσκολώτερον καὶ ἐπίπονον τῆς ἄλλης παιδεύσεως, ὅσον κοπιαστικώτερα εἶναι τὸ πράττειν τοῦ λέγειν καὶ τὰ ἔργα τῶν λόγων.

9. Καὶ ποίαν ἀνάγκην ἔχουν τὰ παιδιά μας, λέγει, ἀπὸ τὴν φιλοσοφίαν[22] καὶ ὀρθότητα βίου; Πράγματι αὐτὸ εἶναι· αὐτὸ εἶναι ἐκεῖνο, ποὺ κατέστρεψε τὰ πάντα, ὅτι δηλαδὴ ἕνα πρᾶγμα ποὺ εἶναι ἀναγκαῖον καὶ συγκρατεῖ τὴν ζωήν μας, θεωρεῖται περιττὸν καὶ πάρεργον. Κανεὶς δὲν θὰ ἔλε-

σῶμα μὲν κάμνοντα τὸν υἱόν τις ἰδὼν οὐκ ἂν εἴποι, 'τί δὲ αὐτῷ καθαρᾶς ὑγιείας δεῖ καὶ ἀκριβοῦς;' ἀλλὰ πάντα ἂν πραγματεύσαιτο ὑπὲρ τοῦ τοσαύτην ἐγγενέσθαι τὴν εὐεξίαν, ὡς μηκέτι τὴν νόσον ἐπανελθεῖν· τῆς δὲ ψυχῆς ἀρρωστού-
5 *σης, οὐδὲν δεῖν αὐτοῖς θεραπείας φασί, καὶ τολμῶσι μετὰ τὰ ῥήματα ταῦτα πατέρας καλεῖν ἑαυτούς. Τί οὖν; φιλοσοφήσομεν πάντες, φησί, καὶ τὰ τοῦ βίου οἰχήσεται; Οὐ τὸ φιλοσοφεῖν, ὦ βέλτιστε, ἀλλὰ τὸ μὴ τοῦτο ποιεῖν πάντα ἀπώλεσε καὶ διέφθειρε. Τίνες γάρ, εἰπέ μοι, τῇ παρούσῃ*
10 *καταστάσει λυμαίνονται, οἱ μετρίως ζῶντες καὶ ἐπιεικῶς, ἢ οἱ καινοὺς καὶ παρανόμους ἐπινοοῦντες τροφῆς τρόπους; οἱ τὰ πάντων περιβαλέσθαι σπουδάζοντες, ἢ οἱ τοῖς οὖσιν ἀρκούμενοι; οἱ φάλαγγας οἰκετῶν ἔχοντες, καὶ σμήνη κολάκων περιάγοντες, ἢ οἱ μόνον οἰκέτην ἕνα ἀποχρῆν αὐτοῖς*
15 *νομίζοντες; οὔπω γὰρ τὴν ἄκραν τίθημι φιλοσοφίαν, ἀλλὰ τὴν πολλοῖς ἐφικτήν)· οἱ φιλάνθρωποι καὶ ἥμεροι καὶ μὴ δεόμενοι τῆς παρὰ τῶν πολλῶν τιμῆς, ἢ οἱ παντὸς ὀφλήματος μᾶλλον ταύτην παρὰ τῶν ὁμοφύλων ἀπαιτοῦντες καὶ μυρίας ἐργαζόμενοι συμφοράς, ἐπειδὴ μὴ ὑπανέστη, μηδὲ*
20 *προσεῖπεν ὁ δεῖνα πρότερος, μηδὲ ὑπέκυψε, μηδὲ τὰ τῶν ἀνδραπόδων ἐπεδείξατο; οἱ μελετῶντες ἄρχεσθαι, ἢ οἱ δυναστειῶν ἐρῶντες καὶ ἀρχῶν, καὶ πάντα ὑπὲρ τούτου καὶ ποιῆσαι καὶ παθεῖν ἀνεχόμενοι; οἱ πάντων βελτίους εἶναι λέγοντες, καὶ διὰ τοῦτο πάντα καὶ λέγειν καὶ πράττειν ἑ-*
25 *αυτοῖς ἐξεῖναι νομίζοντες, ἢ οἱ μετὰ τῶν ἐσχάτων ἀριθμοῦντες ἑαυτούς, καὶ ταύτῃ τὴν ἄλογον ἐξουσίαν τῶν παθῶν κολάζοντες; οἱ τὰς λαμπρὰς οἰκοδομούμενοι οἰκίας, καὶ τὰς*

γεν, ἐὰν ἔβλεπε τὸν υἱόν του νὰ ἀσθενῇ κατὰ τὸ σῶμα, ποίαν ἀνάγκην ἔχει ἀπὸ καθαρὰν καὶ ἀκριβῆ ὑγείαν; Ἀλλὰ θὰ ἔκαμνε τὸ πᾶν διὰ νὰ ἀποκτήσῃ τόσην εὐεξίαν, ὥστε ποτὲ πλέον νὰ μὴ ἔλθῃ ἡ ἀρρώστια. Τώρα δὲ ποὺ ἡ ψυχὴ ἀσθενεῖ, λέγουν ὅτι δὲν ὑπάρχει δι' αὐτοὺς ἀνάγκη θεραπείας καὶ τολμοῦν μετὰ τὰ λόγια αὐτὰ νὰ ὀνομάζουν τοὺς ἑαυτούς των πατέρας. Τί λοιπόν; Θὰ ἀσκητεύσωμεν ὅλοι, λέγει, διὰ νὰ ἐξαφανισθοῦν τὰ βιωτικά; Ὄχι τὸ νὰ ἀσκητεύῃ κανείς, καλέ μου, ἀλλὰ τὸ νὰ μὴ πράττῃ αὐτό, καταστρέφει καὶ διαφθείρει τὰ πάντα. Διότι ποῖοι, εἰπέ μου, βλάπτουν τὴν παροῦσαν κατάστασιν, αὐτοὶ ποὺ ζοῦν μὲ μετριοπάθειαν καὶ σεμνότητα, ἢ αὐτοὶ ποὺ ἐπινοοῦν νέους καὶ παρανόμους τρόπους διὰ τὴν διατροφήν των; Αὐτοὶ ποὺ ἐπιχειροῦν νὰ συγκεντρώσουν διὰ τὸν ἑαυτόν τους τὰ πάντα ἢ ἐκεῖνοι ποὺ ἀρκοῦνται εἰς ὅσα ἔχουν; Αὐτοὶ ποὺ ἔχουν στρατιὰς δούλων καὶ περιφέρουν σμήνη ἀπὸ κόλακας, ἢ αὐτοὶ ποὺ νομίζουν ὅτι τοὺς χρειάζεται μόνον ἕνας ὑπηρέτης; (Καὶ δὲν ἐκθέτω ἀκόμη τὴν ἄκραν ἄσκησιν, ἀλλ' αὐτὴν ποὺ εἶναι εἰς ὅλους δυνατή). Οἱ φιλάνθρωποι καὶ οἱ ἥμεροι καὶ αὐτοὶ ποὺ δὲν ἔχουν ἀνάγκην ἀπὸ τὰς τιμὰς τῶν πολλῶν, ἢ αὐτοὶ ποὺ ἀπαιτοῦν ἀπὸ τοὺς ὁμοφύλους των τὰς τιμὰς περισσότερον ἀπὸ κάθε ἄλλο χρέος, καὶ ποὺ ἀπεργάζονται ἀναριθμήτους συμφοράς, ἐπειδὴ δὲν ἐσηκώθη ἐνώπιόν των, οὔτε τοὺς ἐχαιρέτησε πρῶτος ὁ τάδε οὔτε ἔκαμεν ὑπόκλισιν οὔτε τοὺς συμπεριεφέρθη ὡς δοῦλος; Αὐτοὶ ποὺ μελτοῦν πῶς νὰ ἄρχωνται ἢ αὐτοὶ ποὺ ἐρωτεύονται τὰς δυναστείας καὶ τὰς ἐξουσίας καὶ εἶναι πρόθυμοι νὰ πράξουν καὶ νὰ ὑποστοῦν τὸ κάθε τι δι' αὐτάς; Αὐτοὶ ποὺ λέγουν ὅτι εἶναι καλύτεροι ἀπὸ ὅλους καὶ ποὺ διὰ τοῦτο νομίζουν ὅτι τοὺς ἐπιτρέπεται νὰ λέγουν καὶ νὰ κάμνουν τὸ κάθε τι, ἢ αὐτοὶ ποὺ συγκαταλέγουν τὸν ἑαυτόν τους μεταξὺ τῶν τελευταίων καὶ ποὺ κατὰ τὸν τρόπον αὐτὸν μετριάζουν τὴν παράλογον ἐξουσίαν τῶν παθῶν; Αὐτοὶ ποὺ

πολυτελεῖς παρατιθέμενοι τραπέζας, ἢ οἱ μηδὲν πλέον καὶ τροφῆς καὶ οἰκήσεως τῆς ἀναγκαίας ζητοῦντες; οἱ μυρία πλέθρα ἀποτεμνόμενοι γῆς, ἢ οἱ μηδὲ βῶλον μίαν ἀναγκαίαν αὐτοῖς πρὸς κτῆσιν εἶναι νομίζοντες; οἱ τόκους ἐπὶ τό-
5 *κους συλλέγοντες, καὶ πάσης ἐμπορίας κινοῦντες ὁδὸν ἄδικον, ἢ οἱ τὰς ἀδίκους ταύτας διασπῶντες συγγραφάς, καὶ ἐκ τῶν ἐνόντων τοῖς δεομένοις ἐπικουροῦντες; οἱ τὸ εὐτελὲς τῆς ἀνθρωπίνης ἐπεσκεμμένοι φύσεως, ἢ οἱ μηδὲ τοῦτο αὐτὸ εἰδέναι θέλοντες, ἀλλ' ὑπὸ τῆς ἄγαν ἀλαζονείας καὶ*
10 *τὸ ἀνθρώπους αὐτοὺς νομίζειν ἀπολωλεκότες; οἱ πόρνας τρέφοντες καὶ τοῖς ἀλλοτρίοις λυμαινόμενοι γάμοις, ἢ οἱ καὶ τῆς ἑαυτῶν ἀπεχόμενοι γυναικός; Οὐχ οἱ μέν, ὥσπερ οἰδήματα σώματι καὶ πνεύματα ἄγρια θαλάττῃ, τῇ πολιτείᾳ τῆς οἰκουμένης ἐπιφύονται, καὶ τοὺς καθ' ἑαυτοὺς σῴζε-*
15 *σθαι δυναμένους χειμάζοντες διὰ τὴν ἀκρασίαν τὴν αὐτῶν· οἱ δὲ ὥσπερ ἐν σκότῳ βαθεῖ λαμπτῆρες φαιδροὶ τοὺς ἐν μέσῳ ναυαγοῦντας πρὸς τὴν οἰκείαν καλοῦσιν ἀσφάλειαν, καὶ τὰς τῆς φιλοσοφίας λαμπάδας ἀφ' ὑψηλοῦ πόρρωθεν ἅψαντες, οὕτω τοὺς βουλομένους ἐπὶ τὸν τῆς ἀπραγμοσύνης*
20 *χειραγωγοῦσι λιμένα; Οὐ δι' ἐκείνους στάσεις καὶ πόλεμοι καὶ μάχαι, καὶ πόλεων κατασκαφαί, καὶ ἀνδραποδισμοί, καὶ δουλεῖαι, καὶ αἰχμαλωσίαι, καὶ φόνοι, καὶ τὰ μυρία ἐν τῷ βίῳ κακά; οὐ τὰ παρὰ ἀνθρώπων ἀνθρώποις ἐπαγόμενα μόνον, ἀλλὰ καὶ τὰ ἐκ τοῦ οὐρανοῦ πάντα, οἷον αὐχμοί, καὶ ἐ-*
25 *πομβρίαι, καὶ σεισμοί, καὶ καταπτώσεις, καὶ πόλεων καταποντισμοί, καὶ λιμοί, καὶ λοιμοί, καὶ τὰ ἄλλα πάντα, ὅσα ἡμῖν ἐκεῖθεν ἐπάγεται;*

κτίζουν πολυτελῆ σπίτια καὶ παραθέτουν πλούσια γεύματα ἢ αὐτοὶ ποὺ δὲν ζητοῦν τίποτε ἄλλο ἐκτὸς ἀπὸ τὴν ἀπαραίτητον τροφὴν καὶ στέγην; Αὐτοὶ ποὺ ἐκτείνουν τὰ ὅριά των εἰς ἀναρίθμητα στρέμματα γῆς ἢ αὐτοὶ ποὺ δὲν θεωροῦν ἀναγκαίαν τὴν κτῆσιν οὔτε ἑνὸς σβώλου χώματος; Οἱ εἰσπράττοντες τόκους πολλοὺς καὶ θέτοντες εἰς χρῆσιν κάθε ἄδικον μέσον πάσης ἐμπορίας ἢ αὐτοὶ ποὺ ξεσχίζουν τὰς ἀδίκους αὐτὰς συνθήκας καὶ βοηθοῦν μὲ τὰ ὑπάρχοντα τοὺς ἔχοντας ἀνάγκην; Αὐτοὶ ποὺ ἔχουν ἐννοήσει τὸ μηδαμινὸν τῆς ἀνθρωπίνης φύσεως ἢ αὐτοὶ ποὺ δὲν θέλουν οὔτε κἂν νὰ τὸ ἀκούσουν, ἀλλ' ὑπὸ τῆς ὑπερβολικῆς ἀλαζονείας ἔχουν χάσει καὶ τὴν συναίσθησιν τῆς ἀνθρωπίνης ἰδιότητός των; Αὐτοὶ ποὺ συντηροῦν πόρνας καὶ διαλύουν τοὺς ξένους γάμους ἢ αὐτοὶ ποὺ ἀπέχουν καὶ ἀπὸ τὴν ἰδικήν των γυναῖκα; Δὲν φυτρώνουν οἱ μὲν εἰς τὴν ζωὴν τῆς οἰκουμένης ὡσὰν ἀποστήματα εἰς τὸ σῶμα καὶ ὡσὰν ἄγριοι ἄνεμοι εἰς τὴν θάλασσαν ἐπειδὴ καταπονοῦν καὶ αὐτοὺς ποὺ δύνανται νὰ σωθοῦν μόνοι των, ἐξ αἰτίας τῆς ἀκρατείας των, οἱ δὲ ὡσὰν λαμπτῆρες ἀναμμένοι εἰς βαθὺ σκότος, νὰ προσκαλοῦν πρὸς σωτηρίαν τοὺς ναυαγούς, καὶ ἀφοῦ ἀνάψουν τὰς λαμπάδας τῆς φιλοσοφίας ἀπὸ ὑψηλὰ καὶ ἀπὸ μακράν, τοιουτοτρόπως ὁδηγοῦν αὐτοὺς ποὺ θέλουν, εἰς τὸν λιμένα τῆς ἀμεριμνησίας; Μήπως ἐξ αἰτίας ἐκείνων δὲν γίνονται αἱ ἐπαναστάσεις, οἱ πόλεμοι, αἱ διαμάχαι, αἱ καταστροφαὶ τῶν πόλεων καὶ οἱ ἐξανδραποδισμοὶ καὶ αἱ δουλεῖαι καὶ αἱ αἰχμαλωσίαι καὶ οἱ φόνοι καὶ αἱ χιλιάδες συμφοραὶ τῆς ζωῆς; Ὄχι μόνον δὲ τὰ κακὰ ποὺ προξενοῦν οἱ ἄνθρωποι εἰς ἀνθρώπους, ἀλλὰ καὶ ὅλα τὰ ἐξ οὐρανοῦ κακά, ὅπως αἱ ξηρασίαι καὶ πλημμύραι καὶ οἱ σεισμοὶ καὶ αἱ κατολισθήσεις καὶ οἱ καταποντισμοὶ πόλεων καὶ ἡ πεῖνα καὶ αἱ ἀσθένειαι καὶ ὅλα τὰ ἄλλα κακά, ποὺ μᾶς πλήττουν ἀπὸ ἐκεῖ;

10. Οὐκοῦν οὗτοι οἱ τὴν πολιτείαν ἀνατρέποντες καὶ τοῖς κοινοῖς λυμαινόμενοι· οὗτοι οἱ καὶ ἑτέροις μυρίων αἴτιοι συμφορῶν, οἱ τοῖς βουλομένοις ἡσυχάζειν ἐνοχλοῦντες καὶ πανταχόθεν ἕλκοντες καὶ σπαράττοντες· διὰ τούτους δικα-
5 *στήρια, καὶ νόμοι καὶ τιμωρίαι, καὶ διάφοροι κολάσεων τρόποι. Καὶ καθάπερ ἐν οἰκίᾳ, ἔνθα πολλοὶ μὲν οἱ κάμνοντες, οἱ δὲ ὑγιαίνοντες ὀλίγοι, καὶ φάρμακα καὶ ἰατροὺς πολλοὺς εἰσελθόντας ἔστιν εὑρεῖν, οὕτω καὶ ἐν τῇ οἰκουμένῃ οὐκ ἔστιν ἔθνος, οὐκ ἔστι πόλις, ἔνθα μὴ πολλοὶ μὲν οἱ νό-*
10 *μοι, πολλοὶ δὲ οἱ ἄρχοντες, πολλαὶ δὲ αἱ τιμωρίαι. Οὐ γὰρ ἀρκεῖ τὰ φάρμακα αὐτὰ καθ' ἑαυτὰ ἀναστῆσαι τὸν κάμνοντα, ἀλλὰ δεῖ καὶ τῶν ἐπιτεθέντων αὐτά, οἵπερ εἰσὶν οἱ δικάζοντες, καὶ ἑκόντας καὶ ἄκοντας ἀναγκάζοντες δέχεσθαι τὴν ἰατρείαν αὐτούς. Ἀλλ' ὅμως οὕτως ὑπερέσχεν ἡ νόσος,*
15 *ὡς καὶ αὐτῆς τῆς τῶν ἰατρῶν κρατῆσαι τέχνης, καὶ αὐτοὺς ἐπελθεῖν τοὺς δικάζοντας· καὶ συμβαίνει ταὐτό, οἷον ἂν εἴ τις πυρετῷ καὶ ὑδέρῳ συνεχόμενος, καὶ μυρίοις ἑτέροις πάθεσι χαλεπωτέροις, τῶν μὲν οἰκείων μὴ περιγίνοιτο κακῶν, ἑτέρους δὲ τοῖς αὐτοῖς ἐνεχομένους δεινοῖς ἀπαλλάττειν φιλο-*
20 *νεικοίη. Ἡ γὰρ τῆς κακίας ἐπιρροὴ καθάπερ τις χειμάρρους, ἅπαντα τὰ κωλύματα ἀναρρήξασα, σφοδρῶς ἐπὶ τὰς τῶν ἀνθρώπων ἐξεχύθη ψυχάς.*

Καὶ τί λέγω πολιτείας ἀνατροπήν; κινδυνεύει γὰρ οὗτος ὁ λοιμός, ὁ παρὰ τῶν πονηρῶν τούτων ἀρθείς, καὶ τοὺς
25 *περὶ τῆς προνοίας τοῦ Θεοῦ τῶν πολλῶν ἀπελάσαι λόγους· οὕτω πρόεισι καὶ νέμεται καὶ πάντα ἐπείγεται κατασχεῖν, καὶ τὰ ἄνω κάτω πεποίηκε, καὶ αὐτῷ λοιπὸν ἐπιστρατεύει τῷ οὐρανῷ, τὰς τῶν ἀνθρώπων γλώττας οὐκέτι κατὰ τῶν*

10. Λοιπόν, αὐτοὶ εἶναι ἐκεῖνοι ποὺ ἀνατρέπουν τὸ πολίτευμα καὶ βλάπτουν τὰ δημόσια πράγματα. Αὐτοὶ γίνονται καὶ εἰς ἄλλους αἴτιοι ἀναριθμήτων συμφορῶν καὶ ἐνοχλοῦν τοὺς ἐπιθυμοῦντας νὰ ζήσουν μὲ ἡσυχίαν, καὶ ἀπὸ παντοῦ τοὺς σύρουν καὶ τοὺς κτυποῦν. Ἐξ αἰτίας αὐτῶν ὑπάρχουν τὰ δικαστήρια καὶ οἱ νόμοι καὶ αἱ τιμωρίαι καὶ διάφοροι τρόποι ποινῶν. Καὶ ὅπως εἰς οἰκίαν, ὅπου ὑπάρχουν πολλοὶ ἀσθενεῖς, οἱ δὲ ὑγιεῖς εἶναι ὀλίγοι, εἶναι δυνατὸν νὰ συναντήσωμεν πολλὰ φάρμακα καὶ πολλοὺς ἰατρούς, οἱ ὁποῖοι εἰσῆλθον ἐκεῖ, ἔτσι καὶ εἰς τὴν οἰκουμένην δὲν ὑπάρχει ἔθνος, δὲν ὑπάρχει πόλις, ὅπου νὰ μὴ εἶναι πολλοὶ οἱ νόμοι, πολλοὶ οἱ ἄρχοντες καὶ πολλαὶ αἱ τιμωρίαι. Διότι δὲν ἀρκοῦν αὐτὰ καθ' ἑαυτὰ τὰ φάρμακα νὰ θεραπεύσουν τὸν ἀσθενῆ, ἀλλὰ πρέπει καὶ αὐτοὶ ποὺ τὰ δίδουν, οἱ ὁποῖοι εἶναι δικασταί, καί, πού, εἴτε θέλουν (οἱ ἀσθενεῖς) εἴτε δὲν θέλουν, τοὺς ἀναγκάζουν νὰ δέχωνται τὴν θεραπείαν. Ἀλλὰ τόσον ὑπερίσχυσεν ἡ ἀσθένεια, ὥστε ἐνίκησε καὶ αὐτὴν τὴν ἰατρικὴν τέχνην καὶ προσέβαλε καὶ τοὺς ἰδίους τοὺς δικαστάς. Καὶ συμβαίνει τὸ αὐτό, ὡσὰν κάποιος νὰ ἔχῃ πυρετὸν καὶ ὑδρωπικίαν καὶ ἀναρίθμητα ἄλλα χειρότερα ἀρρωστήματα, καὶ τὰ μὲν ἰδικά του νὰ μὴ ἠμπορῇ νὰ ἀποβάλῃ, ἐπιμόνως δὲ νὰ ἀγωνίζεται διὰ τὴν θεραπείαν ἄλλων, προσβεβλημένων ἀπὸ τὰς αὐτὰς ἀσθενείας. Διότι ἡ ὁρμὴ τῆς κακίας, ὡσὰν χείμαρρος, ἀφοῦ ἐκρέμνισεν ὅλα τὰ ἐμπόδια, ἐξεχύθη μὲ σφοδρότητα εἰς τὰς ψυχὰς τῶν ἀνθρώπων.

Ἀλλὰ διατί ὁμιλῶ μόνον διὰ τὴν ἀνατροπὴν τῆς πολιτείας; Διότι ὑπάρχει κίνδυνος ἡ πανώλης αὐτὴ ποὺ ἔχει καταλάβει τοὺς πονηροὺς αὐτοὺς νὰ ἀπομακρύνῃ ἀπὸ τοὺς πολλοὺς τὴν πίστιν περὶ τῆς προνοίας τοῦ Θεοῦ. Ἔτσι λοιπὸν προπορεύεται καὶ ἐξαπλώνεται καὶ ἐπείγεται νὰ κυριεύσῃ τὰ πάντα καὶ ἔχει κάμει τὰ πάντα ἄνω - κάτω καὶ τέλος ἀντιστρατεύεται ἐναντίον αὐτοῦ τοῦ οὐρανοῦ, ὁπλί-

ὁμοδούλων, ἀλλ' ἤδη καὶ κατ' αὐτοῦ τοῦ πάντων κρατοῦντος ὁπλίζων Δεσπότου. Πόθεν γάρ, εἰπέ μοι, ὁ πολὺς πανταχοῦ τῆς εἱμαρμένης λόγος; πόθεν ἄστρων ἀλόγῳ φορᾷ τὰ ὄντα ἀνατιθέασιν οἱ πολλοί; διὰ τί τύχην, διὰ τί τὸ αὐτόματόν
5 *τινες πρεσβεύουσι; πόθεν εἰκῇ καὶ ἁπλῶς πάντα νομίζουσι φέρεσθαι; διὰ τοὺς ἐπιεικῶς ζῶντας καὶ μετρίως, ἢ δι' ἐκείνους, οὓς σὺ μὲν συνέχειν ἔφης τὴν πολιτείαν, ἐγὼ δὲ κοινὴν οὖσαν ἀπέδειξα τῆς οἰκουμένης λύμην; Δι' ἐκείνους δηλονότι. Οὐδεὶς γὰρ ἀγανακτεῖ, ἐπειδὴ ὁ δεῖνα φιλοσοφεῖ,*
10 *ἢ ὅτι ἐστὶν ὁ δεῖνα ἐπιεικὴς καὶ μέτριος καὶ σώφρων, καὶ τῶν παρόντων ὑπερορᾷ πραγμάτων· ἀλλ' ὅτι ὁ δεῖνα πλουτεῖ, ὅτι τρυφᾷ, ὅτι πλεονεκτεῖ, καὶ ἁρπάζει, ὅτι πονηρὸς ὢν καὶ μυρίων γέμων κακῶν, λαμπρός τέ ἐστι καὶ εὐημερεῖ.*

Ταῦτα κατηγοροῦσι καὶ μέμφονται οἱ ἀπιστοῦντες Θεῷ·
15 *τούτοις προσπταίουσιν οἱ πολλοί, ὡς τῶν γε ἐπιεικῶς ἕνεκεν ζώντων, οὐ μόνον οὐδὲν φθέγξονται τῶν ῥημάτων τούτων, ἀλλὰ καὶ καταγνοῖεν ἑαυτῶν, ἐφ' οἷς ἂν προαχθῶσι τῆς τοῦ Θεοῦ κατηγορῆσαι προνοίας. Καὶ εἰ πάντες, ἢ καὶ οἱ πλείους ἐβούλοντο οὕτω ζῆν, οὐδ' ἄν τις ἐνενόησε ταῦτα*
20 *τὰ ῥήματα, οὐδ' ἂν ὁ τῶν κακῶν τούτων ἐπεισῆλθε κολοφὼν τὸ ζητεῖν, πόθεν τὰ κακά. Κακῶν γὰρ οὐκ ὄντων οὐδὲ φαινομένων, τίς ἂν προήχθη τὴν αἰτίαν ζητῆσαι τῶν κακῶν, καὶ μυρίας ἀπὸ τῆς ζητήσεως ταύτης αἱρέσεις ἀνατέλλειν; Καὶ γὰρ Μαρκίων, καὶ Μάνης, καὶ Οὐαλεντῖνος, καὶ τῶν Ἑλ-*

ζουσα τὰς γλώσσας τῶν ἀνθρώπων ὄχι πλέον ἐναντίον τῶν συνανθρώπων, ἀλλ' ἐναντίον τοῦ ἰδίου κυριάρχου τοῦ σύμπαντος. Διότι, εἰπέ μου, ἀπὸ ποῦ προέρχεται ὁ πολὺς περὶ τῆς τύχης λόγος ποὺ γίνεται παντοῦ; Ἀπὸ ποῦ ἀφορμώμενοι οἱ περισσότεροι ἀποδίδουν τὰς ἐκβάσεις τῶν ὑποθέσεων εἰς τὴν φυσικὴν τροχιὰν τῶν ἄστρων; Διατί πιστεύουν εἰς τὴν τύχην, μερικοὶ δὲ εἰς τὴν αὐτόματον γένεσιν; Ἀπὸ ποῦ ὁρμώμενοι πιστεύουν ὅτι τὰ πάντα κυβερνῶνται ἄνευ σχεδίου καὶ συμπτωματικῶς; Ἐξ αἰτίας αὐτῶν ποὺ ζοῦν μὲ σωφροσύνην καὶ μετριότητα ἢ ἐξ αἰτίας ἐκείνων, διὰ τοὺς ὁποίους σὺ μὲν εἶπες ὅτι συγκρατοῦν τὴν πολιτείαν, ἐγὼ δὲ ἀπέδειξα ὅτι εἶναι καταστροφεῖς τῆς οἰκουμένης; Εἶναι φανερὸν ὅτι δι' ἐκείνους. Διότι κανεὶς δὲν ἀγανακτεῖ ἐπειδὴ ὁ τάδε φιλοσοφεῖ ἢ διότι ὁ τάδε εἶναι πρᾷος καὶ μετριοπαθὴς καὶ σώφρων καὶ περιφρονεῖ τὰ πρόσκαιρα πράγματα, ἀλλ' ἐπειδὴ ὁ τάδε πλουτεῖ, ζῇ πολυτελῶς, εἶναι ἀχόρταγος καὶ κλέπτει, καὶ ἐνῷ εἶναι πονηρὸς καὶ γεμᾶτος μυριάδας ἁμαρτιῶν, ἐν τούτοις καὶ ἔνδοξος εἶναι καὶ καλοπερᾷ.

Αὐτὰ κατηγοροῦν καὶ εὑρίσκουν ὡς αἰτίαν αὐτοὶ ποὺ δὲν πιστεύουν εἰς τὸν Θεόν. Εἰς αὐτὰ προσκρούουν οἱ πολλοί, ὥστε χάριν ἐκείνων ποὺ ζοῦν μὲ σωφροσύνην ὄχι μόνον δὲν θὰ ἐκφράσουν τίποτε ἀπὸ τὰ λόγια αὐτά, ἀλλὰ καὶ θὰ κατέκριναν τοὺς ἑαυτούς των, δι' ὅσα θὰ ἔφθαναν εἰς τὸ σημεῖον νὰ ἐκφράσουν ἐναντίον τῆς θείας προνοίας. Καὶ ἐὰν ὅλοι, ἢ ἔστω οἱ περισσότεροι, ἐπιθυμοῦν νὰ ζοῦν ἔτσι, κανεὶς δὲν θὰ ἐσκέπτετο αὐτὰ τὰ λόγια, οὔτε θὰ ἐπήρχετο τὸ ἀποκορύφωμα τῶν κακῶν, τὸ νὰ ἐρευνοῦν δηλαδὴ ἀπὸ ποῦ προέρχεται τὸ κακόν. Διότι, ἐὰν δὲν ὑπῆρχαν καὶ δὲν ἐφαίνοντο τὰ κακά, ποῖος θὰ ἐπροχωροῦσε νὰ ἐρευνήσῃ τὴν αἰτίαν τοῦ κακοῦ, καὶ πῶς θὰ προέκυπταν ἀπὸ τὴν ἀναζήτησιν αὐτὴν χιλιάδες αἱρέσεων. Ἄλλωστε

λήνων οἱ πλείους ἐντεῦθεν ἔλαβον τὴν ἀρχήν. Εἰ δὲ πάντες ἐφιλοσόφουν, οὐκ ἐνῆν ταῦτα ζητεῖν ἀλλ' εἰ καὶ μηδαμόθεν ἄλλοθεν, ἀπὸ γοῦν τῆς ἀρίστης ταύτης πολιτείας ἔμαθον ἂν ἅπαντες, ὅτι ὑπὸ Θεῷ ζῶμεν βασιλεῖ, καὶ τὰ ἡμέτερα
5 *οὗτος διοικεῖ καὶ κυβερνᾷ πράγματα κατὰ τὴν αὐτοῦ σοφίαν καὶ σύνεσιν· ὃ κινεῖται μὲν καὶ νῦν, φαίνεται δὲ οὐ ῥαδίως διὰ τὴν πολλὴν ἀχλύν, ἣν κατεσκέδασαν οὗτοι τῆς οἰκουμένης ἁπάσης. Εἰ δὲ μὴ τοῦτο ἦν, καθάπερ ἐν σταθερᾷ μεσημβρίᾳ καὶ λευκῇ γαλήνῃ πᾶσιν ἂν ἡ τοῦ Θεοῦ πρόνοια*
10 *διεφάνη. Εἰ γὰρ μήτε δικαστήρια ἦν, μήτε κατήγοροι, μήτε συκοφάνται, μὴ βάσανοι καὶ τιμωρίαι, μὴ δεσμωτήρια καὶ κολάσεις, μὴ δημεύσεις καὶ ζημίαι, μὴ φόβοι καὶ κίνδυνοι, μὴ ἔχθραι, μὴ ἐπιβουλαί, μὴ λοιδορίαι καὶ μῖσος, μὴ λιμοὶ καὶ λοιμοί, μηδ' ἄλλο τι τῶν ἀπηριθμημένων δεινῶν, ἀλλὰ*
15 *πάντες μετ' ἐπιεικείας ἔζων τῆς προσηκούσης, τίς ἂν τῶν ζώντων ἁπάντων ἠμφισβήτησε περὶ τῆς τοῦ Θεοῦ προνοίας; Οὐκ ἔστιν οὐδείς.*

Νυνὶ δὲ ταὐτὸ συμβαίνει, οἷον ἂν εἰ χειμῶνος καταλαβόντος ἐργάζοιτο μὲν ὁ κυβερνήτης τὸ αὐτοῦ, καὶ διασώζοι
20 *τὸ σκάφος, μὴ φαίνοιτο δὲ αὐτοῦ τῆς ἐπιστήμης ἡ ἀκρίβεια τοῖς ἐπιβάταις διὰ τὴν ταραχὴν καὶ τὸν φόβον καὶ τὴν ἀγωνίαν τῶν ἐπικρεμαμένων κακῶν. Ἐπεὶ καὶ ὁ Θεὸς κυ-*

---

23. Αἱρετικὸς γνωστικὸς γεννηθεὶς εἰς Σινώπην τοῦ Πόντου περὶ τὸ 85 μ.Χ. Ἔχων οἰκονομικὴν ἄνεσιν μετέβη εἰς Ρώμην (137 μ.Χ.) καὶ διεμόρφωσεν ἴδιον αἱρετικὸν σύστημα δυαρχικῶν τάσεων.

24. Πέρσης ἀρχηγὸς τῆς δυαρχικῆς αἱρέσεως τῶν Μανιχαίων. Ἐγεννήθη περὶ τὸ 215 μ.Χ. εἰς Ν. Βαβυλῶνα, ὁ δὲ πατήρ του ἀνῆκεν εἰς θρησκευτικὴν κοινότητα, ἀσκοῦσαν τὸ βάπτισμα καὶ τὴν ἐγκράτειαν. Εἰς νεαρὰν ἡλικίαν λέγει ὅτι εἶδεν εἰς ὅρασιν ἄγγελον, ὁ ὁποῖος τὸν ἐκάλεσε νὰ κηρύξῃ τὴν νέαν θρησκείαν. Μετέβη εἰς Ἰνδίας, ὅπου τὸ κήρυγμά του εἶχεν ἐπιτυχίαν, κατὰ τὴν ἐπιστροφήν του δὲ ἐγένετο δεκτὸς ὑπὸ τοῦ Πέρσου βασιλέως Σαπώρ, ὅστις τοῦ ἐπέτρεψε νὰ κηρύττῃ εἰς τὴν Περσίαν. Μετὰ τὸν θάνατον ὅμως τοῦ Σαπὼρ κατεδιώχθη ὑπὸ τῶν ἱερέων τοῦ Ζωροαστρισμοῦ καὶ φυλακισθεὶς ἀπέθανε τὸ 274 ἢ 277.

ὁ Μαρκίων[23] καὶ ὁ Μάνης[24] καὶ ὁ Βαλεντῖνος[25] καὶ οἱ περισσότεροι ἀπὸ τοὺς Ἕλληνας ἐξεκίνησαν ἀπὸ αὐτό. Ἐὰν ὅμως ὅλοι ἐφιλοσοφοῦσαν, δὲν ἦτο δυνατὸν νὰ ἐρευνοῦν αὐτά, ἀλλὰ καὶ ἂν ὄχι ἀπὸ πουθενὰ ἀλλοῦ, τουλάχιστον ἀπὸ τὸν ἄριστον αὐτὸν τρόπον τοῦ καθημερινοῦ βίου, θὰ ἐμάθαιναν ὅλοι ὅτι ζῶμεν ὑπὸ τὴν ἐξουσίαν Θεοῦ Βασιλέως, ὁ ὁποῖος διοικεῖ καὶ κυβερνᾷ τὰ τῆς ζωῆς μας, σύμφωνα μὲ τὴν σοφίαν καὶ τὴν σύνεσίν του, πρᾶγμα τὸ ὁποῖον ὑπάρχει μὲν τώρα, φαίνεται ὅμως δυσκόλως, λόγῳ τῆς θολώσεως τὴν ὁποίαν ἐσκόρπισαν οὗτοι εἰς ὁλόκληρον τὴν οἰκουμένην. Καὶ ἂν δὲν ὑπῆρχεν αὐτή, θὰ ἐφαίνετο εἰς ὅλους ἡ πρόνοια τοῦ Θεοῦ ὡσὰν εἰς διαρκῆ μεσημβρίαν καὶ ἀπόλυτον γαλήνην. Διότι, ἐὰν δὲν ὑπῆρχαν οὔτε δικαστήρια οὔτε κατήγοροι οὔτε συκοφάνται οὔτε βασανιστήρια οὔτε τιμωρίαι οὔτε φυλακαὶ οὔτε ποιναὶ οὔτε δημεύσεις περιουσιῶν καὶ ζημίαι οὔτε φόβοι καὶ κίνδυνοι, οὔτε ἔχθραι οὔτε δολιότητες οὔτε ὕβρεις καὶ μῖσος οὔτε πεῖνα καὶ ἀσθένειαι οὔτε κανένα ἄλλο ἀπὸ τὰ κακὰ ποὺ ἀπηριθμήσαμεν, ἀλλὰ ἐζοῦσαν ὅλοι μὲ τὴν πρέπουσαν σοβαρότητα, ποῖος ἀπὸ ὅλους τοὺς ἀνθρώπους θὰ ἀμφισβητοῦσε τὴν πρόνοιαν τοῦ Θεοῦ; Κανείς!

Τώρα δὲ συμβαίνει τὸ ἴδιον, καθώς, ἐὰν ἐνῷ ἐνέσκηψε κακοκαιρία ὁ κυβερνήτης κάμνῃ τὸ καθῆκον του καὶ διασώζῃ τὸ πλοῖον, ὅμως δὲν φαίνεται ἡ ἀξία τῆς τέχνης του εἰς τοὺς ἐπιβάτας λόγῳ τῆς ταραχῆς, τοῦ φόβου καὶ τῆς ἀγωνίας διὰ τὰς συμφορὰς ποὺ ἐπικρέμανται. Ἐπειδὴ καὶ ὁ Θεὸς κυβερνᾷ μὲν καὶ τώρα τὸ σύμπαν αὐτό, δὲν φαίνεται ὅμως εἰς τοὺς πολ-

---

25. Αἱρεσιάρχης, γεννηθεὶς εἰς Αἴγυπτον, ἄγνωστον πότε, ἀποθανὼν δὲ τὸ 161 μ.Χ. Μεταβὰς εἰς Ρώμην ἐπεχείρησε νὰ διαδώσῃ τὴν διδασκαλίαν του, συνισταμένην εἰς ἀνάμειξιν ἀφ' ἑνὸς μὲν ἑλληνικῶν θεωριῶν (Ἰδεῶν τοῦ Πλάτωνος, ἀριθμῶν τοῦ Πυθαγόρου, θεογονίας τοῦ Ἡσιόδου καὶ μυστικοπαθοῦς Παραδόσεως Ὀρφικῶν), ἀφ' ἑτέρου δὲ τοῦ κατὰ Ἰωάννην Εὐαγγελίου, θεωρουμένου ὑπ' αὐτοῦ ὡς μόνου γνησίου. Μὲ τὴν ἀναίρεσιν τῶν δοξασιῶν τοῦ Βαλεντίνου ἠσχολήθησαν πολλοὶ Πατέρες τῆς Ἐκκλησίας, κατ' ἐξοχὴν δὲ ὁ Εἰρηναῖος.

βερνᾷ μὲν τὸ πᾶν τοῦτο καὶ νῦν, οὐ φαίνεται δὲ τοῖς πολλοῖς διὰ τὸν τῶν πραγμάτων χειμῶνα καὶ τὴν ταραχήν, ἣν οὗτοι δὴ μάλιστα πάντων ἐργάζονται. Ὥστε οὐ μόνον πολιτείαν ἀνατρέπουσιν, ἀλλὰ καὶ εὐσέβειαν λυμαίνονται·
5 *καὶ οὐκ ἄν τις ἁμάρτοι κοινοὺς ἐχθροὺς τούτους προσειπών, οἳ κατὰ τῆς ἑτέρων ζῶσι σωτηρίας, δόγμασι μιαροῖς καὶ βίοις ἀκαθάρτοις τοὺς μεθ' ἑαυτῶν ἐμπλέοντας καταδύοντες.*

11. Ἀλλ' ἐν τοῖς μοναστηρίοις τούτων οὐδέν ἐστιν ἰδεῖν, ἀλλὰ καίτοι χειμῶνος ἠρμένου τοσούτου, μόνοι κάθην-
10 *ται ἐν λιμένι καὶ γαλήνῃ καὶ ἀσφαλείᾳ πολλῇ, καθάπερ ἐξ οὐρανοῦ τὰ τῶν ἄλλων ἐπισκοποῦντες ναυάγια· καὶ γὰρ πολιτείαν οὐρανῷ πρέπουσαν εἵλοντο, καὶ ἀγγέλων οὐδὲν χεῖρον διάκεινται. Ὥσπερ οὖν ἐν ἐκείνοις οὐκ ἔστιν ἀνωμαλία τις, οὐδὲ οἱ μὲν ἐν εὐημερίᾳ, οἱ δὲ ἐν ἐσχάτοις κακοῖς, ἀλλ'*
15 *ἅπαντες ἐν εἰρήνῃ μιᾷ καὶ χαρᾷ καὶ δόξῃ, οὕτω δὴ καὶ ἐνταῦθα· οὐδεὶς ὀνειδίζει πενίαν, οὐδεὶς ἐπὶ πλούτῳ σεμνύνεται· τὸ σὸν καὶ τὸ ἐμὸν τοῦτο δὴ τὸ πάντα ἀνατρέπον καὶ θορυβοῦν ἐξώρισται· καὶ πάντα αὐτοῖς κοινά, καὶ τράπεζα καὶ οἴκησις καὶ ἱμάτια. Καὶ τί θαυμαστόν, ὅπου γε καὶ αὐτὴ*
20 *ἡ ψυχὴ μία πᾶσι καὶ ἡ αὐτή; Πάντες τὴν αὐτὴν εὐγένειάν εἰσιν εὐγενεῖς, τὴν αὐτὴν δουλείαν δοῦλοι, τὴν αὐτὴν ἐλευθερίαν ἐλεύθεροι· εἷς ἐκεῖ πλοῦτος πᾶσιν ὁ ὄντως πλοῦτος, μία δόξα ἡ ὄντως δόξα· οὐ γὰρ ἐν ὀνόμασιν, ἀλλ' ἐν πράγμασιν αὐτοῖς τὰ ἀγαθά· μία ἡδονή, μία ἐπιθυμία, μία ἐλ-*
25 *πὶς πᾶσι, καὶ καθάπερ ἀπὸ κανόνος τινὸς καὶ στάθμης ἅπαντα διηκρίβωται, καὶ ἀνωμαλία μὲν οὐδεμία, τάξις δὲ καὶ ῥυθμὸς καὶ ἁρμονία καὶ πολλὴ τῆς συμφωνίας ἡ ἀκρίβεια, καὶ διηνεκὴς εὐθυμίας ὑπόθεσις. Διὸ πάντες πάντα ποιοῦσι*

λοὺς λόγῳ τῶν περιστάσεων τῆς κακοκαιρίας καὶ τῆς ταραχῆς, τὴν ὁποίαν προξενοῦν αὐτοὶ περισσότερον ἀπὸ ὅλους. Ὥστε ὄχι μόνον ἀνατρέπουν τὸ πολίτευμα, ἀλλὰ καὶ τὴν εὐσέβειαν ζημιώνουν. Καὶ δὲν θὰ ἔσφαλλε κανείς, ἐὰν αὐτοὺς τοὺς ἀνθρώπους ὠνόμαζε κοινοὺς ἐχθρούς, διότι ζοῦν διὰ νὰ παρεμποδίζουν τὴν σωτηρίαν τῶν ἄλλων, καταβυθίζοντες τοὺς συνταξειδεύοντας μὲ αὐτοὺς μὲ μιαρὰς δοξασίας καὶ ἀκάθαρτον ζωήν.

11. Ἀλλὰ εἰς τὰ μοναστήρια αὐτῶν δὲν εἶναι δυνατὸν νὰ ἰδῇ κανεὶς τίποτε ἀπὸ αὐτά, καὶ ἐνῷ ἔχει ἐνσκήψει τόσον μεγάλη τρικυμία, αὐτοὶ εἶναι οἱ μόνοι ποὺ εὑρίσκονται εἰς λιμάνι μὲ πολλὴν γαλήνην καὶ ἀσφάλειαν, καὶ ὡσὰν ἀπὸ τὸν οὐρανὸν παρατηροῦν τὰ ναυάγια τῶν ἄλλων· διότι ἐπροτίμησαν ζωὴν ποὺ ἁρμόζει εἰς τὸν οὐρανόν, καὶ δὲν εὑρίσκονται εἰς κατωτέραν κατάστασιν ἀπὸ τοὺς ἀγγέλους. Ὅπως λοιπὸν εἰς ἐκείνους δὲν ὑπάρχει καμμία ἀνωμαλία, οὔτε ἄλλοι μὲν εὑρίσκονται εἰς εὐτυχίαν, ἄλλοι δὲ εἰς τὰς χειροτέρας συμφοράς, ἀλλὰ ὅλοι εἰς μίαν εἰρήνην καὶ χαρὰν καὶ δόξαν, ἔτσι λοιπὸν καὶ ἐδῶ. Κανεὶς δὲν ὀνειδίζει τὸν ἄλλον διὰ πτωχείαν, κανεὶς δὲν ὑπερηφανεύεται διὰ πλοῦτον. Τὸ ἰδικόν μου καὶ τὸ ἰδικόν σου, αὐτὸ ἀκριβῶς ποὺ ἀνατρέπει καὶ ταράσσει τὰ πάντα, ἔχει ἀποβληθῆ, καὶ ὅλα εἰς αὐτοὺς εἶναι κοινά, τὸ φαγητόν, ἡ στέγη καὶ τὰ ἐνδύματα. Καὶ τί τὸ παράξενον, ἀφοῦ καὶ αὐτὴ ἡ ψυχὴ εἶναι μία καὶ ἡ αὐτὴ εἰς ὅλους; Ὅλοι εἶναι ἐξ ἴσου εὐγενεῖς, ἐξ ἴσου δοῦλοι, ἐξ ἴσου καὶ ἐλεύθεροι. Ἕνας πλοῦτος ὑπάρχει εἰς ὅλους ἐκεῖ, ὁ πραγματικὸς πλοῦτος, μία δόξα, ἡ ἀληθινὴ δόξα· διότι τὰ ἀγαθὰ δὲν συνίστανται εἰς τὰ ὀνόματα ἀλλ' εἶναι πραγματικά. Μία εὐχαρίστησις, μία ἐπιθυμία, μία ἐλπὶς εἰς ὅλους ὑπάρχει, καὶ ὅλα ἔχουν κανονισθῆ ἀκριβῶς ὡσὰν μὲ χάρακα καὶ μὲ νῆμα στάθμης, καὶ δὲν ὑπάρχει καμμία ἀνωμαλία, ἀλλὰ τάξις καὶ ρυθμὸς καὶ ἁρμονία καὶ πολλὴ ἀκρίβεια τῆς ὁμοφωνίας καὶ διαρκὴς κατάστασις εὐθυμίας. Δι' αὐτὸ ὅλοι κάμνουν τὸ κάθε τι καὶ

καί πάσχουσιν, ἵνα εὐθυμῶσι τε καὶ χαίρωσιν. Ἐκεῖ γὰρ μόνον τοῦτο καθαρῶς συμβαῖνόν ἐστιν ἰδεῖν, ἄλλοθι δὲ οὐδαμοῦ, οὐ μόνον τῷ τῶν παρόντων ὑπερορᾶν, καὶ πᾶσαν ἐκκεκόφθαι στάσεως καὶ μάχης ὑπόθεσιν, καὶ λαμπρὰς αὐ- 5 *τοῖς εἶναι περὶ τῶν μελλόντων τὰς ἐλπίδας ἀλλὰ καὶ τῷ τὰ συμβαίνοντα ἑκάστῳ λυπηρὰ καὶ χρηστὰ κοινὰ πάντων εἶναι νομίζειν. Ἥ τε γὰρ ἀθυμία ἀφανίζεται ῥᾴδιον, ἀναλόγως τῷ ἑνὶ συνδιαφερόντων τὸ φορτίον ἁπάντων, τῆς τε εὐθυμίας πολλὰς ἔχουσι τὰς ὑποθέσεις, οὐκ ἐπὶ τοῖς ἑαυτῶν* 10 *μόνοις εὐφραινόμενοι καλοῖς, ἀλλὰ καὶ ἐπὶ τοῖς ἀλλήλων οὐχ ἧττον, ἢ ἐπὶ τοῖς ἑαυτῶν.*

Πῶς οὖν ἡμῖν οἰχήσεται τὰ πράγματα, ἂν τούτους πάντες ζηλώσωμεν; Νῦν γὰρ οἴχεται καὶ διέφθαρται διὰ τοὺς πόρρω τῆς πολιτείας ταύτης ἠσκημένους. Σὺ δὲ τἀναντία 15 *ψηφιζόμενος ταὐτὸ ποιεῖς, ὥσπερ ἂν εἴ τις καὶ λύραν μὲν ἀκριβῶς ἡρμοσμένην ὡς ἄχρηστον διαβάλλοι, τὴν ἐναντίως δὲ ἔχουσαν, καὶ ἐπιτάσει καὶ ἀνέσει διεφθαρμένην ἀμέτρῳ, ταύτην ἐπιτηδείαν εἶναι καὶ πρὸς κρούσματα καὶ πρὸς τέρψιν λέγοι τῶν θεατῶν. Ἀλλ' οὐδὲν οὔτε τῆς ἀμουσίας τοῦ ταῦτα* 20 *λέγοντος ἕτερον τούτου μεῖζον τεκμήριον ἐζητήσαμεν ἄν, οὔτε τῆς βασκανίας καὶ μισανθρωπίας τῶν τὰ τοιαῦτα ψηφιζομένων δεῖγμα σαφέστερον ἄλλο. Ἀλλὰ τίς ὁ τῶν ἐπιεικεστέρων λόγος πατέρων; Μαθέτωσαν, φησί, γράμματα πρότερον, καὶ τὴν τῶν λόγων προσλαβόντες δύναμιν, οὕτως* 25 *ἐπὶ τὴν φιλοσοφίαν ἀγέσθωσαν ταύτην· τότε ὁ κωλύσων οὐδείς. Καὶ πόθεν δῆλον ὅτι πάντως εἰς ἄνδρας ἐκβήσονται; πολλοὶ γὰρ ἀώρῳ προαναρπασθέντες ἀπῆλθον θανά-*

πάσχουν, διὰ νὰ εὐθυμοῦν καὶ νὰ χαίρωνται. Ἐκεῖ μόνον ἠμπορεῖ κανεὶς νὰ ἰδῇ αὐτὸ τὸ πρᾶγμα νὰ συμβαίνῃ κατὰ τρόπον τέλειον, καὶ ἀλλοῦ πουθενά, διότι δὲν περιφρονοῦν μόνον τὰ παρόντα καὶ ἔχουν ἀποκόψει κάθε ὑπόθεσιν στάσεως καὶ διαμάχης καὶ ἔχουν λαμπρὰς ἐλπίδας περὶ τῶν μελλόντων ἀγαθῶν, ἀλλὰ καὶ τὰ δυσάρεστα καὶ εὐχάριστα ποὺ συμβαίνουν εἰς τὸν καθένα, τὰ θεωροῦν κοινὰ εἰς ὅλους. Ἄλλωστε καὶ ἡ μελαγχολία ἐξαφανίζεται εὐκολώτερα, ὅταν ὅλοι κατ' ἀναλογίαν φέρουν τὸ φορτίον, ὅπως ὁ καθείς, καὶ ἔχουν πολλὰς ἀφορμὰς χαρᾶς, ἐπειδὴ δὲν χαίρονται μόνον διὰ τὰς ἀτομικάς των χαράς, ἀλλὰ καὶ διὰ τὰς μεταξύ των ὄχι ὀλιγώτερον ἀπ' ὅσον διὰ τὰς ἀτομικάς των.

Πῶς λοιπὸν θὰ φύγῃ ἀπὸ τὰ χέρια μας ἡ κατάστασις, ἐὰν τοὺς μιμηθοῦμεν ὅλοι; Διότι τώρα ἔχουν χαθῇ καὶ ἔχουν καταστραφῇ ἐξ αἰτίας αὐτῶν, οἱ ὁποῖοι ἔχουν ἀσκηθῇ μακρὰν τοῦ τρόπου τῆς ζωῆς αὐτῆς. Ἐσὺ ὅμως ἀποδεχόμενος τὰ ἀντίθετα κάμνεις τὸ ἴδιο πρᾶγμα, ὅπως ἀκριβῶς κάμνει ἐκεῖνος ὁ ὁποῖος τὴν καταλλήλως ἐγχορδισμένην λύραν κατηγορεῖ ὡς ἄχρηστον, καὶ ἐκείνην ἡ ὁποία εἶναι ἀκατάλληλος λόγῳ τῆς μεγάλης ἐντάσεως ἢ χαλαρώσεως τῶν χορδῶν της χαρακτηρίζει κατάλληλον καὶ διὰ παραγωγὴν ἤχων ἁρμονικῶν καὶ πρὸς τέρψιν τῶν θεατῶν. Ἀλλὰ δὲν θὰ ἐζητούσαμεν ἄλλην μεγαλυτέραν ἀπόδειξιν διὰ τὴν ἀμουσίαν τοῦ λέγοντος αὐτὰ ἀπὸ αὐτοὺς τοὺς λόγους του, οὔτε ἄλλο σαφέστερον δεῖγμα διὰ τὸν φθόνον καὶ τὴν μισανθρωπίαν τῶν ἀνθρώπων ἐκείνων, οἱ ὁποῖοι ἔχουν τέτοιαν ἰδέαν διὰ τὸν φιλόσοφον βίον τῶν μοναχῶν. Ἀλλὰ τί λέγουν οἱ μετριώτεροι ἀπὸ τοὺς πατέρας; Ἂς μάθουν, λέγουν, προηγουμένως γράμματα καὶ ἀφοῦ ἀποκτήσουν τὴν ἱκανότητα τῆς ρητορείας, ἔπειτα ἂς ὁδηγηθοῦν εἰς τὴν φιλοσοφίαν αὐτήν· τότε κανεὶς δὲν θὰ τοὺς ἐμποδίσῃ. Καὶ ἀπὸ ποῦ γίνεται φανερὸν ὅτι θὰ φθάσουν ὁπωσδήποτε εἰς τὴν ἀνδρικὴν ἡλικίαν; διότι πολλοὶ ἀνηρπάσθησαν ἀπὸ

τῳ. Ἀλλ' ἔστω καὶ τοῦτο εἶναι φανερόν· θῶμεν αὐτοὺς καὶ εἰς ἄνδρας τελέσειν, τίς ἐγγυήσεται τὴν προτέραν ἅπασαν ἡλικίαν; Οὔπω γὰρ οὐδὲν πρὸς φιλονεικίαν φθέγγομαι, ὅτι εἴ τις ὑπὲρ τούτων παρεῖχε θαρρεῖν, οὐδὲ κτησαμένους τὴν 5 δύναμιν ταύτην ἐξήγαγον ἄν, ἀλλά τό τε μάλιστα μένειν ἐκέλευσα, καὶ τοὺς φυγαδεύοντας αὐτοὺς οὐκ ἂν ἐπήνεσα, ἀλλ' ὡς κοινοὺς τῆς πολιτείας ἐχθροὺς ἀπεστράφην ἄν, ὅτι τοὺς λύχνους κρύπτοντες, καὶ τοὺς φωστῆρας ἀπὸ τῆς πόλεως ἐπὶ τὴν ἐρημίαν ἄγοντες, τὰ μέγιστα τοὺς ἔνδον οἰκοῦντας 10 ἐζημίουν ἀγαθά. Εἰ δὲ οὐδεὶς ὁ ταῦτα ὑποσχησόμενος, τί τὸ ὄφελος πέμπειν εἰς διδασκάλους, ἔνθα πρὸ τῶν λόγων κακίαν εἴσονται, καὶ τὸ ἔλαττον βουλόμενοι λαβεῖν, τὸ μεῖζον ἀπολέσουσι, τῆς ψυχῆς τὴν ἰσχὺν καὶ τὴν εὐεξίαν ἅπασαν;

15 *Τί οὖν; κατασκάψομεν τὰ διδασκαλεῖα, φησίν; Οὐ τοῦτο λέγω, ἀλλ' ὅπως μὴ τὴν τῆς ἀρετῆς καθέλωμεν οἰκοδομήν, καὶ ζῶσαν κατορύξωμεν τὴν ψυχήν· σωφροσύνης μὲν γὰρ ταύτης οὐδεμία ἀπὸ τῆς τῶν λόγων ἀπειρίας ἔσται ζημία, διεφθαρμένης δὲ μεγίστη ἡ βλάβη, κἂν σφόδρα ἡ 20 γλῶττα ἠκονημένη τυγχάνῃ, καὶ τοσούτῳ μείζων, ὅσῳπερ ἂν ἐκείνη προσῇ ἡ δύναμις. Πονηρία γὰρ τὴν τοῦ λέγειν προσλαβοῦσα ἐμπειρίαν, πολλῷ χείρονα τῆς ἀμαθίας ἐργάζεται τὰ δεινά.*

Ἂν δὲ ἀπελθόντες ἐκεῖ, φησί, πρὸς τῷ τὴν γλῶσσαν 25 ἀργοτέραν ἔχειν, καὶ τῆς ἀρετῆς ἐκπέσωσιν ἐκείνης; Ἂν δὲ μένοντες, εἰπέ μοι, πρὸς τῷ τὴν ψυχὴν διαφθεῖραι, μηδὲν εἰς εὐγλωττίαν ἀπόνωνται τῆς σχολῆς; ἐμοὶ γὰρ ἁρμό-

---

26. Οὕτω ὠνομάζοντο αἱ ἐθνικαὶ (εἰδωλολατρικαὶ) σχολαὶ τῆς ἐποχῆς ἐκείνης.

πρόωρον θάνατον καὶ ἀπῆλθαν. Ἀλλ' ἂς παραδεχθῶμεν, ὅτι καὶ αὐτὸ εἶναι φανερόν· ἂς ὑποθέσωμεν ὅτι θὰ φθάσουν εἰς τὴν ἀνδρικὴν ἡλικίαν. Ποῖος θὰ ἐγγυηθῇ δι' ὅλην τὴν προτέραν ζωήν; Δὲν κατέχομαι ἀπὸ φιλόνεικον διάθεσιν, ὅταν λέγω ὅτι, ἐὰν κάποιος μᾶς ἐβεβαίωνε δι' αὐτοὺς ὅτι θὰ εὐδοκιμοῦσαν εἰς τὰς σπουδάς των, ἂν ἀποκτοῦσαν τὴν δύναμιν αὐτήν, δὲν θὰ εἶχα τὴν γνώμην νὰ ἀποσυρθοῦν ἀπὸ τὴν πόλιν, ἀλλὰ τότε πολὺ περισσότερον θὰ τοὺς συνιστοῦσα νὰ μείνουν, καὶ δὲν θὰ ἐπαινοῦσα αὐτοὺς ποὺ τοὺς φυγαδεύουν, ἀλλὰ θὰ τοὺς ἀπεστρεφόμην ὡς κοινοὺς ἐχθροὺς τῆς πολιτείας, διότι μὲ τὸ νὰ κρύπτουν καὶ νὰ ὁδηγοῦν τοὺς φωστῆρες εἰς τὴν ἐρημίαν, θὰ ἐζημίωναν πάρα πολὺ τοὺς κατοικοῦντας εἰς τὴν πόλιν. Ἐὰν δὲ δὲν ὑπάρχῃ κανείς, ποὺ νὰ μᾶς ὑποσχεθῇ ὅτι θὰ συμβοῦν αὐτά, ποῖον τὸ ὄφελος νὰ τοὺς στέλλετε εἰς διδασκάλους, ὅπου πρὸ τῆς ρητορείας θὰ γνωρίσουν τὴν κακίαν, καὶ ἐνῷ θέλουν νὰ λάβουν τὸ μικρότερον θὰ χάσουν τὸ μεγαλύτερον, δηλαδὴ τὴν δύναμιν τῆς ψυχῆς καὶ ὅλην τὴν ὑγείαν;

Τί λοιπόν; Θὰ κρημνίσωμεν, λέγει, τὰ διδασκαλεῖα;[26] Δὲν ἐννοῶ αὐτό, ἀλλὰ νὰ μὴ καταστρέψωμεν τὸ οἰκοδόμημα τῆς ἀρετῆς καὶ θάψωμεν ζωντανὴν τὴν ψυχήν· διότι, ὅταν αὕτη σωφρονῇ, δὲν προκύπτει καμμία ζημία ἀπὸ τὴν ἄγνοιαν τῆς ρητορικῆς τέχνης, ἐνῷ μεγίστη θὰ εἶναι ἡ ζημία ὅταν αὐτὴ διαφθαρῇ, ἔστω καὶ ἂν ἡ γλῶσσα εἶναι πάρα πολὺ ἐξησκημένη, καὶ μάλιστα τότε τόσον μεγαλυτέρα εἶναι ἡ ζημία, ὅσον μεγαλυτέρα εἶναι ἡ ρητορικὴ δύναμις. Διότι ὅταν ἡ πονηρία προσλάβῃ τὴν πεῖραν τοῦ λόγου, κάμνει τὰ κακὰ πολὺ χειρότερα ἀπὸ ὅσον ἡ ἀμάθεια.

Ἂν ὅμως, λέγει, ἀφοῦ ὑπάγουν εἰς τὴν ἐρημίαν ἐκείνην, ἐκτὸς τοῦ ὅτι θὰ ἔχουν τὴν γλῶσσαν των δεσμευμένην, ἐκπέσουν καὶ ἀπὸ τὴν ἀρετὴν ἐκείνην; Ἂν ὅμως, εἰπέ μου, ἀφοῦ παραμείνουν εἰς τὴν πόλιν, ἐκτὸς τοῦ ὅτι θὰ διαφθείρουν τὴν ψυχὴν δὲν θὰ ὠφεληθοῦν εἰς τίποτε ἀπὸ τὴν σπουδήν των νὰ γίνουν εὔγλωττοι; Διότι περισσότερον ἀρ-

σει ταῦτα λέγειν μᾶλλον, ἢ ἐκεῖνά σοι. Τί δήποτε; Ὅτι εἰ καὶ τὸ τοῦ μέλλοντος ἄδηλον ἑκατέρου, τὸ σὸν ἀδηλότερον. Πῶς, καὶ διὰ τί; Ὅτι ἡ μὲν τῶν λόγων σπουδὴ τῆς ἀπὸ τῶν τρόπων ἐπιεικείας δεῖται, ἡ δὲ τῶν τρόπων ἐπιείκεια οὐ- 5 *κέτι τῆς ἀπὸ τῶν λόγων προσθήκης. Σωφροσύνην μὲν γὰρ καὶ χωρὶς τῆς παιδεύσεως ταύτης κατορθῶσαι ἔνι, λόγων δὲ δύναμιν χωρὶς τρόπων χρηστῶν οὐδεὶς ἂν προσλάβοι ποτέ, παντὸς τοῦ χρόνου εἰς κακίαν καὶ ἀσέλγειαν ἀναλισκομένου.*

10 *Ὥστε ὅπερ ἐκεῖ δέδοικας, τοῦτο καὶ ἐνταῦθα φοβεῖσθαι χρή· καὶ πολλῷ μᾶλλον ἐνταῦθα, ὅσῳ καὶ πυκνότεραι αἱ ἀποτυχίαι, καὶ περὶ τῶν μειζόνων ὁ κίνδυνος. Κἀκεῖ μὲν πρὸς ἓν ἠσχολῆσθαι μόνον ἀνάγκη, ἐνταῦθα δὲ τῶν δύο κρατῆσαι πρόκειται, ὡς οὐκ ἐνὸν θάτερον χωρὶς θατέρου* 15 *λαβεῖν, οὐδὲ σωφροσύνης χωρὶς τοὺς λόγους εἰδέναι. Εἰ δὲ βούλει, καὶ τὸ ἀδύνατον τοῦτο θῶμεν εἶναι δυνατόν, τί γένοιτ' ἂν ἡμῖν ἀγαθὸν ἀπὸ τῆς τούτων ἐμπειρίας, περὶ τὰ καίρια λαμβάνουσι τὴν πληγήν; τί δὲ κακὸν ἀπὸ τῆς ἀπειρίας, τῶν μεγίστων ἡμῖν κατορθουμένων; Καὶ ταῦτα οὐ* 20 *παρ' ἡμῖν μόνον τοῖς καταγελῶσι τῆς ἔξωθεν σοφίας, καὶ μωρίαν αὐτὴν εἶναι νομίζουσιν, ἀλλὰ καὶ παρ' αὐτοῖς τοῖς ἔξωθεν φιλοσόφοις οὕτω συνωμολόγηται. Καὶ διὰ τοῦτο οἱ μὲν πολλοὶ οὐ σφόδρα ἐπεμελήθησαν τοῦ πράγματος· οἱ δὲ καὶ τέλεον κατεφρόνησαν, καὶ διετέλεσαν ὄντες ἀμαθεῖς,* 25 *καὶ τὸν ἅπαντα βίον ἐν τῷ τῆς φιλοσοφίας ἠθικωτέρῳ διατρίψαντες μέρει, σφόδρα ἔλαμψαν, καὶ γεγόνασι περιφανεῖς.*

μόζει νὰ λέγω ἐγὼ αὐτὰ παρὰ ἐσὺ ἐκεῖνα. Διατί τάχα; Διότι, ἂν καὶ τὸ μέλλον εἶναι ἀόρατον διὰ τὸν καθένα μας, ὅμως τὸ ἰδικόν σου εἶναι ἀκόμη ἀδηλότερον. Πῶς λοιπόν, καὶ διατί; Ἐπειδὴ ἡ μὲν μάθησις τῆς ρητορικῆς ἔχει ἀνάγκην ἀπὸ τὴν κοσμίαν συμπεριφοράν, ἡ δὲ κοσμία συμπεριφορὰ δὲν ἔχει ἀνάγκην ἀπὸ τὴν ἀπόκτησιν τῆς ρητορικῆς δεινότητος. Ἄλλωστε εἶναι δυνατὸν νὰ ἐπιτύχῃ κανεὶς τὴν σωφροσύνην καὶ χωρὶς αὐτὴν τὴν μόρφωσιν, ἐνῷ κανεὶς δὲν θὰ ἠδύνατο νὰ ἀποκτήσῃ τὴν ἱκανότητα τῆς ρητορείας χωρὶς τοὺς καλοὺς τρόπους, διότι ὅλος ὁ χρόνος θὰ ἐξοδεύεται εἰς τὴν διάπραξιν τοῦ κακοῦ καὶ τὴν ἀκολασίαν.

Ὥστε ἐκεῖνο ποὺ φοβεῖσαι ἐκεῖ, πρέπει νὰ τὸ φοβῆσαι καὶ ἐδῶ, καὶ πολὺ περισσότερον ἐδῶ, ὅπου εἶναι συχνότεραι αἱ ἀποτυχίαι, καὶ σοβαρώτερος ὁ κίνδυνος. Καὶ ἐκεῖ μὲν ὑπάρχει ἀνάγκη νὰ ἀσχοληθῇ κανεὶς μόνον μὲ ἕνα ἀπὸ τὰ δύο, ἐνῷ ἐδῶ πρέπει νὰ γίνωμεν κύριοι καὶ τῶν δύο, ἐπειδὴ δὲν γίνεται νὰ ἀποκτήσωμεν τὸ ἕνα χωρὶς νὰ ἔχωμεν τὸ ἄλλο, οὔτε χωρὶς τὴν σωφροσύνην νὰ μάθωμεν τὴν ρητορείαν. Καὶ ἂν θέλῃς ἂς ὑποθέσωμεν καὶ τὸ ἀδύνατον τοῦτο ὡς δυνατόν, ὅτι δηλαδὴ κάποιος ἠμπορεῖ, καὶ χωρὶς νὰ εἶναι σώφρων εἰς τὸν βίον του, νὰ γίνῃ δεινὸς ρήτωρ καὶ συζητητής. Τί καλὸν θὰ προήρχετο ἀπὸ αὐτὸ τὸ πρᾶγμα εἰς ἡμᾶς, οἱ ὁποῖοι δεχόμεθα τὸ κτύπημα εἰς τὰ καίρια σημεῖα; Καὶ τί κακὸν θὰ προήρχετο ἀπὸ τὴν ἀπειρίαν τοῦ λόγου, ὅταν ἐπιτυγχάνωνται τὰ μεγαλύτερα μὲ τὴν ἀρετὴν καὶ τὴν σωφροσύνην; Καὶ αὐτὰ δὲν θεωροῦνται τοιαῦτα μόνον ἀπὸ ἡμᾶς ποὺ περιφρονοῦμεν τὴν κατὰ κόσμον σοφίαν καὶ τὴν θεωροῦμεν μωρίαν, ἀλλὰ ἔχουν γίνει παραδεκτὰ καὶ ἀπὸ τοὺς ἰδίους τοὺς ἐθνικοὺς φιλοσόφους. Δι' αὐτὸ καὶ οἱ περισσότεροι ἀπὸ αὐτοὺς δὲν ἐφρόντισαν πολὺ διὰ τὴν ρητορείαν, ἄλλοι δὲ τὴν περιεφρόνησαν ἐντελῶς καὶ ἐξηκολούθησαν νὰ εἶναι ἀμαθεῖς καὶ ἀσχοληθέντες εἰς ὅλην τὴν ζωήν των μὲ τὸ ἠθικώτερον μέρος τῆς φιλοσοφίας ἔλαμψαν ἐξαίσια καὶ ἔγιναν διάσημοι.

Καὶ γὰρ Ἀνάχαρσις καὶ Κράτης καὶ Διογένης, οὐδεμίαν ἐποιήσαντο σπουδὴν τούτου· φασὶ δέ τινες, οὐδὲ Σωκράτης, καὶ μαρτυρήσειεν ἂν ἡμῖν ὁ μάλιστα πάντων ἐν τῇ τέχνῃ ταύτῃ διενεγκών, καὶ τὰ ἐκείνου τῶν ἄλλων εἰδὼς
5 *ἀκριβέστερον. Εἰσαγαγὼν γὰρ αὐτόν ποτε εἰς δικαστήριον ἀπολογησόμενον, ἐν τῇ πρὸς τοὺς δικαστὰς ἀπολογίᾳ ἐποίησεν οὕτω λέγοντα· «Ὑμεῖς δὲ ὁμοῦ ἀκούσεσθε πᾶσαν τὴν ἀλήθειαν, οὐ μέντοι μὰ Δί, ὦ ἄνδρες Ἀθηναῖοι, κεκαλλιεπημένους γε λόγους, ὥσπερ οἱ τούτων, ῥήμασί τε καὶ ὀνό-*
10 *μασιν, οὐδὲ κεκοσμημένους, ἀλλ' ἀκούσεσθε ἁπλῶς καὶ εἰκῇ λεγόμενα τοῖς ἐπιτυχοῦσιν ὀνόμασι. Πιστεύω γὰρ δίκαια εἶναι ἃ λέγω, καὶ μηδεὶς ὑμῶν προσδοκησάτω ἄλλως. Οὐδὲ γὰρ ἂν δήπου πρέποι τῇ ἡλικίᾳ τῇδε, ὥσπερ μειρακίῳ πλάττοντι λόγους, εἰς ὑμᾶς εἰσιέναι».*

15 *Ταῦτα δὲ ἔλεγε δεικνύς, ὅτι οὐ διὰ ῥᾳθυμίαν τινά, ἀλλὰ διὰ τὸ μὴ μέγα τὸ πρᾶγμα ἡγεῖσθαι οὔτε ἔμαθεν, οὔτε ἐχρήσατο. Οὐκ οὖν φιλοσόφων μὲν ἡ εὐγλωττία, καὶ ἀνδρῶν δὲ ἁπλῶς, μειρακίων δὲ παιζόντων ἡ φιλοτιμία, ὡς καὶ αὐτοῖς τοῖς φιλοσόφοις δοκεῖ, οὐ τοῖς ἄλλοις μόνον, ἀλλὰ*
20 *καὶ τῷ πάντων μάλιστα ἐν τούτῳ κεκρατηκότι· τὸν γὰρ διδάσκαλον οὐκ ἀφίησι κοσμεῖσθαι τῷ πράγματι, αἰσχρὸν τῷ φιλοσόφῳ τὸν κόσμον τοῦτον εἶναι νομίζων. Ἀλλὰ ταῦτα μὲν ὡς πρὸς ἄπιστον δικαίως ἄν τις εἴποι, μᾶλλον δὲ καὶ πρὸς πιστόν. Πῶς γὰρ οὐκ ἄτοπον ὅταν οἱ μὲν τὴν παρὰ τῶν*

---

27. Ἀρχαῖος φιλόσοφος ἐκ Σκυθίας, φημισθεὶς ὡς φίλος καὶ μαθητὴς τοῦ Σόλωνος, προσέτι δὲ διὰ τὴν πολυμάθειαν καὶ τὰ αὐστηρά του ἤθη. Ἡ μήτηρ του ἦτο Ἑλληνίς, ὁ δὲ πατήρ του Γνοῦρος, βασιλεὺς νομαδικῆς φυλῆς παρὰ τὸν Εὔξεινον Πόντον. Ἐπεσκέφθη τὰς Ἀθήνας τὸ 589 π.Χ. θαυμάσας καὶ μελετήσας τὸν ἀθηναϊκὸν πολιτισμόν. Κατετάγη ὑπὸ τῶν Ἑλλήνων εἰς τὴν χορείαν τῶν σοφῶν. Ἐπανελθὼν εἰς τὴν πατρίδα του ἐπεχείρησε νὰ μεταφυτεύσῃ καὶ νὰ ἐπιβάλῃ εἰς αὐτὴν τὸν ἀρχαῖον Ἑλληνικὸν πολιτισμόν· τοῦτο ἐθεωρήθη ὑπὸ τοῦ προληπτικοῦ ἀδελφοῦ του, γενομένου βασιλέως τῶν Σκυθῶν, ὡς ἀσέβεια καὶ ἐφονεύθη ὑπ' αὐτοῦ.

28. Ἐπιφανὴς κυνικὸς φιλόσοφος, υἱὸς τοῦ Ἀσκώνδα, γεννηθεὶς εἰς Θήβας καὶ ἀκμάσας περὶ τὸ 330 π.Χ. Ὑπῆρξεν ὁ σπουδαιότερος μαθητὴς τοῦ Διογένους. Παρ' ὅτι κατήγετο ἀπὸ εὔπορον οἰκογένειαν,

Πράγματι καὶ ὁ Ἀνάχαρσις[27] καὶ ὁ Κράτης[28] καὶ ὁ Διογένης δὲν ἐσπούδασαν αὐτὸ τὸ πρᾶγμα, οὔτε ὁ Σωκράτης, ὅπως λέγουν μερικοὶ καὶ ὅπως θὰ μᾶς ἐβεβαίωνε περὶ τούτου αὐτὸς ὁ ὁποῖος ὑπερέβη τοὺς ἄλλους εἰς τὴν τέχνην αὐτὴν καὶ γνωρίζει τὰ περὶ ἐκείνου ἀκριβέστερον ἀπὸ τοὺς ἄλλους. Αὐτὸς διηγούμενος ὅτι κάποτε ὁ Σωκράτης εἰσήχθη εἰς τὸ δικαστήριον διὰ ν' ἀπολογηθῇ, τὸν παρουσιάζει νὰ λέγῃ τὰ ἑξῆς εἰς τὴν ἀπολογίαν του πρὸς τοὺς δικαστάς. «Ἐσεῖς, ἄνδρες Ἀθηναῖοι, ἀπὸ ἐμένα θ' ἀκούσετε ὅλην τὴν ἀλήθειαν, ὄχι βέβαια, μὰ τὸν Δία, λόγια διηνθισμένα μὲ ρητορικὰ σχήματα, ὅπως τὰ λόγια αὐτῶν, οὔτε καλλωπισμένα, ἀλλὰ θὰ ἀκούσετε λόγια ποὺ θὰ ἔλθουν εἰς τὸ στόμα μου τυχαίως καὶ ἀνεπιτηδεύτως. Διότι πιστεύω ὅτι αὐτὰ ποὺ λέγω εἶναι ὀρθά, καὶ κανεὶς ἀπὸ ἐσᾶς ἂς μὴ περιμένῃ ν' ἀκούσῃ διαφορετικά. Διότι δὲν θὰ μοῦ ἐταίριαζεν εἰς αὐτὴν τὴν ἡλικίαν νὰ προσέλθω ἐνώπιόν σας, ὡσὰν μειράκιον ποὺ συντάσσει μὲ ἐπιμέλειαν τοὺς λόγους του»[29].

Τὰ ἔλεγε δὲ αὐτὰ διὰ νὰ δείξῃ ὅτι οὔτε ἔμαθεν οὔτε ἐχρησιμοποίησε τοῦτο τὸ πρᾶγμα ὄχι δι' ἀμέλειαν, ἀλλ' ἐπειδὴ δὲν τὸ ἐθεώρει σπουδαῖον. Δὲν ἁρμόζει λοιπὸν εἰς τοὺς φιλοσόφους καὶ ἁπλῶς εἰς τοὺς ἄνδρας ἡ εὐγλωττία, ἀλλὰ ἡ φιλοδοξία αὐτὴ ἰδιάζει εἰς νεαροὺς οἱ ὁποῖοι παίζουν, ὅπως νομίζουν καὶ οἱ ἴδιοι οἱ φιλόσοφοι, καὶ μάλιστα ὄχι μόνον οἱ ἄλλοι ἀλλὰ καὶ ἐκεῖνος ποὺ ὑπερέβη ὅλους τοὺς ἄλλους κατὰ τὴν φιλοσοφίαν· διότι δὲν ἐπιτρέπει εἰς τὸν διδάσκαλον νὰ κοσμῆται μὲ αὐτὸ τὸ πρᾶγμα, ἐπειδὴ ἔχει τὴν γνώμην ὅτι ὁ διάκοσμος αὐτὸς εἶναι ἐντροπὴ διὰ τὸν φιλόσοφον. Ἀλλὰ αὐτὰ τὰ ὁποῖα δικαιολογημένως θὰ ἔλεγε κανεὶς εἰς ἄπιστον, ἠμπορεῖ νὰ λεχθοῦν καλύτερα εἰς πιστόν. Διότι πῶς δὲν εἶναι ἄτοπον, ὅταν ἐκεῖνοι, ποὺ

ἔζη πενιχρὸν καὶ λιτὸν βίον. Εἶναι ὁ τελευταῖος ἔνδοξος ἀντιπρόσωπος τῆς κυνικῆς φιλοσοφίας, ὑπῆρξε δὲ διδάσκαλος τοῦ Στωϊκοῦ φιλοσόφου Ζήνωνος.

29. Πλάτωνος, ἀπολογία Σωκράτους 5bc.

πολλῶν δόξαν θηρώμενοι, καὶ οὐδὲ ἄλλοθεν φανῆναι δυνάμενοι, ἀλλ' ἢ ἀπὸ τῆς ἔξωθεν σοφίας, μηδὲν αὐτὴν εἶναι νομίζωσιν, ἡμεῖς δὲ οὕτω θαυμάζωμεν καὶ ἐκπληττώμεθα, ὡς καὶ τῶν ἀναγκαιοτάτων διὰ ταύτην καταφρονεῖν;

5 *Πρὸς μὲν οὖν τὸν ἄπιστον ταῦτα ἀρκεῖ, πρὸς δὲ τὸν πιστὸν καὶ ταῦτα καὶ τὰ παρ' ἡμῖν ὑποδείγματα ἀναγκαῖον παράγειν. Ποῖα δὴ ταῦτα; Τοὺς μεγάλους ἄνδρας καὶ ἁγίους ἐκείνους, τοὺς πρώτους, ὅτε γράμματα οὐκ ἦν, τοὺς μετ' ἐκείνους, ὅτε γράμματα μὲν ἦν, ἐμπειρία δὲ λόγων οὐ-* 10 *δέπω, τοὺς μετὰ τούτους, ὅτε καὶ γράμματα ἦν καὶ ἐμπειρία λόγων. Ἀμφοτέρων δὲ ἦσαν τότε ἄπειροι ἐκεῖνοι· οὐ μόνον γὰρ τῆς τῶν λόγων παιδεύσεως, ἀλλὰ καὶ αὐτῆς τῆς τῶν γραμμάτων ἐμπειρίας ἐκτὸς ἦσαν· ἀλλ' ὅμως ἐν αὐτοῖς τούτοις, μετὰ τοσαύτης περιουσίας τοὺς ἐν αὐτῇ κρα-* 15 *τοῦντας παρήλασαν, ὡς παίδων ἀνοήτων αὐτοὺς φανῆναι χείρους. Ὅταν γὰρ τὸ πείθειν ἐν τοῖς λόγοις ᾖ, καὶ οἱ μὲν φιλόσοφοι μηδὲ ἑνὸς περιγίνωνται τυράννου, οἱ δὲ ἀγράμματοι καὶ ἰδιῶται τὴν οἰκουμένην ἐπιστρέφωσιν ἅπασαν, εὔδηλον ὅτι παρὰ τούτοις τὰ νικητήρια τῆς σοφίας ἐ-* 20 *στί, τοῖς ἀγραμμάτοις καὶ ἰδιώταις, οὐ παρ' ἐκείνοις τοῖς τὰ ἑκάτερα διηκριβωκόσιν. Οὕτως ἡ ὄντως σοφία καὶ ἡ ὄντως παίδευσις οὐδὲν ἕτερόν ἐστιν, ἀλλ' ἢ ὁ τοῦ Θεοῦ φόβος. Καὶ μή μέ τις νομιζέτω νομοθετεῖν ἀμαθεῖς τοὺς παῖδας γίνεσθαι· ἀλλ' εἴ τις ὑπὲρ τῶν ἀναγκαίων παρέχοι* 25 *θαρρεῖν, οὐκ ἂν ἑλοίμην κωλῦσαι καὶ τοῦτο ἐκ περιουσίας γενέσθαι. Ὥσπερ γάρ, τῶν θεμελίων σαλευομένων, καὶ πάσης τῆς οἰκίας καὶ τῆς οἰκοδομῆς κινδυνευούσης καταπεσεῖν, ἐσχάτης ἀνοίας καὶ παραπληξίας ἐστὶ πρὸς τοὺς κονιῶντας, ἀλλὰ μὴ πρὸς τοὺς οἰκοδομοῦντας τρέχειν· οὕτω* 30 *πάλιν ἀκαίρου φιλονεικίας, τῶν τοίχων ἑστώτων ἀσφαλῶς*

ἐπιδιώκουν τὴν ἀπὸ τοὺς πολλοὺς ὑπόληψιν καὶ δὲν ἠμποροῦν ἀπὸ πουθενὰ ἀλλοῦ νὰ γίνουν γνωστοὶ παρὰ ἀπὸ τὴν ἐξωτερικὴν σοφίαν, τὴν θεωροῦν τίποτε, ἐνῷ ἡμεῖς τόσον πολὺ τὴν θαυμάζομεν καὶ ἐκπληττόμεθα δι' αὐτήν, ὥστε νὰ περιφρονοῦμεν καὶ τὰ σπουδαιότερα ἐξ αἰτίας ταύτης;

12. Ὡς πρὸς τὸν ἄπιστον λοιπὸν αὐτὰ εἶναι ἀρκετά, ὡς πρὸς τὸν πιστὸν ὅμως εἶναι ἀπαραίτητον νὰ παρουσιάσωμεν καὶ αὐτὰ καὶ τὰ ἰδικά μας παραδείγματα. Ποῖα λοιπὸν εἶναι αὐτά; Οἱ μεγάλοι καὶ ἅγιοι ἐκεῖνοι ἄνδρες, οἱ πρῶτοι ποὺ ἔζησαν ὅταν δὲν ὑπῆρχον ἀκόμη γράμματα καὶ οἱ μετέπειτα ἀπὸ ἐκείνους, ὅταν ὑπῆρχαν μὲν γράμματα, δὲν ὑπῆρχεν ὅμως ἀκόμη ρητορικὴ τέχνη, καὶ αὐτοὶ ποὺ ἔζησαν μετὰ ἀπὸ αὐτούς, ὅταν καὶ γράμματα ὑπῆρχαν καὶ ρητορικὴ τέχνη. Ἀγνοοῦσαν δὲ ἐκεῖνοι καὶ τὰ δύο· καὶ ἀγνοοῦσαν ὄχι μόνον τὴν ρητορικὴν παιδείαν ἀλλὰ καὶ τὰ ἴδια τὰ γράμματα. Ἀλλ' ὅμως εἰς αὐτὰ τὰ ἴδια τὰ πράγματα, εἰς τὰ ὁποῖα φαίνεται ὅτι εἶναι ἀναγκαία ἡ δύναμις τῶν λόγων, μὲ τόσον μεγάλην ἄνεσιν ὑπερίσχυσαν ἐκείνων ποὺ ἔχουν τὴν δύναμιν αὐτήν, ὥστε αὐτοὶ νὰ φανοῦν κατώτεροι καὶ ἀπὸ ἀνόητα παιδιά. Διότι ἐὰν ἡ πειθὼ εὑρίσκεται εἰς τὴν ρητορείαν, καὶ οἱ μὲν φιλόσοφοι δὲν διαθέτουν τὴν δύναμιν νὰ μεταπείσουν οὔτε ἕνα τύραννον, οἱ δὲ ἀγράμματοι καὶ ἁπλοῖ ἄνθρωποι μεταστρέφουν εἰς τὸ καλὸν ὅλην τὴν οἰκουμένην, εἶναι ὁλοφάνερον ὅτι τὰ νικητήρια τῆς σοφίας ἀξίζουν εἰς αὐτούς, δηλαδὴ εἰς τοὺς ἀγραμμάτους καὶ ἁπλοῦς, καὶ ὄχι εἰς αὐτοὺς οἱ ὁποῖοι μὲ ἀκρίβειαν ἐσπούδασαν καὶ τὰ δύο. Ἔτσι, ἡ πραγματικὴ σοφία καὶ ἡ ἀληθινὴ μόρφωσις δὲν εἶναι τίποτε ἄλλο, παρὰ ὁ σεβασμὸς πρὸς τὸν Θεόν. Καὶ ἂς μὴ νομίζῃ κανεὶς ὅτι νομοθετῶ νὰ παραμένουν τὰ παιδιὰ ἀμόρφωτα. Ἀλλ' ἐὰν κανεὶς μᾶς ἐξησφάλιζε τὰ ἀπαραίτητα, δὲν θὰ ἤθελα νὰ ἐμποδίσω νὰ γίνῃ καὶ αὐτὸ ἐπιπροσθέτως. Διότι ὅπως ἀκριβῶς ὅταν σαλεύωνται τὰ θεμέλια καὶ κινδυνεύῃ ὅλη ἡ οἰκία καὶ ἡ οἰκοδομὴ νὰ καταπέσῃ, εἶναι ἐσχάτη ἀνοησία καὶ παραφροσύνη νὰ σπεύδῃ κανεὶς πρὸς τοὺς ἐπιχρισματοποιοὺς

καὶ βεβαίως, κωλύειν τὸν βουλόμενον κονιᾶν. Καὶ ὅτι ταῦτα ἀπὸ ψυχῆς λέγω, ἅπερ ἐπὶ τῶν ἔργων ἐπεδειξάμην, ταῦτα ὑμῖν διηγήσομαι καὶ νῦν.

Νέος τις κομιδῇ πλούσιος ὢν ἐπεδήμησέ ποτε τῇ πό-
5 *λει τῇ ἡμετέρᾳ κατὰ λόγων παίδευσιν ἑκατέραν, τήν τε Ἰ-ταλῶν τήν τε Ἑλλήνων. Οὗτος ὁ νέος εἶχεν ἀκολουθοῦντα παιδαγωγόν, ἓν ἔργον ἔχοντα μόνον διαπλάττειν αὐτοῦ τὴν ψυχήν. Τούτῳ προσελθὼν ἐγὼ τῷ παιδαγωγῷ (καὶ γὰρ τῶν ἐν ὄρεσι καθημένων ἐτύγχανεν ὤν), τὴν πρόφασιν ἐπε-*
10 *χείρουν μανθάνειν δι ἣν τοιαύτης ἐπειλημμένος σοφίας εἰς τὸν τῶν παιδαγωγῶν βίον καθῆκεν ἑαυτόν. Ὁ δὲ μικρὸν ἔφησεν ἑαυτῷ λείπεσθαι χρόνον ἐν τούτῳ, καὶ τὸ πᾶν ἡμῖν ἄνωθεν διηγήσατο. Τῷ γὰρ παιδίῳ τούτῳ, φησί, πατὴρ μέν ἐστι σκληρὸς καὶ τραχὺς καὶ πρὸς τὰ βιωτικὰ πράγμα-*
15 *τα ἐπτοημένος, μήτηρ δὲ μετρία καὶ σώφρων καὶ ἐπιεικής, καὶ πρὸς τὸν οὐρανὸν βλέπουσα μόνον. Ἐκεῖνος μὲν οὖν, ἅ-τε καὶ ἐν πολέμοις πολλὰ κατωρθωκώς, βούλεται τὸν υἱὸν ἐπὶ τὴν πατρῴαν τάξιν ἀγαγεῖν, ἡ δὲ μήτηρ ταῦτα μὲν οὔτε βούλεται, οὔτε ἐπιθυμεῖ, ἀλλὰ καὶ σφόδρα ἀπεύχεται· εὔ-*
20 *χεται δὲ καὶ ἐπιθυμεῖ λαμπρὸν αὐτὸν ἰδεῖν ἐν τῇ τῶν μοναχῶν πολιτείᾳ. Ἀλλὰ ταῦτα μὲν πρὸς τὸν πατέρα εἰπεῖν οὐκ ἐτόλμησεν· ἐδεδοίκει γὰρ μή ποτε αὐτὸ τοῦτο ὑφορώμενος ἐκεῖνος, πρὸ ὥρας αὐτὸν ἤδη καταδήσῃ τοῖς τοῦ βίου σχοινίοις, καὶ ταύτης αὐτὸν ἀποστήσας τῆς σπουδῆς, ἐπὶ*
25 *τὴν ζώνην ἀγάγοι, καὶ τὴν ἐξ ἐκείνης ῥαθυμίαν ἅπασαν, καὶ ἀδύνατον αὐτῷ τὴν μετὰ ταῦτα κατασκευάσῃ διόρθωσιν. Ἑτέραν δέ τινα συντίθησι μηχανήν· καλέσασα γάρ με οἴκοι, καὶ ταῦτα πάντα κοινωσαμένη, καὶ τοῦ παιδίου λαβοῦσα τὴν*

καὶ ὄχι πρὸς τοὺς οἰκοδόμους, ἔτσι πάλιν εἶναι ἀδικαιολόγητος ἡ φιλονεικία, ὅταν οἱ τοῖχοι εἶναι στερεοὶ καὶ ἰσχυροί, νὰ ἐμποδίζωμεν αὐτὸν ποὺ θέλει νὰ ἀσβεστώσῃ. Καὶ ὅτι μέσα ἀπὸ τὴν ψυχήν μου λέγω αὐτὰ τὰ ὁποῖα διὰ τῆς ἐμπειρίας παρετήρησα, θὰ σᾶς ἀφηγηθῶ τώρα.

Κάποιος νέος, ποὺ ἦτο πλουσιώτατος, ἐπεσκέφθη κάποτε τὴν πόλιν μας διὰ νὰ διδαχθῇ τὰ δύο εἴδη ρητορικῆς, δηλαδὴ τὴν λατινικὴν καὶ τὴν ἑλληνικήν. Αὐτὸς ὁ νέος εἶχεν ὡς ἀκόλουθον παιδαγωγόν, ποὺ εἶχε ὡς μοναδικὸν ἔργον τὴν διάπλασιν τῆς ψυχῆς του. Ἀφοῦ λοιπὸν προσῆλθον εἰς τὸν παιδαγωγὸν αὐτὸν (διότι συνέπεσε νὰ εἶναι ἕνας ἀπὸ τοὺς εἰς τὰ ὄρη ἐρημίτας), ἐζητοῦσα νὰ μάθω τὴν αἰτίαν, διὰ τὴν ὁποίαν αὐτός, ἐνῷ εἶχε ἀρχίσει νὰ καταγίνεται μὲ τέτοιαν σοφίαν, ἀφιέρωσε τὸν ἑαυτόν του εἰς τὸ ἐπάγγελμα τῶν παιδαγωγῶν. Αὐτὸς δὲ εἶπεν ὅτι θὰ παραμείνῃ ἐπ' ὀλίγον εἰς τὸ ἔργον τοῦτο, καὶ μᾶς ἀφηγήθη ὅλα ἐξ ἀρχῆς. Εἶπε δηλαδὴ ὅτι ὁ μὲν πατέρας τοῦ παιδιοῦ αὐτοῦ εἶναι σκληρὸς καὶ τραχὺς καὶ κυριευμένος ἀπὸ τὴν ἐπιθυμίαν τῶν κοσμικῶν πραγμάτων, ἡ δὲ μητέρα του εἶναι μετριοπαθὴς καὶ σώφρων καὶ ἤρεμος, καὶ ἀποβλέπει μόνον εἰς τὸν οὐρανόν. Ἐκεῖνος μὲν λοιπόν, ἐπειδὴ εἶχε πολλὰς ἀνδραγαθίας εἰς τοὺς πολέμους, θέλει νὰ ὁδηγήσῃ τὸν υἱὸν εἰς τὸ πατρικὸν ἐπάγγελμα, ἡ δὲ μητέρα του αὐτὰ οὔτε τὰ θέλει, οὔτε τὰ ἐπιθυμεῖ ἀλλὰ καὶ πολὺ τὰ ἀποστρέφεται· εὔχεται δὲ καὶ ἐπιθυμεῖ νὰ ἰδῇ λαμπρὸν τὸν υἱόν της εἰς τὴν ζωὴν τῶν μοναχῶν. Αὐτὰ ὅμως δὲν ἐτόλμησε νὰ τὰ εἴπῃ εἰς τὸν πατέρα, διότι ἐφοβήθη μήπως ἐκεῖνος ὑποπτευθεὶς αὐτὸ τὸ πρᾶγμα, τὸν δέσῃ πρόωρα μὲ τὰ σχοινιὰ τοῦ βίου, καὶ ἀφοῦ τὸν ἀπομακρύνῃ ἀπὸ τὴν σπουδὴν τὸν ὁδηγήσῃ εἰς τὸ στρατόπεδον καὶ εἰς ὅλην τὴν ἠθικὴν χαλάρωσιν ἡ ὁποία προκαλεῖται ἀπὸ αὐτό, καὶ ἔτσι καταστήσῃ ἀδύνατον τὴν διόρθωσίν του εἰς τὸ μέλλον. Μηχανεύεται δὲ κάποιον ἄλλον τρόπον· ἀφοῦ δηλαδὴ μὲ ἐκάλεσεν εἰς τὸ σπίτι καὶ μοῦ ἀνεκοίνωσεν ὅλα αὐτά, ἔλαβε τὸ δεξὶ χέρι

δεξιὰν ταῖς ἐμαῖς ἐντίθησι χερσίν. Ὡς δὲ ἠρώτων τίνος ἕνεκεν ταῦτα ποιεῖ, μίαν ταύτην ἔλεγεν ὑπολείπεσθαι μηχανὴν ἡμῖν πρὸς τὴν τοῦ παιδὸς σωτηρίαν, εἰ βουληθείην τε καὶ ἀνασχοίμην ἐν τάξει παιδαγωγοῦ τὸ παιδίον λαβὼν ἐλθεῖν ἐνθάδε· πείσειν γὰρ αὐτὴν τὸν πατέρα, ὡς καὶ τὸν στρατιωτικὸν ἑλομένῳ βίον χρήσιμος αὐτῷ τῶν λόγων ἡ παίδευσις. Ἂν οὖν τοῦτο ἰσχῦσαι δυνηθῶ, φησί, καταμόνας αὐτὸν ἔχων λοιπὸν ἐπὶ τῆς ἀλλοτρίας, οὔτε τοῦ πατρὸς ἐνοχλοῦντος, οὔτε τῶν οἰκείων τινός, μετὰ πολλῆς αὐτὸν τῆς ἐξουσίας διαπλάσαι δυνήσῃ, καὶ καθάπερ ἐν μοναστηρίῳ διάγοντα, οὕτω ποιῆσαι ζῆν. Ἀλλ' ἐπίνευσον καὶ ὑπόσχου τὸ συνυποκρίνασθαί μοι τὸ δρᾶμα. Οὐκ ἔστιν ὑπὲρ τῶν τυχόντων ὁ λόγος ἐμοί· ὑπὲρ τῆς τοῦ παιδίου μου ψυχῆς ὁ ἀγὼν καὶ ὁ κίνδυνος. Μὴ δὴ περιίδῃς τὸν πάντων ἐμοὶ φίλτατον κινδυνεύοντα, ἀλλ' ἐξάρπασον αὐτὸν ἤδη τῶν πάντοθεν περικειμένων αὐτῷ παγῶν, τῆς ζάλης, τοῦ κλυδωνίου. Εἰ δὲ οὐ θέλεις δοῦναι τὴν χάριν, τὸν Θεὸν ἤδη καλῶ μέσον ἡμῶν, καὶ μαρτύρομαι ὅτι ἐγὼ μὲν οὐδὲν ἐνέλιπον τῶν εἰς τὴν σωτηρίαν τῆς τούτου ψυχῆς ἡκόντων, ἀλλ' εἰμὶ καθαρὰ ἀπὸ τοῦ αἵματος τοῦ παιδίου τούτου· εἰ δὲ συμβαίη τι παθεῖν αὐτόν, οἷον εἰκὸς νέον ὄντα καὶ ἐν τοσαύτῃ ζῶντα τρυφῇ καὶ ῥᾳθυμίᾳ, ἀπὸ σοῦ καὶ τῶν σῶν χειρῶν κατὰ τὴν ἡμέραν ἐκείνην ἐκζητήσει τοῦ παιδίου τούτου τὴν ψυχὴν ὁ Θεός.

Ταῦτα καὶ τὰ τούτων πλείονα προσθεῖσα ῥήματα, καὶ δακρύσασα σφοδρῶς καὶ ἐλεεινῶς ἔπεισεν ἀναδέξασθαί με ταύτην τὴν πραγματείαν, καὶ μετὰ τούτων ἐξέπεμψε τῶν ἐντολῶν.

Καὶ οὐ γέγονεν αὐτῇ μάταιος ἡ μηχανή· ἀλλ' οὕτως ἐν βραχεῖ χρόνῳ τὸν παῖδα τοῦτον ὁ γενναῖος ἐκεῖνος ἤσκησε, καὶ τοσοῦτον αὐτῷ τῆς ἐπιθυμίας ταύτης ἀνῆψε τὸ πῦρ,

τοῦ παιδιοῦ καὶ τὸ ἔθεσε εἰς τὰ δικά μου χέρια. Ὅταν δὲ τὴν ἠρώτησα διατί τὰ κάμνει αὐτά, εἶπεν ὅτι ἕνας μόνον τρόπος ἀπομένει εἰς ἡμᾶς διὰ τὴν σωτηρίαν τοῦ παιδιοῦ, ἐὰν ἤθελα καὶ ἀνελάμβανα ὡς παιδαγωγὸς τὸ παιδί, νὰ ἔλθω ἐδῶ μαζί του· καὶ ὅτι θὰ πείσῃ αὐτὴ τὸν πατέρα, ὅτι καὶ ἂν ἀκόμη ἐκλέξῃ τὸ στρατιωτικὸν ἐπάγγελμα, θὰ εἶναι χρήσιμος δι' αὐτὸ καὶ ἡ ρητορικὴ παιδεία. Ἂν λοιπὸν ἠμπορέσω νὰ κατορθώσω αὐτό, λέγει, ἔχων αὐτὸν μαζὶ πλέον εἰς ξένην χώραν, χωρὶς νὰ τὸν ἐνοχλῇ οὔτε ὁ πατέρας οὔτε κανεὶς ἀπὸ τοὺς συγγενεῖς μὲ πολλὴν δύναμιν θὰ ἠμπορέσῃς νὰ τὸν διαπλάσσῃς καὶ θὰ τὸν κάμῃς νὰ ζῇ ὡσὰν εἰς μοναστήριον. Ἀλλὰ συγκατάνευσε καὶ ὑποσχέσου ὅτι θὰ ὑποκριθῇς μαζί μου εἰς αὐτὸ τὸ δρᾶμα. Δὲν ὁμιλῶ περὶ ἀσημάντων πραγμάτων· ὁ ἀγὼν καὶ ὁ κίνδυνος γίνεται διὰ τὴν σωτηρίαν τῆς ψυχῆς τοῦ παιδιοῦ. Μὴ λοιπὸν παραβλέψῃς τὸ πλέον ἀγαπητόν μου πρόσωπον ἐνῷ κινδυνεύει, ἀλλὰ ἐξάρπασέ το ἀπὸ τὰς παγίδας ποὺ τὸ περιβάλλουν καὶ ἀπὸ τὴν ζάλην καὶ τὴν τρικυμίαν. Ἐὰν ὅμως δὲν μοῦ κάμῃς αὐτὴν τὴν χάριν, ἐπικαλοῦμαι τὸν Θεὸν καὶ τὸν καλῶ ὡς μάρτυρα μεταξύ μας, ὅτι ἐγὼ τουλάχιστον δὲν παρέλειψα τίποτε ἀπὸ τὰ ἁρμόζοντα διὰ τὴν σωτηρίαν τῆς ψυχῆς του, ἀλλὰ εἶμαι καθαρὰ ἀπὸ τῆς εὐθύνης τοῦ παιδιοῦ αὐτοῦ. Ἐὰν δὲ συμβῇ νὰ πάθῃ κάτι, πρᾶγμα εὔλογον διὰ νέον ὁ ὁποῖος ζῇ μέσα εἰς τόσην καλοπέρασιν καὶ ὀκνηρίαν, ἀπὸ ἐσὲ καὶ ἀπὸ τὰ ἰδικά σου χέρια κατὰ τὴν ἡμέραν ἐκείνην θὰ ζητήσῃ τὴν εὐθύνην τῆς ψυχῆς του ὁ Θεός.

Ἀφοῦ εἶπεν αὐτὰ καὶ ἀκόμη περισσότερα καὶ ἀφοῦ ἔκλαυσε πάρα πολὺ καὶ θλιβερά, μὲ ἔπεισε ν' ἀποδεχθῶ αὐτὸ τὸ ἔργον καὶ μὲ κατευώδωσε μὲ αὐτὰς τὰς ἐντολάς.

Καὶ δὲν ἀπέβη δι' αὐτὴν μάταιον τὸ τέχνασμα αὐτό· ἀλλὰ τόσον πολὺ εἰς σύντομον χρονικὸν διάστημα ἐγύμνασεν ὁ γενναῖος ἐκεῖνος τὸν νέον αὐτόν, καὶ τόσον πολὺ ἤναψε μέσα του τὴν φλόγα τῆς ἐπιθυμίας αὐτῆς, ὥστε νὰ

ὡς ἀθρόον ἅπαντα ῥῖψαι, καὶ ἐπὶ τὴν ἔρημον δραμεῖν, καὶ ἑτέρου δεῖσθαι χαλινοῦ πάλιν τοῦ δυνησομένου πρὸς τὴν σύμμετρον αὐτὸν ἄσκησιν ἀπὸ τῆς ἐπιτεταμένης μεταστρέψαι ἐκείνης. Καὶ γὰρ ἦν δέος, μὴ τῇ σπουδῇ ταύτῃ πρὸ 5 *καιροῦ τὸ δρᾶμα ἀποκαλύψας, καὶ τῇ μητρὶ καὶ τῷ παιδαγωγῷ, καὶ τοῖς πανταχοῦ μοναχοῖς πόλεμον ἐγείρῃ χαλεπόν. Εἰ γὰρ ᾔσθετο ταύτης τῆς φυγῆς ὁ πατήρ, οὐκ ἂν ἀπέστη πάντα κινῶν, ὥστε ἀπελάσαι τοὺς ἁγίους ἐκείνους, οὐχὶ τοὺς ὑποδεξαμένους μόνον, ἀλλὰ καὶ τοὺς ἄλλους ἅ-* 10 *παντας.*

Τοῦτον τοίνυν ἐγὼ τὸν παῖδα λαβών, καὶ ταῦτα καὶ τὰ τούτων πλείονα εἰπών, τὴν μὲν ἐπιθυμίαν τῆς φιλοσοφίας ταύτης εἴασα μένειν, καὶ ἐπέτεινα δὲ πλέον, τὴν δὲ πόλιν οἰκεῖν ἠξίουν, καὶ τῆς τῶν λόγων ἔχεσθαι σπουδῆς· οὕτω 15 *γὰρ καὶ τοὺς ἡλικιώτας ὠφελήσειν τὰ μέγιστα, καὶ τὸν πατέρα λήσειν. Ἀναγκαῖον δὲ τοῦτο εἶναι ἐνόμιζον, οὐ τῶν ἁγίων μόνον ἕνεκεν ἐκείνων, οὐδὲ τῆς μητρός, οὐδὲ τοῦ παιδαγωγοῦ, ἀλλὰ καὶ αὐτοῦ τοῦ παιδός. Ἐν ἀρχῇ μὲν γὰρ ἐπιθέμενον αὐτῷ τὸν πατέρα, καὶ διασαλεύειν εἰκὸς ἦν τὰ* 20 *τῆς φιλοσοφίας φυτά, ἁπαλά τε ὄντα καὶ ἄρτι τεθέντα· εἰ δὲ χρόνος ἐγγένηται πολύς, καὶ ῥιζωθείη καλῶς, σφόδρα ἐθάρρουν ὅτι οὐκ ἂν οὐδ ὁτιοῦν γένηται δυνήσεται παραβλάψαι τὸν υἱὸν ἐκεῖνος· ὃ δὴ καὶ γέγονε, καὶ οὐ διήμαρτον τῆς ἐλπίδος. Ὅτε γὰρ πατὴρ αὐτοῦ προσβαλὼν ὕστερον χρό-* 25 *νου παρελθόντος πολλοῦ, καὶ μετὰ σφοδρᾶς ἐνσείσας τῆς ῥύμης, οὐ μόνον οὐκ ἔκλινέ τι τῆς οἰκοδομῆς, ἀλλὰ καὶ ἰσχυροτέραν ἀπέφηνε· τῶν τε συμφοιτώντων αὐτῷ πολλοὶ τοσαῦτα τῆς ὁμιλίας ἀπώναντο τῆς ἐκείνου, ὡς πρὸς τὸν αὐτὸν αὐτῷ ζῆλον ἐλθεῖν. Ἔχων γὰρ οἴκοι διαπαντὸς τὸν ῥυθμί-*

τὰ ἐγκαταλείψῃ ὅλα καὶ νὰ σπεύσῃ εἰς τὴν ἔρημον καὶ νὰ χρειασθῇ πάλιν ἄλλον χαλινόν, διὰ νὰ ἠμπορέσῃ νὰ τὸν μεταστρέψῃ ἀπὸ τὴν ἐντατικὴν αὐτὴν ἄσκησιν πρὸς τὴν μετρίαν. Διότι ὑπῆρχε φόβος μήπως μὲ τὴν βιασύνην αὐτὴν ἀποκαλύψῃ προώρως τὸ γεγονὸς καὶ δημιουργήσῃ φοβερὸν πόλεμον καὶ εἰς τὴν μητέρα καὶ εἰς τὸν παιδαγωγὸν καὶ εἰς τοὺς ἁπανταχοῦ εὑρισκομένους μοναχούς. Διότι, ἐὰν ἐπληροφορεῖτο ὁ πατὴρ τὴν φυγὴν αὐτήν, δὲν θὰ ἐδίσταζε νὰ κινήσῃ τὰ πάντα, ὥστε ν' ἀποδιώξῃ τοὺς ἁγίους ἐκείνους ἀνθρώπους, ὄχι μόνον δὲ αὐτοὺς ποὺ τὸν ὑπεδέχθησαν, ἀλλὰ καὶ ὅλους τοὺς ἄλλους.

Ἔλαβα λοιπὸν αὐτὸ τὸ παιδί, καὶ ἀφοῦ τοῦ εἶπα αὐτὰ καὶ περισσότερα ἀπὸ αὐτά, τὴν μὲν ἐπιθυμίαν τῆς φιλοσοφίας αὐτῆς ἄφησα νὰ μείνῃ καὶ τὴν ἐτόνωσα περισσότερον, ὅμως ἠξίωσα ἀπὸ τὸν νέον νὰ κατοικήσῃ εἰς τὴν πόλιν καὶ νὰ συνεχίσῃ τὴν ρητορικὴν σπουδήν· διότι ἔτσι καὶ τοὺς συνομηλίκους του θὰ ὠφελήσῃ πολὺ καὶ τὴν προσοχὴν τοῦ πατρὸς θὰ διαφύγῃ. Εἶχα δὲ τὴν γνώμην ὅτι ἦτο ἀπαραίτητον τοῦτο, ὄχι μόνον ἕνεκα τῶν ἁγίων ἐκείνων ἀνθρώπων καὶ τῆς μητρὸς καὶ τοῦ παιδαγωγοῦ, ἀλλὰ καὶ τοῦ ἰδίου τοῦ παιδιοῦ. Διότι κατ' ἀρχὴν μέν, ἐὰν ἐπετίθετο ἐναντίον του ὁ πατήρ, ἦτο φυσικὸν νὰ διασαλεύσῃ τὰ φυτὰ τῆς φιλοσοφίας, διότι ἦσαν τρυφερὰ καὶ μόλις ἐφυτεύθησαν· ὅταν ὅμως θὰ παρήρχετο πολὺς χρόνος καὶ θὰ ἐρριζώνετο καλῶς, εἶχα τὴν ἐλπίδα ὅτι δὲν θὰ ἠμποροῦσε πλέον ὁ πατήρ, ὁ,τιδήποτε καὶ ἂν συνέβαινε, νὰ παραβλάψῃ τὸν υἱόν, πρᾶγμα τὸ ὁποῖον καὶ ἔγινε, καὶ δὲν διεψεύσθη ἡ ἐλπίς μου. Ὅταν, δηλαδή, ὕστερα ἀπὸ πολὺν χρόνον τὸν ἐπέπληξεν ὁ πατήρ μου καὶ τὸν ἐμάλωσεν ἄγρια, ὄχι μόνον δὲν ἐκλόνισε τίποτε ἀπὸ τὴν κατάρτισίν του, ἀλλ' ἀντιθέτως τὴν ἰσχυροποίησε. Καὶ ἐξ ἐκείνων οἱ ὁποῖοι συχνάζουν μαζί του, πολλοὶ ὠφελήθησαν τόσον πολὺ ἀπὸ τὴν συναναστροφήν του, ὥστε ἀπέκτησαν τὸν ἴδιον ζῆλον μὲ αὐτόν. Διότι ἔχων εἰς τὸ σπίτι του πάντοτε τὸν ρυθμιστήν,

ζοντα, καθάπερ ἄγαλμα συνεχῶς ἀπολαῦον τῆς τοῦ τεχνίτου χειρός, οὕτω προσθήκην καθ' ἑκάστην ἡμέραν ἐλάμβανε τοῦ κατὰ ψυχὴν κάλλους.

Καὶ τὸ δὴ θαυμαστόν, ἔξω μὲν φαινόμενος, οὐδὲν
5 *διαφέρειν ἐδόκει τῶν πολλῶν· οὔτε γὰρ ἦθος εἶχεν ἠγριωμένον καὶ κατεσκληκός, οὔτε ἐξηλλαγμένην στολήν, ἀλλ' ἦν κοινὸς καὶ τῷ σχήματι καὶ τῷ βλέμματι καὶ τῇ φωνῇ καὶ τοῖς ἄλλοις ἅπασιν. Ὅθεν καὶ πολλοὺς τῶν ὁμιλούντων αὐτῷ εἴσω τῶν αὐτοῦ δικτύων ἠδυνήθη λαβεῖν,*
10 *πολλὴν ἔνδον ἔχων ἐγκεκρυμμένην τὴν φιλοσοφίαν. Οἴκοι δὲ εἴ τις αὐτὸν εἶδεν, ἐνόμισεν ἄν τινα εἶναι τῶν ἐν τοῖς ὄρεσι καθημένων· καὶ γὰρ ἡ οἰκία αὐτῷ πρὸς ἀκρίβειαν μοναστηρίου παντὸς διέκειτο, οὐδὲν ἔχουσα τῶν ἀναγκαίων πλέον. Καὶ ὁ καιρὸς δὲ αὐτῷ ἅπας εἰς τὴν ἀνάγνωσιν τῶν*
15 *ἁγίων ἀνηλίσκετο βιβλίων· καὶ γὰρ ὢν ὀξὺς μαθήματα προσλαβεῖν, τῇ μὲν ἔξωθεν παιδεύσει βραχὺ τῆς ἡμέρας ἀπέμεινε μέρος, τὸ δὲ λοιπὸν ἅπαν εὐχαῖς συνεχέσι καὶ βιβλίοις ἀνέκειτο θείοις, καὶ ἄσιτος ἅπασαν διετέλει τὴν ἡμέραν, μᾶλλον δὲ οὐδὲ μίαν, οὐδὲ δύο μόνον, ἀλλὰ καὶ πλείους. Καὶ*
20 *νύκτες δὲ αὐτῷ ταῦτα συνήδεσαν, δάκρυα, καὶ εὐχάς, καὶ τὴν τοιαύτην ἀνάγνωσιν. Ἅπερ ἡμῖν ἅπαντα ὁ παιδαγωγὸς λάθρα ἀπήγγειλε· καὶ γὰρ ἦν ἀφόρητος ὁ παῖς, εἴ τι τούτων ᾔσθετό ποτε ἐξενεχθέν.*

Ἔλεγε τοίνυν οὗτος, ὅτι καὶ ἱμάτιον αὐτῷ ἀπὸ τριχῶν
25 *κατεσκεύαστο, καὶ τούτῳ τὰς νύκτας ἐγκαθεύδοι, σοφήν τινα μηχανὴν τοῦ ταχέως ἐξανίστασθαι ταύτην εὑρών. Καὶ τὰ ἄλλα δὲ αὐτῷ πρὸς τὴν ἀκρίβειαν τῶν μοναχῶν ἀπήρτιστο, καὶ τὸν Θεὸν ἐδόξαζε συνεχῶς ἐκεῖνος, τὸν οὕτω κοῦφα τῆς φιλοσοφίας ταύτης ἐνθέντα αὐτῷ τὰ πτερά. Ὥστε εἴ*
30 *τίς μοι ψυχὴν καὶ νῦν ἐδείκνυ τοιαύτην, καὶ παιδαγωγὸν*

ὡσὰν ἄγαλμα ποὺ τὸ ἐπεξεργάζεται συνεχῶς τὸ χέρι τοῦ τεχνίτου, προσέθετε καθημερινῶς κάτι εἰς τὸ ψυχικὸν κάλλος.

Καὶ τὸ πλέον ἀξιοθαύμαστον εἶναι ὅτι κατὰ τὴν ἐξωτερικήν του ἐπιφάνειαν ἐφαίνετο ὅτι δὲν διέφερε καθόλου ἀπὸ τοὺς πολλούς· διότι οὔτε ὄψιν ἀγρίαν εἶχε καὶ σκληραγωγημένην οὔτε διαφορετικὴν στολήν, ἀλλὰ ἦτο ὅμοιος καὶ ὡς πρὸς τὴν ἐξωτερικὴν ἐμφάνισιν καὶ ὡς πρὸς τὸ βλέμμα καὶ τὴν φωνὴν καὶ εἰς ὅλα τὰ ἄλλα. Διὰ τοῦτο καὶ ἠδυνήθη νὰ συλλάβῃ εἰς τὰ δίκτυά του πολλοὺς ἐκ τῶν συντρόφων του, διότι εἶχε μέσα του κρυμμένην πολλὴν φιλοσοφίαν. Ἐὰν δὲ κανεὶς τὸν ἔβλεπεν εἰς τὸ σπίτι, θὰ ἐνόμιζεν ὅτι εἶναι ἀπὸ αὐτοὺς ποὺ ζοῦν εἰς τὰ ὄρη· διότι τὸ σπίτι του τὸ εἶχε διαρρυθμίσει ὡσὰν μοναστήριον, μὴ ἔχων τίποτε πλέον τῶν ἀπολύτως ἀπαραιτήτων. Καὶ ἐδαπανοῦσεν ὅλον τὸν χρόνον του εἰς τὴν ἀνάγνωσιν ἱερῶν βιβλίων· ἐπειδὴ δὲ ἦτο ἔξυπνος εἰς τὴν ἐκμάθησιν τῶν μαθημάτων, μὲ τὴν ἔξωθεν μὲν παιδείαν ὀλίγον χρόνον ἠσχολεῖτο, τὴν δὲ ὑπόλοιπον ἡμέραν ἀφιέρωνεν εἰς μακρὰς προσευχὰς καὶ εἰς τὴν ἀνάγνωσιν θείων βιβλίων, καὶ ἔμενε νηστικὸς ὅλην τὴν ἡμέραν, μᾶλλον δὲ ὄχι μίαν ἡμέραν μόνον οὔτε δύο, ἀλλὰ καὶ περισσοτέρας. Καὶ αἱ νύκτες ἐπίσης ἦσαν μάρτυρες τῶν δακρύων, τῶν προσευχῶν καὶ τῆς μελέτης αὐτῆς. Αὐτὰ λοιπὸν ὅλα μᾶς τὰ ἀνέφερε κρυφὰ ὁ παιδαγωγός· διότι ἐὰν ἀντελαμβάνετο ὅτι ἐλέχθη κάτι ἀπὸ αὐτά, ὁ νέος θὰ ἐστενοχωρεῖτο πολὺ λόγῳ τῆς μετριοφροσύνης του.

Ἔλεγε λοιπὸν αὐτὸς ὅτι εἶχε κατασκευάσει ἔνδυμα τρίχινον καὶ κατὰ τὰς νύκτας ἐκοιμᾶτο εἰς αὐτό, ὡσὰν νὰ εὗρε κάποιον σοφὸν τρόπον διὰ νὰ ξυπνᾷ γρήγορα. Καὶ τὰ ὑπόλοιπα τὰ εἶχε ρυθμίσει σύμφωνα μὲ τὴν αὐστηρότητα τῶν μοναχῶν καὶ συνεχῶς ἐδόξαζε τὸν Θεόν, ποὺ τοῦ ἔδωσε τὰ τόσον ἐλαφρὰ πτερὰ τῆς φιλοσοφίας αὐτῆς. Ὥστε, ἐὰν κανεὶς μοῦ ἐδείκνυε καὶ τώρα τέτοιαν ψυχὴν καὶ μοῦ

παρεῖχε τοιοῦτον, καὶ τὰ ἄλλα πάντα ὁμοίως ἐπηγγείλατο, μυριάκος ἂν ηὐξάμην τοῦτο γενέσθαι μᾶλλον τῶν γεννησαμένων αὐτῶν. Ἦ γὰρ ἂν ἡμῖν ἡ θήρα πλείων ἐγένετο, καὶ διὰ τὸν βίον, καὶ διὰ τὴν ἡλικίαν, καὶ διὰ τὴν συνεχῆ διατριβήν, τῶν τοιούτων δυναμένων τοὺς ἡλικιώτας θηρᾶν. Ἀλλὰ γὰρ οὐδείς ἐστιν ὁ ταῦτα ὑποστησόμενος, οὐδὲ ποιήσων· οὐκ ὄντος δέ, μυρίας ὠμότητος ἂν εἴη τὸν οὐδὲ ἑαυτῷ δυνάμενον ἀμῦναι, ἀλλὰ κείμενον, καὶ μυρία δεχόμενον τραύματα, καὶ τοὺς ἄλλους ἀσθενεστέρους ποιοῦντα, τοῦτον ἐν τῷ μέσῳ κατακόπτεσθαι ἐᾶν, δέον ἐξέλκειν ἀπὸ τῆς μάχης. Καὶ γὰρ καὶ στρατηγὸν ὁμοίως ἄν τις κολάσειε, τόν τούς τε δυναμένους πολεμεῖν ἀπάγοντα τῆς παρατάξεως, τούς τε τρωθέντας καὶ κειμένους καὶ τοὺς ἄλλους συνταράσσοντας κελεύοντα κεῖσθαι διαπαντὸς ἐν τῷ μέσῳ.

13. Ἐπεὶ δὲ πολλοὶ τῶν πατέρων, ἕκαστος ἔγκειται τὸν υἱὸν ἐπιθυμῶν ἐν λόγοις ζῶντα ὁρᾶν, ὡς ἀκριβῶς εἰδὼς ὅτι πρὸς τὸ τέλος πάντως ἥξει τῶν λόγων, ὑπὲρ τούτου μὲν φιλονεικῶμεν, μηδὲ ὅτι διαμαρτήσεται λέγωμεν, ἀλλὰ δῶμεν τῷ λόγῳ καὶ περιέσεσθαι πάντως αὐτὸν τῆς σπουδῆς, καὶ πρὸς ἄκρον ἀφίξεσθαι. Ἔστω δὲ αἵρεσις ἡμῖν προκειμένη διπλῆ, καὶ εἰς διδασκαλεῖα μὲν φοιτῶν, ὑπὲρ τῆς μαθήσεως ἐχέτω τὸν ἀγῶνα, εἰς δὲ ἐρημίας ὑπὲρ τῆς ψυχῆς· ποῦ βέλτιον, εἰπέ μοι, κρατεῖν; Ἂν μὲν γὰρ ἑκατέρωθεν συμβαίνῃ, κἀγὼ βούλομαι· ἂν δὲ θάτερον λείπηται, βέλτιον ἑλέσθαι τὸ κρεῖττον. Ναί, φησίν, αὐτὸ δὲ τοῦτο πόθεν ἡμῖν ἔσται δῆλον, ὅτι στήσεται καὶ μενεῖ καὶ οὐ με-

παρεῖχε τέτοιον παιδαγωγὸν καὶ μοῦ ὑπέσχετο ὅτι κατὰ τὸν ἴδιον τρόπον θὰ ἐπιμελῆται καὶ ὅλα τὰ ἄλλα, μυριάκις περισσότερον ἀπὸ τοὺς γονεῖς των ἐγὼ θὰ ηὐχόμην νὰ γίνῃ αὐτό. Διότι πράγματι ἡμεῖς ἔτσι θὰ ἐκερδίζαμεν περισσοτέρας ψυχάς, ἐπειδὴ οἱ νέοι αὐτοὶ θὰ ἠμποροῦσαν νὰ προσελκύσουν τοὺς συνομηλίκους των, λόγῳ καὶ τοῦ βίου καὶ τῆς ἡλικίας καὶ τῆς συνεχοῦς συναναστροφῆς των. Ἀλλὰ βεβαίως δὲν ὑπάρχει κανείς, ποὺ νὰ τὰ ὑπομείνῃ αὐτά, οὔτε νὰ τὰ κάμῃ. Καὶ ἐπειδὴ δὲν ὑπάρχει, θὰ ἦτο φοβερὰ σκληρότης, αὐτὸν τὸν ὁποῖον δὲν ἠμπορεῖ οὔτε τὸν ἑαυτόν του νὰ ὑπερασπίσῃ, ἀλλὰ κατάκειται καὶ ὑφίσταται μύρια τραύματα καὶ κάμνει ἀσθενεστέρους τοὺς ἄλλους, αὐτὸν νὰ τὸν ἀφήναμεν εἰς τὸ μέσον νὰ κατακόπτεται, ἐνῷ πρέπει νὰ τὸν ἀποσύρωμεν ἀπὸ τὴν μάχην. Διότι κατὰ τὸν ἴδιον τρόπον θὰ ἐτιμωροῦσε κανεὶς καὶ κάποιον στρατηγόν, ὁ ὁποῖος τοὺς μὲν δυναμένους νὰ πολεμήσουν ἀποσύρει ἀπὸ τὴν παράταξιν, τοὺς δὲ πληγωμένους, ποὺ εἶναι πεσμένοι καὶ ἐμποδίζουν τοὺς ἄλλους, διατάσσει νὰ κεῖνται διὰ παντὸς εἰς τὸ μέσον.

13. Ἐπειδὴ δὲ πολλοὶ ἀπὸ τοὺς πατέρας ἐπιμένουν εἰς τὴν ἐπιθυμίαν των νὰ βλέπουν ὁ καθένας τὸν υἱόν του νὰ εὐδοκιμῇ εἰς τὴν τέχνην τοῦ λόγου,, ὡσὰν νὰ γνωρίζουν ἐπακριβῶς, ὅτι ὁπωσδήποτε θὰ περατώσῃ τὴν σπουδὴν αὐτήν, διὰ τοῦτο ὑπὲρ αὐτοῦ μὲν ἂς μὴ φιλονεικῶμεν, οὔτε νὰ διατεινώμεθα ὅτι θὰ πέσῃ ἔξω, ἀλλ' ἂς παραδεχθῶμεν ὅτι θὰ τελειώσῃ τὴν σπουδὴν καὶ θὰ φθάσῃ εἰς τὸν σκοπόν του. Ἔστω δὲ ὅτι ὑπάρχει εἰς ἡμᾶς διπλῆ ἐκλογή, καὶ οὗτος φοιτῶν μὲν εἰς διδασκαλεῖα ἂς ἔχῃ τὸν ἀγῶνα τῆς μαθήσεως, εἰς δὲ τὰς ἐρημίας τὸν ὑπὲρ τῆς ψυχῆς. Εἰπέ μου, ποῦ θὰ ἐπιτύχῃ καλύτερα; Ἂν μὲν ἐπιτύχῃ καὶ εἰς τὰς δύο περιπτώσεις, τὸ θέλω καὶ ἐγώ, ἂν ὅμως κατὰ τὸ ἕνα μειονεκτῇ, εἶναι καλύτερα νὰ διαλέξῃ τὸ ὑπέρτερον. Ναί, λέγει, ἀλλὰ πῶς θὰ τὸ καταλάβωμεν αὐτό, ὅτι δηλαδὴ θὰ σταθῇ καὶ θὰ μείνῃ ὄρθιος καὶ δὲν θὰ κατα-

ταπεσεῖται; πολλοὶ γὰρ οἱ πεσόντες. Πόθεν δῆλον ὅτι οὐ στήσεται, οὐδὲ μενεῖ; πολλοὶ γὰρ οἱ στάντες, καὶ τῶν πεπτωκότων πλείους· ὥστε διὰ τούτους μᾶλλον θαρρεῖν, χρή, ἢ δι' ἐκείνους φοβεῖσθαι. Τίνος δὲ ἕνεκεν καὶ ἐπὶ τῶν λόγων 5 αὐτὸ τοῦτο οὐ δέδοικας, ἔνθα μάλιστα δεδοικέναι ἐχρῆν; Παρὰ μὲν γὰρ τοῖς μοναχοῖς ἐκ πολλῶν ὀλίγοι διήμαρτον· ἐν δὲ ταῖς τῶν λόγων διατριβαῖς ἀπὸ πολλῶν ὀλίγοι κατώρθωσαν.

Καὶ οὐκ ἀπὸ τούτων μόνον, ἀλλὰ καὶ ἀφ' ἑτέρων πλει-10 όνων εἰκότως ἂν τις ἐκεῖνα μᾶλλον φοβοῖτο. Καὶ γὰρ παιδὸς ἀφυΐα, καὶ διδασκάλων ἀμαθία, καὶ παιδαγωγῶν ῥᾳθυμία, καὶ πατρὸς ἀσχολία, καὶ δαπανῶν καὶ μισθῶν ἔλλειψις, καὶ τρόπων διαφορά, καὶ συμφοιτητῶν κακία καὶ φθόνος καὶ βασκανία, καὶ πολλὰ ἕτερα τῷ τέλει λυμαίνεται. Καὶ 15 οὐ ταῦτα μόνον, ἀλλὰ καὶ μετὰ τὸ τέλος τούτων ἕτερα πλείονα· ὅταν γὰρ ἅπαντα ὑπερβὰς πρὸς αὐτὸ τῆς παιδείας τὸ ἄκρον ἀφίκηται, μηδενὶ τούτων ὑποσκελισθείς, ἑτέρα πάλιν κεῖται ἐνέδρα ἐκεῖ. Καὶ γὰρ ἄρχοντος δυσμένεια, καὶ φθόνος τῶν ὁμοτέχνων, καὶ καιρῶν δυσκολία, καὶ φίλων 20 ἐρημία, καὶ πενία πολλάκις τοῦ τέλους ἐξέκρουσεν. Ἀλλ' οὐκ ἐπὶ τῶν μοναχῶν οὕτως, ἀλλ' ἑνὸς δεῖ μόνου, προθυμίας γενναίας καὶ ἀγαθῆς· κἂν τοῦτο προσῇ, οὐδὲν τὸ κωλύον πρὸς τὸ τέλος ἐλθεῖν τῆς ἀρετῆς.

Πῶς οὖν οὐκ ἄδικον, ἔνθα μὲν τὰ τῶν χρηστῶν ἐλπίδων 25 δῆλά τέ ἐστι καὶ ἐγγύτερα ἀπογινώσκειν καὶ τρέμειν, ἔνθα δὲ τὰ τῶν ἐναντίων μακρότερα καὶ ὑπὸ πολλῶν κωλυμάτων ἀνα-

πέση ἀπὸ τὸ καλὸν εἰς τὸ κακόν; Διότι πολλοὶ ἔχουν πέσει. Ἀπὸ ποῦ εἶναι φανερὸν ὅτι δὲν θὰ σταθῇ καὶ δὲν θὰ παραμείνῃ ὄρθιος; Διότι εἶναι πολλοὶ αὐτοὶ ποὺ στέκονται καὶ μάλιστα πολὺ περισσότεροι ἀπὸ αὐτοὺς ποὺ ἔχουν πέσει· ἄρα πρέπει νὰ αἰσιοδοξοῦμεν μᾶλλον δι' αὐτούς, παρὰ νὰ ἀνησυχοῦμεν δι' ἐκείνους. Διατί ὅμως δὲν φοβεῖσαι μήπως συμβῇ τὸ αὐτὸ καὶ εἰς τὴν περίπτωσιν τῆς σπουδῆς τῶν λόγων, ὅπου θὰ ἔπρεπε νὰ φοβῆσαι περισσότερον; Διότι μεταξὺ μὲν τῶν μοναχῶν ἀπὸ τοὺς πολλοὺς ὀλίγοι εἶναι ἐκεῖνοι ποὺ ἔχουν πέσει, εἰς τὰς σπουδὰς ὅμως τῆς ρητορικῆς τέχνης ἀπὸ τοὺς πολλοὺς ὀλίγοι ἐπέτυχαν.

Καὶ ὄχι μόνον ἀπὸ αὐτά, ἀλλὰ καὶ ἀπὸ πολλὰ ἄλλα εὐλόγως θὰ ἐφοβεῖτο κανεὶς περισσότερον ἐκεῖνα. Διότι καὶ ἡ χαμηλὴ νοημοσύνη τοῦ παιδιοῦ καὶ ἡ ἀμάθεια τῶν διδασκάλων καὶ ἡ ὀκνηρία τῶν παιδαγωγῶν καὶ ἡ ἀπασχόλησις τοῦ πατρὸς καὶ ἡ ἔλλειψις τῶν ἐξόδων καὶ τῶν μισθῶν καὶ ἡ διαφορὰ τῶν τρόπων καὶ τῶν συμφοιτητῶν ἡ ἀντιζηλία καὶ ὁ φθόνος καὶ ἡ συκοφαντία καὶ πολλὰ ἄλλα καταστρέφουν τὸν σκοπόν. Καὶ ὄχι μόνον αὐτά, ἀλλὰ καὶ ἀφοῦ τελειώσουν ὅλα αὐτὰ παρουσιάζονται ἄλλα περισσότερα. Καὶ ὅταν βέβαια, ἀφοῦ τὰ ὑπερπηδήσῃ ὅλα, φθάσῃ εἰς τὸ ἔπακρον τῆς μορφώσεως, χωρὶς ν' ἀνατραπῇ ἀπὸ κανένα ἀπὸ αὐτὰ τὰ ἐμπόδια, ἄλλη ἐνέδρα πάλιν εἶναι στημένη ἐκεῖ. Διότι καὶ ἡ δυσμένεια τοῦ ἄρχοντος καὶ ὁ φθόνος τῶν συναδέλφων καὶ ἡ ἐγκατάλειψις ἐκ μέρους τῶν φίλων καὶ ἡ ἔνδεια πολλάκις ἀπομακρύνουν ἀπὸ τὸν σκοπόν. Δὲν συμβαίνει ὅμως τὸ ἴδιον εἰς τοὺς μοναχούς. Ἕνα μόνον χρειάζεται εἰς αὐτούς· γενναία καὶ ἀγαθὴ προθυμία. Καὶ ἂν ὑπάρχῃ αὐτό, δὲν ὑπάρχει πλέον κανένα ἐμπόδιον νὰ φθάσουν εἰς τὸ τέλος τῆς ἀρετῆς.

Πῶς λοιπὸν δὲν εἶναι ἐσφαλμένον, ἐκεῖ ὅπου τὰ ἀγαθὰ τῶν καλῶν ἐλπίδων καὶ φανερὰ εἶναι καὶ πλησιέστερα νὰ ἀπελπιζώμεθα καὶ νὰ τρέμωμεν, ἐκεῖ δὲ ὅπου ἀντιθέτως, καὶ μακρότερον εὑρίσκονται τὰ ἐπιδιωκόμενα καὶ ὑπὸ

σκοπιόμενα, μὴ ἀπογινώσκειν, εἰς δὲ τὰ τῶν δυσχερῶν σαφέστερα καὶ μᾶλλον πλείονα θαρσεῖν· καὶ ἐπὶ μὲν τῶν λόγων, μὴ πρὸς τὰ πολλάκις συμβαίνοντα λυπηρά, ἀλλὰ πρὸς τὰ σπανίως ἐκβαίνοντα χρηστὰ ἀφορᾶν, ἐπὶ δὲ τῶν μονα-
5 *χῶν τοὐναντίον ποιεῖν, καὶ ἔνθα μὲν αἱ τῶν ἀγαθῶν ἐλπίδες πολλαί, πρὸς τὰ λυπηρὰ ἀποκλίνειν μόνον, ἔνθα δὲ αἱ τῶν ἐναντίων, τὰς χρηστὰς ἀναλογίζεσθαι μόνας; Καίτοι γε ἐκεῖ μὲν ὅταν ἅπαντα συνέλθῃ τὰ ὀφείλοντα συνδραμεῖν, πρὸς αὐτῷ τῷ τέλει πολλάκις θάνατος ἄωρος προσ-*
10 *πεσὼν ἀπήνεγκεν ἀστεφάνωτον τὸν ἀθλητὴν μετὰ τοὺς μυρίους ἱδρῶτας· ἐνταῦθα δὲ κἂν ἐν μέσοις τοῖς ἀγῶσι τοῦτο γένηται, τότε δὴ μάλιστα λαμπρός, καὶ ἐστεφανωμένος ἄπεισιν οὗτος. Ὥστε εἰ τὸ μέλλον δέδοικας, ἐπὶ τῶν λόγων δεδοικέναι μᾶλλον ἔδει, ἔνθα πολλὰ τὰ κωλύματα πρὸς*
15 *τὸ πέρας ἐλθεῖν. Σὺ δὲ ἐκεῖ μὲν κάθῃ χρόνον ἀναμένων μακρόν, καὶ πρὸς οὐδὲν τῶν ἐν μέσῳ, δαπάνην λέγω καὶ ταλαιπωρίαν καὶ τὸ ἄδηλον, ἀλλὰ πρὸς τὸ τέλος μόνον ὁρῶν· ἐνταῦθα δὲ οὔπω τῶν προθύρων τοῦ παιδὸς ἐπιβάντος, οὐδὲ ἁψαμένου τῆς καλῆς ταύτης φιλοσοφίας, δέδοι-*
20 *κας καὶ τρέμεις εὐθέως, καὶ εἰς ἀπόγνωσιν ἐμβάλλεις τὸν λογισμόν;*

Καὶ μὴν αὐτὸς ἔμπροσθεν ἔλεγες· τί γάρ; πόλιν οἰκοῦντα καὶ οἰκίαν ἔχοντα σωθῆναι οὐκ ἔνι; Οὐκοῦν εἰ μετὰ τῆς πόλεως, καὶ τῆς οἰκίας, καὶ τῆς γυναικὸς σωθῆναι
25 *οὐκ ἔνι; Οὐκοῦν εἰ μετὰ τῆς πόλεως καὶ τῆς οἰκίας καὶ τῆς γυναικὸς σωθῆναι δυνατόν, πολλῷ μᾶλλον χωρὶς γυναικὸς καὶ τῶν ἄλλων τούτων. Οὐ γάρ ἐστι τοῦ αὐτοῦ νῦν μὲν θαρρεῖν, καὶ εἰ ἐν τοῖς βιωτικοῖς ᾖ πράγμασιν ἐνδεδεμένος, ὡς δυνατῆς καὶ οὕτω τῆς σωτηρίας οὔσης· νῦν δέ, κἂν πάντων ἀπηλ-*

περισσοτέρων δυσκολιῶν ἀνατρέπονται, νὰ μὴ ἀπελπιζώμεθα, ἀλλὰ αἰσιοδοξῶμεν εἰς τὰ καταφανῶς δυσκολώτερα καὶ μᾶλλον περισσότερα; καὶ προκειμένου μὲν περὶ τῆς ρητορικῆς, νὰ μὴ ἀποβλέπωμεν πρὸς τὰ πολλάκις συμβαίνοντα δυσάρεστα, ἀλλὰ πρὸς τὰ σπανίως συμβαίνοντα εὐχάριστα, εἰς δὲ τὴν περίπτωσιν τῶν μοναχῶν νὰ πράττωμεν τὸ ἀντίθετον, καὶ ἐκεῖ μὲν ὅπου ὑπάρχουν πολλαὶ ἐλπίδες τῶν ἀγαθῶν νὰ σκεπτώμεθα μόνον τὰ λυπηρά, ὅπου δὲ τὰ ἀντίθετα, νὰ ἀναλογιζώμεθα μόνον τὰ εὐχάριστα ἀποτελέσματα; Ἄλλωστε, καὶ ὅταν ἀκόμη ἐκεῖ συντρέξουν ὅλα ἐκεῖνα, ποὺ συμβάλλουν εἰς τὴν καλὴν σπουδὴν τῶν λόγων, πολλὰς φορὰς πρόωρος θάνατος ποὺ ἐπῆλθε τὴν στιγμὴν ποὺ εὑρίσκετο εἰς τὸ τέλος, ἥρπασε τὸν ἀθλητὴν ἀστεφάνωτον ὕστερα ἀπὸ μυρίους κόπους, ἐνῷ ἐδῶ, καὶ ἂν τοῦτο συμβῇ εἰς τὰ μέσα τοῦ ἀγῶνος ἀπέρχεται αὐτὸς πολὺ περισσότερον λαμπρὸς καὶ στεφανωμένος. Ὥστε, ἂν φοβῆσαι τὸ μέλλον, πολὺ περισσότερον ἔπρεπε νὰ φοβῆσαι διὰ τὴν ρητορικὴν τέχνην, ὅπου ὑπάρχουν πολλὰ ἐμπόδια ἕως ὅτου φθάσῃ κανεὶς εἰς τὸ τέρμα. Σὺ ὅμως ἐκεῖ μὲν κάθεσαι ἀναμένων ἐπὶ πολὺν χρόνον, χωρὶς ἐν τῷ μεταξὺ νὰ ἐξετάζῃς τίποτε, ἐννοῶ τὰ ἔξοδα καὶ τὴν ταλαιπωρίαν καὶ τὸ ἄγνωστον τοῦ μέλλοντος, ἀλλὰ μόνον πρὸς τὸ τέρμα. Ἐδῶ δέ, ἐνῷ ἀκόμη τὸ παιδὶ οὔτε εἰς τὰ πρόθυρα εἰσῆλθεν, οὔτε ἤρχισε τὴν καλὴν αὐτὴν φιλοσοφίαν, φοβεῖσαι καὶ τρέμεις ἀμέσως καὶ σκέπτεσαι μὲ ἀπελπισίαν;

Καὶ ὅμως ἐσὺ ὁ ἴδιος προηγουμένως ἔλεγες: Τί λοιπόν; Δὲν δύναται νὰ σωθῇ αὐτὸς ποὺ διαμένει εἰς τὴν πόλιν καὶ ἔχει οἰκίαν; Λοιπόν, ἐὰν μὲ τὴν πόλιν καὶ τὴν οἰκίαν καὶ τὴν γυναῖκα εἶναι δυνατὸν νὰ σωθῇ κανείς, πολὺ περισσότερον ἠμπορεῖ νὰ σωθῇ χωρὶς γυναῖκα καὶ ὅλα τὰ ἄλλα. Διότι δὲν εἶναι γνώρισμα σταθεροῦ ἀνθρώπου, ἄλλοτε μὲν τὰ πιστεύῃ ὅτι καὶ ἂν ἀκόμη προσκεκολλημένος εἰς τὰ κοσμικὰ πράγματα, εἶναι δυνατὸν καὶ ἔτσι νὰ ἐπιτύχῃ τὴν σωτηρίαν, ἄλλοτε δέ, καὶ ἂν ἀκόμη εἶναι ἀπηλλαγμέ-

λαγμένος ᾖ, τρέμειν καὶ δεδοικέναι, ὡς οὐδὲ τούτων χωρὶς εὐδοκιμῆσαι ἐνόν. Εἰ γὰρ πόλιν οἰκῶν ἠδύνατο σώζεσθαι, ὡς ἔφης, πολλῷ μᾶλλον τὴν ἐρημίαν καταλαβών. Πῶς οὖν τὸ ἀδύνατον ἐνταῦθα δέδοικας, ἐκεῖ μὴ φοβηθεὶς ἔνθα 5 μᾶλλον ἐχρῆν;

14. Οὐ γάρ ἐστι, φησίν, ἴσον βιωτικὸν ὄντα διαμαρτεῖν, καὶ καθάπαξ ἀναθέντα ἑαυτὸν τῷ Θεῷ· οὐ γὰρ ἀπὸ τοῦ αὐτοῦ ὕψους ἀμφότεροι καταπίπτουσιν, ὅθεν οὐδὲ τὰ τραύματα αὐτοῖς ἴσα. Σφόδρα ἀπατᾷς σαυτὸν καὶ σφάλλεις, εἰ ἄλλα 10 μὲν οἴει τὸν βιωτικόν, ἕτερα δὲ ἀπαιτεῖσθαι τὸν μοναχόν· ἡ γὰρ διαφορὰ τούτοις ἐν τῷ γαμῆσαι καὶ μή, τῶν δὲ ἄλλων ἕνεκεν ἁπάντων κοινὰς ὑπέχουσι τὰς εὐθύνας. Καὶ γὰρ ὁ ὀργιζόμενος τῷ ἀδελφῷ αὐτοῦ εἰκῇ, κἄν τε βιωτικός, κἄν τε μοναχὸς ᾖ, τῷ Θεῷ προσέκρουσεν ὁμοίως· 15 καὶ ὁ βλέπων γυναῖκα πρὸς τὸ ἐπιθυμῆσαι αὐτῆς, ἄν τε τοῦτο ἄν τε ἐκεῖνο τυγχάνῃ, ὁμοίως ὑπὲρ τῆς μοιχείας τιμωρηθήσεται ταύτης. Εἰ δὲ χρὴ καὶ ἀπὸ λογισμοῦ προσθεῖναι, ὁ βιωτικὸς ἀσυγγνωστότερος τοῦτο παθών· οὐ γάρ ἐστιν ἴσον γυναῖκα ἔχοντα, καὶ τοσαύτης ἀπολαύοντα πα-20 ραμυθίας, κάλλει προσπταῖσαι γυναικός, καὶ ἁπάσης ταύτης ἀπεστερημένον τῆς βοηθείας ἁλῶναι τῷ δεινῷ. Πάλιν ὁ ὀμνύς, ἄν τε τοῦτο ἄν τε ἐκεῖνο ᾖ, ὁμοίως καταδικάζεται. Οὐδὲ γὰρ ὁ Χριστός, ὅτε περὶ τούτων διετάσσετο καὶ ἐνομοθέτει, τοῦτον ἐποιήσατο τὸν διορισμόν, οὐδὲ 25 εἶπεν· ἐὰν μὲν μοναχὸς ὁ ὀμνύων ᾖ, ἐκ τοῦ πονηροῦ ὁ ὅρκος· ἐὰν δὲ μὴ μοναχός, οὐκέτι· ἀλλ' ἁπλῶς καὶ καθάπαξ ἅπασιν ἔλεγεν· «Ἐγὼ δὲ λέγω ὑμῖν, μὴ ὀμόσαι ὅλως». Καὶ πάλιν εἰπών, «Οὐαὶ τοῖς γελῶσιν», οὐ προσέθηκε τοὺς μοναχούς, ἀλλ' ἁπλῶς ἐνομοθέτησεν ἅπασιν οὕτω· καὶ ἐν τοῖς

---

30. Ματθ. 5, 34.
31. Λουκᾶ 6, 25.

νος ἀπὸ ὅλα, νὰ τρέμῃ καὶ νὰ φοβῆται ὅτι δὲν εἶναι δυνατὸν νὰ εὐδοκιμήσῃ χωρὶς αὐτά. Διότι ἐὰν ἠδύνατο νὰ σωθῇ διαμένων εἰς πόλιν, ὅπως εἶπες, πολὺ περισσότερον δύναται νὰ σωθῇ, ἐὰν ἐγκατασταθῇ εἰς τὴν ἐρημίαν. Πῶς λοιπὸν ἐδῶ φοβεῖσαι τὸ ἀδύνατον, ἐνῷ δὲν ἐφοβήθης ἐκεῖ ὅπου ἔπρεπε νὰ φοβηθῇς;

14. Δὲν εἶναι, λέγει, ἀσφαλῶς τὸ ἴδιον πρᾶγμα, τὸ νὰ διαπράξῃ ἁμαρτίαν κάποιος κοσμικός, καὶ κάποιος ποὺ ἀφιέρωσε τὸν ἑαυτόν του διὰ παντὸς εἰς τὸν Θεόν, διότι δὲν πίπτουν ἀπὸ τὸ αὐτὸ ὕψος καὶ οἱ δύο, ἐπομένως δὲν εἶναι ἴσα οὔτε καὶ τὰ τραύματά των. Πλανᾶσαι πάρα πολὺ καὶ σφάλλεις, ἐὰν νομίζῃς ὅτι ἄλλα μὲν ἀπαιτοῦνται ἀπὸ τὸν κοσμικὸν καὶ ἄλλα ἀπὸ τὸν μοναχόν. Διότι ἡ διαφορὰ αὐτῶν εὑρίσκεται εἰς τὸ ὅτι ὁ μὲν πρῶτος εἶναι ἔγγαμος, ὁ δὲ δεύτερος ἄγαμος, ἐνῷ εἰς ὅλα τὰ ἄλλα ὑπέχουν τὰς ἰδίας εὐθύνας. Διότι ὁ ὀργιζόμενος κατὰ τοῦ ἀδελφοῦ του χωρὶς λόγον, εἴτε κοσμικὸς εἶναι εἴτε μοναχός, ἐξ ἴσου ἔρχεται εἰς σύγκρουσιν μὲ τὸν Θεόν. Καὶ ὁ βλέπων γυναῖκα μὲ πονηρὰν ἐπιθυμίαν, εἴτε ἔγγαμος εἶναι εἴτε ἄγαμος, ἐξ ἴσου θὰ τιμωρηθῇ διὰ τὴν μοιχείαν αὐτήν. Καὶ μάλιστα ἐὰν πρέπει ἐκ συμπεράσματος νὰ προσθέσωμεν κάτι, ὁ κοσμικὸς ἐὰν ὑποπέσῃ εἰς τὸ ἁμάρτημα αὐτὸ εἶναι περισσότερον ἀσυγχώρητος. Διότι δὲν εἶναι τὸ ἴδιον πρᾶγμα, ἐνῷ ἔχει κανεὶς γυναῖκα καὶ ἀπολαμβάνει τόσην θαλπωρήν, νὰ ἁμαρτήσῃ διὰ τὰ κάλλη ἄλλης γυναικός, καί, ἕνας ποὺ τὰ ἔχει στερηθῇ ὅλα αὐτά, νὰ κυριευθῇ ἀπὸ τὸ κακὸν αὐτό. Ἐπίσης καὶ ὁ ὁρκιζόμενος, εἴτε μοναχὸς εἴτε ἔγγαμος εἶναι, ἐξ ἴσου καταδικάζεται. Διότι ὁ Χριστός, ὅταν ἔθετε τὰς διατάξεις καὶ ἐνομοθέτει, δὲν ἔκαμε αὐτὸν τὸν διαχωρισμὸν οὔτε εἶπεν· ἐὰν μὲν εἶναι μοναχὸς ὁ ὁρκιζόμενος, πονηρὸς εἶναι ὁ ὅρκος του, ἐὰν δὲ ὄχι δὲν εἶναι κακός, ἀλλὰ γενικῶς καὶ ἅπαξ διὰ παντὸς εἶπε δι' ὅλους· «ἐγὼ δὲ λέγω ὑμῖν μὴ ὀμόσαι ὅλως»[20]. Καὶ πάλιν μὲ τὸ νὰ εἴπῃ: «Οὐαὶ τοῖς γελῶσιν»[21] δὲν ἐπεξήγησε «τοῖς μοναχοῖς», ἀλλὰ γενικῶς

ἄλλοις δὲ ἅπασιν οὕτως ἐποίησε τοῖς μεγάλοις καὶ θαυμαστοῖς παραγγέλμασι. Καὶ γὰρ ὅτε λέγει· «Μακάριοι οἱ πτωχοὶ τῷ πνεύματι, οἱ πενθοῦντες, οἱ πραεῖς, οἱ πεινῶντες καὶ διψῶντες τὴν δικαιοσύνην, οἱ ἐλεήμονες, οἱ καθαροὶ
5 *τῇ καρδίᾳ, οἱ εἰρηνοποιοί, οἱ δεδιωγμένοι ἕνεκεν δικαιοσύνης», οἱ καὶ ῥητὰ καὶ ἄρρητα δι' αὐτὸν παρὰ τῶν ἔξωθεν ἀκούοντες κακά· οὔτε βιωτικοῦ, οὔτε μονάζοντος ὄνομα τίθησιν, ἀλλ' ἀπὸ τῆς τῶν ἀνθρώπων διανοίας οὗτος εἰσενήνεκται ὁ διορισμός.*

10 *Αἱ δὲ Γραφαὶ οὐδὲν ἴσασι τούτων, ἀλλ' ἅπαντας τὸν τῶν μοναχῶν βούλονται βίον ζῆν, καὶ γυναῖκας ἔχοντες τύχωσιν. Ἄκουσον γοῦν καὶ ὁ Παῦλος τί φησιν· ὅταν δὲ Παῦλον εἴπω, τὸν Χριστὸν λέγω πάλιν. Οὗτος τοίνυν ἐπιστέλλων ἀνθρώποις γυναῖκας ἔχουσι καὶ παιδία τρέφουσι,*
15 *πᾶσαν τὴν τοῖς μοναχοῖς προσήκουσαν ἀκρίβειαν αὐτοὺς ἀπαιτεῖ. Τὴν γὰρ τρυφὴν ἐκκόπτων ἅπασαν, καὶ τὴν ἐν τοῖς ἱματίοις, καὶ τὴν ἐν τοῖς ἐδέσμασι, ταῦτα ἐπιστέλλει τὰ ῥήματα· «γυναῖκας ἐν καταστολῇ κοσμίῳ μετὰ αἰδοῦς καὶ σωφροσύνης κοσμεῖν ἑαυτάς, μὴ ἐν πλέγμασιν, ἢ χρυσῷ, ἢ*
20 *μαργαρίταις, ἢ ἱματισμῷ πολυτελεῖ»· καὶ πάλιν, «ἡ δὲ σπαταλῶσα ζῶσα τέθνηκε»· καὶ πάλιν, «ἔχοντες δὲ διατροφὰς καὶ σκεπάσματα, τούτοις ἀρκεσθησόμεθα». Τί τούτων παρὰ τῶν μοναζόντων πλέον ἀπαιτήσειεν ἄν τις; Γλώττης δὲ παιδεύων κρατεῖν ἑτέρους, ἀκριβεῖς πάλιν τίθησι νόμους, καὶ*
25 *τοιούτους οἵους καὶ τοῖς μοναχοῖς ἀνύσαι ἔργον ἐστίν. Οὐ γὰρ αἰσχρότητα καὶ μωρολογίαν μόνον, ἀλλὰ καὶ εὐτραπελίαν ἀναιρεῖ· οὐ θυμὸν καὶ ὀργὴν καὶ πικρίαν μόνον, ἀλλὰ καὶ κραυγὴν ἐκκόπτει τοῦ τῶν πιστῶν στόματος. «Πᾶς γάρ, φησί, θυμὸς καὶ ὀργὴ καὶ κραυγὴ καὶ βλασφημία ἀρθήτω ἀφ'*

---

32. Α' Τιμ. 2, 9.
33. Α' Τιμ. 5, 6.
34. Α' Τιμ. 6, 8.
35. Ἐφ. 4, 31.

ἐνομοθέτησε κατὰ τὸν ἴδιον τρόπον δι' ὅλους. Καὶ εἰς ὅλα τὰ ἄλλα μεγάλα καὶ θαυμαστὰ παραγγέλματα τὸ αὐτὸ ἔκαμε. Διότι, ὅταν λέγῃ· «Μακάριοι οἱ πτωχοὶ τῷ πνεύματι», οἱ πενθοῦντες, οἱ πρᾶοι, οἱ πεινῶντες καὶ διψῶντες τὴν δικαιοσύνην, οἱ ἐλεήμονες, οἱ καθαροὶ εἰς τὴν καρδίαν, οἱ εἰρηνοποιοί, οἱ δεδιωγμένοι ἕνεκεν δικαιοσύνης, οἱ κακολογούμενοι πρὸς χάριν τοῦ Χριστοῦ ἀπὸ τοὺς ἀπίστους μὲ κακολογίας αἱ ὁποῖαι λέγονται καὶ δὲν λέγονται, δὲν θέτει ὄνομα οὔτε κοσμικοῦ οὔτε μοναχοῦ, ἀλλ' ἡ διάκρισις αὕτη ἔχει εἰσαχθῆ ἀπὸ τὴν αὐθαίρετον ἐπινόησιν τῶν ἀνθρώπων.

Αἱ Γραφαὶ δὲ τίποτε ἀπὸ αὐτὰ δὲν γνωρίζουν, ἀλλὰ δίδουν ἐντολὴν νὰ ζοῦν ὅλοι τὴν ζωὴν τῶν μοναχῶν καὶ ἂν ἀκόμη εἶναι ἔγγαμοι. Ἄκουσε πράγματι τί λέγει καὶ ὁ Παῦλος. Ὅταν ὀνομάζω τὸν Παῦλον, ἐννοῶ πάλιν τὸν Χριστόν. Αὐτὸς λοιπὸν γράφων πρὸς ἀνθρώπους ἔχοντας γυναῖκας καὶ ἀνατρέφοντας τέκνα, ἀπαιτεῖ ἀπὸ αὐτοὺς ὅλην τὴν αὐστηρότητα ποὺ ἁρμόζει εἰς τοὺς μοναχούς. Ἀπορρίπτων δηλαδὴ τὴν πολυτέλειαν, ὡς πρὸς τὴν ἐνδυμασίαν καὶ τὰ φαγητά, γράφει αὐτὰ τὰ λόγια. «Αἱ γυναῖκες πρέπει νὰ εἶναι κοσμίως ἐνδεδυμέναι καὶ νὰ στολίζουν ἑαυτὰς μὲ σεμνότητα καὶ σωφροσύνην, ὄχι μὲ πλέγματα ἢ χρυσὸν ἢ μαργαριτάρια ἢ πολυτελῆ φορέματα»[32], καὶ πάλιν, «ἡ δὲ σπαταλῶσα ζῶσα τέθνηκε»[33]· καὶ πάλιν, «ἔχοντες δὲ διατροφὰς καὶ σκεπάσματα, τούτοις ἀρκεσθησόμεθα»[34]. Τί περισσότερον ἀπὸ αὐτὰ θὰ ἀπαιτοῦσε κανεὶς ἀπὸ τοὺς μοναχούς; Θέλων δὲ νὰ διδάξῃ εἰς ἄλλους νὰ ἐξουσιάζουν τὴν γλῶσσαν των, πάλιν θέτει αὐστηρὰς ἐντολάς, καὶ τοιαύτας μάλιστα, ποὺ εἶναι δύσκολον καὶ εἰς τοὺς μοναχοὺς νὰ τὰς ἐφαρμόσουν. Διότι δὲν ἀπορρίπτει μόνον τὴν αἰσχρότητα καὶ τὴν μωρολογίαν, ἀλλὰ καὶ τὴν ἄσκοπον ἀστειολογίαν. Ὄχι μόνον τὸν θυμὸν καὶ τὴν ὀργὴν καὶ τὴν πικρίαν, ἀλλὰ καὶ τὴν κραυγὴν ἀποκόπτει ἀπὸ τὸ στόμα τῶν πιστῶν. Διότι λέγει: «Πᾶς θυμὸς καὶ ὀργὴ καὶ κραυγὴ καὶ βλασφημία νὰ ἀπομακρυνθῇ ἀπὸ σᾶς μαζὶ μὲ πᾶσαν κακίαν»[35]. Μή-

ὑμῶν σὺν πάσῃ κακίᾳ». Ἆρά σοι μικρὰ ταῦτα εἶναι δοκεῖ; Οὐκοῦν ἀνάμεινον, καὶ τὰ πολλῷ μείζονα τούτων ἀκούσῃ, ἃ περὶ ἀνεξικακίας διατάττεται πᾶσιν. «Ὁ ἥλιος, φησί, μὴ ἐπιδυέτω ἐπὶ τῷ παροργισμῷ ὑμῶν». «Ὁρᾶτε μή τις κακὸν
5 *ἀντὶ κακοῦ τινι ἀποδώσει· ἀλλὰ πάντοτε τὸ ἀγαθὸν διώκετε καὶ εἰς ἀλλήλους καὶ εἰς πάντας». Καὶ πάλιν, «μὴ νικῶ ὑπὸ τοῦ κακοῦ, ἀλλὰ νίκα ἐν τῷ ἀγαθῷ τὸ κακόν». Εἶδες πρὸς αὐτὴν τὴν κορυφὴν ἀναβαίνουσαν τὴν τῆς φιλοσοφίας καὶ μακροθυμίας ἐπίτασιν; Ἄκουσον καὶ ὅσα περὶ ἀγάπης*
10 *διατάττεται τοῦ κεφαλαίου τῶν ἀγαθῶν· ἐπάρας γὰρ αὐτὴν καὶ τὰ κατορθώματα αὐτῆς εἰπών, ἐδήλωσεν ὅτι ταύτην ἀπαιτεῖ παρὰ τῶν βιωτικῶν ἣν παρὰ τῶν μαθητῶν ὁ Χριστός. Ὥσπερ γὰρ ὁ Σωτὴρ τοῦτον ἔσχατον ὅρον ἔφησεν ἀγάπης εἶναι, τὸ τὴν ψυχὴν αὐτοῦ θεῖναι ὑπὲρ τῶν φίλων*
15 *αὐτοῦ, οὕτω καὶ ὁ Παῦλος τὸ αὐτὸ τοῦτο ἠνίξατο εἰπών· «ἡ ἀγάπη οὐ ζητεῖ τὰ ἑαυτῆς»· καὶ τὴν τοιαύτην κελεύει διώκειν. Ὥστε εἰ καὶ τοῦτο μόνον εἴρητο, ἱκανὸν τεκμήριον ἦν τοῦ τὰ αὐτὰ ἀπαιτεῖσθαι τοὺς βιωτικοὺς τοῖς μοναχοῖς. Ὁ γὰρ σύνδεσμος καὶ ἡ ῥίζα τῆς πολλῆς ἀρετῆς αὕτη ἐστί· νυνὶ*
20 *δὲ καὶ κατὰ μέρος αὐτὴν τίθησι.*

Τί τοίνυν μεῖζον ταύτης τῆς φιλοσοφίας ζητήσειεν ἄν τις; Ὅταν γὰρ καὶ ὀργῆς καὶ θυμοῦ καὶ κραυγῆς, καὶ χρημάτων ἐπιθυμίας, καὶ γαστρός, καὶ πολυτελείας, καὶ δόξης κενῆς, καὶ τῶν ἄλλων τῶν βιωτικῶν ἀνωτέρους εἶναι κε-
25 *λεύῃ, καὶ μηδὲν κοινὸν ἔχειν πρὸς τὴν γῆν, ὅταν νεκρῶσαι τὰ μέλη προστάττῃ, εὔδηλον ὅτι τὴν αὐτὴν ἡμᾶς ἀκρίβειαν ἀπαιτεῖ, ὅσην τοὺς μαθητὰς ὁ Χριστός, καὶ πρὸς τὰ ἁμαρτήματα οὕτως εἶναι βούλεται νεκρούς, ὡς τοὺς ἀποθανόντας καὶ ταφέντας ἤδη. Διὰ τοῦτο γάρ φησιν· «ὁ γὰρ ἀποθανὼν*

---

36. Ἐφ. 4, 26.
37. Θ' Θεσ. 5, 15.
38. Ρωμ. 12, 21.
39. Α' Κορ. 13, 5.

πως σοῦ φαίνονται ἀσήμαντα αὐτά; Περίμενε λοιπὸν καὶ θ' ἀκούσῃς τὰ πολὺ σπουδαιότερα τούτων, τὰ ὁποῖα παραγγέλλει εἰς ὅλους περὶ ἀνεξικακίας. Λέγει· «Ὁ ἥλιος νὰ δύῃ ἐνῷ εἶσθε ἀκόμη ὠργισμένοι»[36]. «Προσέχετε νὰ μὴ ἀνταποδώσῃ κανεὶς κακὸν ἀντὶ κακοῦ εἰς κάποιον, ἀλλὰ πάντοτε ἐπιδιώκετε τὸ ἀγαθὸν δι' ἀλλήλους καὶ δι' ὅλους»[37]. Καὶ πάλιν· «Νὰ μὴ νικᾶσαι ὑπὸ τοῦ κακοῦ, ἀλλὰ νὰ νικᾷς μὲ τὸ ἀγαθὸν τὸ κακόν»[38]. Βλέπεις πῶς ἀναβαίνει πρὸς τὴν κορυφὴν ἡ ἔντασις τῆς φιλοσοφίας καὶ τῆς μακροθυμίας; Ἄκουσε λοιπὸν καὶ αὐτὰ ποὺ ἐντέλλεται περὶ ἀγάπης, εἰς τὸ κεφάλαιον περὶ ἀγαθῶν. Ἀφοῦ τὴν ἀνύψωσεν καὶ εἶπε τὰ ἐπιτεύγματά της, ἐδήλωσεν ὅτι αὐτὴν τὴν ἀγάπην ἀπαιτεῖ παρὰ τῶν κοσμικῶν, τὴν ὁποίαν καὶ παρὰ τῶν μαθητῶν του ἀπήτει ὁ Χριστός. Διότι, ὅπως εἶπεν ὁ Σωτὴρ ὅτι αὐτὴ εἶναι ἡ μεγαλυτέρα ἀπόδειξις τῆς ἀγάπης, τὸ νὰ θυσιάζῃ κανεὶς τὸν ἑαυτόν του ὑπὲρ τῶν ἠγαπημένων του προσώπων, τοιουτοτρόπως καὶ ὁ Παῦλος, αὐτὸ τὸ ἴδιον ἐννοοῦσεν, ὅταν ἔλεγεν· «ἡ ἀγάπη οὐ ζητεῖ τὰ ἑαυτῆς»[39]. Καὶ αὐτοῦ τοῦ εἴδους τὴν ἀγάπην παραγγέλλει νὰ ἐπιδιώκωμεν. Ὥστε, καὶ ἂν μόνον αὐτὸ εἶχε λεχθῆ, θὰ ἦτο ἀρκετὴ ἀπόδειξις ὅτι αἱ αὐταὶ ὑποχρεώσεις ἀπαιτοῦνται καὶ παρὰ τῶν κοσμικῶν καὶ παρὰ τῶν μοναχῶν. Διότι ἡ ἀγάπη αὐτὴ εἶναι ὁ σύνδεσμος καὶ ἡ ρίζα τῆς μεγάλης ἀρετῆς. Τώρα δὲ καὶ ξεχωριστὰ τὴν ἀναφέρει.

Τί λοιπὸν μεγαλύτερον ἀπὸ τὴν φιλοσοφίαν αὐτὴν θὰ ἀπαιτοῦσε κανείς; Διότι ὅταν παραγγέλλῃ νὰ εἴμεθα ἀνώτεροι ἀπὸ ὀργὴν καὶ θυμὸν καὶ κραυγὴν καὶ ἐπιθυμίαν χρημάτων καὶ φαγητὸν καὶ πολυτέλειαν καὶ κενοδοξίαν καὶ τὰ ἄλλα κοσμικά, καὶ νὰ μὴ ἔχωμεν τίποτε κοινὸν μὲ τὴν γῆν, ὅταν προστάσσῃ νὰ νεκρώνωμεν τὰ μέλη, εὐνόητον ὅτι ὁ Χριστὸς ἀπαιτεῖ καὶ ἀπὸ τοὺς μαθητάς, καὶ θέλει νὰ εἴμεθα ὡς πρὸς τὰς ἁμαρτίας ὡσὰν νεκροὶ ποὺ ἀπέθαναν καὶ ἐτάφησαν ἤδη. Δι' αὐτὸ ἄλλωστε λέγει· «ὁ ἀποθανὼν

δεδικαίωται ἀπὸ τῆς ἁμαρτίας». Ἔστι δὲ ὅπου καὶ εἰς τὸν τοῦ Χριστοῦ ζῆλον διὰ τῆς παρακλήσεως ἡμᾶς ἄγει, οὐχὶ πρὸς τὸν τῶν μαθητῶν μόνον. Καὶ γὰρ ὅταν ἀγαπᾶν παραινῇ, ἐκεῖθεν φέρει τὰ ὑποδείγματα, καὶ ὅταν μὴ μνησικακεῖν,
5 *καὶ ὅταν μετριάζειν. Ὅταν οὖν μὴ μοναχοὺς μόνον, μηδὲ τοὺς μαθητάς, ἀλλὰ καὶ αὐτὸν μιμεῖσθαι κελεύῃ τὸν Χριστόν, καὶ τοῖς μὴ ζηλοῦσι κόλασιν τίθησι μεγίστην, πόθεν ἐκεῖνο μεῖζον ἔφης εἶναι τὸ ὕψος; Τὸ γὰρ αὐτὸ πάντας ἀνθρώπους ἀναβῆναι δεῖ· καὶ τὸ πᾶσαν ἀνατρέψαν τὴν οἰκου-*
10 *μένην, τοῦτό ἐστιν, ὅτι μείζονος οἰόμεθα δεῖν ἀκριβείας τῷ μονάζοντι μόνῳ, τοῖς δὲ λοιποῖς ἐξεῖναι ῥαθύμως ζῆν. Οὐ γάρ ἐστιν, οὐκ ἔστιν, ἀλλὰ τὴν αὐτὴν ἀπαιτούμεθα, φησί, πάντες φιλοσοφίαν· καὶ σφόδρα φαίην ἂν ἔγωγε, μᾶλλον δὲ οὐκ ἐγώ, ἀλλ' αὐτὸς ὁ μέλλων κρίνειν ἡμᾶς.*

15 *Εἰ δὲ θαυμάζεις ἔτι καὶ διαπορεῖς, φέρε σοι πάλιν τὴν ἀκοὴν ἀπὸ τῶν αὐτῶν ἀντλήσωμεν ναμάτων, ὥστε σοι τέλεον ἐκπλυθῆναι τῆς ἀπιστίας τὴν κακίαν ἅπασαν. Ποιήσομαι δὲν τὴν ἀπόδειξιν ἀπὸ τῶν κολάσεων τῶν κατὰ τὴν ἡμέραν ἐκείνην. Ὁ πλούσιος, οὐκ ἐπειδὴ μονάζων ἦν ὠμός, διὰ*
20 *τοῦτο ἐκολάζετο μειζόνως, ἀλλ' εἰ δεῖ τι καὶ ἐφευρόντα εἰπεῖν, ἐπειδὴ βιωτικὸς ὤν, καὶ ἐν πλούτῳ ζῶν καὶ ἐν πορφύρᾳ, περιεώρα τὸν Λάζαρον ἐν ἐσχάτῃ πενίᾳ. Πλὴν οὔτε τοῦτο οὔτε ἐκεῖνο ἐρῶ, ἀλλ' ὅτι μόνον ὠμὸς ἦν, διὰ τοῦτο ἔκειτο μειζόνως κολαζόμενος ἐν τῷ πυρί. Καὶ αἱ παρθένοι*
25 *δέ, ἐπειδὴ περὶ τὴν φιλανθρωπίαν ὑστέρησαν, διὰ τοῦτο ἀπη-*

---

40. Ρωμ. 6, 7.

εἰς τὴν ἁμαρτίαν εἶναι δικαιωμένος»[40]. Εἰς μερικὰς δὲ περιπτώσεις μᾶς ὁδηγεῖ, διὰ τῆς παραινέσεως, ὄχι μόνον εἰς τὴν μίμησιν τῶν μαθητῶν, ἀλλὰ καὶ αὐτοῦ τοῦ Χριστοῦ. Διότι, ὅταν συμβουλεύῃ νὰ ἀγαπῶμεν, ἀπὸ ἐκεῖ ἀντλεῖ τὰ παραδείγματα, ὅπως καὶ ὅταν συμβουλεύῃ νὰ μὴ μνησικακῶμεν καὶ ὅταν συμβουλεύῃ νὰ εἴμεθα μετριόφρονες. Ὅταν λοιπὸν παραγγέλλῃ νὰ μιμοῦνται ὄχι μόνον τοὺς μοναχοὺς καὶ τοὺς μαθητὰς ἀλλὰ καὶ τὸν ἴδιον τὸν Χριστόν, καὶ καθορίζῃ διὰ τοὺς μὴ προσπαθοῦντας νὰ τοὺς μιμηθοῦν μεγίστην τιμωρίαν, ἀπὸ ποῦ συμπεραίνεις ὅτι εἶναι μεγαλύτερον ἐκεῖνο τὸ ὕψος; Διότι, πρέπει ὅλοι νὰ ἀνέλθουν εἰς τὸ αὐτὸ ὕψος· καὶ αὐτὸ ποὺ ἀνέτρεψεν ὅλην τὴν οἰκουμένην εἶναι, τὸ ὅτι νομίζομεν ὅτι μόνον ὁ μοναχὸς πρέπει νὰ ζῇ μὲ μεγαλυτέραν αὐστηρότητα, ἐνῷ οἱ ὑπόλοιποι ἐπιτρέπεται νὰ ζοῦν μὲ ἀμέλειαν. Δὲν συμβαίνει τέτοιο πρᾶγμα, δὲν εἶναι δυνατὸν νὰ συμβαίνῃ, ἀλλὰ ἀπαιτεῖται ἀπὸ ὅλους μας, λέγει, ὁ αὐτὸς τρόπος ζωῆς. Καὶ αὐτὸ ἐγὼ μὲ ὅλην τὴν δύναμίν μου θὰ ἠμποροῦσα νὰ τὸ βεβαιώσω, μᾶλλον δὲ ὄχι ἐγώ, ἀλλὰ αὐτὸς ὁ ἴδιος, ποὺ πρόκειται νὰ μᾶς κρίνῃ.

Ἐὰν δὲ παραξενεύεσαι καὶ ἀπορῇς ἀκόμη, ἐλθὲ νὰ ἀκούσῃς αὐτὰ ποὺ θὰ ἀντλήσωμεν ἀπὸ τὰς ἰδίας πηγάς, ὥστε νὰ καθαρισθῇς τελείως ἀπὸ τὸ ἁμάρτημα τῆς ἀπιστίας. Θὰ τὸ ἀποδείξω δὲ ἀπὸ τὰς τιμωρίας, ποὺ θὰ ἐπιβληθοῦν κατὰ τὴν ἡμέραν ἐκείνην. Ὁ πλούσιος δὲν ἐτιμωρεῖτο αὐστηρότερον ἐπειδὴ ζῶν κατὰ μόνας ἦτο σκληρός, ἀλλά, ἐὰν βεβαίως ἐπιτρέπεται νὰ εἴπωμεν κάτι ἐκ συμπεράσματος, ἐπειδή, ἐνῷ ἦτο κοσμικὸς καὶ ἔζη μὲ πλοῦτον καὶ πολυτέλειαν, περιεφρόνει τὸν Λάζαρον, ὁ ὁποῖος ἀπέθανεν ἀπὸ τὴν πεῖναν. Πλὴν ὅμως οὔτε δι' αὐτὸ οὔτε δι' ἐκεῖνο θὰ εἴπω, ἀλλὰ μόνον ἐπειδὴ ἦτο σκληρός, δι' αὐτὸ εὑρίσκετο μέσα εἰς τὸ πῦρ τιμωρούμενος περισσότερον. Ἐπίσης αἱ παρθένοι ἐξεβλήθησαν ἀπὸ τὸν νυμφῶνα, ἐπειδὴ ὑστέρησαν εἰς ἔργα φιλανθρωπίας. Καί, ἂν πρέπει νὰ εἴπωμεν κά-

λάθησαν ἀπὸ τοῦ νυμφῶνος· καὶ εἰ χρή τι καὶ παρ' ἑαυτῶν εἰπεῖν, οὐ μόνον αὐταῖς οὐκ ἐπετείνετο τὰ τῆς κολάσεως διὰ τὴν παρθενίαν, ἀλλὰ τάχα καὶ ἡμερώτερα διὰ ταύτην ἐγένετο. Οὐ γὰρ ἤκουσαν, «πορεύεσθε εἰς τὸ πῦρ τὸν ἡτοιμα-
5 *σμένον τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ», ἀλλὰ μόνον, «οὐκ οἶδα ὑμᾶς». Εἰ δὲ λέγει τις ταὐτὸν εἶναι τοῦτο ἐκείνῳ, οὐδὲν ἀντερῶ. Τὸ γὰρ σπουδαζόμενόν μοι δεῖξαι νῦν, ὅτι οὐχ ὁ τῶν μοναχῶν βίος χαλεπωτέρας ποιεῖ τὰς κολάσεις, ἀλλὰ τῶν αὐτῶν εἰσιν ὑπεύθυνοι καὶ οἱ βιωτικοί, τὰ αὐτὰ*
10 *ἁμαρτάνοντες ἐκείνοις. Καὶ ὁ τὰ ῥυπαρὰ ἐνδεδυμένος ἱμάτια, καὶ ὁ τὰ δηνάρια τὰ ἑκατὸν ἀπαιτῶν οὐκ ἐπειδὴ μονάζοντες ἦσαν, ἔπασχον ἅπερ ἔπασχον· ἀλλ' ὁ μὲν διὰ τὴν πορνείαν, ὁ δὲ διὰ τὴν μνησικακίαν ἀπώλοντο. Καὶ τοὺς ἄλλους δὲ εἴ τις ἐπέλθοι τοὺς τότε κολαζομένους, ἀπὸ τῶν*
15 *ἁμαρτημάτων μόνον ὄψεται τὴν τιμωρίαν ὑπέχοντας. Οὐκ ἐν ταῖς τιμωρίαις δὲ μόνον, ἀλλὰ καὶ ἐν ταῖς νουθεσίαις τοῦτο εὕροι τις ἄν. Καὶ γάρ, ὅταν λέγῃ, «δεῦτε πρός με πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς· ἄρατε τὸν ζυγόν μου ἐφ' ὑμᾶς, καὶ μάθετε ἀπ' ἐμοῦ*
20 *ὅτι πρᾶός εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ, καὶ εὑρήσετε ἀνάπαυσιν ταῖς ψυχαῖς ὑμῶν», οὐ τοῖς μονάζουσι διαλέγεται μόνον, ἀλλὰ καὶ πάσῃ τῇ τῶν ἀνθρώπων φύσει. Καὶ ὅταν κελεύῃ διὰ τῆς στενῆς ὁδεύειν ὁδοῦ, οὐ πρὸς τούτους ἀποτείνει τὸν λόγον μόνους, ἀλλὰ πρὸς πάντας ἀνθρώπους, καὶ μισεῖν*
25 *δὲ τὴν αὐτῶν ψυχὴν ἐν τῷ κόσμῳ τούτῳ, καὶ τὰ ἄλλα δὲ πάντα τὰ τοιαῦτα πᾶσιν ἐπέταξεν ὁμοίως. Ὅταν δὲ μὴ πᾶσι διαλέγηται μηδὲ νομοθετῇ, δῆλον ἡμῖν αὐτὸ ποιεῖ. Ὅτε γοῦν περὶ παρθενίας ἔλεγεν, ἐπήγαγεν, «ὁ δυνάμενος χωρεῖν χωρείτω», οὔτε τό, πᾶς, προσθείς, οὔτε ἐν ἐπιτάγματος τάξει*
35 *τοῦτο εἰσενεγκών. Οὕτω καὶ ὁ Παῦλος (τὸν γὰρ διδάσκαλον*

---

41. Ματθ. 25, 41.
42. Ματθ. 25, 1-13.
43. Ματθ. 11, 28.
44. Ματθ. 19, 12.

τι καὶ κατὰ τὴν κρίσιν μας, ὄχι μόνον δὲν ἔγιναν σκληρότεραι αἱ τιμωρίαι ἐπειδὴ ἦσαν παρθένοι, ἀλλ' ἀντιθέτως ἴσως ἔγιναν ἠπιώτεραι λόγῳ τῆς παρθενίας. Διότι δὲν ἤκουσαν, «πορεύεσθε εἰς τὸ πῦρ τὸ ἡτοιμασμένον τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ»[41], ἀλλὰ μόνον, «οὐκ οἶδα ὑμᾶς»[42], δὲν σᾶς γνωρίζω. Ἐὰν δὲ κάποιος εἴπῃ ὅτι αὐτὸ καὶ ἐκεῖνο εἶναι τὸ ἴδιον, δὲν θὰ φέρω καμμίαν ἀντίρρησιν. Διότι αὐτὸ ποὺ προσπαθῶ ν' ἀποδείξω τώρα εἶναι ὅτι ὁ μοναχικὸς βίος δὲν κάνει μεγαλυτέρας τὰς τιμωρίας, ἀλλὰ τὰς αὐτὰς τιμωρίας θὰ ὑποστοῦν οἱ κοσμικοί, οἱ ὁποῖοι διαπράττουν τὰ αὐτὰ ἁμαρτήματα μὲ ἐκείνους. Καὶ αὐτὸς ποὺ ἐφοροῦσε ρυπαρὰ ροῦχα καὶ αὐτὸς ποὺ ἐζητοῦσε τὰ ἑκατὸν δηνάρια, δὲν ἔπαθαν αὐτὰ ποὺ ἔπαθαν ἐπειδὴ ἦσαν μοναχοί, ἀλλ' ἀπωλέσθησαν ὁ μὲν πρῶτος ἐξ αἰτίας τῆς πορνείας, ὁ δὲ ἄλλος ἐξ αἰτίας τῆς μνησικακίας του. Καὶ οἱ ἄλλοι τιμωρηθέντες τότε, ἐὰν κανεὶς ἤθελε νὰ ἐξετάσῃ, θὰ ἰδῇ ὅτι μόνον διὰ τὰ ἁμαρτήματά των τιμωροῦνται. Ὄχι μόνον δὲ εἰς τὰς περιπτώσεις τῶν τιμωριῶν, ἀλλὰ καὶ εἰς τὰς νουθεσίας θὰ τὸ διαπιστώσῃ κανεὶς αὐτό. Ὅταν, δηλαδή, λέγῃ, «Ἔλθετε ὅλοι οἱ κοπιάζοντες καὶ βαρυφορτωμένοι καὶ ἐγὼ θὰ σᾶς ἀναπαύσω· πάρετε λοιπὸν ἐπάνω σας τὸν ζυγόν μου καὶ ἴδετε ὅτι εἶμαι πρᾶος καὶ ταπεινός, καὶ θὰ εὕρετε ψυχικὴν ἀνάπαυσιν»[43], καὶ δὲν ἀπευθύνεται μόνον πρὸς τοὺς μονάζοντας, ἀλλὰ καὶ εἰς ὅλους τοὺς ἀνθρώπους. Καὶ ὅταν προτρέπῃ νὰ διερχώμεθα διὰ τῆς στενῆς πύλης, δὲν ἀπευθύνει τὸν λόγον του μόνον εἰς ἐκείνους ἀλλὰ πρὸς ὅλους τοὺς ἀνθρώπους. Καὶ τὸ νὰ μισοῦν οἱ ἄνθρωποι εἰς τὸν κόσμον αὐτὸν τὴν ζωήν των καὶ ὅλα τὰ παραπλήσια εἶναι ἐντολὴ δι' ὅλους. Ὅταν ὅμως δὲν ἀπευθύνεται πρὸς ὅλους καὶ δὲν νομοθετῇ δι' ὅλους, μᾶς τὸ κάμνει γνωστόν. Ὅταν δηλαδὴ ὡμιλοῦσε περὶ παρθενίας, προσέθεσεν· «ὁ δυνάμενος χωρεῖν χωρείτω»[44], χωρὶς νὰ προσθέσῃ οὔτε τὸ «πᾶς» οὔτε νὰ εἰσαγάγῃ αὐτὸ ἐν εἴδει προσταγῆς. Ἔτσι καὶ ὁ Παῦλος (ὁ ὁποῖος παντοῦ φαίνεται νὰ μιμῆται τὸν διδά-

μιμούμενος πανταχοῦ φαίνεται), καὶ εἰς ταύτην ἐμπεσὼν τὴν ὑπόθεσιν, ἔλεγε, «περὶ δὲ τῶν παρθένων ἐπιταγὴν Κυρίου οὐκ ἔχω». Ὅτι μὲν οὖν πρὸς τὴν ἴσην φθάσαι κορυφὴν καὶ τὸν βιωτικὸν ἀνάγκη καὶ τὸν μοναχόν, καὶ ὅτι τὰ αὐτὰ
5 *λήψονται τραύματα πεσόντες ἀμφότεροι, οὐδὲ τὸν σφόδρα φιλόνεικον καὶ ἀναίσχυντον οἶμαι λοιπὸν ἀντερεῖν.*

15. Τούτου δὲ ἀποδειχθέντος σαφῶς, φέρε δὴ κἀκεῖνο ἐξετάσωμεν, τίς εὐκολώτερον καὶ ῥᾶον πεσεῖται· ἢ ἐνταῦθα οὐδὲ ἐξετάσεως ἡμῖν δεῖ. Σωφροσύνην μὲν γὰρ ὁ γυναῖκα
10 *ἔχων κατορθώσει ῥαδίως, ἅτε πολλῆς ἀπολαύων τῆς παραμυθίας· ἐν δὲ τοῖς ἄλλοις οὐ σφόδρα φαίνεται, πλὴν ἀλλὰ κἀνταῦθα πλείους ἂν ἴδοιμεν τῶν γεγαμηκότων ἢ τῶν μοναχῶν πίπτοντας. Οὔτε γὰρ τοσοῦτοι πρὸς τὸν γάμον ἀπὸ τῶν μοναστηρίων ἐκβαίνουσιν ὅσοι πρὸς πόρνας*
15 *ἀπὸ τῆς εὐνῆς ἀνίστανται τῶν γυναικῶν. Εἰ δὲ ὅπου εὔκολα τὰ τῶν παλαισμάτων αὐτοῖς, μετὰ τοσαύτης πίπτουσιν ὑπερβολῆς, τί ποιήσουσιν ἐν τοῖς ἄλλοις πάθεσιν ἐν οἷς μᾶλλον ἐνοχλοῦνται τῶν μοναχῶν; Ἡ μὲν γὰρ ἐπιθυμία τούτοις σφοδρότερον ἔπεισιν, ἅτε τὴν πρὸς γυναῖκας οὐκ ἔχουσιν*
20 *ὁμιλίαν· τὰ δὲ ἄλλα τούτων μὲν οὐδὲ ἐγγὺς γενέσθαι δύναιτ' ἄν, ἐκείνους δὲ κατὰ κράτος ἐλαύνει καὶ ἐπὶ κεφαλὴν ὠθεῖ. Εἰ δὲ ἐν οἷς σφοδρότερον ὁ πόλεμος πνεῖ, μᾶλλον τῶν μὴ τοῦτο πασχόντων κρατοῦσιν, εὔδηλον ὅτι πολλῷ ῥᾶον τούτων ἐν τοῖς ἄλλοις, ἐν οἷς οὐκ ἐνοχλοῦνται, στήσονται.*
25 *Καὶ γὰρ χρημάτων ἔρως, καὶ τρυφῆς ἐπιθυμία καὶ δυναστείας καὶ τῶν ἄλλων ἁπάντων, εὐκολώτερον ὑπὸ τούτων ἢ τῶν βιωτικῶν ἀνύεσθαι πέφυκεν. Ὥσπερ οὖν ἐν παρατάξει καὶ μάχῃ τοῦτο τοῦ πολέμου τὸ μέρος κουφότερον εἶναι φήσομεν, οὐχ ὅθεν ἐπάλληλοι καὶ συνεχεῖς πίπτουσιν οἱ νε-*
30 *κροί, ἀλλ' ὅθεν ὀλίγοι καὶ σπάνιοι, οὕτω καὶ περὶ τούτων*

---

45. Α΄ Κορ. 7, 25.

σκαλον), ἀναφερόμενος εἰς τὴν περίπτωσιν αὐτὴν ἔλεγε· «περὶ δὲ τῶν παρθένων ἐπιταγὴν Κυρίου οὐκ ἔχω»[45]. Οὔτε καὶ ὁ πλέον ἰσχυρογνώμων καὶ ἀδιάντροπος νομίζω ὅτι θὰ ἀμφισβητήσῃ, ὅτι εἶναι ὑποχρεωμένος καὶ ὁ κοσμικὸς καὶ ὁ μοναχὸς νὰ φθάσῃ εἰς αὐτὸ τὸ ὕψος, καὶ ὅτι ἐὰν πέσουν καὶ οἱ δύο, θὰ ὑποστοῦν τὰ ἴδια τραύματα.

15. Ἀφοῦ λοιπὸν αὐτὸ ἀπεδείχθη σαφῶς, ἂς ἐξετάσωμεν πλέον καὶ ἐκεῖνο, ποῖος δηλαδὴ θὰ πέσῃ εὐκολώτερα καὶ ταχύτερα, ἂν καὶ ἐδῶ δὲν εἶναι ἀνάγκη οὔτε κἂν νὰ τὸ ἐρευνήσωμεν. Διότι ὁ ἔχων γυναῖκα θὰ ἐπιτύχῃ εὐκολώτερα τὴν σωφροσύνην, ἐπειδὴ ἀπολαμβάνει πολλὴν παρηγορίαν, ὡς πρὸς τὰ ἄλλα ὅμως δὲν φαίνεται τόσον καθαρά, ἀλλὰ καὶ ἐδῶ θὰ παρετηρούσαμεν ὅτι οἱ ἔγγαμοι πίπτουν εἰς μεγαλύτερον βαθμὸν ἀπὸ τοὺς μοναχούς. Διότι δὲν φεύγουν τόσον πολλοὶ ἀπὸ τὰ μοναστήρια διὰ νὰ νυμφευθοῦν, ὅσοι ἀπὸ τὸν συζυγικὸν κοιτῶνα πρὸς τὰς πόρνας. Ἐὰν δὲ εἰς τὰ εὔκολα παλαίσματά των πίπτουν μὲ τόσην εὐκολίαν, τί θὰ κάμουν εἰς τὰ ἄλλα πάθη, εἰς τὰ ὁποῖα ὑφίστανται μεγαλυτέρας ἐνοχλήσεις, ἀπὸ αὐτὰς ποὺ ὑφίστανται οἱ μοναχοί; Ἡ μὲν ἐπιθυμία εἶναι βεβαίως ἐντονωτέρα, εἰς αὐτούς, ἐπειδὴ δὲν συναναστρέφονται μὲ γυναῖκας, τὰ δὲ ἄλλα ποὺ αὐτοὺς οὔτε κἂν ἠμποροῦν νὰ πλησιάσουν, ἐκείνους τοὺς συγκλονίζουν καὶ τοὺς κτυποῦν εἰς τὴν κεφαλήν. Ἐὰν δὲ εἰς αὐτὰ ποὺ εἶναι σφοδρότερος ὁ πόλεμος ὑπερισχύουν εὐκολώτερα ἀπὸ ἐκείνους ποὺ δὲν προσβάλλονται ἀπὸ αὐτό, εἶναι ὁλοφάνερον ὅτι θὰ σταθοῦν πολὺ εὐκολώτερα ἀπὸ ἐκείνους εἰς ὅσα δὲν ἐνοχλοῦνται. Διότι εἶναι φυσικὸν αὐτοὶ νὰ ἀποκρούουν εὐκολώτερα ἀπὸ τοὺς κοσμικοὺς καὶ τὴν ἐπιθυμίαν τῶν χρημάτων καὶ τῆς πολυτελείας καὶ τῆς ἐξουσίας καὶ ὅλων τῶν ἄλλων. Ὅπως λοιπὸν εἰς τὴν ἐκστρατείαν καὶ τὴν μάχην θὰ εἴπωμεν τὸ ἐλαφρότερον μέρος τοῦ πολέμου δὲν εἶναι φυσικὰ ἐκεῖνο εἰς τὸ ὁποῖον πίπτουν οἱ νεκροὶ ὁ εἷς μετὰ τὸν ἄλλον, ἀλλ' ἐκεῖνο εἰς τὸ ὁποῖον φονεύονται ἐλάχιστοι καὶ σποραδικῶς,

ψηφίζεσθαι χρή. Καὶ γὰρ πλεονεξίας οὐχ ὁ στρεφόμενος ἐν τῷ μέσῳ, ἀλλ' ὁ καθήμενος ἐν τοῖς ὄρεσιν εὐκολώτερον περιέσται· ἐπεὶ ἐκεῖνός γε καὶ ἁλώσεται ῥᾳδίως, ἁλόντα δὲ πλεονεξίᾳ μετὰ τῶν εἰδωλατρῶν ἀριθμεῖσθαι ἀνάγκη. Καὶ 5 τῶν οἰκείων οὗτος μὲν οὐχ αἱρήσεται ὑπεριδεῖν, ἂν ἔχῃ χρήματα, ἀλλ' εὐκόλως αὐτοῖς πάντα προήσεται, ἐκεῖνος δὲ οὐ περιόψεται μόνον αὐτούς, ἀλλὰ καὶ ἀδικήσει τῶν ἀλλοτρίων οὐχ ἧττον· τοῦτο δὲ πάλιν ἕτερος εἰδωλολατρίας τρόπος τοῦ προτέρου χαλεπώτερος.

10 *Καὶ τί δεῖ τὰ ἄλλα πάντα λέγειν, τὰ τοῖς μονάζουσι μὲν ὄντα εὐκαταγώνιστα, τοὺς δὲ βιωτικοὺς μετὰ πολλῆς καταβάλλοντα τῆς σφοδρότητος; Πῶς οὖν οὐ δέδοικας, οὐδὲ τρέμεις ἐπὶ τοῦτον ἄγων τὸν βίον, ὅθεν ἁλώσιμος ἔσται τῇ κακίᾳ ταχέως; Ἢ μικρὸν εἶναί σοι δοκεῖ εἰδωλολατρία, 15 καὶ τὸ τῶν ἀπίστων εἶναι χεῖρω, καὶ τὸ τοῦ Θεοῦ τὴν δουλείαν διὰ τῶν ἔργων ἐξόμνυσθαι, ἅπερ ἅπαντα πείσονται εὐκολώτερον τῶν μοναχῶν οἱ τῷ βίῳ προσδεδεμένοι;*

Ὁρᾷς ὅτι σκῆψις ὁ φόβος ἐστίν; Εἰ γὰρ δεδοικέναι ἐχρῆν, οὐχ ὑπὲρ τῶν τὰ κλυδώνια φευγόντων, οὐδὲ ὑπὲρ τῶν 20 ἐπὶ τὸν λιμένα σπευδόντων, ἀλλ' ὑπὲρ τῶν ἐν χειμῶνι καὶ τῇ ζάλῃ κλυδωνιζομένων. Ταχύτερον γὰρ ἐκεῖθεν τὰ ναυάγια, τῷ καὶ πλείονα εἶναι τὰ ἐνοχλοῦντα, καὶ ῥαθυμοτέρους τοὺς πρὸς ταῦτα στήσεσθαι μέλλοντας. Ἐνταῦθα δὲ οὔτε τοσαῦτα τὰ κύματα, καὶ πολλὴ ἡ γαλήνη, καὶ ἡ σπουδὴ μείζων 25 τῶν πρὸς ταῦτα μαχησομένων. Διὰ τοῦτο καὶ ἡμεῖς ἐπὶ τὴν ἔρημον ἕλκομεν, οὐχ ἵνα σάκκον ἁπλῶς περιβάλωνται, οὐδὲ ἵνα κλοιὰ περιθῶνται, οὐδ' ἵνα σποδὸν ὑποστορέσωνται, ἀλλ' ἵνα πρὸ τῶν ἄλλων ἁπάντων φύγωσι μὲν κακίαν, ἕλωνται δὲ ἀρετήν.

ἔτσι πρέπει νὰ σκεπτώμεθα καὶ δι' αὐτούς. Διότι εὐκολώτερα θὰ νικήσῃ τὴν πλεονεξίαν ὁ ζῶν εἰς τὰ ὄρη, παρὰ ὁ συναναστρεφόμενος ἐν μέσῳ τοῦ κόσμου· ἐπειδὴ ἐκεῖνος βεβαίως θὰ κυριευθῇ εὔκολα ἀπὸ τὴν πλεονεξίαν, ὅταν δὲ ὑποδουλωθῇ εἰς αὐτήν, πρέπει νὰ συναριθμῆται μὲ τοὺς εἰδωλολάτρας. Καὶ αὐτὸς μὲν δὲν θὰ ἀποφασίσῃ νὰ παραβλέψῃ τοὺς συγγενεῖς, ἐὰν ἔχῃ χρήματα, ἀλλὰ εὔκολα θὰ τὰ διαμοιράσῃ ὅλα εἰς αὐτούς, ἐκεῖνος δέ, ὄχι μόνον θὰ τοὺς περιφρονήσῃ, ἀλλὰ καὶ θὰ τοὺς ἀδικήσῃ ὄχι ὀλιγώτερον ἀπὸ τοὺς ξένους· αὐτὸ δὲ εἶναι πάλιν μία ἄλλη μορφὴ εἰδωλολατρίας, χειροτέρα ἀπὸ τὴν προηγουμένην.

Καὶ τί ἀνάγκη ὑπάρχει νὰ ἀναφέρωμεν ὅλα ἐκεῖνα τὰ ἄλλα, τὰ ὁποῖα εἰς μὲν τοὺς μοναχοὺς εἶναι εὐκολοπολέμητα, ἐνῷ νικοῦν τοὺς κοσμικοὺς μὲ πολλὴν σφοδρότητα; Διατί λοιπὸν δὲν φοβεῖσαι καὶ δὲν τρέμεις ὁδηγῶν τὸν υἱόν σου πρὸς αὐτὸν τὸν βίον, ὅπου θὰ κυριευθῇ εὔκολα ἀπὸ τὴν κακίαν; Ἢ σοῦ φαίνεται ἀσήμαντον πρᾶγμα ἡ εἰδωλολατρία, καὶ τὸ νὰ εἶναι χειρότερος ἀπὸ τοὺς ἀπίστους, καὶ τὸ νὰ ἀπορρίψῃ τὸν ζυγὸν τοῦ Θεοῦ ἐμπράκτως, πράγματα ποὺ εὐκολώτερα θὰ τὰ πάθουν ὅλα οἱ προσκεκολλημένοι εἰς τὴν ζωήν, παρὰ οἱ μοναχοί;

Βλέπεις ὅτι ὁ φόβος εἶναι δικαιολογία; Διότι ἔπρεπε νὰ φοβηθῇς ὄχι δι' αὐτούς, ποὺ διαφεύγουν τὰς τρικυμίας, οὔτε δι' αὐτοὺς ποὺ σπεύδουν εἰς τὸ λιμάνι, ἀλλὰ δι' αὐτοὺς ποὺ ταράσσονται μέσα εἰς τὴν τρικυμίαν καὶ τὴν ναυτίαν. Διότι συχνότερα συμβαίνουν τὰ ναυάγια ἐκεῖ ἐπειδὴ ὑπάρχουν περισσότεραι ἐνοχλήσεις καὶ εἶναι ὀκνηρότεροι αὐτοὶ ποὺ πρόκειται νὰ τὰς ἀντιμετωπίσουν. Ἐδῶ ὅμως οὔτε τόσον πολλὰ κύματα ὑπάρχουν, ἀντιθέτως μάλιστα ὑπάρχει πολλὴ γαλήνη, καὶ εἶναι μεγαλυτέρα ἡ φροντὶς αὐτῶν ποὺ πρόκειται νὰ ἀντιμετωπίσουν ταῦτα. Δι' αὐτὸ καὶ ἡμεῖς τοὺς ἑλκύομεν πρὸς τὴν ἔρημον, ὄχι ἁπλῶς διὰ νὰ φορέσουν σάκκους, οὔτε διὰ νὰ φορέσουν δεσμά, οὔτε διὰ νὰ στρώσουν κάτω στάκτην, ἀλλὰ πρὸ πάντων διὰ ν' ἀποφύγουν τὴν ἁμαρτίαν καὶ νὰ προτιμήσουν τὴν ἀρετήν.

*Τί οὖν; οἱ γεγαμηκότες, φησίν, ἀπολοῦνται πάντες; Οὐ
τοῦτο λέγω, ἀλλ' ὅτι μειζόνων δεήσονται πόνων, εἰ μέλλοι-
εν σώζεσθαι, διὰ τὴν ἐνεστῶσαν ἀνάγκην· τοῦ γὰρ δεδεμέ-
νου μᾶλλον ὁ λελυμένος δραμεῖται. Οὐκοῦν καὶ πλείονα ἕξει
5 τὸν μισθόν, καὶ λαμπροτέρους τοὺς στεφάνους; Οὐδαμῶς·
ἑαυτῷ γὰρ ταύτην περιτίθησι τὴν ἀνάγκην, ἐξὸν μὴ περι-
θεῖναι.*

*Ὥστε, ἐπειδὴ σαφῶς ἡμῖν ἀποδέδεικται ὅτι τῶν αὐ-
τῶν ἐσμεν ὑπεύθυνοι τοῖς μοναχοῖς, ἐπὶ τὴν εὐκολωτέραν
10 τρέχωμεν ὁδόν, καὶ τοὺς υἱοὺς ἐπὶ ταύτην ἕλκωμεν, ἀλλὰ
μὴ καταποντίζωμεν, μηδὲ εἰς τὰ τῆς κακίας ἕλκωμεν βά-
ραθρα, καθάπερ ἐχθροὶ καὶ πολέμιοι. Ταῦτα γὰρ εἰ μὲν
ἄλλοι τινὲς ἐποίουν, οὐκ ἦν οὕτω δεινόν· ὅταν δὲ οἱ γε-
γεννηκότες, οἱ τῶν βιωτικῶν πεῖραν εἰληφότες πάντων,
15 οἱ διὰ τῶν ἔργων μαθόντες αὐτῶν ὅτι ψυχρὰ τῶν παρόν-
των πραγμάτων ἡ ἡδονή, οὕτω μαίνωνται, ὡς ἑτέρους ἐ-
πὶ ταῦτα ἕλκειν, ἐπειδὴ λοιπὸν ὑπὸ τῆς ἡλικίας αὐτοὶ κε-
κώλυνται· καὶ δέον ἑαυτοὺς ἐπὶ τοῖς προτέροις ταλανίζειν,
οἱ δὲ καὶ ἑτέρους ἐμβάλλουσι καὶ ταῦτα ἐγγὺς ἑστῶτες
20 λοιπὸν τῆς τελευτῆς, καὶ τοῦ δικαστηρίου καὶ τῶν εὐθυνῶν
ἐκείνων, ποία αὐτοῖς ἀπολογία λελείψεται, ποία συγγνώ-
μη, ποῖος ἔλεος; Οὐ γὰρ δὴ μόνον τῶν οἰκείων ἁμαρτη-
μάτων δώσουσι δίκην, ἀλλὰ καὶ τῶν τοῖς παισὶ τετολμη-
μένων, ἄν τε δυνηθῶσι τοὺς υἱοὺς ὑποσκελίσαι, ἄν τε μή.*

25 *16. Ἀλλὰ παῖδας ἴσως ἐπιθυμεῖτε παίδων ἰδεῖν. Καὶ
πῶς, οὔπω γενόμενοι πατέρες αὐτοί; Οὐ γὰρ δὴ τὸ γεν-
νῆσαι πατέρα ποιεῖ· καὶ τοῦτο αὐτοὶ οἱ γεγεννηκότες συν-
ομολογήσειεν ἄν, οἳ τοὺς υἱεῖς ὅταν ἴδωσιν εἰς ἔσχατον
κακίας ἐλαύνοντας, ὡς οὐκ ὄντας αὐτῶν ἐκβάλλουσι καὶ
30 ἀπαλλοτριοῦσι, καὶ οὔτε φύσις, οὔτε γέννησις, οὔτε ἄλλο
τῶν τοιούτων οὐδὲν κατασχεῖν αὐτοὺς δύναιτ' ἄν. Μὴ τοί-*

Τί λοιπόν; Οἱ ἔγγαμοι θὰ ἀπολεσθοῦν ὅλοι; Δὲν λέγω αὐτό, ἀλλὰ ὅτι θὰ χρειασθῇ νὰ καταβάλουν μεγαλυτέρους κόπους, ἐὰν θέλουν νὰ σωθοῦν, λόγῳ τῆς παρούσης ἀνάγκης· διότι ὁ ἐλεύθερος θὰ τρέξῃ περισσότερον ἀπὸ τὸν δεμένον. Θὰ λάβῃ λοιπὸν μεγαλυτέραν ἀμοιβὴν καὶ λαμπρότερα στεφάνια; Ὄχι· διότι θέτει μόνος του τὸν περιορισμόν, ἐνῷ τοῦ ἐπετρέπετο νὰ μὴ τὸν θέσῃ.

Ὥστε ἀφοῦ σαφῶς σᾶς ἀπεδείχθη ὅτι εἴμεθα ὑπεύθυνοι διὰ τὰ αὐτὰ μὲ τοὺς μοναχοὺς καθήκοντα, ἂς προτιμῶμεν τὴν εὐκολωτέραν ὁδὸν καὶ ἂς ὁδηγῶμεν τοὺς υἱοὺς εἰς αὐτήν, καὶ ἂς μὴ τοὺς καταβυθίζωμεν οὔτε νὰ τοὺς ὠθοῦμεν εἰς τὰ βάραθρα τῆς κακίας ὡσὰν ἐχθροὶ καὶ ἀντίπαλοι. Ἐὰν αὐτὰ τὰ ἔκαμναν κάποιοι ἄλλοι, δὲν θὰ ἦτο τόσον φοβερὸν τοῦτο. Ποία ὅμως δικαιολογία ὑπάρχει, ποία συγγνώμη, ποία εὐσπλαγχνία, ὅταν μὲ τόσην μανίαν φέρωνται οἱ γονεῖς, οἱ ὁποῖοι ἔχουν πεῖραν ὅλων τῶν σχετικῶν πρὸς τὴν ζωὴν καὶ οἱ ὁποῖοι ἐκ πείρας ἔμαθαν ὅτι ἡ ἡδονὴ τῶν παρόντων πραγμάτων εἶναι ματαία, καὶ σύρουν εἰς αὐτὰ ἄλλους, ἀφοῦ αὐτοὶ ἐμποδίζονται ἀπὸ τὴν ἡλικίαν, καὶ ἐνῷ ἔπρεπε νὰ θεωροῦν δυστυχεῖς τοὺς ἑαυτούς των διὰ τὰ προηγούμενα, αὐτοὶ ἀντιθέτως εἰσάγουν καὶ ἄλλους, καὶ αὐτὰ τὰ κάνουν, ἐνῷ εὑρίσκονται πλησίον τοῦ θανάτου καὶ τοῦ μελλοντικοῦ δικαστηρίου, καὶ ἔναντι τῶν εὐθυνῶν ἐκείνων; Διότι δὲν θὰ τιμωρηθοῦν μόνον διὰ τὰ ἰδικά των ἁμαρτήματα, ἀλλὰ καὶ δι' ὅσα ἐτόλμησαν ἔναντι τῶν παιδιῶν, εἴτε κατορθώσουν νὰ κάμψουν τὴν ἀντίστασίν των, εἴτε ὄχι.

16. Ἀλλά, ἴσως ἐπιθυμεῖτε νὰ ἰδῆτε ἐγγόνια. Πῶς ὅμως, ἀφοῦ ἀκόμη δὲν ἐγίνατε πατέρες; Διότι δὲν κάμει τὸν πατέρα μόνον ἡ γέννησις τοῦ παιδιοῦ. Καὶ αὐτὸ θὰ τὸ ὡμολογοῦσαν οἱ ἴδιοι οἱ γονεῖς, οἱ ὁποῖοι ὅταν ἰδοῦν τὰ παιδιὰ νὰ φθάνουν εἰς τὸ ἔσχατον σημεῖον τῆς κακίας, τὰ ἀπομακρύνουν καὶ τὰ ἀποξενώνουν, ὡσὰν νὰ μὴ εἶναι ἰδικά των, καὶ δὲν ἠμπορεῖ νὰ τοὺς σταματήσῃ οὔτε ἡ φυσικὴ σχέσις οὔτε ἡ γέννησις οὔτε τίποτε ἄλλο ἀπὸ αὐτά. Ἂς μὴ

νυν μηδὲ πατέρες ἀξιούσθωσαν εἶναι οἱ τοιοῦτοι, ὧν πολὺ κατὰ τὸν τῆς φιλοσοφίας λείποντα λόγον· ἀλλ' ἐπειδὰν αὐτοὺς τοῦτον τὸν τρόπον γεννήσωσι, τότε καὶ τοὺς ἐκγόνους ζητείτωσαν· τότε γὰρ αὐτοὺς καὶ ἰδεῖν δυνήσονται μόνον.

5 *Εἰσὶ γὰρ αὐτοῖς παῖδες, εἰσίν, «οὐκ ἐξ αἱμάτων, οὐδὲ ἐκ θελήματος σαρκός, οὐδὲ ἐκ θελήματος ἀνδρός», ἀλλ' ἐξ αὐτοῦ γεννηθέντες τοῦ Θεοῦ. Οὗτοι οἱ παῖδες οὐχ ὑπὲρ χρημάτων ἀναγκάζουσι κόπτεσθαι τοὺς πατέρας, οὐχ ὑπὲρ γάμου, οὐχ ὑπὲρ ἄλλου τινὸς τοιούτου, ἀλλὰ πάσης αὐτοὺς 10 τῆς φροντίδος ἀτελεῖς ἀφέντες, τῶν φυσικῶν πατέρων μείζονι παρέχουσιν ἐντρυφᾶν ἡδονῇ. Οὐ γὰρ ἐπὶ τοῖς αὐτοῖς τίκτονταί τε καὶ τρέφονται, οἷσπερ κἀκεῖνοι, ἀλλ' ἐπὶ πολλῷ μείζοσι καὶ λαμπροτέροις· διὸ καὶ μᾶλλον τοὺς γεγεννηκότας εὐφραίνουσι. Χωρὶς δὲ τούτων κἀκεῖνο εἴποιμι 15 ἄν, ὅτι τοὺς μὲν διαπιστοῦντας τῇ ἀναστάσει οὐδὲν ἀπεικὸς ὑπὲρ τούτων θρηνεῖν, ἅτε δὴ ταύτης μόνης καταλειπομένης τῆς παραμυθίας αὐτοῖς· οἱ δὲ τὸν θάνατον ὕπνον ἡγούμενοι, καὶ παιδευόμενοι τῶν ἐνταῦθα πάντων καταφρονεῖν, τίνος ἂν εἴημεν συγγνώμης ἄξιοι θρηνοῦντες ὑπὲρ 20 τούτων, καὶ παῖδας ἐπιζητοῦντες ἰδεῖν, καὶ καταλιπεῖν ἐνθάδε, ὅθεν ἀποπηδᾶν ἐπειγόμεθα, καὶ ἐνταῦθα ὄντες στενάζομεν;*

Καὶ ταῦτα μὲν ἡμῖν πρὸς τοὺς πνευματικωτέρους εἴρηται. Εἰ δέ τινες εἶεν φιλοσώματοι, καὶ σφόδρα τῷ πα-25 ρόντι προσηλωμένοι βίῳ, ἐκεῖνο ἂν εἴποιμι πρὸς αὐτούς, ὅτι πρῶτον ἄδηλον, εἰ καὶ παῖδες ἔψονται τῷ γάμῳ πάντως· δεύτερον, ὅτι καὶ γενομένων μείζων ἡ ἀθυμία· οὐ γὰρ τοσαύτην καρπούμεθα εὐφροσύνην, ὅσην λύπην ἀπὸ τῆς καθημερινῆς φροντίδος καὶ τῆς ἀγωνίας καὶ τῶν φόβων 30 τῶν δι' αὐτούς. Καὶ τίνι, φησί, καταλείψομεν τοὺς ἀγροὺς καὶ τὰς οἰκίας καὶ τὰ ἀνδράποδα καὶ τὸ χρυσίον; καὶ γὰρ

---

46. Ἰω. 1, 13.

θεωροῦν λοιπὸν τέτοιοι ἄνθρωποι τοὺς ἑαυτούς των πατέρας αὐτῶν ἀπὸ τοὺς ὁποίους ὑστεροῦν πολὺ ὡς πρὸς τὴν φιλοσοφημένην ζωήν. Ἀλλ' ὅταν τοὺς γεννήσουν κατὰ τὸν τρόπον αὐτόν, τότε ἂς ζητήσουν καὶ τὰ ἐγγόνια· διότι τότε μόνον θὰ ἠμπορέσουν νὰ τὰ ἰδοῦν.

Διότι ἔχουν αὐτοὶ παιδιά, ἔχουν «ὄχι ἀπὸ αἵματα οὔτε ἀπὸ ἐπιθυμίαν σαρκὸς οὔτε ἀπὸ ἐπιθυμίαν ἀνδρός»[46], ἀλλὰ ἀπὸ τὸν ἴδιον τὸν Θεὸν γεννημένα. Αὐτὰ τὰ παιδιὰ δὲν ἀναγκάζουν τοὺς πατέρας νὰ καταπονοῦνται διὰ τὸ χρῆμα οὔτε διὰ τὸν γάμον οὔτε διὰ τίποτε παρεμφερές, ἀλλ' ἀφοῦ τοὺς ἀφήσουν ἡσύχους ἀπὸ κάθε φροντίδα, τοὺς ἐπιτρέπουν νὰ ἀπολαμβάνουν ἡδονὴν μεγαλυτέραν ἀπὸ τὴν τῶν φυσικῶν πατέρων. Διότι γεννῶνται καὶ ἀνατρέφονται ὄχι μὲ τὰς αὐτὰς πρὸς ἐκείνους ἐπιδιώξεις, ἀλλὰ μὲ πολὺ ἀνωτέρας καὶ λαμπροτέρας· δι' αὐτὸ καὶ εὐφραίνουν περισσότερον τοὺς γονεῖς. Ἐκτὸς αὐτοῦ καὶ αὐτὸ θὰ ἠμποροῦσα νὰ τὸ εἰπῶ, ὅτι οἱ μὴ πιστεύοντες εἰς τὴν ἀνάστασιν δὲν εἶναι καθόλου παράξενον νὰ θρηνοῦν ὑπὲρ αὐτῶν, ἐπειδὴ αὐτὴ εἶναι ἡ μόνη παρηγορία ἡ ὁποία τοὺς ἀπομένει· ἡμεῖς ὅμως ποὺ θεωροῦμεν τὸ θάνατον ὕπνον καὶ διδασκόμεθα νὰ καταφρονῶμεν ὅλα τὰ παρόντα, ποίας συγγνώμης θὰ τύχωμεν, ἐὰν θρηνῶμεν ὑπὲρ αὐτῶν καὶ ἐπιζητῶμεν νὰ ἴδωμεν καὶ νὰ ἀφήσωμεν παιδιὰ ἐδῶ ἀπὸ ὅπου θέλομεν γρήγορα νὰ φύγωμεν, καὶ ὅπου εὑρισκόμενοι στενάζομεν;

Καὶ αὐτὰ μὲν ἔχουν λεχθῇ πρὸς ἡμᾶς τοὺς πνευματικωτέρους. Ἐὰν ὅμως μερικοὶ εἶναι φιλοσώματοι καὶ πολὺ προσκεκολλημένοι εἰς τὴν παροῦσαν ζωήν, θὰ τοὺς ἔλεγα τοῦτο, ὅτι δηλαδὴ πρῶτα πρῶτα εἶναι ἄγνωστον ἐὰν μετὰ τὸν γάμον θὰ ἀκολουθήσουν ὁπωσδήποτε τὰ παιδιά· δεύτερον, ὅτι καὶ ἂν γεννηθοῦν, θὰ εἶναι μεγαλυτέρα ἡ θλῖψις· διότι δὲν ἀπολαμβάνομεν τόσην χαράν, ὅσην λύπην ἐξ αἰτίας τῆς καθημερινῆς φροντίδος καὶ τῆς ἀγωνίας καὶ τῶν δι' αὐτοὺς φόβων. Καὶ εἰς ποῖον, λέγει, θὰ ἀφήσωμεν τοὺς ἀγροὺς καὶ τὰ σπίτια καὶ τοὺς δούλους καὶ τὸν πλοῦ-

καὶ ταῦτα ἀκούω θρηνούντων αὐτῶν. Τῷ καὶ πρὸ τούτων μέλλοντι κληρονομήσειν αὐτά, καὶ τοσούτῳ μᾶλλον νῦν ἢ πρότερον, ὅσῳ καὶ φύλαξ καὶ κύριος ἀσφαλέστερος αὐτῶν ἔσται νῦν. Τότε μὲν γὰρ πολλὰ ἦν αὐτοῖς τὰ λυμαινόμενα·
5 *καὶ γὰρ σῆτες καὶ χρόνος μακρὸς καὶ λῃσταὶ καὶ συκοφάνται καὶ βάσκανοι καὶ τὸ τοῦ μέλλοντος ἄδηλον καὶ τὸ τῶν ἀνθρώπων εὐμετάβλητον καὶ τέλος ὁ θάνατος καὶ τῶν χρημάτων καὶ τῶν κτημάτων τούτων ἀπεστέρησεν ἂν τὸν υἱόν· νυνὶ δὲ πάντων τούτων ἀνωτέρω τὸν πλοῦτον ἀπέθε-*
10 *το, τόπον εὑρὼν ἄσυλον, καὶ οὗ μηδενὶ τῶν εἰρημένων ἐπιβῆναι θέμις. Τοιοῦτον γὰρ χωρίον ὁ οὐρανός, πάσῃ μὲν ἄβατος ὢν ἐπιβουλῇ, πάσης δὲ εὐφορώτερος γῆς, καὶ μετὰ πολλῆς τῆς ἀφθονίας τῶν ἐν αὐτῷ τεθέντων χρημάτων παρέχων τοῖς παρακαταθεμένοις ἀμᾶσθαι τοὺς καρπούς.*

15 *Ὥστε οὐχὶ νῦν ταῦτα ἔδει λέγειν, ἀλλ' εἰ βιωτικὸν ἔμελλεν ἔσεσθαι τὸ παιδίον, τότε θρηνεῖν, καὶ ταῦτα φθέγγεσθαι· τίνι τοὺς ἀγροὺς καταλείπωμεν, τίνι τὸ χρυσίον, τίνι τὰ λοιπὰ χρήματα; Νῦν γὰρ τοσαύτη τῆς κυριότητος ἡ περιουσία, ὡς μηδὲ μετὰ τὴν ἐντεῦθεν ἀποδημίαν ἐκπίπτειν*
20 *τῆς δεσποτείας αὐτῶν ἀλλὰ τότε μάλιστα τοῦ κέρδους αὐτῶν ἀπολαύειν, ὅταν ἐντεῦθεν ἀπέλθωμεν. Εἰ δὲ καὶ ἐνταῦθα βούλει κύριον ὄντα ἰδεῖν, καὶ τοῦτο τῷ μοναχῷ μᾶλλον, ἢ τῷ βιωτικῷ συμβαῖνον ἴδοι τις ἄν. Τίς γάρ, εἰπέ μοι, κυριώτερος, ὁ δαπανῶν καὶ διδοὺς μετὰ ἀδείας πολ-*
25 *λῆς, ἢ ὁ μηδὲ ἅψασθαι τολμῶν ὑπὸ τῆς φειδωλίας, ἀλλὰ κατορύττων αὐτά, καὶ ὡς ἀλλοτρίων ἀπεχόμενος τῶν αὐτοῦ; ὁ μάτην ἀναλίσκων καὶ εἰκῇ, ἢ ὁ δεόντως τοῦτο ποιῶν; ὁ σπείρων τὴν γῆν, ἢ τὸ τοῦτο ἐργαζόμενος ἐν οὐρανῷ; ὁ μὴ πάντα συγχωρούμενος τὰ ἑαυτοῦ διδόναι, οἷς ἂν*
30 *ἐθέλοι, ἢ ὁ πάντων ἀπηλλαγμένος τῶν ἀπαιτούντων τὰς*

τον; Διότι ἀκούω ὅτι ὀδύρονται καὶ δι' αὐτά. Εἰς αὐτὸν ὁ ὁποῖος καὶ πρὸ τούτων ἐπρόκειτο νὰ τὰ κληρονομήσῃ, καὶ τόσον περισσότερον τώρα ἀπὸ προηγουμένως, ὅσον θὰ εἶναι τώρα καὶ φύλαξ καὶ ἐξουσιαστὴς ἀσφαλέστερος ἀπὸ αὐτούς. Διότι τότε μὲν ὑπῆρχον πολλοὶ καταστρεπτικοὶ παράγοντες· διότι καὶ οἱ σκώληκες, καὶ ἡ πολυκαιρία, καὶ οἱ λησταί, καὶ οἱ συκοφάνται, καὶ οἱ ζηλόφθονοι, καὶ τὸ ἄγνωστον τοῦ μέλλοντος, καὶ τὸ εὐμετάβλητον τῶν ἀνθρώπων, καὶ τέλος ὁ θάνατος θὰ ἐστεροῦσαν ἀπὸ τὸν υἱὸν καὶ τὰ χρήματα καὶ τὰ κτήματα. Τώρα ὅμως ἐτοποθέτησεν ὑπεράνω ὅλων αὐτῶν τὸν πλοῦτον, εὑρὼν τόπον ἀσφαλῆ, ὅπου τίποτε ἀπὸ ὅσα ἔχουν λεχθῆ δὲν δύναται νὰ ὑπεισέλθῃ. Διότι τέτοιος τόπος εἶναι ὁ οὐρανός, ἀπροσπέλαστος εἰς πᾶσαν ἐπιβουλήν, εὐφορώτερος δὲ ἀπὸ κάθε ἀγρὸν καὶ ἐπιτρέπων νὰ συλλέγουν μὲ ἀφθονίαν τοὺς καρποὺς τῶν εἰς αὐτὸν τοποθετημένων χρημάτων αὐτοὶ ποὺ τὰ κατέθεσαν εἰς αὐτόν.

Ὥστε δὲν ἔπρεπε νὰ τὰ εἰπῇ αὐτὰ τώρα, ἀλλὰ ἐὰν ἐπρόκειτο νὰ ζήσῃ κοσμικὸν βίον τὸ παιδί, τότε νὰ θρηνῇ καὶ νὰ λέγῃ: Εἰς ποῖον θὰ ἀφήσωμεν τοὺς ἀγρούς, εἰς ποῖον τὸν πλοῦτον, εἰς ποῖον τὰ ὑπόλοιπα ἀγαθά; Τώρα ὅμως εἶναι τόσον τὸ πλεόνασμα τῆς ἐξουσίας, ὥστε οὔτε μετὰ τὸν θάνατον χάνομεν τὴν ἐπ' αὐτῶν ἐξουσίαν, ἀλλὰ τότε κυρίως ἀπολαμβάνομεν τὸ κέρδος των, ὅταν φύγωμεν ἀπὸ ἐδῶ. Ἐὰν ὅμως θέλῃς καὶ ἐδῶ νὰ τὸν ἰδῇς νὰ εἶναι κύριος, καὶ αὐτὸ θὰ τὸ ἰδῇς νὰ συμβαίνῃ εἰς τὸν μοναχὸν καὶ ὄχι εἰς τὸν κοσμικόν. Διότι, εἰπέ μου, ποῖος εἶναι περισσότερον κύριος; Ὁ ἐξοδεύων καὶ σκορπίζων μὲ πολλὴν ἀσυδοσίαν, ἢ αὐτὸς ποὺ δὲν τολμᾷ ἀπὸ οἰκονομίαν, οὔτε νὰ ἐγγίσῃ τὰ ἰδικά του ἀγαθά, ἀλλὰ τὰ καταθάπτει καὶ ἀπέχει ἀπὸ αὐτά, ὡσὰν νὰ εἶναι ξένα; Ὁ ἐξοδεύων ματαίως καὶ ἐπιπολαίως ἢ αὐτὸς ποὺ δαπανᾷ ὅπως πρέπει; Ὁ σπείρων εἰς τὴν γῆν ἢ ὁ σπείρων εἰς τὸν οὐρανόν; Ὁ μὴ δυνάμενος νὰ δίδῃ ἀπὸ τὰ ἀγαθά του εἰς αὐτοὺς ποὺ θὰ ἤθελεν, ἢ ὁ ἀπηλλαγμένος ἀπὸ ὅλας αὐτὰς τὰς συνεισφοράς; Διότι ὅ-

τοιαύτας συνεισφοράς; Γεωργοῦντι μὲν γὰρ καὶ πραγματευομένῳ πολλοὶ πανταχόθεν ἐφίστανται, φόρους ἀναγκάζοντες κατατιθέναι καὶ τὸ ἑαυτοῦ μέρος ἕκαστος ἀπαιτοῦντες· τῷ δὲ εἰς τοὺς δεομένους ἀναλίσκειν ἐπιθυμοῦντι οὐ-
5 *δεὶς οὐδαμόθεν φανεῖται ταῦτα ἀπειλῶν· ὥστε καὶ ἐνταῦθα κυριώτερος οὗτός ἐστιν.*

Ἢ ἂν μὲν πόρναις ἀναλίσκῃ καὶ γαστρὶ καὶ παρασίτοις καὶ κόλαξι, καὶ καταισχύνῃ τὴν ἑαυτοῦ δόξαν, καὶ ἀπολλύῃ τὴν σωτηρίαν, καὶ καταγέλαστος γίνηται, κύριον
10 *αὐτὸν εἶναι φῂς τῶν δαπανωμένων· ἂν δὲ εἰς δόξαν τὴν ἀληθῆ καὶ ὠφέλειαν καὶ τὸ τῷ Θεῷ δοκοῦν μετὰ πολλῆς αὐτὰ δαπανᾷ τῆς συνέσεως, οὐκέτι; Οὐκοῦν ὅμοιον ποιήσεις, ὥσπερ ἂν εἰ εἰς μὲν ὀχετοὺς ἀμαρῶν ὁρῶν τινα ἐμβάλλοντα τὰ ἑαυτοῦ, κύριον φῂς εἶναι, εἰς δὲ χρείας ἀ-*
15 *ναγκαίας τοῦτο ποιοῦντα, ὡς οὐκ ἔχοντα τῶν ἀναλισκομένων ἐξουσίαν θρηνεῖς. Μᾶλλον δὲ οὐ τοῖς ἁπλῶς δαπανωμένοις, ἀλλὰ καὶ τοῖς ἐπὶ κακῷ τῶν ἑαυτοῦ κεφαλῶν τοὺς τοιούτους παραβάλλειν χρή. Ἐκεῖναι μὲν γὰρ αἱ δαπάναι λαμπρότερον καὶ εὐπορώτερον καὶ ἀσφαλέστερον ποιοῦσιν,*
20 *αὗται δὲ οὐκ αἰσχρὸν μόνον οὐδὲ ἐπονείδιστον, ἀλλὰ καὶ ἀπωλείας ὑπεύθυνον τρόπῳ παντί.*

17. Τί δαί, μετὰ γάμον, φησί, καὶ παῖδας, οὐκ ἔνι ταύτης ἐπιβαλέσθαι τῆς φιλοσοφίας ἐν αὐτῷ τῷ γήρᾳ γενόμενον; Καὶ τίς ἡμῖν ἐγγυήσεται, πρῶτον μέν, ὅτι εἰς ἔσχατον
25 *ἥξομεν γῆρας, δεύτερον δέ, ὅτι ἐλθόντες πάντως ταύτην διατηροῦμεν τὴν γνώμην; Οὔτε γὰρ τῆς ἐν τῇ ζωῇ κύριοι προθεσμίας ἐσμέν, καὶ τοῦτο ἐπαίδευσεν ὁ Παῦλος λέγων, «ἡ ἡμέρα Κυρίου, ὡς κλέπτης ἐν νυκτί, οὕτως ἔρχεται», οὔτε ἐπὶ τῆς αὐτῆς ἀεὶ προθυμίας μένει τὰ τῶν λογισμῶν ἡμῖν.*

---

47. Α΄ Θεσ. 5, 2.

ταν κανεὶς εἶναι ἀγρότης ἢ ἔμπορος, προσέρχονται πολλοὶ ἀπὸ παντοῦ καὶ τὸν ὑποχρεώνουν νὰ πληρώνῃ φόρους, καὶ ἀπαιτεῖ ὁ καθένας τὸν ἀναλογοῦντα εἰς αὐτὸν φόρον· κανεὶς ὅμως δὲν θὰ παρουσιασθῇ νὰ ἀπαιτήσῃ τέτοια πράγματα ἀπὸ αὐτὸν ποὺ ἐπιθυμεῖ νὰ ἐξοδεύῃ διὰ τοὺς ἔχοντας ἀνάγκην· ὥστε καὶ ἐδῶ εἶναι περισσότερον κύριος αὐτός.

Ἤ, ἂν μὲν σπαταλᾷ εἰς πόρνας καὶ φαγοπότια καὶ εἰς παράσιτα καὶ κόλακας καὶ κατεντροπιάζῃ τὴν ὑπόληψίν του καὶ χάνῃ τὴν σωτηρίαν του καὶ κατεξευτελίζεται, τὸν θεωρεῖς κύριον τῶν ἐξοδευομένων, ἂν δέ, τὰ δαπανᾷ χάριν τῆς πραγματικῆς δόξης καὶ ὠφελείας καὶ σύμφωνα μὲ τὴν ἐντολὴν τοῦ Θεοῦ μὲ πολλὴν σύνεσιν, δὲν εἶναι κύριος; Λοιπὸν θὰ κάμῃς τὸ ἴδιον, ὅπως θὰ ἔκαμες ἂν βλέπων κάποιον ποὺ ρίπτει τὰ χρήματά του μέσα εἰς αὐλάκια βόθρων τὸν ἐθεωροῦσες ἐξουσιαστὴν τῶν χρημάτων του, ἐνῷ ἐκεῖνον ποὺ δίδει τὰ χρήματά του εἰς ἀπαραιτήτους ἀνάγκας, τὸν ἐθρηνοῦσες ὡς μὴ ἔχοντα τὴν ἐξουσίαν τῶν δαπανωμένων. Μᾶλλον τοὺς ἀνθρώπους τοῦ εἴδους αὐτοῦ πρέπει νὰ παραλληλίσωμεν ὄχι μὲ τοὺς δαπανῶντας κατὰ οἱονδήποτε τρόπον, ἀλλὰ πρὸς τοὺς δαπανῶντας ἐπὶ κακῷ τοῦ ἑαυτοῦ των. Διότι ἐκεῖνα μὲν τὰ ἔξοδα σὲ καθιστοῦν ἐνδοξότερον καὶ πλουσιώτερον καὶ ἀσφαλέστερον, ἐνῷ αὐτὰ ὄχι μόνον αἰσχρὸν καὶ ἐπονείδιστον, ἀλλὰ καὶ ὑπεύθυνον ὁπωσδήποτε τῆς καταστροφῆς.

17. Τί τάχα; Ἀντιλέγει. Δὲν εἶναι δυνατὸν νὰ ἀσχοληθῇ κανεὶς μὲ αὐτὸν τὸν τρόπον ζωῆς μετὰ τὸν γάμον καὶ τὴν ἀπόκτησιν τέκνων, ὅταν μάλιστα φθάσῃ εἰς τὰ γηρατειά; Καὶ ποῖος θὰ μᾶς ἐγγυηθῇ πρῶτον μὲν ὅτι θὰ φθάσωμεν εἰς τὰ βαθειὰ γηρατειά, δεύτερον δὲ ὅτι καὶ ἂν φθάσωμεν, θὰ διατηρήσωμεν ὁπωσδήποτε αὐτὴν τὴν γνώμην; Διότι οὔτε ἐξουσιάζομεν τὴν προθεσμίαν τῆς ζωῆς μας, καὶ αὐτὸ τὸ ἐδίδαξεν ὁ Παῦλος λέγων, «ἡ ἡμέρα τοῦ Κυρίου, ὡς κλέπτης ἐν νυκτί, οὕτως ἔρχεται»[47], οὔτε οἱ λογισμοί μας ἔχουν πάντοτε τὴν αὐτὴν προθυμίαν. Δι' αὐτὸ κάποιος σο-

Καὶ διὰ τοῦτο σοφός τις παραινεῖ λέγων, «μὴ ἀνάμενε ἐπιστρέψαι πρὸς Κύριον, μηδὲ ἀναβάλλου ἡμέραν ἐξ ἡμέρας, μή ποτε ὡς μέλλεις ἐκτριβήσῃ, καὶ ἐν καιρῷ ἐκδικήσεως ἐξολῇ».

5 *Εἰ δὲ καὶ μηδὲν τούτων ἄδηλον ἦν, οὐδὲ οὕτως ἀναβάλλεσθαι ἔδει τοὺς υἱεῖς, οὐδὲ τοσαύτην γινομένην ζημίαν περιορᾶν. Καὶ γὰρ τῆς ἐσχάτης ἀλογίας ἂν εἴη, ὅταν μὲν δέηται βοηθείας ὁ νέος, καὶ σφοδρὸς ὁ ἀνταγωνιστὴς ἐφεστήκῃ, κελεύειν τοῖς τοῦ βίου ἐμφύρεσθαι πράγμασιν, ὥστε γενέ-*
10 *σθαι εὐχείρωτον· ὅταν δὲ λάβῃ μυρία τραύματα, καὶ μηδὲ τὸ τυχὸν ἔχῃ μέρος ὑγιές, τότε καθοπλίζειν καὶ διεγείρειν κείμενον ἤδη καὶ ἐξησθενηκότα. Ναί, φησί· τότε γὰρ εὔκολος ἡ πάλη, τότε ῥάων ἡ μάχη, τῶν ἐπιθυμιῶν σβεσθεισῶν. Ποία μάχη, οὐδενὸς ὄντος ἡμῖν τοῦ πυκτεύοντος; Διὰ γὰρ*
15 *τοῦτο οὐδὲ οἱ στέφανοι λαμπροὶ λοιπὸν ἔσονται. «Μακάριος γὰρ ὃς ἦρε ζυγὸν ἐκ νεότητος αὐτοῦ· καθίσεται κατὰ μόνας, καὶ σιωπήσεται». Οὗτος μυρίων ἐπαίνων ἄξιος καὶ μακαρισμῶν καὶ εὐφημιῶν, ὁ μαινομένην χαλινῶν τὴν φύσιν, καὶ ἐν αὐτῇ τοῦ χειμῶνος τῇ ἀκμῇ διασώζων τὸ σκάφος.*

20 *Πλὴν ἀλλὰ μηδὲν ὑπὲρ τούτων φιλονεικῶμεν, ἀλλ' ἔστω μάχη καὶ τότε, εἰ βούλει. Ἀλλ' εἰ μὲν ἐφ' ἡμῖν ἐκειθ' ὁ τοῦ ἀγῶνος καιρός, καλῶς ἐκεῖνον ἀνεμένομεν τὸν χρόνον· εἰ δὲ πάντα τὸν παρόντα βίον ἀγωνίζεσθαι χρή, ἐκ πρώτης ἡλικίας ἀρξάμενον εὐθέως, καὶ δεκαετῆ γεγονότα (καὶ γὰρ*
25 *ἐξ ἐκείνης ἀνάγκη τῆς ἡλικίας ἀπαιτεῖσθαι τῶν ἁμαρτημάτων εὐθύνας, καὶ δηλοῦσι τὰ καταβρωθέντα ὑπὸ τῶν ἄρκτων παιδία ἐπὶ τοῖς εἰς τὸν Ἐλισσαῖον σκώμμασι), καὶ νῦν ἐκ*

48. Σοφ. Σειρ. 5, 7.
49. Θρ. 3, 27.

φὸς συμβουλεύει λέγων· «μὴ καθυστερῇς νὰ ἐπιστρέψῃς πρὸς τὸν Κύριον καὶ μὴ ἀναβάλλῃς ἀπὸ ἡμέρας εἰς ἡμέραν μήπως κατὰ τὴν καθυστέρησιν τριβῇς καὶ κατὰ τὸν καιρὸν τῆς ἀνταποδόσεως χαθῇς»[48].

Καὶ ἐὰν ἀκόμη τίποτε ἀπὸ αὐτὰ δὲν ἦτο ἄδηλον, οὔτε καὶ εἰς αὐτὴν τὴν περίπτωσιν ἔπρεπε νὰ βραδύνουν οἱ υἱοί, οὔτε νὰ παραβλέπουν τὴν τόσον μεγάλην ζημίαν ποὺ γίνεται. Ἄλλωστε θὰ ἦτο παραλογώτατον, ὅταν μὲν ἔχῃ ἀνάγκην ἐνισχύσεως ὁ νέος διότι ἐπιτίθεται ἀκάθεκτος ὁ ἀντίπαλος νὰ τὸν ὑποχρεώνουν νὰ ἐμπλέκεται εἰς τὰς κοσμικὰς φροντίδας, μὲ ἀποτέλεσμα νὰ γίνεται εὐκατάβλητος· ὅταν δὲ τραυματισθῇ εἰς ὅλον τὸ σῶμα καὶ δὲν ὑπάρχῃ πλέον εἰς αὐτὸ ὑγιὲς μέρος, τότε νὰ τὸν ἐξοπλίζουν καὶ νὰ τὸν ἐνθαρρύνουν, ἐνῷ ἤδη ἔχει πέσει καὶ ἐξασθενήσει. Ναί, λέγει· διότι τότε εἶναι εὔκολος ἡ πάλη, τότε εὐκολωτέρα ἡ μάχη, ὅταν σβεσθοῦν αἱ ἐπιθυμίαι. Ποία μάχη ὅμως, ὅταν δὲν ὑπάρχῃ κανεὶς ἀντίπαλός μας; Δι' αὐτὸ ἀκριβῶς δὲν θὰ εἶναι λαμπρὰ καὶ τὰ στεφάνια. Διότι «εἶναι μακάριος ὅποιος ἐσήκωσε τὸν ζυγὸν ἀπὸ τὴν νεότητα· θὰ κάθεται μόνος καὶ θὰ σιωπᾷ»[49]. Ἄξιος χιλιάδων ἐπαίνων καὶ μακαρισμῶν καὶ εὐφημιῶν εἶναι αὐτὸς ποὺ χαλιναγωγεῖ τὴν ἀγριεμένην φύσιν καὶ διασώζει τὸ πλοῖον μέσα εἰς τὸ κορύφωμα τῆς τρικυμίας.

Πλὴν ὅμως, ἂς μὴ φιλονεικῶμεν οὔτε δι' αὐτά, ἀλλά, ἂν θέλῃς, ἂς ὑποθέσωμεν ὅτι ὑπάρχει μάχη καὶ τότε. Ἀλλ' ἐὰν μὲν ἦτο εἰς τὴν ἐξουσίαν μας ὁ καιρὸς τοῦ ἀγῶνος, δικαιολογημένως θὰ ἐπεριμέναμεν τὸν χρόνον ἐκεῖνον· ἐφ' ὅσον ὅμως πρέπει ν' ἀγωνίζεται κανεὶς εἰς ὅλην αὐτὴν τὴν ζωὴν ἀρχίζων ἀμέσως ἀπὸ τὴν πρώτην ἡλικίαν, καὶ μόλις γίνῃ δέκα ἐτῶν (διότι ἀπὸ αὐτὴν τὴν ἡλικίαν πρέπει νὰ θεωρῆται ὑπεύθυνος διὰ τὰ ἁμαρτήματά του, καὶ τὸ ἀποδεικνύουν αὐτὸ τὰ κατασπαραχθέντα ὑπὸ τῶν ἄρκτων παιδιὰ

ταύτης παλαίειν χρὴ τῆς ἡλικίας, ἐν ᾗ καὶ ἐφέστηκεν ὁ πόλεμος χαλεπὸν πνέων καθ' ἡμῶν, πόθεν οὖν σὺ τὸν καιρὸν ἐκεῖνον τοῖς ἀγῶσιν ὁρίζεις;

Εἰ μὲν γὰρ καὶ τῷ διαβόλῳ κύριος ἧς ἐπιτάττειν μὴ 5 *ἐπικεῖσθαι μηδὲ πυκτεύειν, εἶχεν ἄν τινά σοι λόγον αὕτη ἡ παραίνεσις· εἰ δὲ ἐκεῖνον ἀφεὶς ἀγωνίζεσθαι καὶ τύπτειν, ἐμοὶ νομοθετεῖς ἡσυχάζειν, μᾶλλον δὲ καὶ ὑποκατακλίνεσθαι ἑκόντα, τί ταύτης τῆς ἐπηρείας χεῖρον γένοιτ' ἄν, τοῦ πολεμίου μαινομένου, τὸν πολεμούμενον ἀφοπλίζειν, καὶ οὕτω ταῖς* 10 *ἐκείνου χερσὶ παραδιδόναι; Νέος ἐστὶ καὶ ἀσθενής; οὐκοῦν διὰ τοῦτο πλείονος ἀσφαλείας δεῖται· ἀσφαλείας δὲ δεόμενος, καὶ ἐπιμελείας δεήσεται πλείονος. Τὸν δὲ τοιοῦτον ἐν γαλήνῃ διαπαντὸς καὶ ἡσυχίᾳ εἶναι δεῖ, οὐκ εἰς πράγματα ἐμβάλλεσθαι, οὐδὲ ἐν τῷ μέσῳ στρέφεσθαι, ἔνθα πολὺς* 15 *ὁ θόρυβος καὶ ἡ ταραχή. Σὺ δὲ οἷς ὁ πόλεμος χαλεπώτερος καὶ διὰ τὴν ἡλικίαν, καὶ διὰ τὴν ἀσθένειαν, καὶ διὰ τὴν ἀπειρίαν, καὶ διὰ τὴν ἐν μέσῳ διαστροφήν, τούτους ὡς ἤδη κατωρθωκότας καὶ γενομένους ἰσχυροὺς εἰς μέσον ἕλκεις, καὶ οὐκ ἐᾷς ἀπελθόντας γυμνάζεσθαι ἐπὶ τῆς ἐρημίας· ὥσ-* 20 *περ ἂν εἴ τις τὸν μὲν μυρία δυνάμενον στῆσαι τρόπαια κελεύῃ τὰ πολεμικὰ μελετᾶν ἐφ' ἡσυχίας, τὸν δὲ ἄπειρον καὶ οὐδὲ εἰς μάχην παρακύψαι δυνάμενον, τοῦτον δι' αὐτὸ τοῦτο ἐν τῇ μάχῃ στρέφεσθαι νομοθετῇ, ὡς δυσκατόρθωτον τὸ πρᾶγμα τοῦτο, μείζονα τὰ κωλύματα τιθείς.*

25 *Πρὸς δὲ τούτοις κἀκεῖνο εἰδέναι χρή, ὅτι οὐκ ἔνι μετὰ γάμον κύριον ἑαυτοῦ εἶναι, ἀλλ' ἀνάγκη δυοῖν θάτερον, ἢ*

---

50. ,Ενταῦθα ὁ ἱ. Χρυσόστομος ἀναφέρεται εἰς τὸ ἐπεισόδιον ἐκεῖνο τῆς Παλαιᾶς Διαθήκης (Δ' Βασ. 23-25), κατὰ τὸ ὁποῖον, ἐνῷ ὁ μαθητὴς τοῦ προφήτου 'Ηλιοῦ 'Ελισσαῖος ἀνέβαινεν εἰς τὴν πόλιν Βαιθήλ, καθ' ὁδὸν ἔγινεν ἀντικείμενον ἐμπαιγμοῦ ὑπὸ παιδίων, τὰ ὁποῖα τοῦ ἔλεγον: «'Ανέβαινε φαλακρέ, ἀνέβαινε φαλακρέ»! Καταληφθεὶς ὑπὸ ἀγανακτήσεως ὁ προφήτης 'Ελισσαῖος τὰ κατηράσθη, καὶ εὐθέως δύο ἄρκτοι ἐξελθοῦσαι ἐκ τοῦ παρακειμένου δάσους κατεσπάραξαν σαράντα δύο ἀπὸ αὐτά. 'Απὸ τὸ περιστατικὸν αὐτὸ ὁ Χρυσόστομος ἄγεται εἰς τὸ συμπέρασμα ὅτι τὰ παιδιὰ εἶναι ὑπεύθυνα

ἐξ αἰτίας τῶν ἐμπαιγμῶν των εἰς βάρος τοῦ Ἐλισσαίου)[50], πρέπει νὰ ἀγωνίζεται ἤδη ἀπὸ αὐτὴν τὴν ἡλικίαν, κατὰ τὴν ὁποίαν ἀρχίζει ὁ λυσσώδης πόλεμος ἐναντίον μας, ἀπὸ ποῦ ἐσὺ καθορίζεις τὸν χρόνον ἐκεῖνον τῶν ἀγώνων;

Ἐὰν βεβαίως εἶχες τὴν ἐξουσίαν νὰ διατάσσῃς καὶ τὸν διάβολον νὰ μὴ ἐπιτίθεται καὶ γρονθοκοπῇ, θὰ εἶχε κάποιαν δικαιολογίαν ἡ προτροπὴ αὐτή· ἐὰν δέ, ἀφήνων ἐκεῖνον νὰ πολεμᾷ καὶ νὰ κτυπᾷ, μοῦ ἐπιβάλλῃς νὰ μένω ἀκίνητος, μᾶλλον δὲ νὰ ἀποσυρθῶ ἐθελοντικῶς, τί χειρότερον ἀπὸ αὐτὸν τὸν ἐπηρεασμὸν θὰ ἠμποροῦσε νὰ συμβῇ, ἐνῷ δηλαδὴ ὁ ἐχθρὸς μαίνεται, ἐσὺ νὰ ἀφοπλίζῃς τὸν πολεμούμενον καὶ τοιουτοτρόπως νὰ τὸν παραδίδῃς εἰς τὰ χέρια ἐκείνου; Εἶναι νέος καὶ ἀνίσχυρος; Δι' αὐτὸ λοιπὸν ἀκριβῶς ἔχει ἀνάγκην μεγαλυτέρας ἀσφαλείας· ἐφ' ὅσον δὲ ἔχει ἀνάγκην ἀσφαλείας, θὰ χρειασθῇ περισσοτέραν φροντίδα. Αὐτὸς χρειάζεται νὰ παραμείνῃ μέσα εἰς γαλήνην καὶ ἡσυχίαν, νὰ μὴ ἐμπλέκεται εἰς μερίμνας οὔτε νὰ ζῇ μέσα εἰς τὸν κόσμον, ὅπου ὑπάρχει πολὺς θόρυβος καὶ ταραχή. Ἐσὺ ὅμως αὐτοὺς διὰ τοὺς ὁποίους ὁ πόλεμος εἶναι σκληρότερος ἐξ αἰτίας καὶ τῆς ἡλικίας καὶ τῆς ἀδυναμίας καὶ τῆς ἐλλείψεως πείρας καὶ τῆς εἰς τὸν κόσμον διαστροφῆς, τοὺς ὁδηγεῖς εἰς τὸ μέσον τοῦ κόσμου ὡς ἤδη ἐπιτυχημένους καὶ ἰσχυροποιημένους, καὶ δὲν τοὺς ἐπιτρέπεις νὰ φύγουν καὶ νὰ ἀσκηθοῦν εἰς τὴν ἔρημον. Εἶναι ἀκριβῶς ὡσὰν κάποιος τὸν μὲν δυνάμενον νὰ καταγάγῃ πολλὰς νίκας νὰ διατάσσῃ νὰ μελετᾷ τὰ πολεμικὰ μέσα εἰς ἡσυχίαν, αὐτὸν δὲ ποὺ εἶναι ἄπειρος καὶ οὔτε κἂν δύναται νὰ κυττάξῃ τὴν μάχην νὰ νομοθετῇ ὥστε νὰ λαμβάνῃ μέρος εἰς τὴν μάχην, τοποθετῶν τόσον μεγαλύτερα ἐμπόδια, ὅσον δυσκατόρθωτον εἶναι τοῦτο.

Ἐπὶ πλέον πρέπει νὰ γνωρίζωμεν καὶ ἐκεῖνο, ὅτι μετὰ τὸν γάμον δὲν εἶναι δυνατὸν νὰ εἶναι κανεὶς ἐξουσια-

---

τῶν πράξεών των ἅμα τῇ συμπληρώσει τοῦ δεκάτου ἔτους τῆς ἡλικίας των.

διαπαντὸς ὁμιλεῖν τῇ γυναικί, ἂν ἐκείνη τοῦτο βούληται, ἢ βουλομένης ἐγκρατεύεσθαι ἀποστάντα μοιχείᾳ ἁλίσκεσθαι. Τί δεῖ λέγειν τὰς ἄλλας ἀνάγκας τῶν παίδων, τῆς οἰκίας τὰς φροντίδας, αἳ πᾶσαν προθυμίαν ἱκαναὶ ἀμβλῦναι, καὶ
5 *πολλὴν τῆς ψυχῆς κατασκεδάσαι νάρκην;*

18. Διὸ βέλτιον, κύριον ὄντα καὶ λελυμένον ἐκ πρώτης καθοπλίζειν τῆς ἡλικίας, οὐ τῶν εἰρημένων ἕνεκεν μόνον, ἀλλὰ καὶ τοῦ ῥηθήσεσθαι μέλλοντος οὐχ ἧττον ἢ τούτων. Ὁ μὲν γὰρ πρὸς τῷ τέλει τοῦ βίου τῆς φιλοσοφίας ἁψάμενος
10 *ταύτης, πάντα ἀναλίσκει τὸν χρόνον, ἵνα δυνηθῇ τὰ γενόμενα κατὰ τὴν ἔμπροσθεν ἡλικίαν ἁμαρτήματα ἀπονίψασθαι, καὶ πᾶσα εἰς τοῦτο ἡ σπουδὴ δαπανᾶται· καὶ οὐδὲ οὕτω πολλάκις ἀρκεῖ, ἀλλ' ἀπέρχεται λείψανα τῶν πληγῶν ἔχων· ὁ δὲ ἐκ πρώτης ἡλικίας ἀποδυσάμενος, οὐκ εἰς τοῦτο δαπανᾷ*
15 *τὸν χρόνον, οὐδὲ κάθηται τραύματα θεραπεύων, ἀλλ' ἐκ προοιμίων λαμβάνει τὰ βραβεῖα· κἀκείνῳ μὲν ἀγαπητὸν τὰς ἥττας ἀναμαχέσασθαι πάσας, οὗτος δὲ ἐκ βαλβῖδος αὐτῆς τρόπαια ἵστησι, καὶ νίκας συνάπτει νίκαις· καθάπερ τις Ὀλυμπιονίκης ἐκ πρώτης ἡλικίας δι' ἀντιρρήσεων ἐπὶ τὸ γῆρας*
20 *ὁδεύων, οὕτως ἄπεισιν ἐκεῖ, μυρίοις τὴν κεφαλὴν ἀναδησάμενος στεφάνοις.*

Τίνων οὖν βούλει εἶναι τὸν υἱόν; τῶν διὰ τὴν πολλὴν παρρησίαν καὶ πρὸς αὐτοὺς τοὺς ἀρχαγγέλους ἀντιβλέψαι δυναμένων, ἢ ἐκείνων τῶν μετὰ πάντων ἑστώτων, καὶ τὴν
25 *ἐσχάτην τηρούντων τάξιν; Τὴν ἐσχάτην γὰρ λήψονται πάντως, καὶ ταύτην, ὅταν δυνηθῶσι πάντα τὰ κωλύματα διαδραμεῖν, ἅπερ ἀπηριθμησάμην νῦν, καὶ μήτε ἄωρος προαναρ-*

στὴς τοῦ ἑαυτοῦ του, ἀλλὰ πρέπει νὰ γίνῃ τὸ ἕνα ἀπὸ τὰ δύο: ἢ πάντοτε νὰ ἔρχεται εἰς γαμικὴν σχέσιν πρὸς τὴν γυναῖκα του, ἂν συμφωνῇ εἰς αὐτὸ καὶ ἐκείνη, ἤ, ἂν ἐκείνη θέλῃ νὰ ἐγκρατεύεται, νὰ ἀπομακρυνθῇ ἀπὸ αὐτὴν καὶ νὰ ὑποπέσῃ εἰς τὴν μοιχείαν. Ποία ἀνάγκη ὑπάρχει νὰ ὁμιλήσωμεν καὶ διὰ τὰς ὑπολοίπους φροντίδας τῶν παιδιῶν, ποὺ εἶναι ἱκαναὶ νὰ ἀμβλύνουν κάθε προθυμίαν καὶ νὰ ναρκώσουν τὴν ψυχήν;

18. Δι' αὐτὸ εἶναι καλύτερον νὰ τὸν ἐξοπλίζωμεν ἀπὸ τὴν πρώτην ἡλικίαν, ὅταν ἀκόμη εἶναι ἐξουσιαστὴς τοῦ ἑαυτοῦ του καὶ ἐλεύθερος, ὄχι μόνον διὰ τοὺς λόγους ποὺ εἴπαμεν, ἀλλὰ ἐξ ἴσου καὶ δι' αὐτὸν ποὺ πρόκειται νὰ λεχθῇ. Αὐτὸς δηλαδὴ ποὺ υἱοθέτησεν αὐτὴν τὴν φιλοσοφίαν εἰς τὰ τέλη τῆς ζωῆς του, ἐξοδεύει ὅλον τὸν χρόνον εἰς τὸ νὰ δυνηθῇ νὰ ἀποπλύνῃ τὰ κατὰ τὴν προηγουμένην ἡλικίαν ἁμαρτήματά του, καὶ ὅλη ἡ προσπάθεια εἰς αὐτὸ ἐξαντλεῖται. Καὶ πολλάκις αὐτὸ δὲν ἀρκεῖ, ἀλλὰ ἐπέρχεται ἔχων ὑπολείμματα πληγῶν. Ὁ ἀποδυθεὶς ὅμως εἰς τὸν ἀγῶνα ἀπὸ τὴν πρώτην ἡλικίαν, δὲν δαπανᾷ τὸν καιρόν του εἰς αὐτό, οὔτε κάθεται διὰ νὰ θεραπεύῃ τραύματα, ἀλλὰ παίρνει τὰ βραβεῖα ἐξ ἀρχῆς. Καὶ εἰς ἐκεῖνον μὲν εἶναι εὐχάριστον νὰ ἐπανορθώνῃ τὰς ἥττας, αὐτὸς ὅμως ἀποσπᾷ βραβεῖα ἀπὸ τὴν ἀρχὴν τῆς ἐκκινήσεως καὶ συγκεντρώνει πολλὰς νίκας, καὶ ὡσὰν Ὀλυμπιονίκης ποὺ ἐκ πρώτης ἡλικίας προχωρεῖ πρὸς τὰ γηρατειὰ μὲ συνεχεῖς ἀνακηρύξεις, ἔτσι καὶ αὐτὸς φθάνει ἐκεῖ μὲ τὴν κεφαλὴν γεμάτην ἀπὸ μύρια στεφάνια.

Μὲ ποίους θέλεις νὰ εἶναι ὁ υἱός σου; Μὲ αὐτοὺς ποὺ μὲ πολλὴν παρρησίαν ἠμποροῦν νὰ ἀντικρύσουν καὶ αὐτοὺς τοὺς ἀρχαγγέλους, ἢ μὲ ἐκείνους ποὺ εὑρίσκονται μὲ ὅλους καὶ ἀποτελοῦν τὴν κατωτέραν τάξιν; Διότι ὁπωσδήποτε θὰ καταλάβουν τὴν τελευταίαν θέσιν, καὶ αὐτήν, ὅταν κατορθώσουν νὰ ὑπερπηδήσουν ὅλα τὰ ἐμπόδια, τὰ ὁποῖα μόλις ἐμέτρησα, καὶ ἂν δὲν τοὺς ἀναρπάσῃ προώρως ὁ θά-

πάσῃ θάνατος, μήτε ὑπὸ γυναικὸς κωλυθῶσιν ὕστερον, μήτε τοσαῦτα τραύματα λάβωσιν, ὡς μὴ δυνηθῆναι αὐτοῖς τὸν τοῦ γήρως ἀρκέσαι χρόνον πρὸς τὴν θεραπείαν ἐκείνων, τήν τε γνώμην μένωσι διαπαντὸς τηροῦντες βεβαίαν καὶ ἀκίνητον.

5 *Ὅταν γὰρ ταῦτα πάντα συνέλθῃ, τότε μόλις ἐν τοῖς ἐσχάτοις τετάξονται. Τούτων οὖν βούλει εἶναι τὸν υἱόν, ἢ τῶν ἐν τῷ μετώπῳ τῆς φάλαγγος λαμπόντων; Καὶ τίς οὕτω, φησίν, ἄθλιος, ὡς ἐκεῖνα μᾶλλον, ἢ ταῦτα συνεύξασθαι τοῖς παισίν;*

Ἀλλὰ συνήθειαν ἐπιζητοῦμεν, καὶ σὺν ἡμῖν αὐτοὺς εἶναι
10 *βουλόμεθα. Τοῦτο καὶ αὐτὸς βούλομαι, καὶ ὑμῶν οὐχ ἧττον εὔχομαι τῶν γεννησαμένων, εἰς τὴν πατρῴαν αὐτοὺς ἐπανελθεῖν οἰκίαν, καὶ τῶν τροφείων ἀποδοῦναι τὰς ἀμοιβάς, ὧν ἴσας οὐκ ἂν εὕροιεν ἑτέρας· ἀλλὰ μὴ νῦν αὐτοὺς τοῦτο ἀπαιτῶμεν. Πῶς γὰρ οὐκ ἄτοπον ἐπὶ λόγοις μὲν πέμποντας, πο-*
15 *λὺν χρόνον καὶ τῆς πατρίδος ἐξορίζειν αὐτούς, καὶ τέχνην βάναυσόν τινα ἢ καὶ ἑτέραν φαυλοτέραν μανθάνειν μέλλουσιν ἄβατον καθιστάναι τὴν οἰκίαν, ἐν διδασκάλου οἰκίᾳ καὶ ἀριστᾶν καὶ καθεύδειν κελεύοντας· τούτους δὲ οὐκ ἐπ' ἀνθρώπειον μέλλοντας ἔρχεσθαι μάθημα, ἀλλ' ἐπὶ τὴν οὐράνιον*
20 *φιλοσοφίαν, εὐθέως ἀφέλκειν, πρὶν ἢ γενέσθαι ὅπερ εὐχόμεθα; Καὶ σχοῖνον μέν τις τεταγμένην διατρέχειν διδασκόμενος, πολὺν χρόνον ἀποστήσεται τῶν αὐτοῦ, τοὺς δὲ μανθάνοντας ἀπὸ τῆς γῆς πέτεσθαι εἰς τὸν οὐρανόν, συγκατακλείσομεν τοῖς γονεῦσι; Καὶ τί ταύτης τῆς ἀλογίας χεῖρον γέ-*
25 *νοιτ' ἄν; Οὐχ ὁρᾶτε τοὺς γεωργούς, ὅτι, κἂν σφόδρα ἐπείγωνται τῶν πόνων λαβεῖν τοὺς καρπούς, ἀώρους αὐτοὺς οὐκ ἂν ἀνάσχοιντο τρυγῆσαί ποτε;*

νατος, οὔτε ἀργότερον ἐμποδισθοῦν ἀπὸ γυναῖκα οὔτε ὑποστοῦν τόσα τραύματα, ὥστε νὰ μὴ τοὺς εἶναι ἀρκετὰ τὰ χρονικὰ ὅρια τῶν γηρατειῶν, καὶ διατηρήσουν τὴν ἰδίαν γνώμην πάντοτε, σταθερὰν καὶ ἀμετακίνητον. Ὅταν, δηλαδή, συντελεσθοῦν ὅλα αὐτά, τότε μόλις καὶ μετὰ βίας θὰ καταταχθοῦν μεταξὺ τῶν τελευταίων. Θέλεις λοιπὸν νὰ εἶναι μέσα εἰς αὐτοὺς ὁ υἱός σου, ἢ μεταξὺ ἐκείνων ποὺ λάμπουν εἰς τὸ ἐμπρόσθιον μέρος τῆς φάλαγγος; Καὶ ποῖος θὰ εἶναι τόσον ἄθλιος, ὥστε εἰς τὰ παιδιά του νὰ εὔχεται ἐκεῖνα μᾶλλον, παρὰ αὐτά;

Ἀλλὰ ἐπιζητοῦμεν συντροφιὰν καὶ θέλομεν νὰ εἶναι μαζί μας. Αὐτὸ ἐπιθυμῶ καὶ ἐγώ, καὶ εὔχομαι ὄχι ὀλιγώτερον ἀπὸ ἐσᾶς τοὺς γονεῖς, νὰ ἐπιστρέψουν αὐτοὶ εἰς τὸ πατρικὸν σπίτι, καὶ νὰ ἀνταποδώσουν τὰς δαπάνας τῶν τροφείων, ἰσαξίας τῶν ὁποίων δὲν θὰ εὕρισκε κανεὶς ἄλλος· ἀλλὰ ἂς μὴ ἀπαιτῶμεν τώρα ἀμέσως ἀπὸ αὐτοὺς τοῦτο. Διότι πῶς δὲν εἶναι παράλογον, ὅταν μὲν ἀποστέλλωμεν αὐτοὺς διὰ σπουδάς, νὰ τοὺς ἀπομακρύνωμεν ἐπὶ πολὺν χρόνον ἀπὸ τὴν πατρίδα, καὶ νὰ καθιστῶμεν τὸ σπίτι ἀπάτητον ἐπειδὴ πρόκειται νὰ μάθουν μίαν χειρωνακτικὴν τέχνην ἢ ἄλλην ὑποδεεστέραν, νὰ τοὺς διατάσσωμεν δὲ νὰ τρώγουν εἰς τὸ σπίτι τοῦ διδασκάλου καὶ νὰ κοιμοῦνται ἐκεῖ, ἐνῷ αὐτοὺς ποὺ πρόκειται νὰ διδαχθοῦν ὄχι ἀνθρώπινον μάθημα, ἀλλὰ τὴν οὐράνιον φιλοσοφίαν, ἀμέσως νὰ τοὺς ἀποσύρωμεν, πρὶν ἐπιτύχουν αὐτὸ ποὺ εὐχόμεθα; Καὶ προκειμένου νὰ διδαχθῇ κανεὶς νὰ περπατᾷ ἐπάνω εἰς τεντωμένον σχοινί, θὰ χρειασθῇ ν' ἀπομακρυνθῇ ἐπὶ πολὺν χρόνον ἀπὸ τοὺς ἰδικούς του, ἐνῷ αὐτοὺς ποὺ διδάσκονται νὰ πετοῦν ἀπὸ τὴν γῆν εἰς τὸν οὐρανόν, θὰ τοὺς περιορίσωμεν κοντὰ εἰς τοὺς γονεῖς; Τί χειρότερον ὑπάρχει ἀπὸ αὐτὸν τὸν παραλογισμόν; Δὲν βλέπετε τοὺς γεωργούς, οἱ ὁποῖοι ἂν καὶ ἐπιθυμοῦν νὰ ἀπολαύσουν τῶν καρπῶν τῶν κόπων των πάρα πολὺ γρήγορα, δὲν θὰ ἤθελαν ποτὲ νὰ τοὺς κόψουν ἀώρους;

Μὴ τοίνυν μηδὲ ἡμεῖς πρὸ ὥρας ἀπάγωμεν τῆς κατὰ τὴν ἐρημίαν διατριβῆς τοὺς υἱούς, ἀλλ' ἐάσωμεν αὐτοῖς ἐμπαγῆναι τὰ μαθήματα, καὶ ῥιζωθῆναι τὰ φυτά· κἂν δέκα, κἂν εἴκοσιν ἔτη τρέφεσθαι αὐτοὺς ἐν μοναστηρίῳ δέῃ, μὴ θορυ-
5 *βώμεθα, μηδὲ ἀλύωμεν· ὅσῳ γὰρ ἂν ἐνδιατρίβῃ τῷ γυμνασίῳ πλέον, τοσούτῳ πλείονα κτήσεται τὴν ἰσχύν. Μᾶλλον δέ, εἰ δοκεῖ, μηδὲ χρόνον ὁρίζωμεν, ἀλλ' ὅρος ἐκεῖνος ἔστω μόνος ὁ πρὸς τὴν ἀκμὴν ἄγων τοὺς ἐν αὐτῷ φυτευθέντας καρπούς, καὶ τότε ἐπανερχέσθω ἀπὸ τῆς ἐρήμου, πρότερον δὲ*
10 *μή. Οὐδὲ γὰρ ἔσται τι πλέον ἀπὸ τῆς ταχύτητος ἡμῖν ταύτης, ἀλλ' ἢ τὸ μηδέποτε αὐτὸν γενέσθαι ὥριμον. Ὁ γὰρ πρὸ ὥρας τῆς ἐν τῇ ῥίζῃ τροφῆς ἀποστερηθείς, οὐδὲ τοῦ καιροῦ παραγενομένου χρήσιμος ἔσται λοιπόν· ὅπερ ἵνα μὴ γένηται, καρτερῶμεν τὸν χωρισμόν· καὶ μὴ μόνον μὴ κατεπείγωμεν,*
15 *ἀλλὰ καὶ βουλομένους ἐλθεῖν πρὸ ὥρας κωλύωμεν. Ἀπαρτισθεὶς μὲν γὰρ κοινὸν ἔσται κέρδος καὶ πατρὶ καὶ μητρὶ καὶ οἰκίᾳ καὶ πόλει καὶ ἔθνει· ἀτελέστερος δὲ παραγενόμενος, καταγέλαστος ἔσται καὶ ἐπονείδιστος, καὶ ἑαυτῷ καὶ τοῖς ἄλλοις ἐπιβλαβής.*

20 *Μὴ δὴ τοσαύτην ἐργαζώμεθα ζημίαν. Καὶ γὰρ εἰς ἀποδημίαν πέμποντες, τότε βουλόμεθα τοὺς υἱοὺς ἰδεῖν, ὅταν ὑπὲρ ὧν τὴν ἀποδημίαν πεποίηνται κατωρθωκότες τύχωσιν· ἄν τε πρὸ τούτου παραγένωνται, οὐ τοσαύτην ἀπὸ τῆς ἐπιδημίας λαμβάνομεν τὴν ἡδονήν, ὅσην ἀπὸ τοῦ μάτην ἐπανελ-*
25 *θεῖν τὴν ἀθυμίαν.*

Πῶς οὖν οὐκ ἐσχάτης βλακείας τοσαύτην τοῖς πνευματικοῖς μὴ παρέχειν σπουδήν, ὅσην ἐπιδεικνύμεθα περὶ τὰ βιωτικά, ἀλλ' ἐκεῖ μὲν οὕτω φιλοσόφως φέρειν τῶν παίδων τὸν

Ἂς μὴ τοὺς ἀποσύρωμεν λοιπὸν καὶ ἡμεῖς προώρως ἀπὸ τὴν εἰς τὴν ἔρημον ἄσκησιν, ἀλλὰ ἂς τοὺς ἀφήσωμεν νὰ τοὺς ἐντυπωθοῦν τὰ μαθήματα καὶ νὰ ριζωθοῦν τὰ φυτά· καὶ εἴτε δέκα, εἴτε εἴκοσι ἔτη χρειασθῇ νὰ παραμείνουν εἰς μοναστήριον, ἂς μὴ στενοχωρούμεθα, οὔτε καὶ νὰ ἀνησυχῶμεν· διότι ὅσον περισσότερον χρόνον γυμνασθοῦν εἰς τὴν ἄσκησιν, τόσον περισσοτέραν δύναμιν θὰ ἀποκτήσουν. Μᾶλλον δέ, ἂν κρίνῃς ὀρθόν, ἂς μὴ καθορίζωμεν χρόνον, ἀλλὰ ἂς θεωρηθῇ ὅριον ἐκεῖνο τὸ σημεῖον τὸ ὁποῖον ὁδηγεῖ εἰς ὡρίμανσιν τοὺς εἰς αὐτὸν φυτευθέντας καρπούς, καὶ τότε ἂς ἐπιστρέφῃ ἀπὸ τὴν ἔρημον, προηγουμένως ὅμως ὄχι. Διότι μὲ τὴν βιασύνην αὐτὴν δὲν θὰ ἐπιτύχωμεν τίποτε ἄλλο, παρὰ τὸ νὰ μὴ ὡριμάσῃ ποτέ. Διότι ὁ προώρως ἀποστερηθεὶς τῆς εἰς τὴν ρίζαν τροφῆς δὲν θὰ εἶναι χρήσιμος πλέον, οὔτε ὅταν φθάσῃ ὁ καιρός· διὰ νὰ μὴ συμβῇ αὐτὸ ἂς ὑπομένωμεν τὸν χωρισμόν· καὶ ὄχι μόνον νὰ μὴ τοὺς πιέζωμεν νὰ συντομεύσουν, ἀλλὰ καὶ ἂν θέλουν νὰ ἐπιστρέψουν προώρως, νὰ τοὺς ἐμποδίζωμεν. Διότι ὅταν θὰ καταρτισθῇ πλήρως θὰ γίνῃ κοινὸν τὸ κέρδος καὶ εἰς τὸν πατέρα καὶ εἰς τὴν μητέρα καὶ εἰς τὸ σπίτι καὶ εἰς τὴν πόλιν καὶ εἰς τὸ ἔθνος· ἐὰν ὅμως ἔλθῃ ἀνεκπαίδευτος, θὰ γίνῃ ἀντικείμενον ἐμπαιγμοῦ καὶ ἐξευτελισμοῦ, ἐπιβλαβὴς δὲ καὶ εἰς τὸν ἑαυτόν του καὶ εἰς τοὺς ἄλλους.

Ἂς μὴ προξενήσωμεν, λοιπόν, τόσον μεγάλην ζημίαν. Ἄλλωστε καὶ ὅταν ἀποστέλλωμεν αὐτοὺς μακρὰν τῆς πατρίδος, ἐπιθυμοῦμεν νὰ τοὺς ἴδωμεν μόνον ὅταν ἐπιτύχουν τὸν σκοπὸν διὰ τὸν ὁποῖον ἀνεχώρησαν ἀπὸ αὐτήν· ἂν δὲ ἐπιστρέψουν πρὶν ἀπὸ αὐτό, δὲν ἱκανοποιούμεθα τόσον πολὺ ἀπὸ τὴν ἐπιστροφὴν ὅσον λυπούμεθα ἀπὸ τὴν ἄσκοπον ἐπάνοδον.

Πῶς λοιπὸν δὲν εἶναι ἀπόδειξις μεγίστης ἀνοησίας, τὸ νὰ μὴ ἐπιδεικνύωμεν τόσον ζῆλον διὰ τὰ πνευματικά, ὅσον διὰ τὰ κοσμικά, ἀλλ' εἰς ἐκείνην μὲν τὴν περίπτωσιν νὰ ὑπομένωμεν μὲ τόσην περίσκεψιν τὸν χωρισμὸν ἀπὸ τὰ

χωρισμόν, ὡς καὶ εὔχεσθαι ἐπιταθῆναι τοῦτον, ὅταν ὑπέρ τινος γένηται χρησίμου, ἐνταῦθα δὲ οὕτω μαλακίζεσθαι καὶ κατακλᾶσθαι πρὸς τὴν ἀποδημίαν, ὡς τοῖς μεγίστοις λυμαίνεσθαι διὰ τὴν μικροψυχίαν ταύτην ἀγαθοῖς, καὶ ταῦτα πλείο-
5 *νας παραμυθίας ἔχοντας, οὐ μόνον τὸ πρὸς μείζονα αὐτοὺς ἀποδύσασθαι, καὶ πάντως ἐπιτεύξεσθαι τοῦ τέλους, καὶ μηδὲν εἶναι τὸ διακόπτον τὰς ἐλπίδας, ἀλλὰ καὶ πρὸς αὐτὸν τὸν χωρισμόν; Ἐν ἀποδημίᾳ μὲν γὰρ οὔσι μακρᾷ οὐκ εὔκολον συγγίνεσθαι, καὶ μάλισθ' ὅταν γεγηρακότες τύχωσιν οἱ γο-*
10 *νεῖς· ἐνταῦθα δὲ ἔνι συνεχῶς πρὸς αὐτοὺς ἀπιέναι.*

Τοῦτο δὴ καὶ ποιῶμεν, ὅταν αὐτοῖς μηδέπω δυνατὸν ᾖ πρὸς ἡμᾶς ἐλθεῖν· αὐτοὶ βαδίζωμεν πρὸς ἐκείνους, καὶ συγγινώμεθα καὶ διαλεγώμεθα. Μέγα ἡμῖν ἐκ τούτου καὶ κέρδος ἔσται καὶ ἡδονή. Οὐ γὰρ ἀπὸ τῆς ὄψεως τῶν ἀγαπω-
15 *μένων μόνον παιδίων εὐφρανθησόμεθα, ἀλλὰ καὶ αὐτοὶ τὰ μέγιστα καρπωσάμενοι πρὸς τὴν οἰκίαν ἐπανήξομεν, πολλάκις δὲ αὐτοῖς καὶ παραμενοῦμεν ἁλόντες τῷ τῆς φιλοσοφίας ἔρωτι. Τότε οὖν αὐτοὺς καλῶμεν, ὅταν ἰσχυροὶ γένωνται, καὶ ἑτέρους οἷοί τε ὦσιν ὠφελεῖν· τότε αὐτοὺς ἕλκωμεν*
20 *μόνον, ὥστε κοινὸν γενέσθαι τὸ φῶς, ὥστε ἐπὶ τῆς λυχνίας τεθῆναι τὸν λύχνον. Τότε ὄψεσθε τίνων μὲν παίδων πατέρες ὑμεῖς, τίνων δὲ οἱ μακαριζόμενοι παρ' ὑμῶν· τότε εἴσεσθε τῆς φιλοσοφίας τὰ κέρδη, ὅταν θεραπεύωσιν ἀνθρώπους ἀνίατα νοσοῦντας νοσήματα, ὅταν ὡς εὐεργέται κοινοὶ καὶ*
25 *προστάται καὶ σωτῆρες ἀνακηρύττωνται, ὅταν ὡς ἄγγελοι τοῖς ἐπὶ γῆς ἀνθρώποις συμπεριπολῶσιν, ὅταν παρὰ πάντων ἀποβλέπωνται· μᾶλλον δὲ ὅπερ ἂν εἴπωμεν, οὐδὲν τοιοῦτον, οἷον ἐπὶ τῆς πείρας αὐτῆς καὶ τῶν πραγμάτων ἐστὶν ἰδεῖν.*

παιδιά, ὥστε ἀκόμη καὶ νὰ εὐχώμεθα νὰ γίνῃ μακρότερος, ὅταν γίνεται διὰ κάτι χρήσιμον, ἐδῶ δὲ τόσον πολὺ νὰ ὑποφέρωμεν καὶ νὰ λιποψυχῶμεν διὰ τὴν ἀποδημίαν, ὥστε νὰ καταστρέφωνται λόγῳ τῆς ὀλιγοψυχίας αὐτῆς τὰ ὑπέρτατα ἀγαθά, καὶ μάλιστα ἐνῷ ἔχομεν μεγαλυτέραν παρηγορίαν, ὄχι μόνον διὰ τὸ ὅτι αὐτὰ ἀποβλέπουν εἰς ὑψηλοτέρους σκοποὺς ἀλλὰ καὶ διὰ τὸ ὅτι ὁπωσδήποτε θὰ φθάσουν εἰς τὸ τέρμα, καὶ δὲν ὑπάρχει τίποτε ποὺ νὰ ἀφαιρέσῃ τὰς ἐλπίδας, ἀλλὰ καὶ δι' αὐτὸν τοῦτον τὸν χωρισμόν; Διότι ὅταν μὲν εὑρίσκωνται εἰς μακρὰν ἀποδημίαν δὲν εἶναι εὔκολον νὰ τοὺς συναντήσουν καὶ μάλιστα ὅταν γηράσουν πλέον οἱ γονεῖς· ἐδῶ ὅμως εἶναι δυνατὸν νὰ ἔρχωνται διαρκῶς εἰς ἐπικοινωνίαν μὲ αὐτούς.

Αὐτὸ λοιπὸν ἂς κάμωμεν, ὅταν δὲν εἶναι δυνατὸν αὐτοὶ να ἔλθουν ποτὲ πρὸς ἡμᾶς· ἡμεῖς νὰ πηγαίνωμεν πρὸς αὐτοὺς καὶ νὰ συναντώμεθα καὶ νὰ συνομιλῶμεν. Μέγα κέρδος θὰ ἀποκομίσωμεν καὶ μεγάλην ἱκανοποίησιν. Διότι δὲν θὰ εὐχαριστηθῶμεν μόνον ἀπὸ τὴν συνάντησιν τῶν παιδιῶν, ἀλλὰ καὶ ἡμεῖς οἱ ἴδιοι θὰ ἐπιστρέψωμεν εἰς τὸ σπίτι μὲ μεγάλην ὠφέλειαν, πολλάκις δὲ θὰ παραμείνωμεν πλησίον αὐτῶν κυριευμένοι ἀπὸ τὴν πρὸς τὴν φιλοσοφίαν ἀγάπην. Ἂς τοὺς καλῶμεν δὲ τότε, ὅταν γίνουν δυνατοὶ καὶ ἱκανοὶ νὰ ὠφελήσουν καὶ ἄλλους. Τότε μόνον ἂς τοὺς ἐπαναφέρωμεν, ὥστε νὰ γίνῃ κοινὸν τὸ φῶς καὶ νὰ τεθῇ ὁ λύχνος ἐπὶ τῆς λυχνίας. Τότε θὰ έννοήσετε ποίων παιδιῶν εἴσθε σεῖς πατέρες, καὶ ποίων εἶναι οἱ καλοτυχιζόμενοι ἀπὸ ἐσᾶς· τότε θὰ γνωρίσετε καλὰ τὰ κέρδη τοῦ μοναχικοῦ βίου, ὅταν θεραπεύουν ἀνθρώπους πάσχοντας ἀπὸ ἀνιάτους ἀσθενείας, ὅταν ἀνακηρύσσωνται ἀπὸ ὅλους εὐεργέται καὶ προστάται καὶ σωτῆρες, ὅταν προφυλάσσουν τοὺς ἐπὶ γῆς ἀνθρώπους ὡς ἄγγελοι, ὅταν ὅλοι τοὺς προσέχουν· μᾶλλον δὲ ὅ,τι καὶ ἂν εἴπωμεν, δὲν θὰ εἶναι τέτοιο ὅπως ἠμπορεῖ κανεὶς νὰ τὸ ἰδῇ εἰς τὴν πεῖραν καὶ εἰς τὰ ἴδια τὰ πράγματα. Αὐτὰ ἔπρεπε νὰ προσέχουν οἱ νομοθέ-

Ταῦτα καὶ τοὺς νομοθέτας ἔδει ποιεῖν, εἴ τι τῶν δεόντων ἐγίνετο, οὐκ ἂν ἀνδράσι γενομένοις τοῖς νέοις ἐπανατείνασθαι φόβους, ἀλλὰ παῖδας ὄντας ῥυθμίζειν καὶ διαπλάττειν· καὶ οὐκ ἂν τῶν μετὰ ταῦτα ἐδέησεν ἀπειλῶν. Νυνὶ δὲ ταὐτὸ
5 *γίνεται, ὥσπερ ἂν εἴ τις ἰατρὸς ἀσθενοῦντι μὲν τῷ κάμνοντι μὴ λέγῃ μηδέν, μήτε δεικνύῃ, δι' ὧν ἀπαλλάξοι τῆς νόσου, διαφθαρέντι δὲ καὶ ἀνιάτως ἔχοντι μυρίους τιθῇ νόμους λοιπόν. Καὶ γὰρ οἱ νομοθέται τότε παιδαγωγοῦσιν ἡμᾶς, ὅταν διαστραφέντες τύχωμεν.*

10 *Ἀλλ' οὐχ ὁ Παῦλος οὕτως, ἀλλ' ἐξ ἀρχῆς καὶ ἐν ἡλικίᾳ πρώτῃ τοὺς διδασκάλους αὐτοῖς ἐφίστησι τῆς ἀρετῆς, κωλύων ἐπεισελθεῖν τὴν κακίαν. Αὕτη γὰρ ἀρίστη διδασκαλία, οὐ, συγχωρήσαντας πρότερον περιγενέσθαι τὴν πονηρίαν, ὕστερον ζητεῖν ὅπως αὐτὴν ἐξελάσωμεν, ἀλλ' ἅπαντα ποιεῖν καὶ*
15 *πραγματεύεσθαι, ὥστε ἄβατον αὐτῇ γενέσθαι τὴν φύσιν τὴν ἡμετέραν. Διὸ παραινῶ, μὴ μόνον ἑτέρους βουλομένους τοῦτο ποιεῖν κωλύειν, ἀλλὰ καὶ αὐτοὺς συναντιλαμβάνεσθαι, καὶ σώζειν τὸ σκάφος, καὶ παρασκευάζειν ἐξ οὐρίας πλεῖν. Καὶ γὰρ εἰ ταύτην ἦμεν πάντες ἀναδεξάμενοι τὴν γνώμην, καὶ*
20 *πρὸ τῶν ἄλλων ἁπάντων εἰς ἀρετὴν αὐτοὺς ἤγομεν, τοῦτο μὲν ἔργον, τὰ δὲ ἄλλα νομίζοντες πάρεργα εἶναι, τοσαῦτα ἔμελλεν εἶναι τὰ ἀγαθά, ὅσα νῦν μὲν λέγων καὶ ἀλαζονεύεσθαι δόξω. Εἰ δὲ θέλοι τις μαθεῖν, ἐπὶ τῶν ἔργων εἴσεται καλῶς, καὶ πολλὴν μὲν ἡμῖν ὁμολογήσει χάριν, πολλὴν δὲ*
25 *πρὸ ἡμῶν τῷ Θεῷ, βλαστάνουσαν ὁρῶν ἐπὶ τῆς γῆς τὴν ἐν οὐρανοῖς πολιτείαν, καὶ τοὺς τῶν μελλόντων ἀγαθῶν, καὶ τοὺς τῆς ἀναστάσεως λόγους ἐντεῦθεν ἤδη πιστουμένους, καὶ παρ' αὐτοῖς τοῖς ἀπίστοις.*

19. Καὶ ὅτι οὐ κόμπος ταῦτα δῆλον ἐκεῖθεν· ὅταν γὰρ

ται, ἐὰν ἐγίνοντο αὐτὰ ποὺ ἔπρεπε νὰ γίνουν, ὄχι νὰ συγκρατοῦν διὰ τοῦ φόβου τοὺς νέους, ὅταν ἀνδρωθοῦν πλέον, ἀλλὰ νὰ τοὺς παιδαγωγοῦν καὶ νὰ τοὺς διαπλάσσουν ἀπὸ παιδιά· καὶ ἔτσι δὲν θὰ ἐχρειάζοντο αἱ μετὰ ταῦτα ἀπειλαί. Τώρα δὲ συμβαίνει ὡσὰν ἀκριβῶς ἕνας ἰατρὸς νὰ μὴ λέγῃ τίποτε εἰς τὸν ἀσθενῆ ὅταν ὑποφέρῃ, οὔτε νὰ ὑποδεικνύῃ εἰς αὐτὸν τὰ ἐνδεδειγμένα, διὰ τῶν ὁποίων θὰ τὸν ἐθεράπευεν ἀπὸ τὴν ἀσθένειαν, ὅταν ὅμως ἔχῃ καταστραφῆ καὶ εἶναι πλέον ἀδύνατος ἡ θεραπεία, τότε νὰ κάμῃ χιλιάδας ὑποδείξεις. Δηλαδὴ οἱ νομοθέται τότε μᾶς παιδαγωγοῦν, ὅταν πλέον διαστραφῶμεν.

Δὲν ἐνεργεῖ ὅμως ὁ Παῦλος τοιουτοτρόπως, ἀλλὰ ἐξ ἀρχῆς καὶ ἀπὸ τῆς πρώτης ἡλικίας τοποθετεῖ πλησίον των τοὺς διδασκάλους τῆς ἀρετῆς, ἐμποδίζων ἔτσι νὰ εἰσχωρήσῃ ἡ ἁμαρτία. Διότι αὐτὴ εἶναι ἡ ἀρίστη διδασκαλία, ὄχι τὸ νὰ προσπαθῶμεν νὰ ἀπομακρύνωμεν τὴν πονηρίαν ἀφοῦ προηγουμένως ἐπετρέψαμεν νὰ συντελεσθῇ, ἀλλὰ τὸ νὰ χρησιμοποιῶμεν ὅλους τοὺς τρόπους ὥστε νὰ γίνῃ ἀδιάβατος δι' αὐτὴν ἡ ἀνθρωπίνη φύσις. Δι' αὐτὸ συμβουλεύω ὄχι μόνον νὰ ἐμποδίζωμεν αὐτοὺς ποὺ θέλουν νὰ κάμουν αὐτὸ ἀλλὰ καὶ οἱ ἴδιοι νὰ βοηθῶμεν καὶ νὰ σώζωμεν τὸ σκάφος καὶ νὰ προετοιμάζωμεν εὐνοϊκὸν ταξείδι. Διότι, ἐὰν υἱοθετούσαμεν ὅλοι αὐτὴν τὴν γνώμην καὶ πρὶν ἀπὸ ὅλα τὰ ἄλλα τοὺς ὡδηγούσαμεν εἰς τὴν ἀρετήν, τοῦτο μὲν θεωροῦντες ὡς κύριον ἔργον, ἐνῷ ὅλα τὰ ἄλλα ὡς πάρεργα, θὰ προέκυπταν τόσον πολλὰ ἀγαθά, ποὺ ἂν τὰ ἀναφέρω τώρα θὰ φανῶ ὅτι εἶμαι ἀλαζών. Καὶ ἐὰν κανεὶς θέλῃ νὰ μάθῃ, θὰ τὸ γνωρίσῃ καλῶς ἐπάνω εἰς τὰ ἔργα, καὶ θὰ ὁμολογήσῃ μὲν χάριν εἰς ἡμᾶς, πολλὴν δὲ πρὶν ἀπὸ ἡμᾶς εἰς τὸν Θεόν, ὅταν θὰ ἰδῇ νὰ βλαστάνῃ ἐπὶ τῆς γῆς ἡ οὐράνιος πολιτεία, καὶ τοὺς περὶ τῶν μελλόντων ἀγαθῶν καὶ τοὺς περὶ τῆς ἀναστάσεως λόγους ἤδη ἀπὸ ἐδῶ νὰ γίνωνται πιστευτοὶ καὶ ἀπὸ τοὺς ἰδίους τοὺς ἀπίστους.

19. Καὶ ὅτι αὐτὰ δὲν εἶναι ἀλαζονεία, φίνεται φανερὸν

αὐτοῖς τὴν πολιτείαν λέγωμεν τῶν ἐν ταῖς ἐρήμοις ὄντων, πρὸς μὲν ταύτην οὐδὲν ἔχουσιν ἀντειπεῖν, δοκοῦσι δὲ ἰσχυρίζεσθαι καὶ φιλονεικεῖν τῇ τῶν κατορθούντων ὀλιγότητι. Εἰ δὲ ἐν ταῖς πόλεσις τὸν καρπὸν ἐφυτεύσαμεν τοῦτον, καὶ νόμον
5 *τινὰ καὶ ἀρχὴν τὰ τῆς εὐταξίας ἔλαβε, καὶ τοὺς παῖδας πρὸ τῶν ἄλλων ἁπάντων ἐπαιδεύομεν φίλους εἶναι τῷ Θεῷ, καὶ τὰ πνευματικὰ ἐδιδάσκομεν μαθήματα ἀντὶ τῶν ἄλλων καὶ πρὸ τῶν ἄλλων ἁπάντων, πάντα ἂν ἀπεπήδησε τὰ λυπηρά, καὶ μυρίων ἀπηλλάγη κακῶν ὁ βίος ὁ παρών, καὶ ὃ περὶ*
10 *τῆς μελλούσης λέγεται ζωῆς, ὅτι ἀπέδρα ὀδύνη καὶ λύπη καὶ στεναγμός, ἐντεῦθεν ἂν ἐκαρπωσάμεθα πάντες. Εἰ γὰρ μήτε χρημάτων, μήτε δόξης ἔρως ἡμᾶς εἰσῄει κενῆς, μήτε θάνατον ἐδεδίειμεν, μὴ πενίαν, μὴ τὸ κακῶς παθεῖν βλάβην ἡγούμεθα, ἀλλὰ καὶ κέρδος μέγιστον, μὴ ἀπεχθάνεσθαι, μὴ*
15 *μισεῖν ᾔδειμεν, οὔτ' ἂν ὑπὸ τῶν ἰδίων παθῶν, οὔτ' ἂν ὑπὸ τῶν ἀλλοτρίων ἐπολεμήθημέν ποτε, ἀλλ' αὐτῶν τῶν ἀγγέλων ἐγγὺς ἂν τὸ τῶν ἀνθρώπων ἐγένετο γένος.*

Καὶ τίς ἀνθρώπων ταῦτα κατώρθωσε, φησίν; Εἰκότως ἀπιστεῖς, ἅτε ἐν πόλεσιν οἰκῶν, καὶ ταῖς θείαις βίβλοις οὐχ
20 *ὡμιληκώς· εἰ δὲ καὶ τοὺς ἐν ἐρήμοις ὄντας, καὶ τοὺς ἐν ταῖς πνευματικαῖς βίβλοις γενομένους πάλαι ἐγνώκεις, ἔμαθες ἂν ὅτι καὶ οἱ μοναχοί, καὶ οἱ πρὸ τούτων ἀπόστολοι, καὶ οἱ πρὸ ἐκείνων δίκαιοι μετὰ ἀκριβείας ἁπάσης τὴν φιλοσοφίαν ἐπεδείξαντο ταύτην.*

25 *Ἵνα δέ σοι μὴ φιλονεικῶμεν, δῶμεν τῶν δευτέρων ἢ τρίτων ἀπ' ἐκείνων γενέσθαι τὸν υἱὸν τὸν σόν· οὐδὲ γὰρ οὕτω μικρῶν ἀπολαύσεται ἀγαθῶν. Οὐ φθάνει πρὸς Πέτρον*

ἀπὸ τὸ ἑξῆς. Ὅταν δηλαδὴ ἀνεφέρωμεν εἰς αὐτοὺς τὴν ζωὴν τῶν ἐρημιτῶν, ὡς πρὸς αὐτὴν μὲν δὲν ἔχουν τίποτε νὰ ἀντείπουν, νομίζουν ὅμως ὅτι προβάλλουν ἰσχυρὸν ἐπιχείρημα καὶ φιλονεικοῦν ἀναφερόμενοι εἰς τὸν μικρὸν ἀριθμὸν αὐτῶν ποὺ ἐπιτυγχάνουν αὐτὸ τὸ ἰδεῶδες. Ἐὰν ὅμως ἐφυτεύαμεν τὸν καρπὸν αὐτὸν καὶ εἰς τὰς πόλεις, καὶ ἐλάμβανε μίαν νομιμότητα καὶ ἀρχὴν ἡ εὐταξία, καὶ ἐξεπαιδεύαμεν τὰ παιδιά, πρὶν ἀπὸ ὅλα, νὰ ἀγαποῦν τὸν Θεόν, καὶ ἐδιδάσκαμεν τὰ πνευματικὰ μαθήματα ἀντὶ τῶν ἄλλων καὶ πρὸ ὅλων τῶν ἄλλων, θὰ ἐξηφανίζοντο ὅλα τὰ δυσάρεστα, καὶ θὰ ἀπηλλάσσετο ἀπὸ μύρια κακὰ ἡ παροῦσα ζωή, καὶ αὐτὸ ποὺ λέγεται περὶ τῆς μελλούσης, ὅτι δηλαδὴ ἐξηφανίσθη ἡ ὀδύνη, ἡ λύπη καὶ ὁ στεναγμός, ἀπὸ ἐδῶ θὰ ἀρχίζαμεν νὰ τὸ ἀπολαμβάνωμεν. Διότι, ἐὰν δὲν μᾶς ἐκυρίευεν ὁ πόθος τῶν χρημάτων καὶ τῆς ματαιοδοξίας, οὔτε τὸν θάνατον θὰ ἐφοβούμεθα, οὔτε τὴν πτωχείαν· δὲν θὰ ἐθεωρούσαμεν τὴν ἀδικίαν ζημίαν, ἀλλὰ μᾶλλον μέγιστον κέρδος, δὲν θὰ ἐγνωρίζαμεν νὰ ἐχθρευώμεθα μήτε νὰ μισῶμεν, οὔτε ἀπὸ τὰ ἰδικά μας πάθη οὔτε ἀπὸ τὰ ξένα θὰ ἐπολεμούμεθα ποτέ, ἀλλὰ τὸ γένος τῶν ἀνθρώπων θὰ ἐπλησίαζε τὴν ἀγγελικὴν φύσιν.

Καὶ ποῖος ἀπὸ τοὺς ἀνθρώπους τὰ ἐπέτυχεν αὐτά; θὰ εἴπῃς. Εὐλόγως ἀπιστεῖς, ἐπειδὴ κατοικεῖς εἰς τὰς πόλεις καὶ δὲν ἔχεις μελετήσει τὰ θεῖα βιβλία· ἐὰν ὅμως καὶ τοὺς ζῶντας εἰς τὰς ἐρήμους καὶ τοὺς ἀναφερομένους εἰς τὰ πνευματικὰ βιβλία εἶχες γνωρίσει ἀπὸ πρῶτα, θὰ ἐπληροφορεῖσο ὅτι καὶ οἱ μοναχοὶ καὶ οἱ πρὸ τούτων Ἀπόστολοι, καὶ οἱ πρὸ ἐκείνων δίκαιοι ἐπέδειξαν τὸν τρόπον αὐτὸν ζωῆς μὲ πᾶσαν ἀκρίβειαν.

Διὰ νὰ μὴ φιλονεικῶμεν ὅμως, ἂς ὑποθέσωμεν ὅτι θὰ γίνῃ ὁ υἱός σου ὡσὰν οἱ δεύτεροι καὶ οἱ τρίτοι ἀπὸ ἐκείνους· καὶ εἰς τὴν περίπτωσιν αὐτὴν πάλιν δὲν θὰ ἀπολαύσῃ μικρῶν ἀγαθῶν. Δὲν δύναται βεβαίως νὰ φθάσῃ τὸν Πέτρον καὶ τὸν Παῦλον, οὔτε κἂν νὰ τοὺς πλησιάσῃ· ἐξ

ἐλθεῖν, οὐδὲ Παῦλον, ἀλλ' οὐδὲ γενέσθαι αὐτῶν ἐγγύς· διὰ τοῦτο οὖν αὐτὸν καὶ τῆς μετ' ἐκείνους ἀποστερήσομεν τιμῆς; Ταὐτὸν γὰρ ποιεῖς ταῦτα λέγων, ὡς ἂν εἰ ἔλεγες· ἐπειδὴ λίθον τίμιον γενέσθαι οὐκ ἔνι, μενέτω σίδηρος ὤν, καὶ μήτε 5 *ἄργυρος γενέσθω, μήτε χρυσός. Διὰ τί γὰρ μὴ καὶ ἐν τοῖς ἔξωθεν πράγμασι τοῦτον ἔχεις τὸν λογισμόν, ἀλλὰ τὸν ἐναντίον τούτῳ; Καὶ γὰρ ἐπὶ λόγων μάθησιν πέμπων, οὐ πάντως αὐτὸν ἐπὶ τοῖς ἄκροις ὄψεσθαι προσδοκᾷς, ἀλλ' ὅμως οὐ διὰ ταῦτα ἀπάγεις τῆς περὶ ταῦτα σπουδῆς, ἀλλὰ* 10 *πάντα πληροῖς τὰ παρὰ σαυτοῦ, ἀγαπητὸν εἶναι νομίζων, ἂν πέμπτον ἢ δέκατον ἀπὸ τῶν πρώτων συμβῇ γενέσθαι τὸν υἱὸν ἐν τῇ τῶν λόγων δυνάμει. Καὶ βασιλεῖ δὲ στρατεύοντες τοὺς υἱεῖς οὐ πάντως ἐπὶ τὸν τῶν ὑπάρχων αὐτοὺς ἀναβήσεσθαι προσδοκᾶτε θρόνον· ἀλλ' ὅμως οὐ διακελεύεσθε λῦσαι* 15 *τὴν ζώνην, ἢ μηδὲ τὴν ἀρχὴν ἐπιβῆναι τῶν βασιλείων, ἀλλὰ πάντα πραγματεύεσθε, ὡς μηδέποτε αὐτοὺς τῆς ἐκεῖθεν διατριβῆς ἐκπεσεῖν, ἀρκεῖν ἡγούμενοι τὸ καὶ ἐν τοῖς μέσοις ἀριθμουμένους ὁρᾶν.*

Τίνος οὖν ἕνεκεν ἐκεῖ μέν, κἂν μὴ τῶν μειζόνων ἐξῇ 20 *λαβέσθαι, ὅμως ὑπὲρ τῶν ἐλαττόνων κόπτεσθε καὶ ταλαιπωρεῖσθε, κἂν τούτοις πάλιν τῆς ἐλπίδος οὔσης ἀδήλου, ἐνταῦθα δὲ ὀκνεῖτε καὶ ἀναδύεσθε; Ὅτι ἐκείνων μὲν πολλὴν ἔχετε τὴν ἐπιθυμίαν, τούτων δὲ οὐδὲ βραχεῖαν· εἶτα αἰσχυνόμενοι τοῦτο ὁμολογῆσαι σκήψεις ἐπενοήσατε καὶ προφά-* 25 *σεις· ὡς εἴ γε ἀληθῶς ἐβούλεσθε, οὐδὲν ἂν ὑμᾶς τούτων ἐκώλυσε. Καὶ γὰρ οὕτως ἔχει· ὅτου τις ἂν ἐρῶν τύχῃ γνησίως, κἂν μὴ τοῦ παντός, μηδὲ τοῦ ἀνωτάτω περιγένηται, τοῦ γοῦν μέσου, μᾶλλον δὲ καὶ τοῦ μετ' ἐκεῖνον μυριάκις ἂν ἕλοιτο ἐπιτυχεῖν. Καὶ γὰρ ὁ φίλοινος καὶ φιλοπότης,* 30 *κἂν μὴ τὸν ἡδὺν καὶ ἀνθοσμίαν ἐξῇ λαβεῖν οἶνον, οὐδὲ τοῦ*

---

51. Ὁ ὕπαρχος κατὰ τὴν πρωτοβυζαντινὴν ἐποχὴν ἦτο ὁ δεύτερος μετὰ τὸν αὐτοκράτορα ἀξιωματοῦχος τῆς χώρας, εἶδος πρωθυπουργοῦ. Προήρχετο συνήθως ἐκ τοῦ στρατοῦ.

αἰτίας λοιπὸν αὐτοῦ θὰ τοῦ στερήσωμεν τὴν μετ' ἐκείνους τιμήν; Διότι λέγων αὐτά, κάμνεις τὸ ἴδιο πρᾶγμα ὡσὰν νὰ ἔλεγες· ἐπειδὴ δὲν εἶναι δυνατὸν νὰ γίνῃ πολύτιμος λίθος, ἂς παραμείνῃ σίδηρος καὶ ἂς μὴ γίνῃ οὔτε ἄργυρος οὔτε χρυσός; Διατί ὅμως δὲν σκέπτεσαι κατὰ τὸν ἴδιον τρόπον καὶ διὰ τὰ κοσμικὰ πράγματα, ἀλλ' ἀντιθέτως πρὸς αὐτά; Διότι στέλλων τὸν υἱόν σου νὰ σπουδάσῃ δὲν περιμένεις ὁπωσδήποτε νὰ τὸν ἰδῇς εἰς τὴν κορυφήν, καὶ ὅμως ἐξ αἰτίας αὐτοῦ δὲν τὸν ἀπομακρύνεις ἀπὸ τὴν σπουδήν του, ἀλλὰ κάμνεις τὸ πᾶν, ὅσον ἐξαρτᾶται ἀπὸ σέ, μένων ἱκανοποιημένος καὶ ἂν ἀκόμη συμπεριληφθῇ ὁ υἱός σου μεταξὺ τῶν πέντε ἢ δέκα πρώτων εἰς τὴν ρητορικὴν ἱκανότητα. Καὶ ὅταν κατατάσσετε εἰς τὸν στρατὸν τοῦ βασιλέως τοὺς υἱούς σας, δὲν περιμένετε ὁπωσδήποτε νὰ ἀνέλθουν εἰς τὸ ἀξίωμα τοῦ ὑπάρχου[51]. Ὅμως δὲν τοὺς συμβουλεύετε νὰ ἐγκαταλείψουν τὴν στρατιωτικὴν σταδιοδρομίαν ἢ νὰ μὴ εἰσέλθουν εἰς τὰ ἀνάκτορα, ἀλλὰ κάμετε τὸ πᾶν, ὥστε ποτὲ νὰ μὴ ἀπομακρυνθοῦν ἀπὸ τὴν σταδιοδρομίαν ἐκείνην, ἱκανοποιούμενοι νὰ τοὺς βλέπετε νὰ συγκαταλέγωνται ἔστω καὶ μεταξὺ τῶν μετρίων.

Διατί λοιπὸν ἐκεῖ μέν, καὶ ἂν ἀκόμη δὲν εἶναι δυνατὸν νὰ ἀπολαύσῃ τὰ ἀνώτερα, καταβάλλετε πολλὴν προσπάθειαν καὶ ταλαιπωρεῖσθε, ἂν καὶ ἡ ἐλπὶς εἶναι ἀβεβαία, ἐδῶ δὲ ἀμελεῖτε καὶ ἀδιαφορεῖτε; Ἐπειδὴ ἔχετε μεγάλην ἐπιθυμίαν δι' ἐκεῖνα, ἐνῷ δι' αὐτὰ οὔτε μικράν· ἔπειτα δέ, ἐπειδὴ ἐντρέπεσθε νὰ τὸ ὁμολογήσετε, ἐπενοήσατε δικαιολογίας καὶ προφάσεις. Διότι, ἂν πραγματικῶς τὸ ἐπιθυμούσατε, τίποτε ἀπὸ αὐτὰ δὲν θὰ σᾶς ἠμπόδιζε. Διότι συμβαίνει τὸ ἑξῆς. Ἂν κανεὶς ἀγαπᾷ κάτι πραγματικῶς, θὰ ἐπροτιμοῦσε νὰ ἐπιτύχῃ μυρίας φοράς, ἂν ὄχι τὸ πᾶν ἢ τὸ ἀνώτερον, τουλάχιστον ὅμως τὸ μέτριον ἢ τὸ κατώτερον· ἄλλωστε καὶ ὁ ἀγαπῶν τὸν οἶνον καὶ τὰ ποτά, ἂν δὲν δύναται νὰ λάβῃ τὸν γλυκὺν καὶ ἀρωματικὸν οἶνον, ποτὲ δὲν θὰ περιφρονήσῃ καὶ τὸν κατώτερον. Καὶ ὁ φιλοχρήματος ἐπί-

φαυλοτάτου καταφρονήσει ποτέ· καὶ ὁ φιλοχρήματος πάλιν, κἂν μὴ λίθους τιμίους, μηδὲ χρυσίον, ἀλλ' ἀργύριον αὐτῷ τις παρέχῃ, πολλὴν εἴσεται χάριν. Τοιοῦτον γὰρ ἡ ἐπιθυμία, τυραννικόν τι πρᾶγμα καὶ ἱκανὸν πεῖσαι πάντα τὸν ἁλόντα,
5 *ὑπὲρ ὁτουοῦν καὶ παθεῖν καὶ ὑπομεῖναι· ὥστε εἰ μὴ σκῆψις ταῦτα τὰ ῥήματα ἦν, συμπράττειν ἐχρῆν καὶ συμπονεῖν. Τοῦ γὰρ ἐπιθυμοῦντός τι γενέσθαι οὐ τὸ γενέσθαι κωλύειν ἐστίν, ἀλλὰ τὸ πάντα ποιεῖν ὅπως ἂν γένοιτο. Καὶ γὰρ οἱ καθιέντες εἰς τοὺς Ὀλυμπιακοὺς ἀγῶνας, εἰδότες ὅτι ἐν πλήθει το-*
10 *σούτῳ εἰς ἕνα τὰ τῆς νίκης περιστήσεται, ὅμως κόπτονται καὶ ταλαιπωροῦσι. Καίτοι γε οὐδέν ἐστιν ἴσον ἐνταῦθα κἀκεῖ, οὐ μόνον διὰ τὸ τῶν ἀγώνων τέλος, ἀλλ' ὅτι ἀνάγκη ἐκεῖ στεφανωθέντα μόνον ἕνα ἀπελθεῖν· ἐνταῦθα δὲ οὐκ ἐν τούτοις ἡ ὑπεροχὴ καὶ ἡ ἐλάττωσις, ἐν τῷ τὸν μὲν ἀστε-*
15 *φάνωτον ἀναχωρῆσαι, τὸν δὲ ἐστεφανωμένον, ἀλλ' ἐν τῷ τὸν μὲν λαμπροτέρας, τὸν δὲ ἐλάττονος τυχεῖν τῆς ἀνακηρύξεως, πάντας δὲ ὅμως τυχεῖν.*

Ὅλως δέ, εἴπερ ἐβουλόμεθα καὶ ἐξ ἀρχῆς διαπλάττειν τοὺς παῖδας, καὶ τοῖς βουλομένοις ῥυθμίζειν παραδιδόναι,
20 *οὐκ ἦν ἀπεικὸς αὐτοὺς ἐν τῇ πρώτῃ στῆναι τάξει τοῦ στρατοπέδου· οὐ γὰρ ἂν περιεῖδεν ὁ Θεὸς τοσαύτην προθυμίαν καὶ σπουδήν, ἀλλ' ἐπέδωκεν ἂν τὴν αὐτοῦ χεῖρα, καὶ ἥψατο τοῦ ἀγάλματος· ἐκείνης δὲ ἐργαζομένης τῆς χειρός, ἀμήχανον διαπεσεῖν τι τῶν γινομένων, μᾶλλον δὲ ἀμήχανον μὴ πρὸς*
25 *ἄκρον λαμπρότητος καὶ δόξης ἐλθεῖν, μόνον εἰ τὰ παρ' ἡμῶν ἕποιτο. Εἰ γὰρ γυναῖκες ἴσχυσαν πεῖσαι Θεὸν συνεφάψασθαι αὐταῖς τῆς τῶν παίδων ἐπιμελείας, πολλῷ μᾶλλον ἡμεῖς, ἂν ἐθέλωμεν, τοῦτο δυνησόμεθα. Τὰς μὲν οὖν ἄλλας,*

σης, ἂν δὲν τοῦ δώσῃ κανεὶς πολυτίμους λίθους οὔτε χρυσὸν ἀλλ' ἁπλῶς χρήματα, θὰ τὸν εὐγνωμονῇ πάρα πολύ. Διότι τοιαύτη εἶναι ἡ ἐπιθυμία, πρᾶγμα τυραννικὸν καὶ ἱκανὸν νὰ πείσῃ ὅποιον κυριεύσῃ νὰ πάθῃ καὶ νὰ ὑποστῇ ὁ,τιδήποτε. Ὥστε, ἐὰν αὐτὰ τὰ λόγια δὲν ἦσαν δικαιολογία, ἔπρεπε καὶ νὰ συμπράττετε καὶ νὰ συμπάσχετε μὲ τοὺς εὐσεβεῖς υἱούς σας. Διότι εἰς αὐτὸν ποὺ ἐπιθυμεῖ νὰ ἐπιτύχῃ κάτι, τὸ ἐμπόδιον δὲν εἶναι ἡ πραγματοποίησις, ἀλλὰ τὸ ὅτι πρέπει νὰ μεταχειρισθῇ κάθε τρόπον διὰ νὰ τὸ ἐπιτύχῃ. Ἄλλωστε καὶ οἱ λαμβάνοντε μέρος εἰς τοὺς Ὀλυμπιακοὺς ἀγῶνας, ἂν καὶ γνωρίζουν ὅτι μέσα ἀπὸ τόσον πλῆθος ἕνας θὰ κερδίσῃ τὰ τρόπαια τῆς νίκης, ὅμως καταβάλλουν μεγάλην προσπάθειαν καὶ ὑφίστανται ταλαιπωρίας. Ἂν καὶ βεβαίως δὲν εἶναι δυνατὸν νὰ γίνῃ σύγκρισις μεταξὺ αὐτῆς καὶ ἐκείνης τῆς περιπτώσεως, ὄχι μόνον λόγῳ τοῦ σκοποῦ τοῦ ἀγῶνος, ἀλλὰ καὶ διότι ἐκεῖ εἶναι ἀναπόφευκτον νὰ ἀπέλθῃ ἕνας μόνον στεφανωμένος, ἐδῶ ὅμως δὲν συνίσταται εἰς αὐτὰ ἡ ὑπεροχὴ καὶ μείωσις, δηλαδὴ εἰς τὸ νὰ ἀποχωρήσῃ ἄλλος μὲν ἀστεφάνωτος ἄλλος δὲ στεφανωμένος, ἀλλὰ μόνον εἰς τὸ ὅτι ἄλλος μὲν θὰ ἐπιτύχῃ λαμπροτέραν νίκην, ἄλλος δὲ μικροτέραν, ὅμως ὅλοι ἀνεξαιρέτως ἀνακηρύσσονται νικηταί.

Γενικῶς δὲ ἂν ἠθέλαμεν καὶ ἐξ ἀρχῆς νὰ διαπλάσσωμεν τὰ παιδιὰ καὶ νὰ τὰ παραδίδωμεν εἰς τοὺς ἁρμοδίους διὰ τὴν μόρφωσίν των, δὲν θὰ ἦτο ἀφύσικον νὰ εὑρεθοῦν ὅλα εἰς τὴν ἀνωτέραν τάξιν τοῦ στρατοπέδου, διότι δὲν θὰ παρέβλεπεν ὁ Θεὸς τόσον μεγάλην προθυμίαν καὶ ζῆλον, ἀλλὰ θὰ προσέφερε τὸ χέρι του καὶ θὰ ἤγγιζε τὸ ἄγαλμά του. Ὅταν δὲ ἐνεργῇ ἐκεῖνο τὸ χέρι, εἶναι ἀδύνατον νὰ ἀποτύχῃ ὁποιαδήποτε προσπάθεια, περισσότερον δὲ ἀδύνατον νὰ μὴ φθάσουν εἰς τὴν τελείαν λαμπρότητα καὶ δόξαν, ἀρκεῖ μόνον νὰ ἐπράττομεν καὶ ἡμεῖς ὅ,τι ἐξηρτᾶτο ἀπὸ ἡμᾶς. Διότι, ἐὰν γυναῖκες ἠδυνήθησαν νὰ πείσουν τὸν Θεὸν νὰ τὰς συμπαρασταθῇ εἰς τὴν ἀνατροφὴν τῶν παιδιῶν, πο-

ὥστε μὴ μακρὸν ποιῆσαι τὸν λόγον, παρήσω, καίτοι πολλὰς ἔχων εἰπεῖν, μιᾶς δὲ μόνον ἐπιμνησθήσομαι.

20. Ἄννα τις ἦν Ἰουδαία γυνή· αὕτη ἡ Ἄννα παιδίον ἔτεκεν ἕν. Καὶ οὐ προσδοκῶσα τέξεσθαι ἕτερον, καὶ γὰρ καὶ τοῦτο μόλις καὶ μετὰ πολλῶν ἔλαβε τῶν δακρύων (στεῖρα γὰρ ἦν), ὁρῶσα δὲ τὴν ἀντίζηλον αὐτῆς διὰ τοῦτο πολλάκις ἐπεμβαίνουσαν αὐτῇ, οὐδὲ οὕτως ἔπαθέ τι τοιοῦτον οἷον ὑμεῖς, ἀλλ' ἐπειδὴ τὸν υἱὸν ἔσχεν ἐκεῖνον, τοσοῦτον εἴασε παρ' ἑαυτῇ μεῖναι χρόνον, ὅσον γαλακτοτροφηθῆναι ἔδει μόνον. Ἐπειδὴ δὲ οὐκέτι ταύτης ἐδεῖτο τῆς τροφῆς, λαβοῦσα αὐτὸν εὐθέως ἀνέθηκε τῷ Θεῷ, καὶ τῆς πατρῴας οὐκέτι ἐπιβῆναι παρεκάλεσεν οἰκίας, ἀλλ' ᾤκει διαπαντὸς ἐν τῷ ναῷ τοῦ Θεοῦ· καὶ εἴ ποτε αὐτὸν ἰδεῖν ἐπεθύμησεν, οἷα δὴ μήτηρ, οὐκ ἐκάλει παρ' ἑαυτὴν τὸ παιδίον, ἀλλ' αὐτὴ πρὸς ἐκεῖνον ἀνέβαινε μετὰ τοῦ πατρός, καθάπερ ὄντος ἀναθήματος ἀπεχομένη λοιπόν. Καὶ οὕτω γενναῖος καὶ μέγας ὁ νεανίας ἐγένετο ἐκεῖνος, ὡς τὸν Θεὸν ἀποστραφέντα τὸ τῶν Ἑβραίων γένος διὰ τὴν κατακεχυμένην κακίαν, καὶ οὐ χρῶντα αὐτοῖς, οὐδὲ ὄψιν τινὰ φαίνοντα λοιπόν, ἐπισπάσασθαι πάλιν διὰ τῆς ἀρετῆς, καὶ πεῖσαι παρέχειν τὰ αὐτά, ἅπερ καὶ πρότερον, καὶ τὴν προφητείαν ἀποπτᾶσαν ἀνακαλέσασθαι πάλιν. Καὶ ταῦτα ἴσχυσεν οὐκ ἐφ' ἡλικίας γενόμενος, ἀλλ' ἔτι παιδίον ὢν μικρόν· «οὐκ ἦν γάρ», φησίν, «ὅρασις διαστέλλουσα, καὶ ῥῆμα τίμιον ἦν». Ἀλλ' ὅμως καὶ τούτων τοιούτων ὄντων, ἔχρα αὐτῷ συνεχῶς ὁ Θεός.

Τοσοῦτόν ἐστι κέρδος ἀεὶ τῶν οἰκείων παραχωρεῖν κτημάτων αὐτῷ, καὶ πάντων ἐξίστασθαι οὐχὶ χρημάτων μόνον, οὐδὲ κτημάτων, ἀλλὰ καὶ τῶν τέκνων αὐτῶν. Εἰ γὰρ

---

52. Πρόκειται περὶ τῆς στείρας μητρὸς τοῦ Κριτοῦ Σαμουήλ, ἡ ὁποία κατόπιν πολλῶν προσευχῶν καὶ δακρύων ἀπέκτησεν υἱόν, τὸν ὁποῖον καὶ ἀφιέρωσεν εἰς τὸν Θεὸν ἀπὸ τῆς νηπιακῆς του ἡλικίας (Α' Βασ. 1, 19-27).

53. Α' Βασ. 3, 1.

λὺ περισσότερον ἡμεῖς θὰ ἠμπορέσωμεν, ἐὰν θέλωμεν. Τὰς μὲν λοιπὸν ἄλλας, διὰ νὰ μὴ ἐπεκτείνω τὸν λόγον, θὰ τὰς παραλείψω, ἂν καὶ θὰ ἠμποροῦσα νὰ ἀναφέρω πολλάς· θὰ ἀναφέρω ὅμως μίαν μόνον.

20. Ὑπῆρχε μία Ἰουδαία γυνή, ἡ Ἄννα[52]. Ἡ Ἄννα αὐτὴ ἐγέννησεν ἕνα παιδί. Καὶ μολονότι δὲν ἤλπιζε πλέον ν' ἀποκτήσῃ ἄλλο, διότι καὶ αὐτὸ ἀκόμη τὸ ἀπέκτησε μὲ πολλὰ δάκρυα, ἐπειδὴ ἦτο στεῖρα, ἔβλεπε δὲ τὴν ἀντίζηλόν της, πολλάκις νὰ τὴν εἰρωνεύεται δι' αὐτό, δὲν ἔπαθε τίποτε τέτοιο, ὅπως ἐσεῖς, ἀλλ' ὅταν ἀπέκτησε τὸν υἱὸν ἐκεῖνον, τὸν ἐκράτησε πλησίον της τόσον καιρὸν μόνον, ὅσος ἀπῃτεῖτο διὰ τὴν γαλακτοτροφίαν του. Ὅταν δὲ ἔπαυσε νὰ ἔχῃ ἀνάγκην τῆς τροφῆς αὐτῆς, τὸν ἐπῆρεν ἀμέσως, τὸν ἀφιέρωσεν εἰς τὸν Θεόν, καὶ τὸν παρεκάλεσε νὰ μὴ ἐπιστρέψῃ πλέον εἰς τὸ πατρικὸν σπίτι, ἀλλὰ κατοικοῦσε πάντοτε εἰς τὸν ναὸν τοῦ Θεοῦ. Καὶ ἐὰν ποτὲ ἐνοσταλγοῦσε νὰ τὸν ἴδῃ, ὡς μητέρα ποὺ ἦτο, δὲν ἐκαλοῦσε κοντά της τὸ παιδί, ἀλλ' αὐτὴ ἡ ἰδία μαζὶ μὲ τὸν πατέρα ἐπήγαινεν εἰς τὸ παιδί. Ἀπεῖχε λοιπόν, ἀπὸ αὐτό, διότι ἦτο ἀφιέρωμα. Καὶ ἔγινε τόσον γενναῖος καὶ μέγας ἐκεῖνος ὁ νεανίας, ὥστε, ὅταν ὁ Θεὸς ἀπεστράφη τὸ γένος τῶν Ἑβραίων ἐξ αἰτίας τῆς μεγάλης κακίας του καὶ ἔπαυσε πλέον νὰ τοὺς δίδῃ τοὺς χρησμοὺς καὶ νὰ φανερώνῃ ὀπτασίας, τὸν μετέτρεψε πάλιν διὰ τῆς ἀρετῆς του καὶ τὸν ἔπεισε νὰ τοὺς δίδῃ τὰ ἴδια ποὺ τοὺς ἔδιδε καὶ προηγουμένως, καὶ ἐπανέφερε τὴν προφητείαν, ἡ ὁποία εἶχεν ἀπομακρυνθῆ. Καὶ τὰ ἐπέτυχε αὐτά, ὄχι ὅταν ἐνηλικιώθη, ἀλλ' ὅταν ἀκόμη ἦτο μικρὸν παιδί. «Δὲν ἦτο ἀργὴ πλέον ἡ ὅρασις καὶ ὁ θεῖος λόγος συνεχίζετο»[53]. Ἀλλ' ὅμως ἂν καὶ ἔτσι εἶχαν τὰ πράγματα, ὁ Θεὸς τοῦ ἔδιδε συνεχῶς χρησμούς.

Τόσον κέρδος προκύπτει πάντοτε μὲ τὸ νὰ τοῦ ἀφιερώνωμεν μερικὰ ἀπὸ τὰ ἀποκτήματά μας καὶ νὰ παραιτούμεθα ὄχι μόνον ἀπὸ τὰ χρήματα, οὔτε ἀπὸ τὰ ἀποκτήματα, ἀλλὰ καὶ ἀπὸ αὐτὰ τὰ τέκνα μας. Διότι ἐὰν διατασσώμεθα

ἐπὶ τῆς ἡμετέρας ψυχῆς κελευόμεθα τοῦτο ποιεῖν, πολλῷ μᾶλλον ἐπὶ τῶν ἄλλων ἁπάντων. Τοῦτο γὰρ καὶ ὁ πατριάρχης ἐποίησεν Ἀβραάμ, μᾶλλον δὲ πολλῷ μεῖζον· διὸ καὶ μετὰ πλείονος δόξης ἀπέλαβε τὸν υἱόν. Καὶ γὰρ τότε μάλιστα
5 ἔχομεν τὰ ἡμέτερα παιδία, ὅταν αὐτὰ τῷ Δεσπότῃ παραδῶμεν. Πολλῷ γὰρ μειζόνως αὐτῶν ἐκεῖνος προστήσεται ἐπειδὴ καὶ μειζόνως κήδεται. Οὐχ ὁρᾶτε καὶ ἐν ταῖς οἰκίαις τῶν πλουτούντων ταῦτα γινόμενα; Καὶ γὰρ ἐκεῖ τοὺς μὲν κάτω μετὰ τῶν πατέρων οἰκοῦντας, οὐχ οὕτως ὄντας λαμ-
10 προύς ἐστιν ἰδεῖν, οὐδὲ τοσαύτην ἔχοντας δύναμιν· ὅσους δ' ἂν τῶν γονέων ἀποστήσαντες οἱ δεσπόται προσνείμωσιν αὐτῶν τῇ διακονίᾳ καὶ τῇ φυλακῇ τῶν ταμιείων, οὗτοι δὴ καὶ εὐνοίας ἀπολαύουσι πλείονος καὶ παρρησίας, καὶ τοσοῦτον τῶν ὁμοδούλων εἰσὶ λαμπρότεροι, ὅσον τῶν οἰκετῶν οἱ
15 δεσπόται. Εἰ δὲ ἄνθρωποι περὶ τοὺς διακονουμένους οὕτως εἰσὶ χρηστοὶ καὶ εὔνοι, πολλῷ μᾶλλον ἡ ἄπειρος ἀγαθότης, τοῦτ' ἔστιν ὁ Θεός.

Ἐῶμεν τοίνυν αὐτοὺς ὑπηρετεῖν, οὐκ εἰς ναὸν ἄγοντες καθάπερ τὸν Σαμουήλ, ἀλλ' εἰς αὐτὸν τὸν οὐρανὸν μετὰ τῶν
20 ἀγγέλων, μετὰ τῶν ἀρχαγγέλων. Ὅτι γὰρ μετ' ἐκείνων διακονήσονται πάντως καὶ ὑπηρετήσουσιν οἱ ταύτης ἐπειλημμένοι τῆς φιλοσοφίας, παντί που δῆλόν ἐστι. Καὶ οὐχ ἑαυτῶν μόνον, ἀλλὰ καὶ ὑμῶν μετὰ πλείονος προστήσονται τῆς παρρησίας. Εἰ γάρ τινες διὰ πατέρας παραμυθίας ἔτυχόν τινος,
25 πολλῷ μᾶλλον διὰ παῖδας πατέρες. Ἐκεῖ μὲν γὰρ τὸ τῆς φύσεως μόνον δικαίωμα ἦν, ἐνταῦθα δὲ καὶ τὸ τῆς ἀνατροφῆς, πολλῷ τῆς φύσεως μεῖζον ὄν. Καὶ ταῦτα ὑμῖν ἀμφότερα ἀπὸ τῶν θείων πιστώσομαι Γραφῶν. Τὸν γὰρ Ἐζεκίαν ἐνάρετον μὲν ὄντα καὶ εὐσεβῆ, οὐκ ἔχοντα δὲ τοσαύτην παρρησίαν ἀπὸ τῶν κατορθωμάτων, ὥστε καὶ πρὸς τοσοῦτον κίν-

νὰ κάμνωμεν αὐτὸ διὰ τὴν ἰδικήν μας ψυχήν, πολὺ περισσότερον πρέπει νὰ τὸ κάμωμεν δι' ὅλους τοὺς ἄλλους. Αὐτὸ ἔκαμεν ἄλλωστε καὶ ὁ πατριάρχης Ἀβραάμ, μᾶλλον δὲ πολὺ μεγαλύτερον ἀπὸ αὐτό, καὶ διὰ τοῦτο ἐξαναπῆρε ἐνδοξότερον τὸν υἱόν του. Πράγματι, τότε κατ' ἐξοχὴν ἔχομεν τὰ παιδιά μας, ὅταν τὰ παραδώσωμεν εἰς τὸν Θεόν. Καὶ ἐκεῖνος θὰ τὰ προστατεύσῃ πολὺ περισσότερον, ἐπειδὴ φροντίζει καὶ περισσότερον. Δὲν βλέπετε ὅτι αὐτὰ γίνονται καὶ εἰς τὰ σπίτια τῶν πλουσίων; Ἐκεῖ δηλαδὴ δὲν θὰ ἰδῇς τόσον λαμπροὺς τοὺς υἱοὺς ποὺ κατοικοῦν μετὰ τῶν πατέρων των, οὔτε τόσον ἰσχυρούς. Ἐκεῖνοι ὅμως εἰς τοὺς ὁποίους οἱ βασιλεῖς θὰ ἀναθέσουν τὴν διαχείρισιν καὶ τὴν διαφύλαξιν τῶν θησαυρῶν, ἀφοῦ τοὺς ἀπομακρύνουν ἀπὸ τοὺς γονεῖς των ἀπολαμβάνουν μεγαλυτέραν εὔνοιαν καὶ θάρρος, καὶ εἶναι τόσον ἐνδοξώτεροι τῶν συνδούλων των, ὅσον οἱ οἰκοδεσπόται ἀπὸ τοὺς δούλους. Ἐὰν δὲ οἱ ἄνθρωποι εἶναι τόσον καλοὶ καὶ εὐμενεῖς πρὸς τοὺς ὑπηρετουμένους, πολὺ περισσότερον ἡ ἄπειρος ἀγαθότης, δηλαδὴ ὁ Θεός.

Ἂς τοὺς ἀφήνωμεν λοιπὸν νὰ ὑπηρετοῦν, χωρὶς νὰ ὁδηγῶμεν αὐτοὺς εἰς τὸν ναὸν βεβαίως, ὅπως ἀκριβῶς τὸν Σαμουὴλ ἡ μητέρα του, ἀλλὰ εἰς αὐτὸν τὸν οὐρανὸν μετὰ τῶν ἀγγέλων καὶ τῶν ἀρχαγγέλων. Καὶ εἶναι εἰς τὸν καθένα φανερὸν ὅτι ὅσοι ἐπεδόθησαν εἰς αὐτὴν τὴν φιλοσοφίαν θὰ διακονήσουν χωρὶς ἄλλο καὶ θὰ ὑπηρετήσουν μαζὶ μὲ ἐκείνους. Καὶ ὄχι θὰ προστατεύσουν μὲ μεγαλυτέραν παρρησίαν μόνον τοὺς ἑαυτούς των ἀλλὰ καὶ ἐσᾶς. Διότι ἐὰν μερικοὶ ἐπέτυχον κάποιαν παρηγορίαν χάριν τῶν πατέρων των, ἐπέτυχον πολὺ περισσότερον οἱ πατέρες χάριν τῶν παιδιῶν. Διότι ἐκεῖ μὲν ὑπῆρχε μόνον τὸ φυσικὸν δικαίωμα, ἐδῶ δὲ καὶ τὸ τῆς ἀνατροφῆς ποὺ εἶναι πολὺ σπουδαιότερον ἀπὸ τὸ τῆς φύσεως. Καὶ αὐτὰ τὰ δύο θὰ σᾶς τὰ βεβαιώσω ἀπὸ τὰς θείας Γραφάς. Τὸν Ἐζεκίαν δηλαδὴ ποὺ ἦτο ἐνάρετος μὲν καὶ εὐσεβής, δὲν εἶχεν ὅμως

δυνον στῆναι, ἀπὸ τῆς τοῦ πατρὸς ἔφησε σώζειν ἀρετῆς ὁ Θεός. «Ὑπερασπιῶ γάρ, φησί, τῆς πόλεως ταύτης τοῦ σῶσαι αὐτὴν δι' ἐμέ, καὶ διὰ Δαυὶδ τὸν παῖδά μου». Καὶ Τιμοθέῳ δὲ περὶ γονέων ἐπιστέλλων ἔλεγεν ὁ Παῦλος, ὅτι «σωθήσονται διὰ τῆς τεκνογονίας, ἐὰν μείνωσιν ἐν πίστει καὶ ἀγάπῃ καὶ ἁγιασμῷ μετὰ σωφροσύνης». Καὶ τὸν Ἰὼβ δὲ ὥσπερ ἀπὸ τῶν ἄλλων ἐπήνεσεν ἡ Γραφή, οἷον ὅτι δίκαιος καὶ ἀληθινὸς καὶ θεοσεβὴς ἦν, οὕτω καὶ ἀπὸ τῆς περὶ τοὺς παῖδας ἐπιμελείας. Αὕτη δὲ ἦν οὐ χρυσὸν συνάγειν αὐτοῖς οὐδὲ ἐπιδόξους ποιεῖν καὶ λαμπρούς, ἀλλὰ τί; Ἄκουσον τῆς Γραφῆς λεγούσης· «ὅταν συνετελέσθησαν αἱ ἡμέραι τοῦ πότου αὐτῶν, ἀπέστελλεν Ἰὼβ καὶ ἐκαθάριζεν αὐτούς, καὶ ἀνιστάμενος τῷ πρωῒ προσέφερε περὶ αὐτῶν θυσίαν κατὰ τὸν ἀριθμὸν αὐτῶν καὶ μόσχον ἕνα περὶ ἁμαρτίας ὑπὲρ τῶν ψυχῶν αὐτῶν· ἔλεγε γὰρ Ἰὼβ ἐν τῇ καρδίᾳ αὐτοῦ, μή ποτε οἱ υἱοί μου ἐν τῇ διανοίᾳ αὐτῶν κακὰ ἐνενόησαν πρὸς τὸν Θεόν».

Ἆρα ἔσται τις ἡμῖν ἀπολογία λοιπὸν τοιαῦτα τολμῶσιν; Εἰ γὰρ ὁ πρὸ τῆς χάριτος, ὁ πρὸ τοῦ νόμου, ὁ μηδεμιᾶς ἀπολαύσας διδασκαλίας, τοσαύτην τῶν παίδων ἐποιεῖτο πρόνοιαν, ὡς καὶ ὑπὲρ τῶν ἀδήλων τρέμειν ἁμαρτημάτων, τίς ἡμᾶς ἐξαιρήσεται λοιπὸν τοὺς ἐν χάριτι, τοὺς καὶ τοσούτων διδασκάλων τετυχηκότας, τοὺς τοιαῦτα ὑποδείγματα ἔχοντας καὶ τοσαύτας παραινέσεις, οὐ μόνον ὑπὲρ τῶν ἀδήλων οὐ δεδοικότας, ἀλλὰ καὶ τῶν δήλων καταφρονοῦντας, καὶ οὐ καταφρονοῦντας μόνον, ἀλλὰ καὶ τοὺς βουλομένους αὐτὰ διορθοῦν ἐλαύνοντας; Καὶ τὸν Ἀβραὰμ δέ, καθάπερ ἔφθην εἰπών, μετὰ τῶν ἄλλων κατορθωμάτων καὶ τοῦτο λαμπρὸν ἐποίει.

21. Τοσαῦτα οὖν ἔχοντες ὑποδείγματα, κατασκευάζωμεν τῷ Θεῷ διακόνους, καὶ λειτουργοὺς δοκίμους. Εἰ γὰρ

---

54. Δ' Βασ. 19, 34.
55. Α' Τιμ. 2, 15.
55α. Ἰὼβ 1, 5.

τόσην παρρησίαν ἀπὸ τὰ ἐπιτεύγματά του, ὥστε νὰ ἀντιμετωπίσῃ ἕνα μεγάλον κίνδυνον, εἶπεν ὁ Θεὸς ὅτι τὸν σώζει λόγῳ τῆς ἀρετῆς τοῦ πατρός του. Διότι λέγει· «θὰ ὑπερασπισθῶ αὐτὴν τὴν πόλιν, διὰ νὰ τὴν σώσω δι' ἐμὲ τὸν Δαυῒδ τὸν παῖδά μου»[54]. Καὶ πρὸς τὸν Τιμόθεον γράφων ὁ Παῦλος ἔλεγεν ὅτι· «θὰ σωθοῦν διὰ τῆς τεκνογονίας, ἐὰν μείνουν ἐν πίστει καὶ ἀγάπῃ καὶ ἁγιασμῷ μετὰ σωφροσύνης»[55]. Καὶ τὸν Ἰώβ, ὅπως τὸν ἐπήνεσε ἡ Γραφή, καὶ διὰ τὰ ἄλλα χαρίσματά του, παραδείγματος χάριν διότι ἦτο δίκαιος καὶ εἰλικρινὴς καὶ εὐσεβής, τοιουτοτρόπως τὸν ἐπήνεσε καὶ διὰ τὴν ἐπιμέλειαν τῶν παιδιῶν του. Αὐτὴ δὲ ἀπέβλεπεν ὄχι εἰς τὸ νὰ τοὺς ἐξασφαλίσῃ πλοῦτον, οὔτε νὰ τοὺς κάμῃ ἐνδόξους καὶ περιλάμπρους, ἀλλὰ τί; Ἄκουσε τὴν Γραφήν, ἡ ὁποία λέγει· «ὅταν συνετελέσθησαν αἱ ἡμέραι τοῦ συμποσίου αὐτῶν, ἀπέστελλεν ὁ Ἰὼβ καὶ ἐκαθάριζεν αὐτούς, καὶ ἀνιστάμενος τὸ πρωῒ προσέφερε περὶ αὐτῶν θυσίαν κατὰ τὸν ἀριθμὸν αὐτῶν, καὶ ἕνα μόσχον περὶ ἁμαρτίας, ὑπὲρ τῶν ψυχῶν αὐτῶν· διότι ἔλεγεν ὁ Ἰὼβ εἰς τὴν καρδίαν του, 'μήπως οἱ υἱοί μου ἐσκέφθησαν κατὰ διάνοιαν κακά'»[55α].

Ἆρά γε θὰ ἔχωμεν τίποτε νὰ ἀπολογηθῶμεν, ἀποτολμῶντες τοιαῦτα; Διότι ἐὰν ὁ πρὸ τῆς χάριτος, ὁ πρὸ τοῦ νόμου, ὁ μὴ ἀκούσας οὐδεμίαν διδασκαλίαν, ἐπεδείκνυε τόσον σοβαρὰν ἐπιμέλειαν διὰ τὰ παιδιά του, ὥστε νὰ τρέμῃ καὶ διὰ τὰ ἐν διανοίᾳ ἁμαρτήματα, ποῖος θὰ σώσῃ ἡμᾶς ποὺ ἔχομεν τόσους διδασκάλους, τέτοια παραδείγματα καὶ τόσον πολλὰς συμβουλάς, ὅταν ὄχι μόνον δὲν φοβούμεθα διὰ τὰ κρυφὰ ἁμαρτήματα, ἀλλὰ περιφρονοῦμεν καὶ τὰ φανερά, καὶ ὄχι μόνον τὰ περιφρονοῦμεν, ἀλλὰ καὶ ἀπομακρύνομεν αὐτοὺς ποὺ θέλουν νὰ τὰ διορθώσουν; Καὶ τὸν Ἀβραὰμ δέ, ὅπως εἶπα προηγουμένως, μαζὶ μὲ τὰς ἄλλας ἀρετάς του καὶ αὐτὸ τὸν ἔκαμε λαμπρόν.

21. Ἔχοντες λοιπὸν τόσον πολλὰ παραδείγματα, ἂς προετοιμάζωμεν ὑπηρέτας διὰ τὸν Θεὸν καὶ ἐμπείρους λει-

ἀθλητάς τις πόλεσι τρέφων ἢ στρατιώτας βασιλεῦσιν ἀσκῶν μεγάλη τιμηθήσεται τιμῇ, πόσην ἡμᾶς εἰκὸς λαβεῖν δωρεάν, οὕτω γενναίους καὶ μεγάλους ἄνδρας, μᾶλλον δὲ ἀγγέλους, τῷ Θεῷ τρέφοντας; Πάντα οὖν πράττωμεν, ὥστε αὐτοῖς ἀ-
5 *φεῖναι τὸν τῆς εὐσεβείας πλοῦτον, τὸν μένοντα, καὶ συναποδημοῦντα, καὶ οὐκ ἐνταῦθα μόνον, ἀλλὰ καὶ ἐκεῖ μέγιστα ὀνῆσαι δυνάμενον. Ὁ μὲν γὰρ βιωτικὸς οὔτε συμμεταστήσεται, καὶ ἐνταῦθα δὲ προαπολεῖται, καὶ τοὺς ἔχοντας πολλάκις προσαπολεῖ· οὗτος δὲ καὶ ἐνταῦθα κἀκεῖ βέβαιος ἔσται,*
10 *καὶ διατηρήσει μετὰ πολλῆς ἀσφαλείας τοὺς κεκτημένους αὐτόν. Καὶ γὰρ οὕτως ἔχει· ὁ μὲν τὰ ἐν τῇ γῇ προτιμῶν τῶν πνευματικῶν, κἀκείνων ἐκπεσεῖται καὶ τούτων· ὁ δὲ τῶν οὐρανίων ἐπιθυμῶν, καὶ τῶν ἐπὶ γῆς τεύξεται πάντως. Οὐκ ἐμὸς οὗτος ὁ λόγος, ἀλλ' αὐτοῦ τοῦ ταῦτα παρασχεῖν μέλλον-*
15 *τος Κυρίου· «ζητεῖτε γάρ, φησί, τὴν βασιλείαν τοῦ Θεοῦ, καὶ ταῦτα πάντα προστεθήσεται ὑμῖν». Τί ταύτης ἴσον γένοιτ' ἂν τῆς τιμῆς; Φρόντιζε, φησίν, ὑπὲρ τῶν πνευματικῶν, ἐμοὶ δὲ ἄφες πάντα τὰ σά. Ὥσπερ ἂν εἴ τις πατὴρ φιλόστοργος οἰκίας ἐπιμέλειαν καὶ οἰκετῶν προστασίαν καὶ τῶν ἄλ-*
20 *λων ἁπάντων μεταχειρίζοιτο, τῷ παιδὶ φιλοσοφίᾳ μόνῃ σχολάζειν παραινοίη· οὕτω δὴ καὶ ὁ Θεός.*

Πειθώμεθα τοίνυν, καὶ ζητῶμεν τὴν βασιλείαν τοῦ Θεοῦ, καὶ οὕτω πανταχοῦ τούς τε παῖδας δοκίμους ὀψόμεθα, καὶ αὐτοὶ μετ' ἐκείνων ἐσόμεθα λαμπροί, καὶ τῶν παρόντων
25 *ἀπολαυσόμεθα, ἂν τῶν μελλόντων καὶ οὐρανίων ἐρῶμεν μόνον. Ταῦτα πειθομένοις μὲν ὑμῖν μέγαν οἴσει τὸν μισθόν, ἀντιλέγουσι δὲ καὶ ἀπειθοῦσι χαλεπωτέραν τὴν τιμωρίαν.*

---

56. Ματθ. 6, 33.

τουργούς. Διότι ἐὰν κανεὶς μὲ τὸ νὰ ἀσκῇ ἀθλητὰς εἰς τὰς πόλεις ἢ μὲ τὸ νὰ γυμνάζῃ στρατιώτας διὰ τοὺς βασιλεῖς θὰ τιμηθῇ μὲ μεγάλην τιμήν, πόσην δωρεὰν εἶναι εὔλογον νὰ λάβωμεν ἡμεῖς, ποὺ ἀνατρέφομεν διὰ τὸν Θεὸν γενναίους καὶ σπουδαίους ἄνδρας, μᾶλλον δὲ ἀγγέλους; Ἂς κάμωμεν λοιπὸν τὸ πᾶν, ὥστε νὰ τοὺς κληροδοτήσωμεν τὸν πλοῦτον τῆς εὐσεβείας ὁ ὁποῖος διατηρεῖται καὶ συνοδεύει μετὰ θάνατον, καὶ δύναται νὰ ἀποβῇ πολὺ χρήσιμος ὄχι μόνον ἐδῶ ἀλλὰ καὶ ἐκεῖ. Διότι ὁ μὲν κοσμικὸς πλοῦτος δὲν θὰ ἀκολουθήσῃ μετὰ τὸν θάνατον, ἀλλὰ πολλάκις καὶ ἐδῶ χάνεται ἐνωρίτερον καὶ καταστρέφει καὶ τοὺς ἰδιοκτήτας του· αὐτὸς ὅμως ὁ πλοῦτος καὶ ἐδῶ καὶ ἐκεῖ εἶναι ἀσφαλὴς καὶ θὰ διαφυλάξῃ μὲ πολλὴν ἀσφάλειαν τοὺς ἰδιοκτήτας του. Διότι, τέτοια εἶναι ἡ φύσις τῶν πραγμάτων· αὐτὸς ποὺ προτιμᾷ τὰ γήϊνα ἀντὶ τῶν πνευματικῶν θὰ στερηθῇ καὶ τὰ μὲν καὶ τὰ δέ· αὐτὸς ὅμως ποὺ ἐπιθυμεῖ τὰ οὐράνια, θὰ ἐπιτύχῃ ὁπωσδήποτε καὶ τὰ ἐπίγεια. Δὲν εἶναι ἰδική μου ἡ φράσις αὐτὴ ἀλλὰ τοῦ ἰδίου τοῦ Χριστοῦ, ὁ ὁποῖος πρόκειται νὰ μᾶς τὰ δώσῃ αὐτά. Διότι λέγει· «ζητεῖτε τὴν βασιλείαν τοῦ Θεοῦ, καὶ ταῦτα πάντα θὰ σᾶς δοθοῦν προσθέτως»[56]. Τί θὰ ἠδύνατο νὰ ἐξισωθῇ πρὸς τὴν τιμὴν αὐτήν; Φρόντιζε, λέγει, ὑπὲρ τῶν πνευματικῶν, καὶ ἐμπιστεύσου ὅλα τὰ ἰδικά σου εἰς ἐμέ. Ὅπως ἀκριβῶς ὁ φιλόστοργος πατήρ, ὁ ὁποῖος ἔχει ἀναλάβει τὴν φροντίδα τοῦ σπιτιοῦ καὶ τὴν ἐπιστασίαν τῶν δούλων καὶ ὅλα τὰ ἄλλα, καὶ προτρέπει πλέον τὸ παιδί του νὰ ἀσχολῆται μόνον μὲ τὴν φιλοσοφίαν, ἔτσι καὶ ὁ Θεός.

Ἂς πειθώμεθα λοιπὸν καὶ ἂς ζητῶμεν τὴν βασιλείαν τοῦ Θεοῦ καὶ ἔτσι θὰ ἴδωμεν τὰ παιδιά μας νὰ ἐπιτυγχάνουν παντοῦ καὶ ἐμεῖς οἱ ἴδιοι θὰ γίνωμεν ἔνδοξοι μαζὶ μὲ αὐτὰ καὶ ἐὰν ἐπιθυμοῦμεν σφοδρῶς μόνον τὰ μελλοντικὰ καὶ οὐράνια θὰ ἀπολαύσωμεν καὶ τὰ παρόντα. Αὐτὰ λοιπόν, ἐφ' ὅσον ἐσεῖς πεισθῆτε, θὰ ἀποφέρουν μεγάλον μισθόν, ἐὰν ὅμως ἀντιλέγετε καὶ ἀπιστῆτε θὰ σᾶς φέρουν

Οὐ γὰρ ἔνι καταφυγεῖν εἰς ἀπολογίαν, οὐδὲ εἰπεῖν ὅτι ὁ ταῦτα διδάσκων οὐδεὶς ἦν. Μάλιστα μὲν οὖν καὶ πρὸ τῶν ἡμετέρων λόγων ἡ ἀπολογία αὕτη ἀνῄρητο, τῆς τε φύσεως ἐχούσης ἀκριβὲς τὸ κριτήριον τῶν καλῶν, καὶ τῶν οὐ τοι-
5 *ούτων, τῆς τε φιλοσοφίας ταύτης πανταχοῦ προκειμένης, τῶν τε ἐν τῷ βίῳ κακῶν ἱκανῶν ὄντων καὶ τοὺς σφόδρα ἐρῶντας αὐτοῦ πρὸς τὴν ἐρημίαν ἐλάσαι. Καὶ σιγώντων μὲν οὖν, ὅπερ ἔφην, τὰ τῆς ἀπολογίας ἀνῄρητο, νυνὶ δὲ πολλῷ πλέον μετὰ τοὺς μακροὺς λόγους τούτους, καὶ τὴν τοσαύτην*
10 *παραίνεσιν, τήν τε ἀπὸ τῶν πραγμάτων, τήν τε σαφεστέραν τὴν ἀπὸ τῶν θείων Γραφῶν. Καὶ εἰ μὲν ἦν οἴκοι μένοντας μὴ διαφθαρῆναι τέλεον, ἀλλὰ τὴν γοῦν ἐσχάτην τάξιν τῆς σωτηρίας λαχεῖν, μάλιστα μὲν οὐδὲ οὕτως ἂν τὴν κόλασιν διεφύγομεν, τοὺς ἐπὶ βίον ἀκριβέστερον βαδίζειν ἐπειγομέ-*
15 *νους κωλύοντες, καὶ ἐν τοῖς βιωτικωτέροις κατέχοντες πρὸς τὸν οὐρανὸν πτῆναι ἐπειγομένους· ὅταν δὲ μηδὲ τοῦτο ἐξῇ, ἀλλ' ἀνάγκη πάντως ἀπολέσθαι καὶ περὶ τῶν ἐσχάτων ὁ κίνδυνος ᾖ, τίνα συγγνώμην ἕξομεν, τίνα δὲ ἀπολογίαν, οὐ μόνον τῶν οἰκείων ἁμαρτημάτων, ἀλλὰ καὶ τῶν μετὰ ταῦτα*
20 *τοῖς παισὶν ἁμαρτανομένων τὰς εὐθύνας ἐφ' ἑαυτοὺς ἕλκοντες χαλεπωτέρας; Οὐ γὰρ οὕτως ἐκείνους οἶμαι τιμωρηθήσεσθαι ὑπὲρ ὧν ἂν πταίσωσι μετὰ ταῦτα, εἰς τὸ κλυδώνιον τοῦτο κατασπασθέντες, ὡς ὑμᾶς τοὺς τὴν ἀνάγκην αὐτοῖς περιστήσαντας ταύτην. Εἰ γὰρ τῷ ἕνα σκανδαλίζοντι συμφέ-*
25 *ρει μετὰ μύλης καταποντισθῆναι εἰς τὴν θάλασσαν, τοῖς τὴν ὠμότητα ταύτην καὶ ἀπήνειαν εἰς τοὺς παῖδας ἐνδεικνυμένοις ποία τιμωρία ἀρκέσει καὶ κόλασις;*

Διὸ παρακαλῶ καθυφεῖναι τῆς φιλονεικίας, καὶ γενέσθαι φιλοσόφων παίδων πατέρας. Οὐδὲ γὰρ ἐκεῖνό ἐστιν

τὴν σκληροτέραν τιμωρίαν. Διότι δὲν θὰ ἠμπορέσετε νὰ ἀπολογηθῆτε οὔτε νὰ εἰπῆτε ὅτι δὲν ὑπῆρχε κανεὶς διὰ νὰ μᾶς τὰ διδάξῃ. Μάλιστα δὲ καὶ πρὸ τῶν ἰδικῶν μας λόγων ἡ δικαιολογία αὐτὴ ἔχει ἀπορριφθῆ, ἐπειδὴ καὶ ἡ φύσις ἔχει ἀκριβὲς κριτήριον τῶν καλῶν καὶ τῶν κακῶν καὶ ἡ φιλοσοφία αὐτὴ εὑρίσκεται παντοῦ καὶ ὅλα τὰ δεινὰ τῆς ζωῆς εἶναι ἱκανὰ νὰ ὁδηγήσουν εἰς τὴν ἔρημον καὶ αὐτοὺς ἀκόμη ποὺ ἀγαποῦν πάρα πολὺ τὴν ζωήν. Καὶ ἐὰν μὲν ἐσιωπούσαμεν, ὅπως εἶπα, πάλιν θὰ ἦτο ἀδύνατος ἡ ἀπολογία, τώρα ὅμως μὲ τοὺς μακροσκελεῖς λόγους καὶ τὴν τόσην προτροπὴν ποὺ ἐξάγεται ἀπὸ τὴν πραγματικότητα, καὶ τὴν σαφεστέραν, τὴν ἐκ τῶν θείων Γραφῶν δηλαδή, εἶναι πολὺ περισσότερον ἀδύνατος. Καὶ ἐὰν μὲν ἦτο δυνατὸν παραμένοντες εἰς τὸ σπίτι νὰ μὴ διαφθαροῦν καθόλου, ἀλλὰ νὰ ἐπιτύχοπν ἔστω καὶ εἰς τὴν τελευταίαν τάξιν τῆς σωτηρίας, οὔτε τότε θὰ ἀπεφεύγομεν τὴν τιμωρίαν, ἀφοῦ θὰ ἠμποδίζαμεν τοὺς ἐπιθυμοῦντας νὰ ζήσουν αὐστηροτέραν ζωήν, καὶ ἐκρατούσαμεν εἰς τὰ κοσμικὰ αὐτοὺς οἱ ὁποῖοι βιάζονται νὰ πετάξουν εἰς τὸν οὐρανόν. Ὅταν ὅμως δὲν εἶναι τοῦτο δυνατόν, ἀλλὰ ἐξάπαντος ὅλοι χάνονται εἰς τὰς πόλεις καὶ ὁ κίνδυνος εἶναι διὰ τὰ ἔσχατα, ποίαν συγγνώμην θὰ λάβωμεν, ποίαν δὲ ἀπολογίαν, ἔχοντες βαρυτέρας εὐθύνας ὄχι μόνον διὰ τὰ ἰδικά μας ἁμαρτήματα ἀλλὰ καὶ διὰ τὰς ἁμαρτίας ποὺ θὰ διαπράξουν τὰ παιδιὰ μετὰ ταῦτα; Διότι δὲν νομίζω ὅτι θὰ τιμωρηθοῦν τόσον πολὺ ἐκεῖνα διὰ τὰ μετὰ ταῦτα ἁμαρτήματά των, ἀφοῦ παρεσύρθησαν εἰς τὴν τρικυμίαν αὐτήν, ὅσον ἐσεῖς ποὺ τοὺς ἐδημιουργήσατε τὴν δύσκολον αὐτὴν κατάστασιν. Καὶ ἐὰν συμφέρῃ εἰς αὐτὸν ποὺ σκανδαλίζει ἕνα ἄνθρωπον νὰ καταποντισθῇ εἰς τὴν θάλασσαν μὲ μυλόπετραν, ποία τιμωρία καὶ κόλασις θὰ εἶναι ἀρκετὴ διὰ τοὺς ἐπιδεικνύοντας αὐτὴν τὴν σκληρότητα καὶ τὴν τραχύτητα εἰς τὰ παιδιά;

Δι' αὐτὸ σᾶς παρακαλῶ νὰ παύσετε τὴν φιλονεικίαν καὶ νὰ γίνετε πατέρες φιλοσόφων παιδιῶν. Διότι δὲν εἶ-

εἰπεῖν, ὅπερ ἀκούω πολλοὺς σκηπτομένους. Τί δὲ τοῦτό ἐστιν; Ἀδυνατοῦντας, φησίν, εἰδότες πρὸς τὸ τέλος ἐλθεῖν, ἐκωλύσαμεν διὰ τοῦτο. Εἰ γὰρ καὶ προῄδεις τοῦτο σαφῶς, καὶ μὴ στοχασμὸς τὸ πρᾶγμα ἦν (πολλοὶ γὰρ καὶ τῶν πεσεῖσθαι προσδοκηθέντων ἔστησαν), πλὴν ἀλλ' εἰ καὶ σφόδρα προῄδεις, οὐδὲ οὕτως αὐτὸν καθέλκειν ἐχρῆν. Οὐδὲ γάρ, εἴ τινας πίπτειν μέλλοντας λαβόντες ὑποσκελίσαιμεν, ἀρκεῖ τοῦτο πρὸς ἀπολογίαν ἡμῖν, ἀλλ' αὐτὸ δὴ τοῦτο καὶ μάλιστά ἐστι τὸ καταδικάζον ἡμᾶς. Διὰ τί γὰρ μὴ συνεχώρησας τῆς ἐκείνου ῥαθυμίας γενέσθαι τὸ πτῶμα, ἀλλὰ προλαβὼν ἥρπασας τὴν ἁμαρτίαν καὶ τὸ πᾶν ἤγαγες ἐπὶ τὴν σὴν κεφαλήν; Μᾶλλον δὲ οὐδὲ συγχωρῆσαι ἐχρῆν· διὰ τί γὰρ μὴ πάντα ἔπραξας ὑπὲρ τοῦ μὴ πεσεῖν τὸν υἱόν; Ὥστε, ἐπειδὴ μάλιστα ᾔδεις ὅτι πεσεῖται, διὰ τοῦτο μάλιστα τιμωρίας ἂν ἧς ἄξιος. Τὸν γὰρ τοῦτο προειδότα οὐχὶ καταβάλλειν, ἀλλὰ χεῖρα ὀρέγειν χρή, καὶ μείζονα ἐνδείκνυσθαι τὴν σπουδὴν ὑπὲρ τοῦ τὸν μέλλοντα πίπτειν στῆναι γενναίως, εἴτ' ἔμελλε στήσεσθαι, εἴτε μή. Τὰ γὰρ ἡμῶν ἅπαντα πληροῦσθαι δεῖ, κἂν ἕτεροι μηδὲν μέλλωσι καρποῦσθαι παρ' ἡμῶν. Τίνος ἕνεκεν, καὶ διὰ τί; Ἵνα μηκέτι πρὸς ἡμᾶς, ἀλλὰ πρὸς ἐκείνους ὁ λόγος ᾖ τῷ Θεῷ. Ὅπερ καὶ αὐτὸς ἔλεγεν ἐγκαλῶν τῷ μηδὲν εἰς τὸ τάλαντον ἐργασαμένῳ· Ἔδει γάρ σε, φησί, καταβαλεῖν τὸ ἀργύριόν μου τοῖς τραπεζίταις· κἀγὼ ἐλθὼν μετὰ τόκου ἂν ἀπῄτησα αὐτό.

Πειθώμεθα τοίνυν τῷ ταῦτα παραινοῦντι, ἵνα καὶ τὴν τιμωρίαν ἐκφύγωμεν. Οὐ γὰρ δὴ καὶ τὸν Θεὸν μετὰ τῶν ἀνθρώπων παραλογίσασθαι δυνάμεθα, τὸν ἐρευνῶντα τὰς καρδίας καὶ πάντα εἰς μέσον ἄγοντα, καὶ πανταχοῦ τῆς τῶν

57. Ματθ. 25, 27.

ναι δυνατὸν νὰ εἰπῆτε αὐτὸ ποὺ ἀκούω ἀπὸ πολλούς, οἱ ὁποῖοι θέλουν νὰ δικαιολογηθοῦν. Ποῖον λοιπὸν εἶναι τοῦτο; Ἐπειδὴ ἐγνωρίζαμεν ὅτι εἶναι ἀδύνατον νὰ φθάσουν εἰς τὸ τέρμα, δι' αὐτὸ τοὺς ἠμποδίσαμεν. Διότι καὶ ἐὰν τὸ προεγνώριζες σαφῶς καὶ δὲν ἦτο εἰκασία αὐτὸ τὸ πρᾶγμα, (διότι πολλοὶ ἀπὸ αὐτοὺς ποὺ ἀνεμένετο νὰ πέσουν ἐστάθησαν ὀρθοί), πλὴν ὅμως, καὶ ἂν ἀκόμη τὸ προεγνώριζες, πάλιν δὲν ἔπρεπε νὰ τὸν ἀποσύρῃς κατ' αὐτὸν τὸν τρόπον. Οὔτε βεβαίως ἐὰν ἐπεδικλώναμεν μερικοὺς ποὺ ἐπρόκειτο νὰ πέσουν, αὐτὸ ἀποτελεῖ ἱκανοποιητικὴν ἀπολογίαν, ἀλλ' αὐτὸ εἶναι κυρίως ποὺ μᾶς καταδικάζει. Διατί δὲν ἄφησες νὰ συντελεσθῇ ἡ πτῶσις ἀπὸ τὴν ἰδικήν του ὀκνηρίαν ἀλλὰ ἐπρόλαβες καὶ ἐφορτώθης τὴν ἁμαρτίαν καὶ ἔστρεψες τὴν τιμωρίαν εἰς τὴν ἰδικήν σου κεφαλήν; Μᾶλλον δὲ οὔτε ἔπρεπε νὰ τὸν ἀφήσῃς νὰ πέσῃ. Διατί δὲν ἔκαμες τὸ πᾶν ὥστε νὰ μὴ πέσῃ ὁ υἱός σου; Ἄρα, ἐπειδὴ πρὸ πάντων ἐγνώριζες ὅτι θὰ πέσῃ, δι' αὐτὸ ἰδιαιτέρως θὰ ἦσο ἄξιος τιμωρίας. Διότι αὐτὸς ποὺ τὸ γνωρίζει ἐκ τῶν προτέρων πρέπει ὄχι νὰ καταρρίπτῃ, ἀλλὰ νὰ ἁπλώνῃ χέρι βοηθείας καὶ νὰ ἐπιδεικνύῃ μεγαλύτερον ζῆλον, διὰ νὰ στηριχθῇ ἀφόβως ὁ μέλλων νὰ πέσῃ, εἴτε ἐπρόκειτο νὰ πέσῃ εἴτε ὄχι. Διότι ἐμεῖς πρέπει νὰ πράξωμεν ἐξ ὁλοκλήρου τὸ καθῆκον μας, καὶ ἂν ἀκόμη οἱ ἄλλοι δὲν πρόκειται νὰ ὠφεληθοῦν ἀπὸ ἐμᾶς. Διὰ ποῖον λόγον ὅμως; Διὰ νὰ μὴ λογοδοτήσωμεν ἡμεῖς ἀπέναντι τοῦ Θεοῦ ἀλλὰ ἐκεῖνοι. Πρᾶγμα τὸ ὁποῖον ἔλεγε καὶ ὁ ἴδιος ὁ Χριστὸς κατηγορῶν αὐτόν, ὁ ὁποῖος δὲν εἰργάσθη διὰ νὰ πολλαπλασιασθῇ τὸ τάλαντον. «Διότι, λέγει, ἔπρεπε νὰ καταθέσῃ τὰ χρήματά του εἰς τὴν τράπεζαν· καὶ ἐρχόμενος ἐγὼ θὰ τὰ ἀπῄτουν μὲ τὸν τόκον»[57].

Ἂς ὑπακούσωμεν λοιπὸν εἰς τὸν συμβουλεύοντα ταῦτα, διὰ ν' ἀποφύγωμεν καὶ τὴν τιμωρίαν. Διότι δὲν ἠμποροῦμεν νὰ ξεγελάσωμεν μαζὶ μὲ τοὺς ἀνθρώπους καὶ τὸν Θεόν, ὁ ὁποῖος ἐρευνᾷ τὰς καρδίας καὶ τὰ φέρει ὅλα εἰς τὸ φῶς, καὶ μᾶς καθιστᾷ εἰς ὅλα ὑπευθύνους διὰ τὴν σωτηρίαν τῶν

παίδων ὑπευθύνους ποιοῦντα σωτηρίας ἡμᾶς. Εἰ γὰρ ὁ μὴ καταβαλὼν τὸ ἀργύριον τοσαύτην ἔδωκε δίκην, ὁ καὶ τοὺς καταβαλεῖν βουλομένους κωλύων, τί πείσεται; Οὐδὲ γὰρ κατακλυσθέντων τῶν παίδων εἰς τὰ τοῦ βίου πράγματα
5 *ἐκ τῆς ἡμετέρας συμβουλίας, ἀλλὰ καὶ γενναίως ἐνεγκάντων τὴν προσβολήν, καὶ τὰ ὄρη καταλαβόντων πάλιν, ἡ αὐτὴ κείσεται κόλασις τοῖς διακωλῦσαι βουληθεῖσιν αὐτούς. Ὥσπερ γὰρ ὁ πρὸς φιλοσοφίαν ἄγων, ἄν τε πείσῃ, ἄν τε μὴ πείσῃ, ἀπηρτισμένον ἔχει τὸν μισθὸν (τὸ γὰρ αὐτοῦ πᾶν ἐ-*
10 *ποίησεν)· οὕτω καὶ ὁ διαφθεῖραι βουληθείς, ἄν τε ἕλῃ, ἄν τε μὴ ἕλῃ, τὴν αὐτὴν ὑποστήσεται δίκην· τὸ γὰρ αὐτοῦ πᾶν καὶ οὗτος ἐπλήρωσεν. Ὥστε κἂν μηδὲν ἰσχύσητε πρὸς τὸ ὑποσκελίσαι καὶ καθελεῖν τὰ γενναῖα τῶν παίδων φρονήματα, τῆς γοῦν ἐπιχειρήσεως μόνης τοσαύτην δώσετε δίκην, ὅσην*
15 *οἱ καθελόντες ἐκεῖθεν αὐτούς.*

Ταῦτ' οὖν ἐννοήσαντες ἅπαντα, καὶ τὰς σκήψεις ἀφέντες πάσας, σπουδάσωμεν γενναίων παίδων γενέσθαι πατέρες, χριστοφόρων οἰκοδόμοι γενέσθαι ναῶν, ἀθλητῶν ἐπουρανίων ἐπιμεληταί, ἀλείφοντες, ὀρθοῦντες, πάντοθεν ἐργάζεσθαι τὴν
20 *ὠφέλειαν αὐτῶν, ἵνα καὶ τῶν στεφάνων αὐτοῖς ἐκεῖ κοινωνήσωμεν. Ἂν δὲ φιλονεικῆτε, οἱ παῖδες μέν, ἂν ὦσι γενναῖοι, καὶ ἀκόντων ὑμῶν ἐπὶ ταύτην ἕξουσι τὴν φιλοσοφίαν, καὶ πάντων ἀπολαύσονται τῶν ἀγαθῶν, ὑμῖν δὲ περιέσται τὸ μυρίαν κόλασιν ἑαυτοῖς συναγαγεῖν, καὶ τότε ἐπαινέσαι τὰ*
25 *παρ' ἡμῶν εἰρημένα, ὅτι τῶν ἐπαίνων ὄφελος ὑμῖν οὐδέν.*

παιδιῶν. Διότι, ἐὰν αὐτὸς ποὺ δὲν ἐπλήρωσε τὸ χρέος του ἐτιμωρήθη τόσον αὐστηρῶς, ὁ ἐμποδίζων αὐτοὺς ποὺ θέλουν νὰ πληρώσουν τί θὰ ὑποστῇ; Διότι καὶ ἂν ἀκόμη δὲν καταστραφοῦν μέσα εἰς τὰς κοσμικὰς φροντίδας τὰ παιδιὰ ἀπὸ τὴν ἰδικήν μας προτροπήν, ἀλλὰ καὶ ὑποστοῦν μὲ γενναιότητα τὴν ἐπίθεσιν καὶ κατοικήσουν πάλιν εἰς τὰ ὄρη, ἡ αὐτὴ τιμωρία ἀναμένει αὐτοὺς ποὺ ἠθέλησαν νὰ τὰ ἐμποδίσουν. Ὅπως ἀκριβῶς δηλαδὴ ὁ ὁδηγῶν πρὸς τὸν τρόπον αὐτὸν ζωῆς, εἴτε κατορθώσῃ νὰ πείσῃ εἴτε ὄχι, λαμβάνει ἀκέραιον τὸν μισθὸν (διότι ἔκαμε τὸ καθῆκον του), ἔτσι καὶ αὐτὸς ποὺ θέλει νὰ καταστρέψῃ, εἴτε τὸ κατορθώσῃ εἴτε ὄχι, θὰ ὑποστῇ τὴν αὐτὴν τιμωρίαν, διότι ἐκ μέρους του ἔκαμε τὸ πᾶν. Ὥστε καὶ ἂν ἀκόμη δὲν κατορθώσετε νὰ ἀνατρέψετε τὰ γενναῖα φρονήματα τῶν παιδιῶν, καὶ μόνον δι' αὐτὴν τὴν ἐνέργειάν σας, θὰ ὑποστῆτε τὴν ἰδίαν τιμωρίαν, ποὺ θὰ ὑποστοῦν καὶ οἱ κρημνίσαντες αὐτὰ ἀπὸ τὸ σημεῖον ἐκεῖνο.

Ἐννοήσαντες λοιπὸν ὅλα αὐτὰ καὶ ἀφήνοντες ὅλας τὰς δικαιολογίας, ἂς φροντίσωμεν νὰ γίνωμεν πατέρες γενναίων παιδιῶν, οἰκοδόμοι χριστοφόρων ναῶν, ἐπιμεληταὶ οὐρανίων ἀθλητῶν, προπονοῦντες, ἀνορθώνοντες, μὲ κάθε τρόπον ἐπιδιώκοντες τὴν ὠφέλειαν αὐτῶν, διὰ νὰ συμμετάσχωμεν καὶ τῶν ἰδικῶν των στεφάνων ἐκεῖ. Ὅταν ὅμως ἀντιδρᾶτε, τὰ παιδιά, ἂν εἶναι γενναῖα καὶ χωρὶς νὰ θέλετε ἐσεῖς ἀκόμη, θὰ καταλήξουν εἰς τὴν μοναχικὴν ζωὴν καὶ θὰ ἀπολαύσουν ὅλα τὰ ἀγαθά, εἰς ἐσᾶς δὲ θὰ ἀπομείνῃ νὰ ἐπισύρετε ἐπάνω σας τὴν ἀτελεύτητον κόλασιν, καὶ νὰ ἐπαινέσετε ὅλα τὰ λεχθέντα ἀπὸ ἐμέ, τότε, ὅταν πλέον οἱ ἔπαινοι δὲν θὰ σᾶς ὠφελήσουν καθόλου.

ΣΥΓΚΡΙΣΙΣ ΒΑΣΙΛΙΚΗΣ ΔΥΝΑΣΤΕΙΑΣ

ΠΡΟΣ ΜΟΝΑΧΟΝ*

1. Ὁρῶν ἐγὼ τοὺς πολλοὺς τῶν ἀνθρώπων τὰ δοκοῦντα εἶναι καλὰ μᾶλλον ἀγαπῶντάς τε καὶ θαυμάζοντας, ἢ τὰ
5 *φύσει χρηστὰ καὶ ὡς ἀληθῶς ἀγαθά, ἀναγκαῖον εἶναι νομίζω περὶ ἑκατέρων βραχεῖς ποιήσασθαι τοὺς λόγους, καὶ παραθεῖναι νῦν ἀλλήλοις τά τε κατερραθυμημένα παρὰ πολλοῖς, τά τε πολλῆς τυγχάνοντα σπουδῆς, ἵνα μαθόντες τὸ διάφορον ἑκατέρων, τὰ μὲν ὡς ἄξια σπουδῆς καὶ σωτηρίας*
10 *περὶ πολλοῦ ποιησώμεθα, τῶν δὲ καταφρονεῖν παιδευθῶμεν ὡς οὐδενὸς ἀξίων.*

Οὐκοῦν ἀγαπᾶται μὲν πλοῦτος καὶ δυναστεία καὶ ἀρχὴ καὶ δόξα, καὶ μακαρίζουσιν οἱ πολλοὶ τοὺς τῶν ἐθνῶν ἄρχοντας φερομένους ἐπὶ λαμπρῶν ὀχημάτων καὶ κηρύκων βο-
15 *ῇς καὶ ἀπολαύοντας καὶ δορυφορίας πολλῆς, καταπεφρόνηται δὲ τῶν φιλοσοφούντων ὁ βίος, καὶ τῶν τὴν μονήρη δίαιταν ᾑρημένων· κἀκεῖνοι μὲν φανέντες, πρὸς ἑαυτοὺς ἐπιστρέφουσι τὸν δῆμον, οὗτοι δὲ φανέντες οὐδενὸς ὀφθαλμούς, ἢ κομιδῇ γε ὀλίγων, πρὸς ἑαυτοὺς ἕλκουσι. Καὶ τούτων μὲν*
20 *οὐδεὶς ἂν ἐπιθυμήσειε γενέσθαι ὅμοιος, ἐκείνων δὲ ἅπαντες· καίτοι γε δυναστείαν μὲν κτήσασθαι καὶ ἀρχὴν ἔθνους λαβεῖν χαλεπόν τε καὶ τοῖς πολλοῖς ἀδύνατον, καὶ πολλῶν ἂν δεηθεῖεν χρημάτων οἱ τῆς ἀρχῆς ἐρασταί· τὸ δὲ μονήρη βίον ἑλέσθαι καὶ τῇ τοῦ Θεοῦ λατρείᾳ συζῆν πᾶσιν ὁμοίως εὔπο-*
25 *ρόν τε καὶ ῥᾴδιον. Καὶ τῆς μὲν ἀρχῆς ἡ κτῆσις τῷ βίῳ τούτῳ συνδιαφθείρεται, μᾶλλον δὲ καὶ ζῶντας ἀπολιμπάνει τοὺς ἑαυτῆς ἐραστάς, ἤδη δέ τινας καὶ εἰς κίνδυνον μέγαν ἢ ἀδοξίαν κατέστησεν· ὁ δὲ μονήρης βίος νῦν τε πολλῶν*

* Πλήρης τίτλος εἰς τὴν χειρόγραφον παράδοσιν: «Σύγκρισις βασιλικῆς δυναστείας καὶ πλούτου καὶ ὑπεροχῆς πρὸς μοναχὸν συζῶντα τῇ ἀληθείᾳ καὶ κατὰ Χριστὸν φιλοσοφίᾳ».

ΣΥΓΚΡΙΣΙΣ ΒΑΣΙΛΙΚΗΣ ΔΥΝΑΣΤΕΙΑΣ

ΠΡΟΣ ΜΟΝΑΧΟΝ

1. Ἐπειδὴ βλέπω ὅτι πολλοὶ ἀπὸ τοὺς ἀνθρώπους ἀγαποῦν καὶ θαυμάζουν περισσότερον αὐτὰ ποὺ φαίνονται καλὰ παρὰ αὐτὰ τὰ ὁποῖα εἶναι ἀπὸ τὴν φύσιν των καλὰ καὶ ἀληθινὰ ἀγαθά, θεωρῶ ἀναγκαῖον νὰ ὁμιλήσω συντόμως περὶ τῶν δύο καὶ νὰ ἀντιπαραβάλω καὶ αὐτὰ τὰ ὁποῖα ἔχουν παραμεληθῆ ἀπὸ τοὺς πολλοὺς καὶ αὐτὰ τὰ ὁποῖα τυγχάνουν ἰδιαιτέρας φροντίδος, ὥστε ἀφοῦ ἔτσι μάθωμεν τὴν μεταξύ των διαφοράν, τὰ μὲν πρῶτα νὰ ἐκτιμήσωμεν ὡς ἄξια ζήλου καὶ σωτηριώδη, τὰ δὲ δεύτερα νὰ μάθωμεν νὰ περιφρονῶμεν ὡς μηδαμινά.

Πράγματι μὲν ὁ πλοῦτος καὶ ἡ βασιλεία καὶ ἡ ἐξουσία καὶ ἡ δόξα εἶναι ἀγαπητά, καὶ οἱ περισσότεροι καλοτυχίζουν τοὺς ἄρχοντας τῶν κρατῶν ποὺ μετακινοῦνται μὲ πολυτελῆ ὀχήματα καὶ ἀπολαμβάνουν τὸν θόρυβον τῶν ἀγγελιοφόρων καὶ τὴν πολυάνθρωπον σωματοφυλακήν, ἐνῷ ἡ ζωὴ τῶν φιλοσόφων καὶ τῶν ἀκολουθούντων τὸν μοναχικὸν βίον περιφρονεῖται. Καὶ ἐκεῖνοι μέν, ὅταν ἐμφανισθοῦν, ἀποσποῦν τὴν προσοχὴν τοῦ λαοῦ, αὐτοὶ δέ, ὅταν ἐμφανισθοῦν, δὲν ἑλκύουν τὴν προσοχὴν κανενός, ἢ ἐλαχίστων. Καὶ κανεὶς μὲν δὲν θὰ ἐπιθυμοῦσε νὰ γίνῃ ὅμοιος μὲ αὐτούς, ἐνῷ μὲ ἐκείνους ὅλοι· ἂν καὶ βεβαίως τὸ νὰ ἀποκτήσῃ κανεὶς ἐξουσίαν καὶ νὰ ἀναλάβῃ τὴν ἀρχηγίαν τοῦ ἔθνους, εἶναι δύσκολον καὶ εἰς τοὺς πολλοὺς ἀδύνατον, καὶ θὰ ἐχρειάζοντο πολλὰ χρήματα οἱ ἐπιθυμοῦντες τὴν ἐξουσίαν· ἡ δὲ προτίμησις τῆς μοναχικῆς ζωῆς καὶ ἡ συμβίωσις μὲ τὴν λατρείαν τοῦ Θεοῦ εἶναι ἐξ ἴσου εὔκολος εἰς ὅλους. Καὶ ἡ μὲν ἀπόκτησις τῆς ἐξουσίας φθείρεται εἰς τὴν ζωὴν αὐτὴν μᾶλλον δὲ καὶ ζῶντας ἐγκαταλείπει τοὺς ἐραστάς της, ἤδη δὲ ἔχει ὁδηγήσει καὶ μερικοὺς εἰς μεγάλον κίνδυνον ἢ ἐξευτελισμόν· ἡ δὲ μοναχικὴ ζωὴ καὶ τώρα χορη-

ἀγαθῶν ἀναπίμπλησι τοὺς δικαίους, καὶ μετὰ τὴν τοῦ βίου τελευτὴν λαμπροὺς καὶ χαίροντας ἐπὶ τὸ δικαστήριον ἄγει τοῦ Θεοῦ καὶ Πατρός, ὅτε τῶν ἀρξάντων οἱ πλείους μεγάλην ὀφθήσονται διδόντες τῶν βεβιωμένων τὴν δίκην.

5 Φέρε δὴ παραθέντες ἀλλήλοις τά τε τῆς φιλοσοφίας ἀγαθά, τά τε δοκοῦντα εἶναι χρηστὰ τῆς ἐν τῷ παρόντι βίῳ δυναστείας καὶ δόξης, καταμάθωμεν τὸ διάφορον ἑκατέρων τῶν ἀγαθῶν· παράλληλα γὰρ ἔσται φανερώτερα· μᾶλλον δέ, εἰ δοκεῖ, τὴν κορυφὴν τῶν ἀγαθῶν, τὴν βασιλείαν λέγω, 10 τῇ φιλοσοφίᾳ παραθέντες, θεωρήσωμεν ἑκατέρας κτήσεως τοὺς καρπούς, καταμαθόντες ἀκριβῶς τίνων μὲν ὁ βασιλεύς, τίνων δὲ ὁ φιλόσοφος ἄρχει.

Οὐκοῦν ὁ μὲν βασιλεὺς πόλεσι καὶ χώραις καὶ πολλοῖς ἐφέστηκεν ἔθνεσι, καὶ στρατηγοὺς καὶ ὑπάρχους καὶ 15 στρατόπεδα καὶ δήμους καὶ βουλὰς τοῖς ἑαυτοῦ νεύμασιν ἄγων· ὁ δὲ Θεῷ δεδωκὼς ἑαυτόν, καὶ τὸν μονήρη βίον ᾑρημένος, θυμοῦ καὶ φθόνου καὶ φιλαργυρίας καὶ ἡδονῆς καὶ τῶν ἄλλων ἄρχει κακῶν, σκοπῶν ἀεὶ καὶ φροντίζων, ὅπως ἂν μὴ συγχωρήσειε τῇ ψυχῇ ὑπὸ τοῖς αἰσχροῖς γενέσθαι 20 πάθεσι, μηδὲ δουλωθῆναι τὸν λογισμὸν τυραννίδι πικρᾷ, ἀλλ' ἀνωτέρω πάντων ἀεὶ τὴν διάνοιαν ἔχοι, τὸν τοῦ Θεοῦ φόβον ἐπιστήσας τοῖς πάθεσι. Τοιαύτην μὲν οὖν ὁ βασιλεύς, τοιαύτην δὲ ὁ μοναχὸς ἀρχὴν καὶ δυναστείαν κέκτηται, ὥστε δικαιότεραν ἄν τις τοῦτον βασιλέα καλέσειεν, ἢ τὸν ἁλουρ-25 γίδι καὶ στεφάνῳ λαμπόμενον, καὶ καθήμενον ἐπὶ θρόνου χρυσοῦ.

2. Βασιλεὺς γὰρ ὡς ἀληθῶς ὁ θυμοῦ καὶ φθόνου καὶ ἡδονῆς κρατῶν, καὶ πάντα ὑπὸ τοὺς νόμους ἄγων τοῦ Θεοῦ καὶ τὸν νοῦν ἐλεύθερον τηρῶν, καὶ οὐκ ἐῶν ἐνδυναστεῦσαι

γεῖ εἰς τοὺς δικαίους ἄφθονα ἀγαθὰ καὶ μετὰ τὸ τέλος τῆς ζωῆς τοὺς ὁδηγεῖ ἐνδόξους καὶ χαίροντας εἰς τὸ δικαστήριον τοῦ Θεοῦ καὶ Πατρός, ὁπότε οἱ περισσότεροι ἐξ αὐτῶν ποὺ διετέλεσαν ἄρχοντες θὰ ὑποστοῦν μεγάλην τιμωρίαν δι' ὅσα ἔχουν πράξει.

Ἐλθὲ λοιπὸν νὰ συγκρίνωμεν τὰ ἀγαθὰ τῆς φιλοσοφίας πρὸς αὐτὰ ποὺ φαίνονται εἰς τὸν κόσμον ἀγαθά, δηλαδὴ τὴν ἐξουσίαν καὶ τὴν δόξαν, καὶ νὰ μάθωμεν καλὰ τὴν μεταξὺ τῶν ἀγαθῶν αὐτῶν διαφοράν, διότι μὲ αὐτὸν τὸν παραλληλισμὸν θὰ φανῇ καλύτερα ἡ διαφορά των. Ἢ καλύτερα ἂν τὸ θεωρῇς προτιμότερον, ἀφοῦ βάλωμεν τὴν βασιλείαν, ἡ ὁποία εἶναι τὸ ἀποκορύφωμα τῶν ἀγαθῶν, δίπλα εἰς τὴν φιλοσοφίαν αὐτὴν τοῦ μοναχικοῦ βίου, ἂς ἐξετάσωμεν τοὺς καρποὺς τοῦ καθενὸς ἀπὸ τὰ ἀποκτήματα αὐτά, διὰ νὰ μάθωμεν ἔτσι ἐπακριβῶς εἰς ποίους ἀσκεῖ τὴν ἐξουσίαν ὁ βασιλεὺς καὶ εἰς ποίους ὁ φιλόσοφος μοναχός.

Ὁ βασιλεὺς λοιπὸν κυβερνᾷ πόλεις καὶ χώρας καὶ πολλὰ ἔθνη, ἔχων ὑπὸ τὰς διαταγάς του στρατηγοὺς καὶ ὑπάρχους καὶ στρατεύματα καὶ λαοὺς καὶ συμβούλια, αὐτὸς δὲ ποὺ ἀφιέρωσε τὸν ἑαυτόν του εἰς τὸν Θεὸν καὶ ἠκολούθησε τὴν μοναχικὴν ζωὴν κυριαρχεῖ ἐπὶ τοῦ θυμοῦ καὶ τοῦ φθόνου καὶ τῆς φιλαργυρίας καὶ τῶν ἄλλων παθῶν, σκεπτόμενος πάντοτε καὶ φροντίζων νὰ μὴ ἐπιτρέψῃ νὰ κυριευθῇ ἡ ψυχή του ἀπὸ τὰ αἰσχρὰ πάθη, οὔτε νὰ ὑποδουλωθῇ ὁ νοῦς εἰς σκληρὰν τυραννίαν, ἀλλὰ νὰ κρατῇ πάντοτε τὴν σκέψιν του ἐπάνω ἀπὸ ὅλα, ἀφοῦ θέσῃ ἐπιστάτην εἰς τὰ πάθη του τὸν φόβον τοῦ Θεοῦ. Τοιαύτην λοιπὸν ἐξουσίαν καὶ κυριαρχίαν ἔχει ὁ βασιλεύς, τοιαύτην δὲ ὁ μοναχός, ὥστε ὀρθότερον θὰ ἠδύνατο κανεὶς νὰ ὀνομάσῃ αὐτὸν βασιλέα, παρὰ τὸν λαμπρυνόμενον μὲ βασιλικὸν ἔνδυμα καὶ στέφανον καὶ καθήμενον ἐπὶ χρυσοῦ θρόνου.

2. Διότι εἰς τὴν πραγματικότητα βασιλεὺς εἶναι ὁ χαλιναγωγῶν τὸν θυμὸν καὶ τὸν φθόνον καὶ τὰς ἡδονὰς καὶ κυβερνῶν τὰ πάντα συμφώνως πρὸς τοὺς νόμους τοῦ Θεοῦ καὶ δια-

τῇ ψυχῇ τὴν δεσποτείαν τῶν ἡδονῶν. Τὸν τοιοῦτον ἡδέως ἂν εἶδον καὶ δήμων καὶ γῆς καὶ θαλάσσης ἄρχοντα, καὶ πόλεων καὶ δήμων καὶ στρατοπέδων. Ὁ γὰρ τοῖς πάθεσι τῆς ψυχῆς τὸν λογισμὸν ἐπιστήσας, ῥαδίως ἂν ἐπισταίη καὶ ἀν-
5 *θρώποις μετὰ τῶν θείων νόμων, ὥστε αὐτὸν ἐν πατρὸς τάξει τοῖς ἀρχομένοις εἶναι, μετὰ πάσης ἡμερότητος ὁμιλοῦντα ταῖς πόλεσιν. Ὁ δὲ ἀνθρώπων μὲν ἄρχειν δοκῶν, θυμῷ δὲ καὶ φιλαρχίᾳ καὶ ἡδοναῖς δουλεύων, πρῶτον μὲν καταγέλαστος εἶναι δόξειεν ἂν τοῖς ἀρχομένοις, ὅτι στέφα-*
10 *νον μὲν φορεῖ λιθοκόλλητον καὶ χρυσοῦν, σωφροσύνῃ δὲ οὐκ ἐστεφάνωται, καὶ ἁλουργίδι μὲν ὅλον τὸ σῶμα λάμπεται, τὴν δὲ ψυχὴν ἀκόσμητον ἔχει. Ἔπειτα δὲ οὐδὲ ὅπως μεταχειρίσαιτο τὴν ἀρχὴν ἐπιστήσεται· ὁ γὰρ ἑαυτοῦ μὴ δυνηθεὶς ἄρχειν, πῶς ἂν ἑτέρους δυνηθείη κατευθύνειν τοῖς*
15 *νόμοις;*

Εἰ δὲ βούλει καὶ τὸν πόλεμον ἑκατέρων ἰδεῖν, εὑρήσεις τὸν μὲν δαίμοσι μαχόμενον καὶ κρατοῦντα καὶ νικῶντα καὶ ὑπὸ τοῦ Χριστοῦ στεφανούμενον· μετὰ γὰρ τῆς θείας ῥοπῆς ἐπὶ τὸν πόλεμον ἔρχεται, οὐρανίοις πεφραγμένος ὅπλοις, ὥστε
20 *ἀνάγκη τούτου γενέσθαι τὸ κράτος· τὸν δὲ βασιλέα βαρβάροις μαχόμενον. Ὅσῳ δὲ τῶν ἀνθρώπων οἱ δαίμονες φοβερώτεροι, τοσούτῳ λαμπρότερος ὁ τούτων κρατῶν τοῦ νικῶντος ἐκείνους. Εἰ δὲ καὶ τὴν αἰτίαν ἑκατέρου πολέμου καταμαθεῖν βουληθείης, πολὺ τὸ οὐκ ἴσον εὑρήσεις. Ὁ μὲν*
25 *γὰρ ὑπὲρ εὐσεβείας καὶ τῆς τοῦ Θεοῦ λατρείας πολεμεῖ τοῖς δαίμοσιν, ἢ πόλεις ἢ κώμας ἐκ τῆς πλάνης ἐξαρπάσαι ποθῶν· ὁ δὲ μάχεται βαρβάροις ὑπὲρ τόπων ἢ ὅρων ἢ χρημάτων ἁρπασθέντων, ἢ πλεονεξίας καὶ ἔρωτος ἀρχῆς ἀδίκου παρακαλούσης ἐπὶ τὴν μάχην· ἔνθα δὲ πολλοὶ πολλάκις βα-*

τηρῶν ἐλεύθερον τὸν νοῦν καὶ μὴ ἐπιτρέπων νὰ κυριαρχήσῃ εἰς τὴν ψυχήν του ἡ τυραννία τῶν ἡδονῶν. Αὐτὸν εὐχαρίστως θὰ τὸν ἔβλεπα ἄρχοντα καὶ τῶν λαῶν καὶ τῆς γῆς καὶ τῆς θαλάσσης καὶ τῶν πόλεων καὶ τῶν λαῶν καὶ τῶν στρατευμάτων. Διότι αὐτὸς ὁ ὁποῖος ἐπιστατεῖ μὲ τὴν λογικήν του τὰ πάθη τῆς ψυχῆς, εὔκολα θὰ ἐπιστατήσῃ καὶ ἐπὶ τῶν ἀνθρώπων μὲ τοὺς θείους νόμους, ὥστε νὰ ἔχῃ θέσιν πατρὸς εἰς τοὺς ὑπηκόους, συμπεριφερόμενος πρὸς τὰς πόλεις μὲ ὅλην τὴν ἡμερότητα. Αὐτὸς δὲ ὁ ὁποῖος νομίζει ὅτι ἐξουσιάζει τοὺς ἀνθρώπους, ἐνῷ εἶναι δοῦλος τοῦ θυμοῦ καὶ τῆς φιλαρχίας καὶ τῶν ἡδονῶν, πρῶτον μὲν θὰ ἐφαίνετο εἰς τοὺς ὑπηκόους του ἄξιος γέλωτος, διότι φορεῖ μὲν στέφανον χρυσὸν μὲ πολυτίμους λίθους στολισμένον, στερεῖται δὲ τῆς σωφροσύνης, καὶ λαμπρύνεται μὲν ὁλόκληρον τὸ σῶμά του μὲ τὸ βασιλικὸν ἔνδυμα, ἔχει ὅμως ἀστόλιστον τὴν ψυχήν. Ἐπὶ πλέον ὅμως δὲν θὰ γνωρίζῃ νὰ χειρίζεται τὴν ἐξουσίαν· διότι ὁ μὴ δυνηθεὶς νὰ διοικήσῃ τὸν ἑαυτόν του, πῶς θὰ ἠδύνατο νὰ διοικῇ τοὺς ἄλλους σύμφωνα μὲ τοὺς νόμους;

Ἐὰν δὲ θέλῃς νὰ ἐξετάσῃς καὶ τὸν ἀπὸ τὰς δύο πλευρὰς πόλεμον, θὰ εὕρῃς ὅτι ὁ μὲν μοναχὸς μάχεται πρὸς δαίμονας καὶ ὑπερισχύει καὶ νικᾷ καὶ στεφανώνεται ὑπὸ τοῦ Χριστοῦ, διότι βαδίζει πρὸς τὸν πόλεμον μὲ θείαν ἐπενέργειαν, ὡπλισμένος μὲ οὐράνια ὅπλα, ὥστε εὔλογον εἶναι νὰ νικήσῃ αὐτός, ἐνῷ ὁ βασιλεὺς μάχεται πρὸς βαρβάρους. Ὅσον δὲ φοβερώτεροι εἶναι οἱ δαίμονες ἀπὸ τοὺς ἀνθρώπους, τόσον ἐνδοξότερος εἶναι αὐτὸς ποὺ νικᾷ αὐτοὺς ἀπὸ τὸν νικῶντα τοὺς βαρβάρους. Ἐὰν δὲ ἐπιθυμῇς νὰ μάθῃς καλὰ τὴν αἰτίαν τοῦ καθενὸς πολέμου, θὰ εὕρῃς μεγάλην διαφοράν. Διότι ὁ ἕνας μὲν πολεμεῖ τοὺς δαίμονας χάριν τῆς εὐσεβείας καὶ τῆς λατρείας τοῦ Θεοῦ, ποθῶν νὰ ἐλευθερώσῃ ἀπὸ τὴν πλάνην πόλεις καὶ χωρία, ὁ δὲ ἄλλος μάχεται πρὸς τοὺς βαρβάρους ὑπὲρ ἐδαφῶν ἢ συνόρων ἢ χρημάτων ἁρπαγέντων ἢ ἕνεκα πλεονεξίας καὶ πόθου δι' ἄδικον ἐξουσίαν, ἡ ὁποία ὠθεῖ εἰς μάχην ὅπου πολλάκις πολλοὶ βασιλεῖς, ἐπιθυμήσαντες τὰ πε-

σιλεῖς, τῶν μειζόνων ἐπιθυμήσαντες, καὶ τὰ παρόντα προσαπώλεσαν. Ἡ μὲν οὖν ἀρχὴ καὶ οἱ πόλεμοι τοσοῦτον ἀλλήλων διαφέροντας ἔδειξαν τόν τε βασιλέα, καὶ τὸν ἐσπουδακότα τῇ τοῦ Θεοῦ λατρείᾳ συζῆν· γνοίη δ' ἄν τις αὐτοὺς ἀκριβῶς,
5 *τὸν βίον ἑκατέρου καὶ τὰς πράξεις τὰς παρ' ἡμέραν σκοπῶν. Εὕροι γὰρ ἂν ὡς ἀληθῶς τὸν μὲν ὁμιλοῦντα προφήταις, καὶ τῇ τοῦ Παύλου σοφίᾳ τὴν ψυχὴν καλλωπίζοντα, καὶ μεταπηδῶντα συνεχῶς ἀπὸ μὲν Μωσέως πρὸς Ἠσαΐαν, ἀπὸ δὲ τούτου πρὸς Ἰωάννην, ἀπὸ δὲ τούτου πρὸς ἕτερον,*
10 *τὸν βασιλέα δὲ συνεχῶς ὁμιλοῦντα ταξιάρχοις καὶ ὑπάρχοις καὶ δορυφόροις· οἷς δέ τις ὁμιλεῖ συνεχῶς, τούτοις ἀφομοιοῦται τὸ ἦθος. Οὐκοῦν ὁ μὲν μονάζων πρὸς τὰ τῶν ἀποστόλων καὶ προφητῶν ἤθη ἐκτυποῦται τὴν γνώμην, ὁ δὲ βασιλεὺς πρὸς τὰ τῶν στρατηγῶν καὶ δορυφόρων καὶ ὑπα-*
15 *σπιστῶν, ἀνθρώπων οἴνῳ δουλευόντων καὶ ἡδοναῖς χαριζομένων, καὶ τὸ πλέον τῆς ἡμέρας διατριβόντων ἐν πότῳ, οὐδὲν καίριον ἢ καλὸν διὰ τὸ οἶνον ἐπισταμένων. Οὕτως ἄρα καὶ διὰ τοῦτο τὸν μονήρη βίον προσήκει μακαρίζειν μᾶλλον ἢ τὸν ἐν δυναστείᾳ καὶ βασιλείᾳ καὶ σκήπτροις.*

20 *3. Εἰ δὲ καὶ τῆς νυκτὸς τὸν χρόνον ἐξετάζειν βουληθείημεν, τὸν μοναχὸν μὲν ὀψόμεθα τῇ τοῦ Θεοῦ λατρείᾳ καὶ ταῖς εὐχαῖς κοσμούμενον, πολὺ πρότερον ᾄδοντα τῶν ὀρνίθων, ἀγγέλοις συμβιοτεύοντα, Θεῷ συλλαλοῦντα, τῶν οὐρανίων ἀγαθῶν ἀπολαύοντα· τὸν δὲ πολλοῖς ἔθνεσιν ἐφε-*
25 *στηκότα καὶ δήμοις καὶ στρατοπέδοις, καὶ πολλῆς μὲν γῆς, πολλῆς δὲ ἄρχοντα θαλάττης, ἐπὶ τῆς κλίνης ἀνατεταμένον καὶ ῥέγχοντα. Καὶ ἐκεῖνος μὲν γὰρ τοσούτοις τρέφεται σιτίοις ὅσα οὐκ ἂν ἀπαιτήσειε τὸν μοναχὸν ὕπνον βαθύν· τὸν δὲ ἡ τρυφὴ κατακοιμίζει καὶ ὁ πότος μέχρις ἡμέρας αὐτῆς*
30 *ἐν τῇ κλίνῃ κατέχων. Ἔστι τοίνυν τῷ μὲν μοναχῷ καὶ*

8. Καὶ ἴσως τώρα φαίνεται εἰς πολλοὺς ἀσαφὲς τὸ λεχθέν, ὅταν δὲ τὸ κάμω σαφέστερον, τότε πάλιν θὰ φανῇ ἀπίστευτον εἰς ὅσους καὶ προηγουμένως ἦτο ἀσαφές. Καὶ δὲν εἶναι τοῦτο καθόλου περίεργον. Διότι καὶ ὁ μακάριος ἐκεῖνος, ἐπειδὴ ἐπερίμενεν ὅτι δὲν θὰ γίνῃ πιστευτὸς δι' αὐτά, ἐπρόλαβε καὶ εἶπεν· «ἀλήθειαν λέγω ἐν Χριστῷ, δὲν ψεύδομαι, καθὼς τὸ ἐπιβεβαιώνει ἡ συνείδησίς μου ἐν Πνεύματι ἁγίῳ»[28]. Καὶ ὅμως ἂν καὶ προσέθεσε τόσα εἰς τοὺς λόγους του καὶ ἐκάλεσε τέτοιους μάρτυρας τῆς συνεδήσεώς του καὶ τώρα ἀκόμη δὲν γίνεται πιστευτός.

Τί εἶναι λοιπὸν αὐτὸ ποὺ λέγει; ἄκουε. Ἀφοῦ ὡμίλησε διὰ τὰ ἐν τῷ κόσμῳ δεινὰ καὶ εἶπε, «τίς ἡμᾶς χωρήσει ἀπὸ τῆς ἀγάπης τοῦ Χριστοῦ; θλῖψις ἢ στενοχωρία ἢ διωγμὸς ἢ λιμὸς ἢ γυμνότης ἢ κίνδυνος ἢ μάχαιρα;»[29], καὶ ἀφοῦ ἀνεφέρθη εἰς ὅλα τὰ γήϊνα, ἀνῆλθεν εἰς τὸν οὐρανόν, θέλων νὰ δείξῃ, ὅτι δὲν εἶναι καὶ τόσον μεγάλον πρᾶγμα τὸ νὰ καταφρονῇ κανεὶς τὰ ἐνταῦθα δεινὰ διὰ τὸν Χριστόν, προσέθεσεν, ὅτι «οὔτε ἄγγελοι οὔτε ἀρχαὶ οὔτε δυνάμεις οὔτε παρόντα οὔτε μέλλοντα οὔτε ὕψωμα οὔτε βάθος οὔτε καμμιὰ ἄλλη κτίσις θὰ δυνηθῇ νὰ μᾶς χωρίσῃ ἀπὸ τὴν ἀγάπην τοῦ Θεοῦ, τὴν ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν»[30].

Αὐτὸ δὲ ποὺ λέγει, σημαίνει τοῦτο. Ὄχι μόνον ἄνθρωποι δὲν θὰ δυνηθοῦν νὰ μὲ χωρίσουν ἀπὸ αὐτὴν τὴν ἀγάπην, ἀλλ' οὔτε οἱ ἄγγελοι οὔτε αἱ οὐράνιαι δυνάμεις ἂν συνηθροίζοντο ὅλαι μαζὶ θὰ κατορθώσουν τοῦτο. Τί λέγω; Οὔτε καὶ ἂν χρειασθῇ νὰ στερηθῶ τῆς βασιλείας τῶν

30. Ρωμ. 8, 38-39.

δέῃ, οὐδ' ἂν εἰς γέενναν ἐμπεσεῖν διὰ τὸν Χριστόν, οὐδὲ τοῦτό μοι φοβερόν. Τὸ γὰρ ὕψωμα καὶ βάθος, καὶ ζωὴ καὶ θάνατος, οὐδὲν ἕτερον ἢ τοῦτο ἐμφαίνει. Ταῦτα δὲ ἔλεγεν, οὐχ ὡς ἀγγέλων ἐπιχειρησόντων αὐτὸν διαστῆσαι τοῦ Χρι-
5 *στοῦ, ἀλλὰ καὶ τὰ μηδόλως ἐκβησόμενά ποτε ὑποτίθεται τῷ λόγῳ, ἵνα δυνηθῇ τὸν πολὺν πόθον, ὃν εἶχε, παραστῆσαι καὶ ποιῆσαι κατάδηλον ἅπασι. Τοιοῦτον γὰρ τὸ τῶν φιλούντων ἔθος ἐστίν· οὐ στέγουσι σιγῇ κατέχειν τὸν ἔρωτα, ἀλλ' εἰς τοὺς ἐπιτηδείους ἅπαντας τὴν φλόγα ἐκφέρουσι, τῷ συνεχῶς*
10 *διηγεῖσθαι τοῦ πόθου τὴν ὑπερβολὴν διαναπαύοντες αὐτῶν τὴν ψυχήν. Ὅπερ οὖν καὶ ὁ μακάριος ἐκεῖνος τότε ἐποίησε, καὶ πάντα τῷ λόγῳ περιλαβών, τὰ ὄντα τὰ ἐσόμενα, τὰ συμβάντα, τὰ μηδέποτε συμβησόμενα, τὰ ὁρατὰ καὶ τὰ ἀόρατα, καὶ πᾶσαν κόλασιν καὶ πᾶσαν ἀνάπαυσιν, ὥσπερ οὐκ ἀρκούν-*
15 *των τούτων αὐτῷ πρὸς τὴν τοῦ πάθους παράστασιν, ἕτερα τοσαῦτα πάλιν οὐχ ὑφεστῶτα ὑποστησάμενος τῷ λόγῳ· οὕτως ἐπήγαγε, δηλῶν ὅτι πάντων τῶν εἰρημένων οὐδὲν ἡμᾶς χωρίσαι δυνήσεται τῆς ἀγάπης τοῦ Θεοῦ τῆς ἐν Χριστῷ Ιησοῦ τῷ Κυρίῳ ἡμῶν.*

20 *Καὶ ἐκεῖνος μὲν πρὸς τοσοῦτον ὕψος τὸν ἑαυτοῦ πόθον ἀνῆψεν· ἡμεῖς δὲ οἱ κελευσθέντες εἶναι αὐτοῦ μιμηταί, οὐδὲ τὰς ἐνθάδε θλίψεις φέρομεν εὐχερῶς, ἀλλὰ ἀλύομεν καὶ δυσανασχετοῦμεν τῶν πυρεττόντων οὐκ ἔλαττον. Ἡ γὰρ μακρὰ αὕτη νόσος, ἡ καταλαβοῦσα τὰς ἡμετέρας ψυχάς, ἀνία-*
25 *τος τῷ χρόνῳ γέγονεν, ὡς εἰπεῖν, καὶ τῆς εἰλικρινοῦς ὑγείας οὐδὲ ἔννοιαν δυνάμεθα λαβεῖν, ἀλλὰ καὶ ἀδύνατος εἶναι δοκεῖ ἡμῖν λοιπὸν ἡ ταύτης ἀνάκτησις. Κἂν ἀκούσωμέν τινος τοὺς ἀποστόλους εἰς μέσον ἄγοντος, καὶ τὰ ἐκείνων*

οὐρανῶν καὶ νὰ πέσω εἰς τὴν γέενναν τοῦ πυρὸς διὰ τὸν Χριστόν, οὔτε καὶ αὐτὸ μοῦ εἶναι φοβερόν. Διότι αἱ λέξεις ὕψωμα καὶ βάθος καὶ ζωὴ καὶ θάνατος τίποτε ἄλλο δὲν δηλώνουν παρὰ τοῦτο μόνον. Τὰ ἔλεγε δὲ αὐτὰ ὄχι διότι θὰ ἐπεχείρουν ποτὲ οἱ ἄγγελοι νὰ τὸν χωρίσουν ἀπὸ τὸν Χριστόν, διότι διὰ τῶν λόγων ὑποθέτει καὶ ἐκεῖνα ποὺ ποτὲ δὲν θὰ συνέβαινον, διὰ νὰ παραστήσῃ καὶ κάμῃ ὁλοφάνερον εἰς ὅλους τὸν μεγάλον πόθον ποὺ εἶχε διὰ τὸν Χριστόν. Διότι τέτοια εἶναι ἡ συνήθεια ἐκείνων ποὺ ἀγαποῦν. Δὲν ἀνέχονται νὰ κρατοῦν τὴν ἀγάπην των, ἀλλὰ φανερώνουν τὴν φλόγα εἰς ὅλους τοὺς φίλους των καὶ μὲ τὸ νὰ διηγοῦνται συνεχῶς τὴν ὑπερβολὴν τοῦ πόθου των, ἀναπαύουν τὴν ψυχήν των. Αὐτὸ ἔκαμε τότε καὶ ὁ μακάριος ἐκεῖνος. Ἀφοῦ συμπεριέλαβεν ὅλα εἰς τὸν λόγον του, τὰ παρόντα, τὰ μέλλοντα, ὅσα συνέβησαν, ὅσα δὲν θὰ συμβοῦν ποτέ, τὰ ὁρατὰ καὶ τὰ ἀόρατα, κάθε κόλασιν καὶ κάθε ἀνάπαυσιν, ὡς νὰ μὴ τοῦ ἦσαν ἀρκετὰ ὅλα αὐτὰ διὰ νὰ παραστήσῃ τὸ πάθος τῆς ἀγάπης του καὶ ἀφοῦ διὰ τοῦ λόγου ἔδωσεν ὕπαρξιν εἰς τόσα ἄλλα ποὺ δὲν ὑπάρχουν καὶ τὰ συμπεριέλαβε, τότε ἔταξε καὶ τοῦτο, δηλώνων ὅτι ἐξ ὅλων τῶν ἀνωτέρω τίποτε δὲν θὰ ἠμπορέσῃ νὰ μᾶς χωρίσῃ ἀπὸ τὴν ἀγάπην τοῦ Θεοῦ τὴν ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν.

Καὶ ἐκεῖνος μὲν εἰς τόσον ὕψος ἤναψε τὸν πόθον του. Ἡμεῖς δὲ οἱ προσταχθέντες νὰ εἴμεθα μιμηταί του, οὔτε τὰς παρούσας θλίψεις ὑποφέρομεν μὲ καλὴν διάθεσιν, ἀλλὰ παραπονούμεθα καὶ δυσανασχετοῦμεν ὄχι ὀλιγώτερον ἐκείνων ποὺ κατέχονται ἀπὸ πυρετόν. Διότι ἡ μακρὰ αὕτη νόσος, ἡ ὁποία ἔχει καταλάβει τὰς ψυχάς μας, ἔχει γίνει μὲ τὸν χρόνον ἀνίατος, ὅπως θὰ ἐλέγαμεν, καὶ δὲν ἠμποροῦμεν οὔτε ἰδέαν νὰ λάβωμεν τῆς πραγματικῆς ὑγείας, ἀλλὰ καὶ μᾶς φαίνεται ὅτι εἶναι ἀδύνατος ἡ ἐπανάκτησις αὐτῆς. Καὶ ὅταν ἀκούσωμεν κάποιον νὰ προφέρῃ ὡς παράδειγμα τοὺς ἀποστόλους καὶ νὰ ὁμιλῇ διὰ τὰ κατορθώ-

κατορθώματα λέγοντος, δέον εὐθέως καὶ πενθῆσαι ἑαυτούς, ὅτι τοσοῦτον αὐτῶν ἀφεστήκαμεν, οὐδὲ ἁμάρτημα τὸ πρᾶγμα εἶναι νομίζομεν, ἀλλ' ὡς οὐδὲ δυνατὸν πρὸς ἐκεῖνο φθάσαι τὸ ὕψος, οὕτω διακείμεθα. Κἂν ἔρηταί τις τὴν αἰτίαν, εὐ-
5 *θέως τὴν ἀνάλογον ταύτην ἀπολογίαν προβαλλόμεθα λέγοντες· ἐκεῖνος Παῦλος ἦν, κἀκεῖνος Πέτρος ἦν, κἀκεῖνος Ἰωάννης. Τί ἔστιν, ἐκεῖνος Παῦλος ἦν, ἐκεῖνος Πέτρος ἦν; οὐ τῆς αὐτῆς φύσεως, εἰπέ μοι, καὶ οὗτοι μετεῖχον; οὐ διὰ τῆς αὐτῆς ὁδοῦ παρήχθησαν εἰς τὸν βίον ἡμῖν, οὐ ταῖς αὐ-*
10 *ταῖς ἐτράφησαν τροφαῖς; οὐ τὸν αὐτὸν ἀνέπνευσαν ἀέρα; οὐ πράγμασιν ἐχρήσαντο τοῖς αὐτοῖς; οὐχ οἱ μὲν αὐτῶν καὶ γυναῖκας εἶχον καὶ παῖδας, οἱ δὲ καὶ τέχνας βιωτικάς, ἕτεροι δὲ καὶ εἰς αὐτὸ τῆς κακίας τὸ βάραθρον κατηνέχθησαν;*

15 *Ἀλλὰ πολλῆς ἀπήλαυσαν, φησί, τῆς τοῦ Θεοῦ χάριτος. Ἀλλ' εἰ μὲν νεκροὺς ἀναστῆσαι ἐκελευόμεθα, ἢ ὀφθαλμοὺς ἀνοῖξαι τυφλῶν, ἢ καθαρίσαι λεπρούς, ἢ χωλοὺς ἀνορθῶσαι, ἢ δαίμονας ἐκβαλεῖν, καὶ τὰς ἄλλας τὰς τοιαύτας ἰᾶσθαι νόσους, καιρὸν ἂν εἶχε τὰ τῆς ἀπολογίας ταύτης ἡμῖν· εἰ δὲ*
20 *πολιτείας ἐξέτασις πρόκειται νῦν, καὶ ὑπακοῆς ἐπίδειξις, ποῖον ταῦτα πρὸς ἐκεῖνον ἂν ἔχοι λόγον; Καὶ γὰρ καὶ σὺ θείας ἀπήλαυσας χάριτος βαπτιζόμενος, καὶ πνεύματος μετέσχες, εἰ καὶ μὴ πρὸς τὸ τὰ σημεῖα ποιεῖν, ἀλλ' ὅσον ἀρκεῖ πρὸς τὸ πολιτείαν ὀρθὴν καὶ ἠκριβωμένην λαβεῖν· ὥστε ῥα-*
25 *θυμίας μόνον τῆς ἡμετέρας ἐστὶν ἡ διαστροφή. Καὶ ὁ Χριστὸς δὲ κατὰ τὴν ἡμέραν ἐκείνην οὐ τοῖς τὰ σημεῖα ἐργασαμένοις ἁπλῶς τὰ ἔπαθλα δίδωσιν, ἀλλὰ τοῖς τὰ προστάγματα πεποιηκόσι τὰ αὐτοῦ. «Δεῦτε γάρ», φησίν, «οἱ εὐλογημένοι τοῦ Πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ἡμῖν βα-*
30 *σιλείαν ἀπὸ καταβολῆς κόσμου», οὐχ ὅτι ἐθαυματουργήσατε,*

ματά των, ἐνῷ πρέπει εὐθὺς καὶ νὰ πενθήσωμεν ἀκόμη διὰ τοὺς ἑαυτούς μας, διότι τόσον ἀπεμακρύνθημεν ἀπὸ αὐτούς, ἐν τούτοις οὔτε κἂν θεωροῦμεν ὅτι τοῦτο ἀποτελεῖ ἁμάρτημα καὶ οὔτε ἔχομεν τὴν διάθεσιν νὰ φθάσωμεν εἰς ἐκεῖνο τὸ ὕψος. Καὶ ἂν κανεὶς μᾶς εἴπῃ τὴν αἰτίαν, εὐθὺς προβάλλομεν τὴν παράλογον αὐτὴν δικαιολογίαν, λέγοντες. Ἐκεῖνος ἦτο Παῦλος καὶ ἐκεῖνος Πέτρος καὶ ὁ ἄλλος Ἰωάννης. Τί θὰ εἰπῇ, ἐκεῖνος ἦτο Παῦλος καὶ ἐκεῖνος ἦτο Πέτρος; Δὲν ἦσαν, εἰπέ μου, καὶ αὐτοὶ τῆς ἰδίας φύσεως μὲ ἡμᾶς ἄνθρωποι; Δὲν ἦλθαν μήπως καὶ αὐτοὶ διὰ τῆς αὐτῆς ὁδοῦ εἰς τὸν παρόντα βίον καὶ δὲν ἐτράφησαν μὲ τὰς ἰδίας τροφάς; Δὲν ἀνέπνευσαν τὸν ἴδιον ἀέρα; Δὲν ἐχρησιμοποίησαν τὰ ἴδια πράγματα; Μερικοὶ ἀπὸ αὐτοὺς δὲν εἶχαν μήπως γυναῖκας καὶ τέκνα, ἄλλοι δὲ καὶ βιοποριστικὰ ἐπαγγέλματα, ἄλλοι δὲν περιέπεσαν καὶ εἰς τὸ βάραθρον τῆς κακίας ἀκόμη;

Ἀλλά, θὰ εἴπῃς, ἀπήλαυσαν πολλῆς χάριτος παρὰ τοῦ Θεοῦ. Ἀλλ' ἐὰν διετασσώμεθα νὰ ἀναστήσωμεν νεκροὺς ἢ νὰ ἀνοίξωμεν ὀφθαλμοὺς τυφλῶν ἢ νὰ ἀνορθώσωμεν χωλοὺς ἢ νὰ φυγαδεύσωμεν δαίμονας καὶ νὰ θεραπεύσωμεν καὶ ἄλλας παρομοίας νόσους, θὰ ἦτο εὔλογος αὐτὴ ἡ δικαιολογία. Τώρα ὅμως ποὺ πρόκειται διὰ τὴν ἐξέτασιν τοῦ βίου καὶ τὴν ἐπίδειξιν ὑπακοῆς, ποίαν σχέσιν θὰ εἶχον αὐτὰ πρὸς ἐκεῖνα; Διότι καὶ σὺ διὰ τοῦ βαπτίσματος ἀπήλαυσες τῆς θείας χάριτος καὶ μετέσχες τοῦ ἁγίου Πνεύματος, ἂν καὶ μὴ μέχρι σημείου νὰ κάμνῃς θαύματα, ἀλλ' ὅσον ἀρκεῖ διὰ νὰ κατορθώσῃς διαγωγὴν ὀρθὴν καὶ ἀκριβῆ. Ὥστε ἡ διαστροφὴ προέρχεται ἐκ τῆς ἰδικῆς μας ῥᾳθυμίας. Καὶ ὁ Χριστὸς δὲ κατὰ τὴν ἡμέραν ἐκείνην δὲν θὰ δώσῃ τὰ βραβεῖα εἰς ἐκείνους ποὺ ἁπλῶς ἐπετέλεσαν θαύματα, ἀλλ' εἰς ὅσους ἐξετέλεσαν τὰς ἐντολάς του. Διότι λέγει, «δεῦτε οἱ εὐλογημένοι τοῦ Πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην διὰ σᾶς βασιλείαν ἀπὸ καταβολῆς κόσμου», ὄχι διότι ἐθαυματουργήσατε, ἀλλὰ διότι «ἐπείνασα καὶ ἐδώκατέ μου

ἀλλ' ὅτι «ἐπείνασα, καὶ ἐδώκατέ μοι φαγεῖν· ἐδίψησα, καὶ ἐποτίσατέ με· ξένος ἤμην, καὶ συνηγάγετέ με· γυμνός, καὶ περιεβάλετέ με· ἠσθένησα, καὶ ἐπεσκέψασθέ με· ἐν φυλακῇ ἤμην, καὶ ἤλθετε πρός με». Καὶ ἐν τοῖς μακαρισμοῖς δὲ οὐ-
5 *δαμοῦ τοὺς τὰ θαύματα ποιοῦντας τίθησιν, ἀλλὰ τοὺς βίον ἔχοντας ὀρθόν.*

9. Ὥστε εἰ καὶ ἐκείνη συνέσταλται νῦν ἡ χάρις, οὐδὲν ἡμᾶς παραβλάψαι τοῦτο δυνήσεται, ἀλλ' οὐδὲ ἀπολογήσασθαι ὑπὲρ ἡμῶν, ὅταν τὰς εὐθύνας ὑπέχωμεν τῶν πεπραγμέ-
10 *νων. Καὶ γὰρ τοὺς μακαρίους ἐκείνους οὐ διὰ τὰ σημεῖα θαυμάζομεν· τοῦτο γὰρ ὅλον τῆς τοῦ Θεοῦ δυνάμεως ἦν· ἀλλ' ὅτι πολιτείαν ἐπεδείξαντο ἀγγελικήν· τοῦτο δὲ μετὰ τῆς ἄνωθεν ῥοπῆς καὶ τῆς αὐτῶν σπουδῆς ἔργον ἐστί. Καὶ οὐκ ἐγὼ τοῦτο λέγω νῦν, ἀλλὰ καὶ αὐτὸς ἐκεῖνος ὁ τοῦ Χριστοῦ*
15 *μιμητής. Ὅτε γὰρ πρὸς τοὺς ψευδαποστόλους διετείνετο γράφων τοῖς μαθηταῖς, καὶ τὸ μέσον τῆς δοκίμου τε καὶ κιβδήλου διακονίας παραστῆσαι ἐβούλετο, οὐκ ἀπὸ τῶν σημείων, ἀλλ' ἀπὸ τῶν κατορθωμάτων αὐτοῦ τοῦτο ἐποίησεν, οὑτωσὶ λέγων· «διάκονοι Χριστοῦ εἰσι; (παραφρονῶν λαλῶ)*
20 *ὑπὲρ ἐγώ· ἐν κόποις περισσοτέρως, ἐν φυλακαῖς περισσοτέρως, ἐν πληγαῖς ὑπερβαλλόντως, ἐν θανάτοις πολλάκις· ὑπὸ Ἰουδαίων πεντάκις τεσσαράκοντα παρὰ μίαν ἔλαβον, τρὶς ἐρραβδίσθην, ἅπαξ ἐλιθάσθην, τρὶς ἐναυάγησα, νυχθήμερον ἐν τῷ βυθῷ πεποίηκα· ὁδοιπορίαις πολλάκις, κινδύνοις*
25 *ποταμῶν, κινδύνοις λῃστῶν, κινδύνοις ἐκ γένους, κινδύνοις ἐξ ἐθνῶν, κινδύνοις ἐν πόλει, κινδύνοις ἐν ἐρημίᾳ, κινδύνοις ἐν θαλάσσῃ, κινδύνοις ἐν ψευδαδέλφοις, ἐν κόπῳ, ἐν μόχθῳ, ἐν ἀγρυπνίαις πολλάκις, ἐν λιμῷ καὶ δίψει, ἐν νηστείαις πολλάκις, ἐν ψύχει καὶ γυμνότητι. Χωρὶς τῶν*
30 *παρεκτός, ἡ ἐπισύστασίς μου ἡ καθ' ἡμέραν, ἡ μέριμνα πασῶν τῶν Ἐκκλησιῶν. Τίς ἀσθενεῖ, καὶ οὐκ ἀσθενῶ; τίς σκανδαλίζεται, καὶ οὐκ ἐγὼ πυροῦμαι;*

---

31. Ματθ. 25, 34.
32. Β' Κορ. 11, 23-29.

νὰ φάγω· ἐδίψασα, καὶ ἐποτίσατέ με· ξένος ἤμην καὶ μὲ ἐφιλοξενήσατε· γυμνὸς καὶ μὲ ἐνεδύσατε· ἠσθένησα καὶ μὲ ἐπεσκέφθητε· εἰς φυλακὴν ἤμην καὶ ἤλθετε εἰς ἐμέ»[31] Εἰς δὲ τοὺς μακαρισμοὺς πουθενὰ δὲν μακαρίζει ἐκείνους ποὺ ἔκαμαν θαύματα, ἀλλὰ τοὺς ἔχοντας ὀρθὸν βίον.

9. Ὥστε, ἂν καὶ ἡ χάρις τῆς θαυματουργίας ἔχει τώρα ἀνασταλῆ, τοῦτο δὲν θὰ ἠμποροῦσε νὰ μᾶς βλάψῃ καθόλου, οὔτε δὲ καὶ νὰ ἀποτελέσῃ ἀπολογίαν πρὸς χάριν μας, ὅταν ἡμεῖς θὰ δεχθῶμεν τὰς εὐθύνας τῶν πράξεών μας. Διότι καὶ τοὺς ἁγίους ἐκείνους δὲν τοὺς θαυμάζομεν διὰ τὰ θαύματά των, καθότι ὅλα αὐτὰ ἦσαν ἀποτελέσματα τῆς δυνάμεως τοῦ Θεοῦ, ἀλλὰ διότι ἐπέδειξαν βίον ἀγγελικόν. Καὶ αὐτὸ εἶναι ἔργον δύο παραγόντων, τῆς ἄνωθεν ἐνισχύσεως καὶ τῆς ἰδικῆς μας φροντίδος. Καὶ δὲν τὸ λέγω τοῦτο ἐγώ, ἀλλ' αὐτὸς ὁ ἴδιος ὁ μιμητὴς τοῦ Χριστοῦ. Διότι, ὅταν ἀπέκρουε τοὺς ψευδαποστόλους, δι' ἐπιστολῆς πρὸς τοὺς ἀδελφούς, καὶ ἐπεθύμει νὰ παρουσιάσῃ τὴν διαφορὰν μεταξὺ τῆς δοκίμου καὶ τῆς νόθου διακονίας, δὲν τὸ ἔκαμεν αὐτὸ ἐξετάζων τὰ θαύματα, ἀλλὰ τὰ κατορθώματα τοῦ βίου του, λέγων τὰ ἑξῆς· «διάκονοι Χριστοῦ εἶναι; (ὁμιλῶ παραφόρως) περισσότερον ἐγώ. Ἐπεδόθην εἰς κόπους μὲ τὸ παραπάνω, ἐρρίφθην εἰς φυλακὰς ἐπενειλημμένως, ἐδέχθην πληγὰς καθ' ὑπερβολήν, ἔφθασα πολλάκις μέχρι θανάτου· ἀπὸ τοὺς Ἰουδαίους ἔλαβα πεντάκις τεσσαράκοντα παρὰ ἕνα κτυπήματα, τρὶς ἐρραβδίσθην, ἅπαξ ἐλιθοβολήθην, τρὶς ἐναυάγησα, ἔμεινα νύχτα καὶ ἡμέραν εἰς τὰ κύματα, ἀνέλαβα πολυαρίθμους ὁδοιπορίας, ἀντεμετώπισα κινδύνους ποταμῶν, κινδύνους ληστῶν, κινδύνους τοῦ γένους μου, κινδύνους ἐθνῶν, κινδύνους εἰς πόλεις, κινδύνους εἰς ἐρημίαν, κινδύνους εἰς θάλασσαν, κινδύνους ἀπὸ ψευδαδέλφους, μὲ κόπον, μὲ μόχθον, μὲ ἀγρυπνίας πολλάκις, εἰς ψῦχος καὶ γυμνότητα. Ἐκτὸς τῶν ἄλλων, τὴν καθημερινὴν ἐπιστασίαν, τὴν μέριμναν ὅλων τῶν ἐκκλησιῶν. Ποῖος ἀσθενεῖ καὶ δὲν ἀσθενῶ; ποῖος σκανδαλίζεται καὶ δὲν καίομαι ἐγώ;»[32].

Διὰ ταῦτα θαυμάζω τοὺς ἀποστόλους ἐγώ· ὡς οἵ γε τούτων χωρὶς ἐπιδείξασθαι σημεῖα διά τινος οἰκονομίας συγχωρηθέντες οὐ μόνον οὐκ ἐγένοντο θαυμαστοί, ἀλλὰ καὶ ἀδόκιμοι, καθὼς καὶ ὁ Χριστὸς δείκνυσι λέγων· «πολλοὶ ἐ-
5 *ροῦσί μοι ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, Κύριε, Κύριε, οὐ τῷ σῷ ὀνόματι προεφητεύσαμεν, καὶ τῷ σῷ ὀνόματι δαιμόνια ἐξεβάλομεν, καὶ τῷ σῷ ὀνόματι πολλὰς δυνάμεις ἐποιήσαμεν; Καὶ ἐρῶ αὐτοῖς· ἀποχωρεῖτε ἀπ' ἐμοῦ πάντες οἱ ἐργαζόμενοι τὴν ἀνομίαν· οὐδέποτε ἔγνων ὑμᾶς». Διὰ τοῦτο καὶ τοῖς*
10 *μαθηταῖς παρῄνει λέγων· «μὴ χαίρετε ὅτι τὰ δαιμόνια ὑμῖν ὑποτάσσεται, ἀλλ' ὅτι τὰ ὀνόματα ὑμῶν γέγραπται ἐν τοῖς οὐρανοῖς». Πολιτεία μὲν γὰρ ὀρθὴ καὶ τούτων χωρὶς ἀπολήψεται τοὺς στεφάνους, καὶ οὐδὲν ἔλαττον ἕξει παρὰ τοῦτο τότε· βίος δὲ παράνομος οὐδὲ μετὰ σημείων δυνήσεται τὴν*
15 *κόλασιν ἐκφυγεῖν. Ὥστε περιττὸς ἡμῖν ὁ λόγος οὗτός ἐστιν, οὐ περιττὸς δὲ μόνον, ἀλλὰ καὶ ἐπικίνδυνος, καὶ πολλοῖς τῶν αἱρετικῶν παρέχων λαβάς. Εἰ γὰρ μὴ διὰ τὴν οἰκείαν ἐκεῖνοι προαίρεσιν οὕτως ἐγένοντο θαυμαστοί, ἀλλὰ διὰ τὴν τοῦ Χριστοῦ χάριν μόνον, τί τὸ κωλῦον ἅπαντας τοιούτους*
20 *γενέσθαι;*

Ἡ γὰρ χάρις εἰ μὴ τὰ παρ' ἡμῶν πρότερον ἐζήτει, ἀθρόως ἂν εἰς τὰς ἁπάντων ἐξεχύθη ψυχάς· οὐ γάρ ἐστι προσωπολήπτης ὁ Θεός· ἐπειδὴ δὲ τὰ παρ' ἡμῶν ζητεῖ, διὰ τοῦτο τοῖς μὲν ἕπεται καὶ παραμένει, τῶν δὲ ἀφίπταται, εἰς
25 *δὲ τοὺς λοιποὺς οὐδὲ τὴν ἀρχὴν καθικνεῖται. Ὅτι δὲ προαίρεσιν πρότερον ἐξετάσας, οὕτω τὴν χάριν ἔδωκεν ὁ Θεὸς πρὶν ἤ τι θαυμαστὸν ἐπιδείξασθαι τὸν μακάριον ἐκεῖνον, ἄκουσον τί περὶ αὐτοῦ φησι· «σκεῦος ἐκλογῆς μοί ἐστι, τοῦ βαστάσαι τὸ ὄνομά μου ἐνώπιον ἐθνῶν τε καὶ βασιλέων, καὶ*
30 *παντὸς γένους Ἰσραήλ». Ταῦτα οὔπω τῆς χάριτος παρούσης ἐμαρτύρησεν ὁ τὰς καρδίας ἐμβατεύων ἡμῶν.*

---

33. Ματθ. 22, 22.
34. Λουκᾶ 10, 20.
35. Πράξ. 9, 15.

Διὰ ταῦτα θαυμάζω ἐγὼ τοὺς ἀποστόλους. Ὥστε λοιπὸν αὐτοὶ χωρὶς τὰ κατορθώματα τοῦ βίου των, μολονότι τοὺς ἐπετράπη κατ' οἰκονομίαν νὰ ἐπιτελέσουν θαύματα, ὄχι μόνον δὲν θὰ ἀπέβαιναν ἀξιοθαύμαστοι, ἀλλὰ θὰ ἦσαν καὶ ἄξιοι ἀποδοκιμασίας, καθὼς φανερώνει καὶ ὁ Χριστὸς λέγων, «πολλοὶ θὰ μοῦ εἴπουν ἐκείνην τὴν ἡμέραν· Κύριε, Κύριε, δὲν ἐπροφητεύσαμεν εἰς τὸ ὄνομά σου καὶ δὲν ἐξηγάγαμεν δαιμόνια εἰς τὸ ὄνομά σου καὶ δὲν ἐκάμαμεν πολλὰ θαύματα εἰς τὸ ὄνομά σου; Καὶ ἐγὼ θὰ τοὺς εἴπω. Ἀπομακρυνθῆτε ἀπὸ ἐμὲ ὅλοι οἱ πράττοντες τὴν ἀνομίαν. Δὲν σᾶς ἐγνώρισα ποτέ»[33]. Δι' αὐτὸ καὶ πρὸς τοὺς μαθητάς του ἔδιδε παραινέσεις λέγων· «μὴ χαίρετε διότι τὰ δαιμόνια ὑποτάσσονται εἰς ἐσᾶς, ἀλλὰ διότι τὰ ὀνόματά σας εἶναι γραμμένα εἰς τοὺς οὐρανούς»[34]. Βίος ἐνάρετος καὶ χωρὶς αὐτὰ θὰ λάβῃ τοὺς στεφάνους καὶ δὲν θὰ ζημιωθῇ καθόλου ἀπὸ τὴν ἔλλειψίν των. Βίος παράνομος ὅμως οὔτε καὶ ἂν συνοδεύεται μὲ θαύματα θὰ δυνηθῇ νὰ ἀποφύγῃ τὴν κόλασιν. Ὥστε εἶναι περιττὸν νὰ ὁμιλῶμεν ἐπ' αὐτοῦ καὶ ὄχι μόνον περιττόν, ἀλλὰ καὶ ἐπικίνδυνον καὶ εἰς πολλοὺς αἱρετικοὺς παρέχει ἀφορμάς. Διότι ἐὰν ἐκεῖνοι δὲν ἔγιναν μὲ τὴν ἰδικήν των προαίρεσιν θαυμαστοί, ἀλλὰ μὲ τὴν χάριν τοῦ Χριστοῦ μόνον, τί ἐμποδίζει νὰ γίνωμεν ὅλοι παρόμοιοί των;

Ἐὰν δηλαδὴ ἡ χάρις προηγουμένως δὲν ἐζήτει καὶ τὴν ἰδικήν μας συγκατάθεσιν, θὰ εἶχε διὰ μιᾶς ἐκχυθῆ εἰς τὰς ψυχὰς ὅλων, καθότι δὲν εἶναι προσωπολήπτης ὁ Θεός. Ἐπειδὴ ὅμως ζητεῖ καὶ τὴν ἰδικήν μας συγκατάθεσιν, διὰ τοῦτο ἄλλους μὲν ἀκολουθεῖ καὶ παραμένει μαζί των, ἐξ ἄλλων δὲ ἀπομακρύνεται καὶ τοὺς λοιποὺς οὔτε κἂν ἐπισκέπτεται. Ὅτι δὲ ὁ Θεὸς ἔδωσε τὴν χάριν ἀφοῦ ἐξήτασε πρῶτον τὴν προαίρεσιν πρὶν ἀκόμη ἐπιδείξῃ καμμίαν θαυματουργίαν ὁ μακάριος ἐκεῖνος Παῦλος ἄκουσε τί λέγει περὶ αὐτοῦ. «Σκεῦος ἐκλογῆς μου εἶναι, διὰ νὰ βαστάσῃ τὸ ὄνομά μου ἐνώπιον ἐθνῶν καὶ βασιλέων καὶ παντὸς γένους Ἰσραήλ»[35]. Αὐτὰ τὰ ἐμαρτύρησε πρὶν ἀκόμη ἔλθῃ ἡ χάρις αὐτὸς ποὺ γνωρίζει ἐπακριβῶς τὸν ἐσωτερικόν μας κόσμον.

Μὴ δὴ σφάλλωμεν ἑαυτούς, ἀγαπητοί, ἀδύνατον εἶναι λέγοντες γενέσθαι κατὰ Παῦλόν τινα. Τῆς μὲν γὰρ χάριτος καὶ τῶν σημείων ἕνεκεν οὐκέτι Παῦλος ἕτερος ἔσται λοιπόν, τῆς δὲ ἀκριβείας τοῦ βίου, τῶν βουλομένων ἕκαστος τοιοῦ-
5 *τος, γένοιτ' ἄν· εἰ δὲ μή εἰσι, παρὰ τὸ μὴ βούλεσθαι μόνον. Ἀλλὰ γὰρ οὐκ οἶδα πῶς εἰς τοῦτο ἀλογίας ἐξέπεσον, κατὰ Παῦλον ζητῶν τινας τῶν νῦν, οὐδὲ κατὰ τρίτους ἢ τοὺς τετάρτους μετ' ἐκεῖνον δυνάμενος ἰδεῖν.*

Διὰ ταῦτα πενθεῖν δὴ χρὴ καὶ δακρύειν καὶ ὀδύρεσθαι,
10 *οὐ μίαν οὐδὲ δευτέραν ἡμέραν μόνον, ἀλλὰ τὸν βίον ἅπαντα· εἰ γάρ τις εἰς ταύτην τὴν ἕξιν καταστήσειεν ἑαυτόν, δυσκόλως ἁμαρτήσεται τοῦ λοιποῦ. Καὶ εἰ διαπιστεῖς τῷ λόγῳ, τοὺς πενθοῦντας ἐξέτασον, πένθη λέγω τὰ κοσμικά, μὴ τούτων τινὰ τῶν πολλῶν καὶ τὸν ἐπίπονον ζώντων βίον, ἀλλ' ἐ-*
15 *κείνων τῶν ἁβρῶν, καὶ οὐδὲν ἕτερον εἰδότων ἢ τρυφᾶν. Οὗτοι γάρ, οὗτοι οἱ μεθύειν μελετῶντες καὶ γαστρίζεσθαι, οἱ τὰ μὲν ἄριστα συντελοῦντες μέχρις ἑσπέρας, τὰ δὲ δεῖπνα εἰς μέσας νύκτας ἐκτείνοντες, οἱ τὰ τῶν ἄλλων ἁρπάζοντες, καὶ οὔτε χήρας, οὔτε πένητος, οὔτε ἀδυνάτου φειδόμενοι,*
20 *οἱ πολλὴν ὠμότητα ἐπιδεικνύμενοι, εἴ ποτε πένθει ληφθεῖεν σφοδρῷ καὶ δυναμένῳ κάτωθεν ἀναστρέψαι καὶ διαταράξαι ψυχήν, πάσας ἐκείνας τὰς βλακώδεις ἐπιθυμίας καὶ παρανόμους ἐκβαλόντες, εἰς τὸν τῶν φιλοσόφων μετατίθενται βίον, σκληραγωγίαν, ἀγρυπνίαν, χαμευνίαν, καρτερίαν, νη-*
25 *στείαν, σιγήν, ἐπιείκειαν, ταπεινότητα, φιλανθρωπίαν ἐπιδεικνύμενοι πολλήν. Καίτοι γε τὰ ἑτέρων ἁρπάζοντες καὶ τὰ ἑαυτῶν ἡδέως ἂν πρόοιντο κατ' ἐκεῖνον τὸν καιρόν· κἂν πῦρ ἀφεῖναί τις ἐθέλοι τοῖς ὑπάρχουσι μετὰ τῆς οἰκίας πά-*

῎Ας μὴ αὐταπατώμεθα λοιπόν, ἀγαπητοί, λέγοντες ὅτι εἶναι ἀδύνατον νὰ γίνῃ κανεὶς σὰν τὸν Παῦλον. Ὡς πρὸς τὴν χάριν καὶ τὰ θαύματα δὲν θὰ ὑπάρξῃ βεβαίως ἄλλος Παῦλος, ὡς πρὸς τὴν ὀρθότητα τοῦ βίου ὅμως, ὅποιος ἀπὸ ἡμᾶς θὰ ἤθελε, θὰ ἠδύνατο νὰ γίνῃ τοιοῦτος. Καὶ ἐὰν δὲν ὑπάρχουν τέτοιοι, εἶναι ἐπειδὴ δὲν θέλουν. Δὲν γνωρίζω ὅμως πῶς ὠλίσθησα εἰς τέτοιον παραλογισμόν, νὰ ζητῶ σήμερον ὡσὰν τὸν Παῦλον ἀνθρώπους, ἀφοῦ δὲν δύναμαι νὸ ἴδω ἀνθρώπους τρίτης ἢ τετάρτης σειρᾶς κατὰ τὸν βίον μετὰ ἀπὸ ἐκεῖνον.

Δι' αὐτὰ λοιπὸν τὰ πράγματα πρέπει νὰ πενθῶμεν καὶ νὰ κλαίωμεν καὶ νὰ ὀδυρώμεθα, ὄχι ἐπὶ μίαν ἢ δύο μόνον ἡμέρας, ἀλλὰ καθ' ὅλον τὸν βίον μας. Διότι, ἐὰν κανεὶς συνηθίσῃ εἰς τοῦτο, τότε δυσκόλως θὰ ἁμαρτήσῃ εἰς τὸ μέλλον. Καὶ ἐὰν ἀμφιβάλλῃς εἰς τὰ λεγόμενά μου, ἐξέτασε τοὺς πενθοῦντας, (ἐννοῶ τὰ κοσμικὰ πένθη), ὄχι βεβαίως κάποιον ἐκ τῶν πολλῶν ποὺ ζοῦν τὸν κοπιώδη τοῦτον βίον, ἀλλὰ κάποιον ἐξ ἐκείνων τῶν τρυφηλῶν, ποὺ τίποτε ἄλλο δὲν γνωρίζουν παρὰ νὰ διασκεδάζουν. Αὐτοὶ δηλαδή, αὐτοὶ ποὺ μελετοῦν πῶς νὰ μεθύουν καὶ νὰ περιποιοῦνται τὴν κοιλίαν των, αὐτοὶ ποὺ τὰ μὲν γεύματα παρατείνουν μέχρι τῆς ἑσπέρας, τὰ δὲ δεῖπνα μέχρι τοῦ μεσονυκτίου, ποὺ ἁρπάζουν τὰ πράγματα τῶν ἄλλων καὶ οὔτε χήραν οὔτε πένητα οὔτε ἀδύνατον ὑπολογίζουν καὶ ἐπιδεικνύουν πολλὴν ὠμότητα, αὐτοί, ἐὰν ποτὲ τοὺς συμβῇ νὰ καταληφθοῦν ἀπὸ βαρὺ πένθος, ἱκανὸν νὰ τοὺς ἀνατρέψῃ καὶ τοὺς συνταράξῃ τὴν ψυχήν, ἀφοῦ ἐγκαταλείψουν ὅλας ἐκείνας τὰς ἀνοήτους καὶ παρανόμους ἐπιθυμίας, ἀσπάζονται τότε τὴν φιλοσοφημένην ζωὴν καὶ ἐπιδεικνύουν ἄφθονον σκληραγωγίαν, ἀγρυπνίαν, χαμευνίαν, ὑπομονήν, νηστείαν, σιωπήν, ἐπιείκειαν, ταπείνωσιν καὶ φιλανθρωπίαν. Παρ' ὅλον ὅτι ἁρπάζουν τὰ τῶν ἄλλων, ὅμως ἐκείνην τὴν ὥραν καὶ τὰ ἰδικά των θὰ ἐπετοῦσαν. Καὶ ἐὰν ἤθελε κανεὶς νὰ τὰ πυρπολήσῃ μαζὶ μὲ ὅλον τὸν οἶκον, αὐτοὶ καθόλου

σης, οὐ παροξύνονται. Πολλοὺς δὲ ἔγωγε οἶδα, μετὰ τὴν τῶν φιλτάτων ἀποβολὴν τοὺς μὲν τὴν ἐν ἀγροῖς δίαιταν τῆς πόλεως ἐναλλαξαμένους καὶ τῶν ἐν ταύτῃ καλῶν, τοὺς δὲ παρὰ τὰ μνήματα τῶν ἀπελθόντων τὰς οἰκίας δειμαμένους, καὶ τὸν βίον ἐκεῖ καταλύσαντας. Ἀλλὰ ταῦτα μὲν ὕστερον· ἕως δ' ἂν ἀκμάζῃ τὸ πένθος, οὐδενὸς αὐτοῖς τῶν παρόντων λόγος ἐστίν, ἀλλὰ τὴν μανίαν, ἣν περὶ τὴν ἐπιμέλειαν καὶ τὴν συλλογὴν τῶν χρημάτων εἶχον, ἣν περὶ τὴν κτῆσιν τῆς δυναστείας καὶ τῆς δόξης τῆς παρὰ τῶν πολλῶν, ὥσπερ τινὰ χόρτον, ἢ καὶ ἄνθος χόρτου, τῇ φλογὶ τῆς ἀθυμίας καταφλέξαντες, ἔρριψαν ἀπὸ τῆς ψυχῆς, καὶ πρὸς τοσαύτην τότε ἡ διάνοια φιλοσοφίαν μεθίσταται, ὡς μηδὲ μέχρι ῥημάτων ἀνασχέσθαι τινὸς τῶν κατὰ τὸν παρόντα βίον ἡδέων, ἀλλὰ πάντα τὰ πρὸς ἡδονὴν εἶναι δοκοῦντα πρότερον προσίστασθαί τε αὐτοῖς καὶ πικρότατα φαίνεσθαι· καὶ οὐδεὶς ἂν οὔτε τῶν οἰκετῶν οὔτε τῶν φίλων τολμήσειε τότε ὑπὲρ τῶν ἐν τῷ κόσμῳ τούτῳ, καὶ σφόδρα κατεπειγόντων, ῥῆξαι φωνήν· πάντα γὰρ ἐκποδὼν γινόμενα παραχωρεῖ τοῖς περὶ φιλοσοφίαν λόγοις, τῆς ψυχῆς διὰ τοῦ πένθους τότε καθάπερ ἐν ἱερῷ τινι τόπῳ παιδευομένης τῆς ἀνθρωπίνης φύσεως τὴν οὐδένειαν, τοῦ παρόντος αἰῶνος τὸ ἐπίκαιρον, τῶν βιωτικῶν τὸ εὔφθαρτόν τε καὶ ἄστατον, τῆς σκηνῆς τῶν γινομένων τὴν ὑπόκρισιν. Ὑπεροψία χρημάτων τότε πολλή, τότε ὀργῆς ἀναίρεσις, τότε ὀλιγωρία φιλοτιμίας, καὶ οὔτε φθόνος ἐμφωλεῦσαι, οὐ τῦφος ἐκβαχεῦσαι τὸν ὑπὸ τοῦ πένθους συντριβέντα δύναιτ' ἄν, οὐκ ἐπιθυμία ἐμπίπρησι τὸν ἀκόλαστον, ἀλλὰ πάντων τούτων φυγαδευθέντων ἐκεῖθεν, εἷς μόνος κατοικίζεται λογισμός, ὁ τὴν εἰκόνα τοῦ τετελευτηκότος διακρατῶν συνεχῶς· τοῦτο καὶ σῖτα, καὶ ποτός, καὶ ὕπνος, καὶ ἡδονή, καὶ ἀνάπαυσις, καὶ παραμυθία πολλή· τοῦτο δόξα, καὶ πλοῦτος, καὶ δυναστεία, καὶ τρυφή.

δὲν θὰ ἐθύμωναν. Ἐγὼ τοὐλάχιστον γνωρίζω πολλούς, οἱ ὁποῖοι μετὰ τὸν θάνατον προσφιλῶν των προσώπων, ἄλλοι μὲν ἀντήλλαξαν τὴν ζωὴν τῆς πόλεως καὶ τὰ ἀγαθά της μὲ τὴν τῆς ὑπαίθρου, ἄλλοι δὲ ἔκτισαν τὰς οἰκίας των πλησίον τῶν μνημάτων τῶν μεταστάντων καὶ διῆλθαν ἐκεῖ τὸν ὑπόλοιπον βίον των. Αὐτὰ ὅμως ἐπισυμβαίνουν ὕστερον· ὅσον ὅμως ἀκμάζει τὸ πένθος διὰ τίποτε δὲν ἐνδιαφέρονται λοιπὸν αὐτοί. Τὴν μανίαν δὲ ποὺ εἶχαν διὰ τὴν φροντίδα καὶ τὴν συγκέντρωσιν τῶν χρημάτων, τὴν ἀπόκτησιν τῆς ἐξουσίας καὶ τῆς τιμῆς ἀπὸ τοὺς ἄλλους, ἀφοῦ τὴν κατέφλεξαν ὡς χόρτον ἢ ὡς ἄνθος χόρτου εἰς τὴν φλόγα τῆς λύπης, τὴν ἀπέβαλαν ἀπὸ τὴν ψυχήν. Καὶ ὁ νοῦς τότε μεταφέρεται εἰς τόσον φιλοσοφημένην διαγωγήν, ὥστε δὲν ἀνέχεται οὔτε λόγος νὰ γίνεται διὰ κάτι ἀπὸ τὰ τερπνὰ τοῦ παρόντος βίου, ἀλλ' ὅλα ὅσα προηγουμένως ἐθεωροῦντο εὐχάριστα νὰ τοὺς ἐνοχλοῦν καὶ νὰ τοὺς φαίνωνται πολὺ πικρά. Καὶ κανείς, οὔτε δοῦλος οὔτε φίλος, δὲν θὰ ἐτολμοῦσε τότε νὰ κάμῃ λόγον καὶ περὶ τῶν ἀναγκαιοτέρων ἀκόμη ἀπὸ τὰ κοσμικὰ πράγματα. Διότι ὅλα αὐτὰ ἐξαφανίζονται καὶ παραχωροῦν τὴν θέσιν των εἰς λόγους περὶ τῆς φιλοσοφημένης ζωῆς. Ἡ ψυχὴ τότε διδάσκεται διὰ τοῦ πένθους ὡσὰν εἰς ἱερὸν τόπον τὴν μηδαμινότητα τῆς ἀνθρωπίνης φύσεως, τὸ παροδικὸν τοῦ παρόντος κόσμου, τὸ ἄστατον καὶ τὸ εὔθραυστον τῶν βιωτικῶν πραγμάτων, τὴν ὑποκριτικότητα τοῦ θεάτρου ποὺ λέγεται ζωή. Τότε περιφρονοῦνται πλήρως τὰ χρήματα, τότε ἐξαφανίζεται ἡ ὀργή, τότε ἀμελεῖται ἡ φιλοτιμία καὶ οὔτε φθόνος θὰ ἠδύνατο νὰ ἐμφωλεύσῃ οὔτε ἡ ὑπερηφάνεια νὰ συλήσῃ τὸν συντετριμμένον ἀπὸ τὸ πένθος οὔτε πόθος σαρκικὸς νὰ πυρώσῃ τὸν ἀκόλαστον, ἀλλὰ ἐξαφανίζονται ὅλα αὐτὰ ἀπὸ ἐκεῖ, καὶ ἕνας μόνον λογισμὸς ἐγκαθίσταται, ἐκεῖνος ποὺ διατηρεῖ συνεχῶς τὴν μορφὴν τοῦ ἀποθανόντος πρὸ τῶν ὀφθαλμῶν. Αὐτὸ εἶναι καὶ τροφαὶ καὶ ποτὰ καὶ ὕπνος καὶ ἡδονὴ καὶ ἀνάπαυσις καὶ παραμυθία μεγάλη. Τοῦτο δόξα καὶ πλοῦτος καὶ ἐξουσία καὶ διασκέδασις.

10. Οὕτως ἡμᾶς ἐχρῆν τὴν ἀποβολὴν τῆς σωτηρίας τῆς ἡμετέρας πενθεῖν, ἵνα μηδὲν εἴπω πλέον· μετὰ τοσούτου πόθου καὶ προθυμίας ἔδει πάντων ἐκεῖ τετάσθαι τὸ ὄμμα τῆς ψυχῆς, καὶ πάντα ἡμῖν τὴν ἐκείνης εἶναι μνήμην καὶ ἀνα- 5 *τύπωσιν. Νῦν δὲ οἱ μὲν παῖδας καὶ γυναῖκας ἀποβαλόντες πρὸς οὐδὲν ἕτερον ἀπασχολοῦσι τὸν νοῦν, ἢ πρὸς τὸ φαντάζεσθαι τοὺς ἀποσπασθέντας αὐτῶν· ἡμεῖς δὲ οἱ βασιλείαν ἀπολέσαντες οὐρανῶν, πάντα μᾶλλον ἢ ταύτην διανοούμεθα. Καὶ ἐκείνων μὲν οὐδείς, κἂν βασιλικωτάτου τύχῃ γένους,* 10 *τῷ τοῦ πένθους αἰσχύνεται νόμῳ· ἀλλὰ καὶ ἐπ' ἐδάφους καθιεῖται, καὶ θρηνήσει πικρόν, καὶ τὴν ἐσθῆτα μεταβαλεῖ, καὶ τὰ ἄλλα πάντα μετὰ πολλῆς ὑποστήσεται προθυμίας τὰ τῆς τιμωρίας ἐκείνης· καὶ οὔτε ἀνατροφὴν οὔτε σώματος ἕξιν, οὐ τὰς μετὰ ταῦτα λογιεῖται νόσους, τὰς ἀπὸ τῆς ταλαιπω-* 15 *ρίας ἐκείνης, ἀλλὰ μετὰ πολλῆς ἅπαντα οἴσει τῆς εὐκολίας.*

Καὶ ταῦτα μὲν οὐκ ἄνδρες μόνον, ἀλλὰ καὶ γυναῖκες, κἂν σφόδρα ἀσθενεῖς ὦσιν, ἐπιδείκνυνται, καὶ τούτων πλείονα. Ἡμεῖς δὲ οὐ παῖδας, οὐ γυναῖκας, ἀλλὰ ψυχῆς ἀπώλειαν πενθοῦντες, ψυχῆς οὐκ ἀλλοτρίας, ἀλλὰ τῆς ἡμετέρας, 20 *σκηπτόμεθα προφασιζόμενοι σώματος ἀσθένειαν καὶ ἀνατροφῆς ἁπαλότητα. Καὶ εἴθε τοῦτο μόνον ἦν τὸ δεινόν· νῦν δὲ οὐδὲ ἐκεῖνα πράττομεν ἐν οἷς οὐδὲν τῆς τοῦ σώματος ἐνεργείας δεόμεθα. Ποῦ γάρ, εἰπέ μοι, σωματικῆς χρεία δυνάμεως, ὅταν συντρίψαι δέῃ καρδίαν, ὅταν εὔξασθαι νή-* 25 *φοντα καὶ διεγηγερμένον, ὅταν ἀναλογίσασθαι τὰ ἁμαρτήματα, ὅταν καταλῦσαι τῦφον καὶ ἀπόνοιαν, ὅταν ταπεινῶσαι λογισμόν; Ταῦτα γάρ ἐστιν ἃ καὶ τὸν Θεὸν ἵλεων ἡμῖν καθίστησι, καὶ οὐ πολλοῦ δεῖται πόνου· καὶ οὐδὲ ταῦτα πράττομεν.*

10. Ἔτσι ἔπρεπε νὰ πενθῶμεν τὴν ἀπώλειαν τῆς σωτηρίας μας, διὰ νὰ μὴ εἴπω τίποτε περισσότερον. Μὲ τόσον μεγάλην ἐπιθυμίαν καὶ προθυμίαν ἔπρεπεν τὸ βλέμμα τῆς ψυχῆς ὅλων τῶν ἀνθρώπων ἐκεῖ νὰ εἶναι προσηλωμένον καὶ ὅλα νὰ μᾶς εἶναι ἐνθύμησις καὶ ἀναπαράστασίς της. Τώρα ὅμως ἐνῷ ὅσοι χάνουν τέκνα καὶ γυναῖκας μὲ τίποτε ἄλλο δὲν ἀπασχολοῦν τὸν νοῦν των, εἰ μὴ μόνον μὲ τὸ νὰ ἀναπλάσσουν εἰς τὴν μνήμην των τὴν μορφὴν τῶν ἀποθανόντων, ἡμεῖς ποὺ ἀπωλέσαμεν τὴν βασιλείαν τῶν οὐρανῶν ἀντιθέτως σκεπόμεθα περισσότερον ὅλα τὰ ἄλλα μᾶλλον παρὰ ἐκείνην. Ἐξ ἐκείνων κανεὶς βεβαίως, καὶ ἂν ἀκόμη ἀνήκῃ εἰς βασιλικὸν γένος, δὲν αἰσχύνεται διὰ τὸν νόμον τοῦ πένθους, ἀλλὰ καὶ εἰς τὸ ἔδαφος θὰ καθίσῃ καὶ πικρὰ θὰ θρηνήσῃ καὶ ἐνδύματα θὰ ἀλλάξῃ καὶ ὅλα τὰ ἄλλα τῆς συμφορᾶς ἐκείνης θὰ ὑπομείνῃ μὲ πολλὴν προθυμίαν. Δὲν θὰ ὑπολογίσῃ δὲ οὔτε ἀνατροφήν, οὔτε τὴν κρᾶσιν τοῦ σώματος οὔτε τὰς νόσους ποὺ προκαλοῦνται ἀπὸ ἐκείνην τὴν ταλαιπωρίαν, ἀλλὰ μὲ μεγάλην εὐκολίαν θὰ τὰ ὑπομείνῃ ὅλα.

Αὐτὰ βεβαίως καὶ περισσότερα ἀπὸ αὐτὰ πράττουν ὄχι μόνον ἄνδρες, ἀλλὰ καὶ γυναῖκες. Ἡμεῖς δὲ ποὺ πενθοῦμεν ὄχι τέκνα οὔτε γυναῖκας, ἀλλὰ τὴν ἀπώλειαν τῆς ψυχῆς, καὶ μάλιστα ὄχι ξένης ψυχῆς ἀλλὰ τῆς ἰδικῆς μας, προφασιζόμεθα ἀσθένειαν σώματος καὶ τρυφερότητα ἀνατροφῆς. Καὶ εἴθε νὰ ἦτο μόνον τοῦτο τὸ κακόν! Τώρα μάλιστα δὲν πράττομεν οὔτε ἐκεῖνα διὰ τὰ ὁποῖα καμμίαν σωματικὴν προσπάθειαν δὲν χρειαζόμεθα. Διότι, εἰπέ μου, ποῦ ἀπαιτεῖται σωματικὴ δύναμις, ὅταν πρέπει κανεὶς νὰ αἰσθανθῇ συντριβὴν τῆς καρδίας, ὅταν πρέπει νὰ προσευχηθῇ μὲ τὸ πνεῦμα νηφάλιον καὶ ἐγρήγορον, ὅταν πρέπει νὰ ἀναλογισθῇ τὰ ἁμαρτήματά του, ὅταν πρέπει νὰ καταργήσῃ τὴν οἴησιν καὶ τὴν ἀπελπισίαν, ὅταν πρέπει νὰ ταπεινώσῃ τὸν ὑπερήφανον λογισμόν; Διότι αὐτὰ τὰ πράγματα καὶ τὸν Θεὸν ἵλεων ἀπέναντί μας καθιστοῦν καὶ δὲν χρειάζονται πολὺν κόπον· καὶ πάλιν καὶ αὐτὰ δὲν τὰ κάμνομεν.

Οὐδὲ γὰρ σάκκου περιβολή, οὐδὲ τὸ ἐν οἰκίσκῳ κατακλεῖσαι ἑαυτόν, οὐδὲ τὸ καθίσαι ἐν σκότῳ, τοῦτο μόνον ἐστὶ τὸ πενθεῖν, ἀλλὰ τὸ διαπαντὸς τὴν μνήμην τῶν οἰκείων ἀναστρέφειν κακῶν, καὶ βασανίζειν τὸ συνειδὸς τούτοις τοῖς 5 *λογισμοῖς, τὸ συνεχῶς ἀναμετρεῖν τῆς ὁδοῦ τὸ μῆκος, ὅσον ἀπολειπόμεθα τῆς βασιλείας τῶν οὐρανῶν.*

Καὶ πῶς τοῦτο ἔσται φησί; Πῶς; ἂν τὴν γέενναν ἔχωμεν ἀεὶ πρὸ τῶν ὀφθαλμῶν, καὶ τοὺς πανταχοῦ τότε διατρέχοντας ἀγγέλους, καὶ συνάγοντας ἐκ τῆς οἰκουμένης ἁ- 10 *πάσης τοὺς ἐν τῇ γεέννῃ ἀπαχθήσεσθαι μέλλοντας· ἂν τὴν ἔκπτωσιν λογισώμεθα τῆς βασιλείας, ὅσον κακόν, καὶ τῆς γεέννης χωρίς. Καὶ γάρ, εἰ μὴ τὸ πῦρ ἐκεῖνο ἠπείλητο ἡμῖν, μηδὲ ἀθάνατοι κολάσεις ἡμᾶς ἔμενον, αὐτὸ μόνον τὸ ἀλλοτριωθῆναι τοῦ Χριστοῦ, τοῦ πράου καὶ φιλανθρώπου, τοῦ* 15 *παραδόντος ἑαυτὸν ὑπὲρ ἡμῶν εἰς θάνατον, καὶ πάντα παθόντος, ἵνα ἡμᾶς ἐξαιρήσηται τῆς κολάσεως ἐκείνης, καὶ καταλλάξῃ ἡμᾶς τῷ ἑαυτοῦ Πατρὶ ἐχθροὺς ὄντας τοῖς πταίσμασιν, εἰ καὶ μὴ τῶν προκειμένων ἐκείνων ἀνεκλαλήτων ἀγαθῶν καὶ ἀθανάτων ἐκπίπτειν μέλλομεν, πάσης κολάσεως* 20 *μεῖζόν ἐστι καὶ ἱκανὸν διεγεῖραι ψυχὰς καὶ πεῖσαι νήφειν διαπαντός.*

Εἰ γὰρ ἀναγινώσκοντες μόνον τὸ ὑπόδειγμα τῶν πέντε παρθένων, ἃς ἔξω τοῦ νυμφῶνος ἡ τοῦ ἐλαίου σπάνις ἀπέκλεισεν, ἐξ ἴσης ἐκείναις αὐταῖς ἀλγοῦμεν ἐπὶ τοῖς ἐ- 25 *κείνων κακοῖς, καὶ θορυβούμεθα· ἂν ἐννοήσωμεν ὅτι καὶ αὐτοὶ τοῦτο πεισόμεθα ῥαθυμήσαντες, τίς οὕτως ἔσται λίθινος λοιπόν, ὡς, τοῦ παραδείγματος αὐτὸ τοῦτο συνεχῶς στρέφοντος τὴν ψυχήν, εἰς ὀλιγωρίαν ἐμπεσεῖν;*

Ἐνῆν μὲν οὖν καὶ εἰς μεῖζον μῆκος ἐκτεῖναι τὸν λόγον, 30 *ἀλλ' ἐπειδὴ μόνον ὑπακοῆς καὶ οὐκ ἄλλης χρείας ἕνεκεν ἡ-*

Διότι πένθος δὲν εἶναι μόνον ἡ ἔνδυσις τοῦ πενθίμου σάκκου οὔτε ἡ ἔγκλεισις εἰς κελλίον οὔτε τὸ νὰ καθίσῃ κανεὶς εἰς τὸ σκότος, ἀλλὰ τὸ νὰ φέρῃ κανεὶς συνεχῶς εἰς τὴν μνήμην του τὰ ἰδικά του ἁμαρτήματα καὶ νὰ βασανίζῃ τὴν συνείδησιν μὲ αὐτὰς τὰς σκέψεις, τὸ νὰ μετρῇ ἀδιακόπως τὸ μῆκος τῆς ὁδοῦ, δηλαδὴ πόσον μακρὰν ἀκόμη εὑρισκόμεθα ἀπὸ τὴν βασιλείαν τῶν οὐρανῶν.

Καὶ πῶς θὰ γίνῃ αὐτό; λέγει· Πῶς; Ἂν πάντοτε ἔχωμεν πρὸ ὀφθαλμῶν μας τὴν γέενναν καὶ τοὺς περιφερομένους τότε παντοῦ ἀγγέλους καὶ συναθροίζοντας ἀπὸ τὰ πέρατα τῆς οἰκουμένης τοὺς μέλλοντας νὰ ὁδηγηθοῦν εἰς τὴν γέενναν. Ἂν ἀναλογισθῶμεν τὸν ἀποκλεισμόν μας ἀπὸ τὴν βασιλείαν, ποὺ εἶναι τόσον μέγα κακόν, καὶ ἂν ἀκόμη δὲν τιμωρηθῶμεν μὲ τὴν γέενναν. Διότι, καὶ ἂν ἀκόμη δὲν εἴχαμεν τὴν ἀπειλὴν ἐκείνου τοῦ πυρὸς καὶ δὲν μᾶς ἀνέμεναν αἰώνιαι τιμωρίαι, αὐτὴ καὶ μόνη ἡ ἀποξένωσις ἀπὸ τὸν Χριστόν, τὸν πρᾶον καὶ φιλάνθρωπον ποὺ ἀπέθανε διὰ τὰς ἁμαρτίας μας καὶ ἔπαθε τὰ πάντα διὰ νὰ μᾶς ἀπαλλάξῃ ἀπὸ τὴν κόλασιν ἐκείνην καὶ μᾶς συμφιλιώσῃ μὲ τὸν Θεὸν Πατέρα του, πρὸς τὸν ὁποῖον μὲ τὰ πταίσματά μας εἴμεθα ἐχθροί, καὶ ἐὰν δὲν ἐπρόκειτο νὰ ἐκπέσωμεν ἀπὸ ἐκεῖνα τὰ ἀνεκλάλητα καὶ ἀθάνατα ἀγαθά, εἶναι μεγαλυτέρα ἀπὸ κάθε τιμωρίαν καὶ ἱκανὴ νὰ διεγείρῃ τὰς ψυχάς μας καὶ νὰ τὰς κάμῃ νὰ εἶναι διὰ παντὸς ἀνύστακτοι.

Ἐὰν δὲ καὶ μόνον ἀναγινώσκοντες τὴν ἱστορίαν τῶν πέντε παρθένων, τὰς ὁποίας ἡ ἀπουσία τοῦ ἐλαίου ἀπέκλεισεν ἀπὸ τὸν νυμφῶνα, λυπούμεθα ὅσον καὶ ἐκεῖναι διὰ τὴν συμφοράν των καὶ θορυβούμεθα, ἐὰν ἀναλογισθῶμεν ὅτι καὶ ἡμεῖς θὰ πάθωμεν τὸ ἴδιον ἐφ' ὅσον δείξωμεν ραθυμίαν, ποῖος θὰ εἶναι τόσον σκληρὸς ὡς λίθος, ὥστε νὰ δείξῃ ἀμέλειαν καθ' ἣν στιγμὴν αὐτὸ τὸ ἴδιον τὸ παράδειγμα βασανίζει τὴν ψυχήν;

Θὰ ἦτο δυνατὸν νὰ μακρύνω περισσότερον τὸν λόγον μου, ἀλλ' ἐπειδὴ ἡ ἔκθεσίς μου αὐτὴ ὀφείλεται εἰς τὴν συμ-

μῖν εἴρηται, καὶ ταῦτα πέρα τοῦ δέοντος γέγραπται. Εὖ γὰρ οἶδα ὅτι πᾶσαν τῆς κατανύξεως τὴν ἀρετὴν αὐτός τε ἔχεις ἀκριβῶς, καὶ ἄλλοις ἂν μεταδοίης καὶ σιωπῶν, ἂν μόνον βραχὺ τῇ εὐλαβείᾳ συζῆσαι ἀξιωθεῖεν τῇ σῇ, καὶ τὸν ἐ-
5 *σταυρωμένον βίον ἰδεῖν. Ὥστε εἰ χρὴ κατάνυξιν μαθεῖν τοὺς μὲν νῦν ζῶντας, εἰς τὸ σὸν βαδίζειν δεῖ καταγώγιον· τοὺς δὲ μετὰ ταῦτα, ἀκούειν τὰ σά· πολλὴν γὰρ οἶμαι ῥοπὴν παρέξειν πρὸς τοῦτο τὴν διήγησιν μόνον τοῦ βίου τοῦ σοῦ.*

Διὸ δέομαι καὶ παρακαλῶ τὴν ἀμοιβὴν ἡμῖν ἀποτῖσαι λοι-
10 *πόν, καὶ τὰς εὐχὰς ἀντιδοῦναι τὰς σάς, ὥστε μὴ λέγειν περὶ κατανύξεως μόνον, ἀλλὰ καὶ διὰ τῶν ἔργων τὸ πρᾶγμα ἐπιδείκνυσθαι τοῦτο· ἐπειδὴ τὸ διδάσκειν, ἄνευ τοῦ ποιεῖν, οὐ μόνον κέρδος οὐδέν, ἀλλὰ καὶ ζημίαν πολλὴν καὶ κατάκρισιν φέρει τῷ μετὰ τοσαύτης ἀπροσεξίας διοικοῦντι τὸν βίον*
15 *τὸν ἑαυτοῦ. «Οὐ γὰρ πᾶς», φησίν, «ὁ λέγων μοι, Κύριε, Κύριε, ἀλλ' ὃς δ' ἂν ποιήσῃ καὶ διδάξῃ, οὗτος μέγας κληθήσεται ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν».*

μόρφωσιν πρὸς τὴν παράκλησίν σου καὶ ὄχι διὰ καμμίαν ἄλλην αἰτίαν, καὶ αὐτὰ ποὺ ἔχουν γραφῆ εἶναι πέραν τοῦ δέοντος. Διότι γνωρίζω καλῶς ὅτι ἐσὺ κατέχεις καλῶς ὁλόκληρον τὴν ἀρετὴν τῆς κατανύξεως καὶ εἰς ἄλλους θὰ ἠμποροῦσες νὰ τὴν μεταδώσῃς καὶ σιωπῶν ἀκόμη, ἂν ἤθελαν νὰ ζήσουν μαζί σου ἔστω καὶ δι' ὀλίγον καὶ νὰ γνωρίσουν τὸν ἐσταυρωμένον βίον. Ὥστε λοιπὸν ἐὰν χρειασθῇ νὰ πληροφορηθοῦν περὶ κατανύξεως οἱ μὲν σύγχρονοί μας πρέπει νὰ ἔλθουν εἰς τὸ ἡσυχαστήριόν σου, οἱ δὲ μεταγενέστεροι νὰ ἀκούουν τὰ ἰδικά σου ἀσκητικὰ κατορθώματα. Διότι νομίζω ὅτι καὶ μόνη ἡ διήγησις περὶ τοῦ βίου σου θὰ δώσῃ μεγάλην ὤθησιν εἰς τοῦτο.

Δι' αὐτὸ σὲ παρακαλῶ καὶ σὲ ἱκετεύω νὰ μᾶς παράσχῃς αὐτὴν τὴν ἀμοιβὴν καὶ νὰ μᾶς στείλῃς τὰς εὐχάς σου, ὥστε νὰ μὴ ὁμιλῶμεν μόνον περὶ κατανύξεως, ἀλλὰ καὶ μὲ τὰ ἔργα μας νὰ παρουσιάζωμεν τὸ πρᾶγμα τοῦτο. Ἐπειδὴ ἡ διδασκαλία χωρὶς τὴν ἐφαρμογὴν ὄχι μόνον δὲν δίδει κανὲν κέρδος, ἀλλὰ καὶ ζημίαν μεγάλην καὶ κατάκρισιν προξενεῖ εἰς ἐκεῖνον ποὺ μὲ τόσην ἀπροσεξίαν διάγει τὸν βίον του. «Διότι εἰς τὴν βασιλείαν τῶν οὐρανῶν θὰ ὀνομασθῇ μέγας ὄχι καθένας ποὺ μὲ προσφωνεῖ 'Κύριε, Κύριε', ἀλλ' ἐκεῖνος ποὺ θὰ ἐκτελέσῃ καὶ θὰ διδάξῃ τὰς ἐντολάς μου»[36].

---

36. Ματθ. 7, 21 καὶ 5, 19.

ΠΕΡΙ ΚΑΤΑΝΥΞΕΩΣ

ΛΟΓΟΣ ΔΕΥΤΕΡΟΣ

ΠΡΟΣ ΣΤΕΛΕΧΙΟΝ

1. Καὶ πῶς ἔνι γενέσθαι τοῦτο ὅπερ ἐπέταξας, ἅγιε τοῦ
5 *Θεοῦ ἄνθρωπε, Στελέχιε, καὶ παρὰ ψυχῆς οὕτως ἀσθενοῦς*
καὶ ψυχρᾶς τοὺς περὶ κατανύξεως ἀποτεχθῆναι λόγους; Δεῖ
γάρ, οἶμαι, τὸν μέλλοντά τι γενναῖον εἰς τὴν ὑπόθεσιν ταύ-
την ἐρεῖν, αὐτὸν πρὸ τῶν ἄλλων ἁπάντων μάλιστα πεπυρῶ-
σθαι τῷ ζήλῳ τούτῳ καὶ ἀναζεῖν, ὥστε τοὺς περὶ τούτων
10 *προφερομένους λόγους παντὸς πεπυρακτωμένου σιδήρου*
σφοδρότερον εἰς τὰς τῶν ἀκουόντων ἐμπίπτειν ψυχάς. Ἡ-
μῖν δὲ τοῦτο οὐ πάρεστι τὸ πῦρ, ἀλλὰ πάντα τὰ ἔνδον τέφρα
καὶ κόνις. Πόθεν οὖν, εἰπέ μοι, πόθεν τὴν φλόγα ταύτην
ἀνακαύσομεν, μήτε σπινθῆρος ὄντος ἡμῖν, μήτε ὕλης ὑπο-
15 *κειμένης, μήτε πνεύματος τοῦ ταύτην ἀναρριπίζοντος παρα-*
γινομένου, διὰ τὴν πολλὴν ἀχλὺν ἣν τὸ τῶν ἁμαρτημάτων
πλῆθος κατεσκέδασεν ἡμῶν τῆς ψυχῆς; Ἐγὼ μὲν οὐκ οἶδα·
σὸν δ' ἂν εἴη λοιπὸν τοῦ προστάττοντος εἰπεῖν ὅπως εἰς ἔρ-
γον ἔλθοι τὸ ἐπίταγμα, καὶ τὸ προσῆκον ἀπολάβοι τέλος· ἡ-
20 *μεῖς μὲν γὰρ τὴν ἀπὸ τῆς γλώττης παρεξόμεθα διακονίαν.*
Σὺ δὲ παρακάλει τὸν ἰώμενον τοὺς συντετριμμένους τὴν καρ-
δίαν, τὸν διδόντα τοῖς ὀλιγοψύχοις μακροθυμίαν, τὸν ἐγεί-
ροντα ἀπὸ τῆς γῆς πτωχόν, ἀνάψαι τὸ πῦρ ἐκεῖνο παρ' ἡμῖν,
ὃ πᾶσαν μὲν ἀνθρωπίνην ἀσθένειαν ἀναλίσκειν εἴωθε, πάντα
25 *δὲ ὕπνον καὶ ἀκηδίαν καὶ βαρύτητα σαρκικὴν περικόψαι,*
μετεωρίζει μὲν τῆς ψυχῆς τὸ πτερὸν πρὸς οὐρανόν, δείκνυ-
σι δὲ ἀπὸ τῆς ἀψῖδος ἐκείνης, καθάπερ ἔκ τινος ἀπόπτου
κορυφῆς, ἅπασαν τοῦ παρόντος βίου τὴν φαντασίαν καὶ τὴν

ΠΕΡΙ ΚΑΤΑΝΥΞΕΩΣ

ΛΟΓΟΣ ΔΕΥΤΕΡΟΣ

ΠΡΟΣ ΣΤΕΛΕΧΙΟΝ

1. Πῶς ἠμπορεῖ νὰ γίνῃ αὐτὸ ποὺ παρήγγειλες, ἅγιε τοῦ Θεοῦ ἄνθρωπε Στελέχιε, καὶ νὰ προέλθουν λόγοι περὶ κατανύξεως ἀπὸ ψυχὴν τόσον ἀσθενῆ καὶ ψυχράν; Διότι νομίζω ὅτι ἐκεῖνος ποὺ πρόκειται νὰ εἴπῃ κάτι σπουδαῖον σχετικῶς, πρέπει πρὶν ἀπὸ ὅλους τοὺς ἄλλους νὰ ἔχῃ πυρωθῆ ὁ ἴδιος ἀπὸ αὐτὸν τὸν ζῆλον καὶ νὰ ἀναλαμβάνῃ συνεχῶς νέας δυνάμεις, ὥστε οἱ λόγοι του νὰ ἐγγίζουν τὰς ψυχὰς τῶν ἀκροατῶν δριμύτερον καὶ ἀπὸ κάθε πυρακτωμένον σίδηρον. Εἰς ἐμὲ ὅμως δὲν ὑπάρχει τοῦτο τὸ πῦρ, ἀλλὰ ὅλα μέσα μου εἶναι στάκτη καὶ σκόνη. Ἀπὸ ποῦ λοιπόν, εἰπέ μου, ἀπὸ ποῦ νὰ ξανανάψω αὐτὴν τὴν φλόγα, ἀφοῦ οὔτε σπινθὴρ δὲν ὑπάρχει ἐντός μου οὔτε καύσιμος ὕλη οὔτε πνοὴ ἀνέμου διὰ νὰ τὴν ἀναρριπίσῃ, λόγῳ τῆς μεγάλης καταχνιᾶς, τὴν ὁποίαν ἐξήπλωσεν ἐπάνω εἰς τὴν ψυχήν μου τὸ πλῆθος τῶν ἁμαρτημάτων; Ἐγὼ λοιπὸν δὲν γνωρίζω πῶς. Δι' αὐτὸ ἰδικόν σου ἔργον εἶναι τὸ πῶς θὰ πραγματοποιηθῇ ἡ προσταγὴ καὶ θὰ φθάσῃ εἰς τὸ κατάλληλον τέλος. Καὶ ἐγὼ μὲν θὰ διαθέσω τὴν διακονίαν τῆς γλώσσης, ἐσὺ ὅμως παρακάλει τὸν ἰατρεύοντα τοὺς συντετριμμένους κατὰ τὴν καρδίαν, τὸν παρέχοντα μακροθυμίαν εἰς τοὺς ὀλιγοψύχους, τὸν ἐγείροντα ἀπὸ γῆς τὸν πτωχόν, νὰ ἀνάψῃ καὶ εἰς ἐμὲ ἐκεῖνο τὸ πῦρ, τὸ ὁποῖον κατατρώγει κάθε ἀνθρωπίνην ἀδυναμίαν καὶ κάθε ὕπνον, ἀκηδίαν καὶ ὀκνηρίαν σωματικήν, μετεωρίζει δὲ τὴν ψυχὴν εἰς τὸν οὐρανὸν καὶ ἀπὸ ἐκεῖνον τὸν θόλον τῆς δεικνύει, ὡσὰν ἀπὸ κάποιον παρατηρητήριον, ὅλην τὴν φαντασμαγορίαν καὶ ἀπατηλότητα τοῦ βίου. Διότι ὅποιος δὲν ἠμπόρεσε νὰ ἀναβῇ

ὑπόκρισιν. Τὸν γὰρ μὴ δυνηθέντα ἀναπτῆναι ἐκεῖ, μηδὲ ἐν ταύτῃ καθίσαι τῇ περιωπῇ, οὐκ ἔνι τὴν γῆν ἰδεῖν, οὐδὲ τὰ ἐν τῇ γῇ πράγματα, οὕτως ὡς ἰδεῖν ἄξιον.

Ἐπεὶ γὰρ πολλὰ μὲν τὰ ἐπισκοτοῦντα τῇ ὄψει, πολλὰ 5 *δὲ τὰ θορυβοῦντα τὴν ἀκοήν, καὶ τὴν γλῶτταν ὑποσκελίζοντα, δεῖ πάσης ἑαυτὸν ὑπεξαγαγόντα τῆς ταραχῆς καὶ τοῦ καπνοῦ, πρὸς ἐκείνην ἀναχωρῆσαι τὴν ἐρημίαν, ἔνθα πολλὴ μὲν ἡ γαλήνη, λαμπρὰ δὲ ἡ αἰθρία, θόρυβος δὲ οὐδείς, ἀλλὰ πεπήγασι μὲν ἀκλινεῖς οἱ ὀφθαλμοὶ πρὸς τὸν τοῦ Θεοῦ πόθον* 10 *ἐνορῶντες ἀτενές, ἑστήκασι δὲ ἀτρεμεῖς αἱ ἀκοαί, πρὸς ἓν μόνον ἠσχολημέναι, τὴν τῶν θείων λογίων ἀκρόασιν, καὶ τῆς παναρμονίου καὶ πνευματικῆς ἐπακούουσαι συμφωνίας, ἧς ἡ τυραννὶς οὕτω κρατεῖ τῆς ἅπαξ ἁλούσης ψυχῆς, ὡς μήτε σῖτα, μήτε ποτόν, μήτε ὕπνον αἱρεῖσθαι μεθ' ἡδονῆς* 15 *τὸν ὑπ' ἐκείνης ἐφελκυσθέντα τῆς μελῳδίας.*

Οὐκοῦν οὔτε πραγμάτων θόρυβος βιωτικῶν, οὔτε σωματικῶν ὄχλος πολλῶν, χαλάσαι τὸν τόνον ἐκεῖνον ἰσχύσειεν ἄν. Οὐδὲ γὰρ ἐξικνεῖται πρὸς τοῦτο τῆς ψυχῆς τὸ ὕψος ἡ ἐκ τῆς κάτω γινομένης ζάλης ἀνιοῦσα κραυγή· ἀλλ' ὥσπερ 20 *οἱ πρὸς τὰ ὑψηλότατα τῶν ὀρῶν μεταναστάντες, οὐδὲν ἂν ἔτι ἀκούσαιεν, οὐδὲ θεάσαιντο τῶν ἐν τῇ πόλει γινομένων ἢ λεγομένων, ἀλλ' ἀσήμου τινὸς μόνον καὶ ἀτερποῦς ὑπακούσαιεν κραυγῆς, καὶ σφηκῶν βομβούντων οὐδὲν ἥδιον· οὕτως οἱ τῶν βιωτικῶν ἑαυτοὺς ἐξαγαγόντες, καὶ πρὸς τὸ ὕψος* 25 *τῆς πνευματικῆς ἀναπτάντες φιλοσοφίας, οὐδενὸς ἐπαισθάνονται τῶν παρ' ἡμῖν.*

Τὸ γὰρ σῶμα, καὶ αἱ τοῦ σώματος αἰσθήσεις, ἕως μὲν ἂν περὶ γῆν ἡ ψυχὴ στρέφηται, μυρίοις αὐτὴν περιβάλλουσι τοῖς δεσμοῖς, πάντοθεν τὸν χαλεπὸν τῶν ἐπικήρων τέρ- 30 *ψεων χειμῶνα συνάγουσαι· καὶ γὰρ ἀκοὴ καὶ ὄψις καὶ ἁφὴ καὶ ὄσφρησις καὶ γλῶττα πολλὰ τῶν ἔξωθεν εἰς αὐτὴν ἐναποτίθενται κακῶν. Ὅταν δὲ μετέωρος γένηται, καὶ πρὸς τὰ*

ἐκεῖ ἐπάνω καὶ καθίσῃ εἰς τὸ ὑψηλὸν ἐκεῖνο μέρος, δὲν ἠμπορεῖ νὰ ἴδῃ τὴν γῆν καὶ τὰ ὑπάρχοντα ἐπάνω εἰς αὐτήν, ὅπως ἀξίζει νὰ τὰ ἴδῃ.

Ἐπειδὴ δὲ ὑπάρχουν πολλὰ πράγματα ποὺ σκοτίζουν τοὺς ὀφθαλμοὺς καὶ προξενοῦν θόρυβον εἰς τὰ ὦτα καὶ περιπλέκουν τὴν γλῶσσαν, δι' αὐτὸ πρέπει κανείς, ἀφοῦ ἀποτραβηχθῇ ἀπὸ τὴν ταραχὴν καὶ τὸν καπνόν, νὰ ἀναχωρήσῃ πρὸς τὴν ἐρημίαν ἐκείνην, ὅπου ἡ γαλήνη εἶναι μεγάλη καὶ ἡ αἰθρία ἄπλετος καὶ κανεὶς θόρυβος δὲν ἀκούεται, ἀλλ' ἔχουν προσηλωθῇ ἀκλινεῖς οἱ ὀφθαλμοὶ εἰς τὸν θεῖον πόθον, ἀτενίζοντες μὲ προσοχήν, καὶ τὰ ὦτα ἔχουν μείνει ἥσυχα, ἀπασχολούμενα μὲ τὴν ἀκρόασιν τῶν θείων λόγων μόνον καὶ τὴν ἐντρύφησιν τῆς παναρμονίου καὶ πνευματικῆς ἐκείνης συμφωνίας, τῆς ὁποίας ἡ τυραννὶς τόσον διακατέχει τὴν κυριευθεῖσαν ψυχήν, ὥστε οὔτε τροφάς, οὔτε ποτόν, οὔτε ὕπνον νὰ προτιμᾷ ἐκεῖνος ποὺ ἔχει αἰχμαλωτισθῇ ἀπὸ ἐκείνην τὴν μελῳδίαν.

Ἔτσι λοιπὸν οὔτε ὁ θόρυβος τῶν βιωτικῶν πραγμάτων, οὔτε τὸ πλῆθος τῶν σωματικῶν θὰ ἠμποροῦσε νὰ χαλαρώσῃ ἐκεῖνον τὸν τόνον. Οὔτε δὲ ἡ βοή, ἡ προερχομένη ἀπὸ τὴν ζάλην τῶν ἐπιγείων, φθάνει εἰς τὸ ὕψος ἐκεῖνο τῆς ψυχῆς· ἀλλ' ὅπως οἱ ἀνελθόντες εἰς ὑψηλότατα ὄρη, τίποτε δὲν θὰ ἠμποροῦσαν νὰ ἀκούσουν ἢ νὰ ἴδουν ἀπὸ ὅσα γίνονται ἢ ἀκούονται εἰς τὴν πόλιν, ἐκτὸς ἀπὸ κάποιον ἀκατανόητον καὶ κακόηχον θόρυβον, ποὺ δὲν διαφέρει ἀπὸ τὸν βόμβον τῶν σφηκῶν, ἔτσι καὶ ὅσοι ἐγκατέλειψαν τὰ βιωτικὰ καὶ ἀνῆλθαν εἰς τὸ ὕψος τῆς πνευματικῆς ζωῆς τίποτε δὲν αἰσθάνονται ἀπὸ τὰ ὅσα συμβαίνουν εἰς τὴν παροῦσαν ζωήν.

Διότι ὅσον χρόνον ἡ ψυχὴ προσέχει εἰς τὰ γήϊνα, τὴν περισφίγγουν μὲ πολλὰ δεσμά, μὲ τὸ νὰ συγκεντρώνουν γύρω της τὸν βαρὺν χειμῶνα τῶν φθαρτῶν ἀπολαύσεων. Διότι καὶ ἡ ἀκοὴ καὶ ἡ ὅρασις καὶ ἡ ἁφὴ καὶ ἡ ὄσφρησις καὶ ἡ γλῶσσα διοχετεύουν πολλὰ ἐκ τῶν ἔξω κακῶν εἰς αὐτήν. Ὅταν ὅμως μεταρσιωθῇ καὶ στρέψῃ τὴν φροντίδα

πνευματικὰ τὴν ἑαυτῆς μεταγάγῃ σχολήν, ἀπετείχισε ταῖς πονηραῖς φαντασίαις τὴν εἴσοδον, οὐκ ἐμφράξασα τὰς αἰσθήσεις, ἀλλὰ τὴν ἀκολούθησιν αὐτῶν πρὸς ἐκεῖνο μεταγαγοῦσα τὸ ὕψος.

5 *Καθάπερ γὰρ δέσποινα φοβερά τε καὶ ἐμβριθής, μύρον ἐργαζομένη ποικίλον, βαρύτιμον καὶ πολυτελές, καὶ πολλῶν εἰς τοῦτο δεομένη τῶν διακονησομένων χειρῶν, τὰς θεραπαίνας αὐτῆς ἀναστήσασα, καὶ πρὸς ἑαυτὴν ἀγαγοῦσα, τὴν μὲν κοσκίνῳ τὸ μηδέπω κατειργασμένον τῶν ἀρωμάτων ἀ-*
10 *ποκρίνειν ἐκέλευσε, τὴν δ' αὖ ζυγὰ καὶ σταθμὰ λαβοῦσαν σκοπεῖν ἀκριβῶς, ὅπως μήτε ἔλαττον, μήτε πλέον τοῦ δέοντος ὑπεισελθὸν τῆς τοῦ παντὸς κατασκευῆς τὴν συμμετρίαν λυμήνηται, καὶ τὴν μὲν ἕψειν τὰ τούτου δεόμενα, τὴν δὲ τρίβειν ὅσα μὴ καλῶς ἔχει, τὴν δὲ ἕτερα φύρειν καὶ ἀναμιγνύ-*
15 *ναι τοῖς ἄλλοις, τὴν δὲ ἀλάβαστρον ἔχουσαν ἑστάναι· τὴν δὲ ἄγγος ἕτερον καὶ ἄλλην ἄλλο τι μεταχειρίζειν, καὶ οὕτως αὐτῶν τήν τε διάνοιαν καὶ τὰς χεῖρας ἐκείνῳ προσηλώσασα τῷ ἔργῳ, οὐκ ἐᾷ διαφθαρῆναί τι τῇ σπουδῇ, ἐφεστῶσα διόλου, καὶ μὴ συγχωροῦσα πλανᾶσθαι ἔξω καὶ κεχηνέναι τὰς*
20 *ὄψεις· οὕτω καὶ ἡ ψυχὴ τὸ πολυτελὲς τοῦτο μύρον κατασκευάζουσα, τὴν κατάνυξιν λέγω, τὰς αἰσθήσεις ἄγει πρὸς ἑαυτήν, τὴν ῥαθυμίαν αὐτῶν περικόπτουσα. Αὐτίκα γοῦν εἴ ποτε συμβαίη συστρέψασαν ἑαυτὴν λογίζεσθαί τι τῶν δεόντων καὶ θεοφιλῶν, ἐρήμους τῶν ἐνεργειῶν τὰς αἰσθήσεις καθίστη-*
25 *σιν, ὥστε μηδὲν τῶν περιττῶν ἐπεισαγούσας ἀκαίρως διαταράξαι τὴν ἔνδον γινομένην ἡσυχίαν αὐτῇ. Διὸ καὶ προσπίπτουσι μὲν φωναὶ ταῖς ἀκοαῖς, καὶ θεωρίαι ταῖς ὄψεσι· παραπέμπεται δὲ ἔνδον οὐδέν, τῆς ἑκάστου τούτων ἐνεργείας τῶν μελῶν ἐστραμμένης πρὸς τὴν ψυχήν. Καὶ τί λέγω φω-*
30 *νὰς καὶ θεωρίας, ὅπου γε πολλοὶ τῶν ἐν ταύτῃ γενομένων*

της εἰς τὰ πνευματικά, φράζει τὴν εἴσοδον εἰς τὰς πονηρὰς φαντασίας, χωρὶς μὲ τοῦτο νὰ ἔχῃ ἀχρηστεύσει τὴν λειτουργίαν τῶν αἰσθήσεων, ἀλλὰ τὴν ἐνέργειάν των ἀναβιβάζει εἰς ἐκεῖνο τὸ ὕψος.

Συμβαίνει δὲ ὅ,τι μὲ μίαν αὐστηρὰν καὶ σοβαρὰν οἰκοδέσποιναν ποὺ θέλει νὰ κατασκευάσῃ μῦρον πολυσύνθετον, βαρύτιμον καὶ πολυτελὲς καὶ ἔχει ἀνάγκην πολλῶν ὑπηρετητικῶν χειρῶν, ἀφοῦ καλέσῃ τὰς δούλας της, ἄλλην μὲν προστάζει νὰ ξεχωρίσῃ μὲ τὸ κόσκινον τὸ ἀκατέργαστον τῶν ἀρωμάτων, τὴν ἄλλην δὲ πάλιν νὰ τὰ ζυγίσῃ ταῦτα μὲ ἀκριβῆ πλάστιγγα, ὥστε νὰ μὴ πέσῃ οὔτε ὀλιγώτερον οὔτε περισσότερον τοῦ δέοντος καὶ βλάψῃ τὴν ἀναλογίαν τοῦ ὅλου παρασκευάσματος, ἄλλην νὰ βράσῃ τὰ ἔχοντα ἀνάγκην βρασμοῦ, ἄλλην νὰ τρίψῃ ὅσα δὲν εἶναι καλοτριμμένα, ἄλλην νὰ ἀναμείξῃ καὶ ζυμώσῃ ἄλλα καὶ ἄλλην νὰ κρατῇ ἀλάβαστρον καὶ νὰ ἵσταται ἐκεῖ πλησίον, ἄλλην νὰ κρατῇ ἄλλο ἀγγεῖον καὶ ἄλλην κάτι ἄλλο νὰ κάμνῃ, ἔτσι δὲ προσηλώνει καὶ τὸν νοῦν καὶ τὰς χεῖρας ἐκείνων εἰς κάποιον ἔργον καὶ μὲ τὴν φροντίδα της δὲν ἐπιτρέπει νὰ χαθῇ τίποτε, διότι ἐποπτεύει τοῦ ὅλου ἔργου καὶ δὲν ἐπιτρέπει εἰς τοὺς ὀφθαλμούς των νὰ περιπλανῶνται ἔξω καὶ νὰ χάσκουν. Ἔτσι καὶ ἡ ψυχὴ κατασκευάζουσα τὸ πολυτελὲς τοῦτο μῦρον, τὴν κατάνυξιν, συναθροίζει τὰς αἰσθήσεις πλησίον της καὶ περικόπτει τὴν ραθυμίαν των. Ἐὰν λοιπὸν συμβῇ νὰ συγκεντρωθῇ εἰς τὸν ἑαυτόν της καὶ νὰ σκέπτεται κάτι ἀπὸ τὰ ὠφέλιμα καὶ θεοφιλῆ, καθιστᾷ τὰς αἰσθήσεις ἀδρανεῖς, ὥστε τίποτε τὸ περιττὸν νὰ μὴ μεταδίδουν εἰς καιρὸν ἀκατάλληλον ποὺ νὰ διαταράσσῃ τὴν ἐπικρατοῦσαν μέσα της ἡσυχίαν. Δι' αὐτό, φθάνουν μὲν μέχρι τῆς ἀκοῆς οἱ ἦχοι καὶ μέχρι τῶν ὀφθαλμῶν τὰ θεάματα, τίποτε ὅμως δὲν διοχετεύεται ἐντός, διότι ἡ ἐνέργεια τοῦ καθενὸς ἀπὸ αὐτὰ τὰ μέλη τοῦ σώματος εἶναι ἐστραμμένη πρὸς τὴν ψυχήν. Καὶ τί λέγω ἤχους καὶ θεάματα, καθ' ἣν στιγμὴν πολλοί, διατελοῦντες ὑπὸ τὸ κράτος αὐτῆς τῆς καταστάσεως,

τῇ καταστάσει, οὐ μόνον τοὺς παριόντας πρὸ τῶν ὀφθαλμῶν, ἀλλὰ καὶ τοὺς ἐνωθοῦντας αὐτοῖς ἀπῆλθον μὴ αἰσθόμενοι; Τοσαύτη γὰρ τῆς ψυχῆς ἡ ἀρετή, ὡς εἶναι ῥάδιον τῷ βουλομένῳ διατρίβειν μὲν ἐπὶ τῆς γῆς, ὥσπερ δὲ ἐν οὐρανῷ 5 καθημένῳ μηδενὸς ἐπαισθάνεσθαι τῶν γινομένων ἐπὶ τῆς γῆς.

2. Τοιοῦτος ὁ μακάριος Παῦλος ἦν, ὃς τοσοῦτον ἀφειστήκει τῶν παρόντων ἁπάντων ἐν μέσαις στρεφόμενος πόλεσιν, ὅσον τῶν νεκρῶν ἀφεστήκαμεν σωμάτων ἡμεῖς. Ὅταν γὰρ λέγῃ, «ἐμοὶ κόσμος ἐσταύρωται», ταύτην λέγει τὴν ἀναι-10 σθησίαν· μᾶλλον δὲ οὐ ταύτην μόνην, ἀλλὰ καὶ ἑτέραν τοιαύτην, ὡς εἶναι τὴν προειρημένην διπλῆν. Οὐ γὰρ εἶπε μόνον, «ἐμοὶ κόσμος ἐσταύρωται», καὶ ἐσιώπησεν, ἀλλὰ διὰ τῆς ἐπαγωγῆς καὶ ἑτέραν ἐδήλωσεν εἰπών, ὅτι «κἀγὼ τῷ κόσμῳ». Μεγάλη μὲν οὖν φιλοσοφία καὶ τὸ νομίζειν νεκρὸν 15 εἶναι τὸν κόσμον, πλείων δὲ ταύτης καὶ πολλῷ μείζων τὸ καὶ αὐτὸν ὡς τεθνηκότα διακεῖσθαι πρὸς ἐκεῖνον. Ὅπερ οὖν ὁ Παῦλος ἐνέφηνε τοιοῦτον δή τί ἐστι· λέγει γὰρ οὐ τοσοῦτον ἀπέχειν τῶν παρόντων, ὅσον οἱ ζῶντες τῶν νεκρωθέντων, ἀλλ' ὅσον οἱ νεκροὶ τῶν νεκρῶν. Διότι ὁ μὲν 20 ζῶν εἰ καὶ μὴ ἐπιθυμεῖ τοῦ τετελευτηκότος, ἀλλ' ἑτέρως αἰσθάνεται, ἢ καὶ θαυμάζων ἔτι τὸ κάλλος τοῦ κειμένου, ἢ καὶ ἐλεῶν αὐτὸν καὶ δακρύων· ὁ δὲ νεκρὸς πρὸς τὸν ἀπελθόντα οὐδὲ ταύτην ἔχει τὴν σχέσιν καὶ τὴν διάθεσιν. Τοῦτο τοίνυν ἐμφῆναι βουλόμενος, εἰπών, «ἐμοὶ κόσμος ἐ-25 σταύρωται», ἐπήγαγε, «κἀγὼ τῷ κόσμῳ». Ὁρᾷς πόσον ἀφειστήκει τῆς οἰκουμένης, πῶς ἐν τῇ γῇ βαδίζων πρὸς αὐτὴν ἀνεπεπηδήκει τοῦ οὐρανοῦ τὴν κορυφήν;

Μὴ γάρ μοι τὰς ἀκρωρείας εἴπῃς τῶν ὀρῶν, μηδὲ νάπας καὶ φάραγγας καὶ ἐρημίαν ἄβατον· οὐδὲ γὰρ ἱκανὰ

1. Γαλ. 6, 14.

ὄχι μόνον τοὺς πρὸ τῶν ὀφθαλμῶν των διερχομένους δὲν ἀντιλαμβάνονται ἀλλὰ καὶ ἐκείνους ποὺ τυχὸν ἐσκόνταψαν καθ' ὁδὸν ἐπάνω των; Διότι εἶναι τόσον μεγάλη ἡ ἀρετὴ τῆς ψυχῆς, ὥστε εἶναι εὔκολον εἰς ὅποιον θέλει νὰ ζῇ μὲν ἐπὶ τῆς γῆς, ἀλλὰ νὰ μὴ ἀντιλαμβάνεται τίποτε ἐξ ὅσων συμβαίνουν ἐπάνω εἰς τὴν γῆν, ὡσὰν νὰ κάθεται εἰς τὸν οὐρανόν.

2. Τέτοιος ἦτο καὶ ὁ ἀπόστολος Παῦλος, ὁ ὁποῖος, ἐνῷ ἔζη ἐν μέσῳ τῶν πόλεων, τόσον ξένος ἦτο πρὸς τὰ ἐγκόσμια, ὅσον διαφέρομεν ἡμεῖς ἀπὸ τὰ νεκρὰ σώματα. Διότι ὅταν λέγῃ «ἐμοὶ κόσμος ἐσταύρωται», ἐννοεῖ αὐτὴν τὴν ἀπάθειαν καὶ μᾶλλον ὄχι μόνον αὐτήν, ἀλλὰ καὶ κάποιαν ἄλλην ἀκόμη, ὡσὰν ἡ προαναφερθεῖσα νὰ εἶναι διπλῆ. Διότι δὲν εἶπε μόνον «ἐμοὶ κόσμος ἐσταύρωται»[1] καὶ ἐσιώπησεν, ἀλλὰ μὲ τὴν προσθήκην ἐδήλωσε καὶ ἄλλην, λέγων, ὅτι «κἀγὼ τῷ κόσμῳ». Μεγάλη λοιπὸν φιλοσοφία εἶναι καὶ τὸ νὰ νομίζῃ κανεὶς ὅτι εἶναι νεκρὸς ὁ κόσμος, πολὺ μεγαλυτέρα ὅμως τὸ νὰ διάκειται ὁ ἴδιος ὡς νεκρὸς ἔναντι ἐκείνου. Καὶ ἐπομένως αὐτὸ ποὺ λέγει ὁ Παῦλος σημαίνει τοῦτο· δηλαδὴ λέγει ὅτι εἶναι ξένος πρὸς τὰ τοῦ κόσμου ὄχι ὅσον οἱ ζῶντες πρὸς τοὺς νεκρούς, ἀλλ' ὅσον οἱ νεκροὶ πρὸς τοὺς νεκρούς. Διότι ὅποιος ζῇ, μολονότι δὲν ζηλεύει τὴν τύχην τοῦ ἀποθανόντος, ὅμως αἰσθάνεται διαφορετικῶς ἢ θαυμάζων τὸ κάλλος τοῦ προκειμένου νεκροῦ, ἢ λυπούμενος δι' αὐτὸν καὶ δακρύζων· ὁ νεκρὸς ὅμως οὔτε καὶ αὐτὴν τὴν σχέσιν καὶ διάθεσιν ἐκδηλώνει πρὸς τὸν ἀπελθόντα. Τοῦτο λοιπὸν θέλων νὰ δείξῃ, εἰς τὸ «ἐμοὶ κόσμος ἐσταύρωται» προσέθεσε, «κἀγὼ τῷ κόσμῳ». Βλέπεις πόσον μακρὰν εὑρίσκετο ἀπὸ ὅλον τὸν κόσμον, πῶς ἐπὶ τῆς γῆς βαδίζων εἶχεν ἤδη ἀναπηδήσει πρὸς αὐτὴν τὴν κορυφὴν τοῦ οὐρανοῦ;

Καὶ μὴ μοῦ εἴπῃς ὅτι εἶναι ἄβατα αἱ κορυφαὶ τῶν ὀρέων καὶ αἱ κοιλάδες καὶ τὰ φαράγγια καὶ ἡ ἔρημος· οὔτε δὲ εἶναι ἀρκετὰ μόνα αὐτὰ νὰ ἀποδιώξουν τὸν θόρυβον τῆς

ταῦτα μόνα ψυχῆς θόρυβον ἐξελεῖν· ἀλλὰ δεῖ τῆς φλογὸς ἐκείνης, ἣν ἀνῆψε μὲν ὁ Χριστὸς ἐν τῇ τοῦ Παύλου ψυχῇ, ἔτρεφε δὲ ὁ μακάριος ἐκεῖνος διὰ τούτου τοῦ πνευματικοῦ λογισμοῦ, καὶ πρὸς τοσοῦτον ὕψος ἐπῆρεν, ὡς κάτωθεν ἀρξα-
5 *μένην ἀπὸ τῆς γῆς, πρὸς αὐτὸν φθάσαι τὸν οὐρανόν, καὶ τὸν ὑπὲρ τοῦτον οὐρανόν, καὶ τὸν μετ' ἐκεῖνον πάλιν. Αὐτὸς μὲν γὰρ ἕως τρίτου ἡρπάγη οὐρανοῦ· ὁ δὲ πόθος αὐτοῦ καὶ ἡ πρὸς τὸν Χριστὸν ἀγάπη οὐ τρεῖς μόνον, ἀλλὰ καὶ πάντας τοὺς οὐρανοὺς ὑπερηκόντισε. Τὸ μὲν γὰρ σῶμα βραχὺς ἦν,*
10 *καὶ πλέον ἡμῶν κατὰ τοῦτο εἶχεν οὐδέν· τῇ δὲ πνευματικῇ διαθέσει πάντας τοὺς ὄντας ἀνθρώπους ἐπὶ τῆς γῆς ἐκ πολλοῦ τοῦ περιόντος παρήλασεν. Καὶ οὐκ ἄν τις ἁμάρτοι τούτου γε ἕνεκα τοιαύτῃ τινὶ τὸν ἅγιον ἐκεῖνον εἰκόνι παραβαλών, ὥσπερ ἂν εἴ τις φλὸξ τὰ νῶτα πάσης ἐπισχοῦσα τῆς γῆς, καὶ*
15 *πρὸς ὕψος ἀρθεῖσα πάντοθεν παρέλθοι τὴν οὐράνιον ἀψῖδα, καὶ τὸν ὑπὲρ ταύτης ἀέρα διαδραμοῦσα, εἴτε ἀήρ ἐστι, εἴθ' ὅ τί ποτε, πληρώσαι τοῦ πυρὸς τὸ μέσον τῶν δύο τούτων οὐρανῶν, καὶ μηδὲ ἐνταῦθα σταίη τοῦ δρόμου, ἀλλὰ καὶ πρὸς τὸν τρίτον ἀθρόως ἐκπηδήσασα ἀναβαίη, καὶ πάντα*
20 *ἐργάσαιτο μίαν πυράν, τοσοῦτον μὲν ἔχουσαν πλάτος, ὅσον τὸ εὖρος πάσης τῆς γῆς, τοσοῦτον δὲ ὕψος, ὅσον ἀπὸ τοῦ τρίτου οὐρανοῦ πρὸς ἡμᾶς. Μᾶλλον δὲ οὐδὲ τὸ πολλοστὸν τῆς ἀγάπης αὐτοῦ μέρος εἰρηκέναι μοι δοκῶ.*

Καὶ ὅτι οὐχ ὑπερβολή ἐστι τὰ ῥήματα, εἴσεταί τις ἀ-
25 *κριβῶς τὰ πρὸς Δημήτριον ἡμῖν ταύτης ἕνεκεν γραφέντα τῆς ὑποθέσεως ἐπελθών. Οὕτω δεῖ φιλεῖν τὸν Χριστόν, οὕτω τῶν παρόντων ἀφεστάναι πραγμάτων. Τοιαύτας εἶχον καὶ οἱ ἅγιοι προφῆται ψυχάς· διὰ τοῦτο καὶ ἑτέρους ἔλαβον ὀφθαλμούς. Τὸ μὲν οὖν ἀποστῆσαι τῶν παρόντων ἑαυτούς,*
30 *τῆς ἐκείνων σπουδῆς ἦν· τὸ δὲ μετὰ ταῦτα ἑτέρας ἀνοιγῆναι*

ψυχῆς, ἀλλὰ χρειάζεται ἐκείνη ἡ φλόξ, τὴν ὁποίαν ἤναψεν εἰς τὴν ψυχὴν τοῦ Παύλου ὁ Χριστὸς καὶ τὴν ἐνίσχυσεν ὁ μακάριος ἐκεῖνος μὲ τὸν πνευματικὸν τοῦτον λογισμὸν τῆς νεκρώσεως καὶ ἡ ὁποία εἰς τόσον μέγα ὕψος ἀνῆλθεν, ὥστε ἀναβαίνουσα ἀπὸ τὴν γῆν νὰ φθάσῃ εἰς αὐτὸν τὸν οὐρανὸν καὶ τὸν παραπάνω ἀπὸ αὐτὸν καὶ πάλιν τὸν παραπάνω ἀπὸ ἐκεῖνον. Καθότι αὐτὸς μὲν ἡρπάγη μέχρι τρίτου οὐρανοῦ, ὁ πόθος του ὅμως καὶ ἡ ἀγάπη του διὰ τὸν Χριστὸν ὑπερέβαλον ὄχι μόνον τρεῖς, ἀλλὰ καὶ ὅλους μαζὶ τοὺς οὐρανούς. Διότι ὡς πρὸς μὲν τὸ σῶμα ἦτο μικρὸς καὶ εἰς αὐτὸ τίποτε περισσότερον δὲν εἶχεν ἀπὸ ἡμᾶς, κατὰ τὴν πνευματικὴν ὅμως διάθεσιν ὑπερέβη μὲ τὸ παραπάνω ὅλους τοὺς ἐπὶ τῆς γῆς ζῶντας ἀνθρώπους. Καὶ δὲν θὰ ἔσφαλλε κανεὶς ἐν προκειμένῳ, ἐὰν παρωμοίαζε τὸν ἅγιον ἐκεῖνον μὲ τὴν ἑξῆς περίπου εἰκόνα, ὡς τὴν φλόγα δηλαδὴ ἐκείνην, ἡ ὁποία, ἀφοῦ ἐκάλυψεν ὅλην τὴν γῆν καὶ ἀνῆλθε πολὺ ὑψηλά, διῆλθεν ἀπὸ παντοῦ τὸν οὐράνιον θόλον καί, ἀφοῦ ὑπερέβη τὸν ὑπεράνω αὐτοῦ εἴτε ἀὴρ εἴτε ὁ,τιδήποτε ἄλλο εἶναι τοῦτο, ἐγέμισε μὲ πῦρ τὸ μεταξὺ τῶν δύο τούτων οὐρανῶν διάστημα καὶ δὲν ἐστάθη μέχρις ἐδῶ, ἀλλὰ ἀνέβη διὰ μιᾶς μέχρι τοῦ τρίτου οὐρανοῦ καὶ τὸν πᾶν μετέβαλεν εἰς μίαν φλόγα, ἡ ὁποία εἶχε τόσον πλάτος, ὅσον εἶναι καὶ τὸ τῆς γῆς, καὶ τόσον ὕψος, ὅσον εἶναι τὸ μεταξὺ ἡμῶν καὶ τοῦ τρίτου οὐρανοῦ διάστημα. Καὶ πάλιν δὲν νομίζω ὅτι ἔχω παρουσιάσει οὔτε τὸ πολλοστημόριον τῆς ἀγάπης αὐτοῦ.

Ὅτι δὲ δὲν εἶναι ὑπερβολικὰ ὅλα αὐτὰ ποὺ εἶπα, θὰ τὰ γνωρίσῃ κανεὶς ἐπακριβῶς, ἐὰν ἀναγνώσῃ τὰ Πρὸς Δημήτριον γραφέντα ἀπὸ ἡμᾶς σχετικῶς μὲ τὴν ὑπόθεσιν αὐτήν. Τόσον πρέπει νὰ ἀγαπᾷ κανεὶς τὸν Χριστόν, τόσον νὰ εἶναι ξένος πρὸς τὰ πράγματα τοῦ κόσμου τούτου. Τοιαύτας ψυχὰς εἶχον καὶ οἱ ἅγιοι προφῆται, δι' αὐτὸ καὶ ἔλαβον ἄλλους ὀφθαλμούς. Καὶ ἡ μὲν ἀπομάκρυνσις τοῦ ἑαυτοῦ των ἀπὸ τὰ παρόντα ἀπετέλει τὴν ἰδικήν των φροντίδα.

πρὸς τὴν τῶν μελλόντων θεωρίαν ὄψεις αὐτοῖς, τῆς τοῦ Θεοῦ λοιπὸν ἐγίνετο χάριτος. Τοιοῦτος Ἐλισαῖος ἦν, ὃς ἐπειδὴ πάντων ἀπέστη τῶν βιωτικῶν, καὶ τῆς βασιλείας ἠράσθη τῆς ἐν τῷ οὐρανῷ, καὶ τὰ παρόντα διέπτυσεν ἅπαντα, βασιλείαν καὶ δυναστείαν καὶ δόξαν λέγω, καὶ τὴν παρὰ πάντων τιμήν, εἶδεν ἃ μηδεὶς ἕτερος εἶδε ποτέ, ὄρος ὁλόκληρον ἵππων καὶ πυρίνων καὶ ἁρμάτων καὶ στρατιωτῶν τοιούτων παρατάξει κρυπτόμενον.

Ὁ μὲν γὰρ τὰ παρόντα θαυμάζων, οὐκ ἂν ἀξιωθείη τῆς τῶν μελλόντων θεωρίας ποτέ· ὁ δὲ τούτων ὑπερορῶν, καὶ οὐδὲν ἄμεινον σκιᾶς καὶ ὀνείρατος αὐτὰ διακεῖσθαι νομίζων, ταχέως ἐπιτεύξεται τῶν μεγάλων ἐκείνων καὶ πνευματικῶν. Ἐπεὶ καὶ ἡμεῖς τότε τὸν πλοῦτον τὸν ἀνδράσι προσήκοντα τοῖς παισὶν ἐπιδείκνυμεν τοῖς ἡμετέροις, ὅταν ἄνδρας αὐτοὺς γενομένους ἴδωμεν, καὶ τῶν παιδικῶν ὑπερορῶντας ἁπάντων· ἕως δ' ἂν ἐκεῖνα θαυμάζωσιν, ἀναξίους τούτων εἶναι νομίζομεν. Ψυχὴ γὰρ μὴ μελετήσασα τῶν μικρῶν καὶ βιωτικῶν καταφρονεῖν, οὐ δυνήσεται θαυμάσαι τὰ ἐν τοῖς οὐρανοῖς· ὥσπερ ἐκεῖνα θαυμάζουσα, οὐ δυνήσεται τούτων μὴ καταγελᾶν. Τοῦτο καὶ ὁ μακάριος Παῦλος ἔλεγεν· εἰ γὰρ καὶ περὶ δογμάτων εἴρηται τὸ λεχθέν, ἔχοι ἂν καιρὸν καὶ περὶ τρόπων εἰρῆσθαι καὶ δωρεῶν, ὅτι «ὁ ψυχικὸς ἄνθρωπος οὐ δέχεται τὰ τοῦ πνεύματος τοῦ Θεοῦ».

3. Ὅπερ οὖν ἔφην, ἐρημίας ἐπιζητῶμεν, μὴ τὰς ἐκ τόπων μόνον, ἀλλὰ καὶ τὰς ἀπὸ τῆς προαιρέσεως, καὶ πρὸ τῶν ἄλλων ἁπάντων τὴν ψυχὴν εἰς αὐτὴν ἄγωμεν τὴν ἀοίκητον. Μετὰ γὰρ τῆς τοιαύτης καταστάσεως καὶ ὁ μακάριος Δαυῒδ πόλιν οἰκῶν, καὶ βασιλείαν οἰκονομῶν, καὶ μυρίαις περιβεβλημένος φροντίσι, τῶν τὰς ἐρημίας κατειληφότων θερμότερον συνείχετο τῷ τοῦ Χριστοῦ πόθῳ. Τὰ γὰρ δάκρυα

---

2. Περὶ τοῦ δράματος τούτου βλέπε Δ' Βασ. 6, 17 ἑ.
3. Α' Κορ. 2, 14.

Τὸ νὰ ἀνοιχθοῦν ὅμως οἱ ὀφθαλμοί των εἰς τὴν θεωρίαν τῶν μελλόντων ἦτο ἔργον τῆς χάριτος τοῦ Θεοῦ. Καὶ τέτοιος ἦτο ὁ προφήτης Ἐλισσαῖος, ὁ ὁποῖος, ἐπειδὴ ἀπεξενώθη ἀπὸ τὰ βιωτικὰ καὶ ἐπεθύμησε σφοδρῶς τὴν βασιλείαν τῶν οὐρανῶν καὶ τὰ παρόντα ὅλα ἀπεστράφη, δηλαδὴ τὴν βασιλείαν καὶ τὴν ἐξουσίαν καὶ τὴν δόξαν καὶ τὴν τιμὴν τῶν ἄλλων, εἶδεν ὅσα κανεὶς ποτὲ δὲν εἶδεν ἄλλος, ὄρος ὁλόκληρον καλυπτόμενον ἀπὸ παράταξιν ἵππων πυρίνων καὶ ἁρμάτων καὶ στρατιωτῶν[2].

Ὅποιος θαυμάζει λοιπὸν τὰ ἐγκόσμια, ποτὲ δὲν θὰ ἀξιωθῇ νὰ λάβῃ τὸ δῶρον τῆς θεωρίας τῶν μελλόντων. Ὅποιος ὅμως τὰ περιφρονεῖ καὶ φρονεῖ ὅτι δὲν διαφέρουν ἀπὸ σκιὰν καὶ ὄνειρον, πολὺ σύντομα θὰ ἀποκτήσῃ τὰ μεγάλα ἐκεῖνα καὶ πνευματικὰ ἀγαθά. Ἐπειδὴ δὲ καὶ ἡμεῖς τὸν πλοῦτον ποὺ ἁρμόζει μόνον εἰς τοὺς ἄνδρας ἐπιδεικνύομεν εἰς τὰ τέκνα μας τότε, ὅταν τὰ ἴδωμεν νὰ γίνωνται ἄνδρες καὶ νὰ περιφρονοῦν ὅλα τὰ παιδικὰ πράγματα, ὅσον χρόνον εἶναι προσηλωμένα εἰς τὰ παιδικὰ ἐνδιαφέροντα τὰ θεωροῦμεν ἀνάξια δι᾿ αὐτά. Διότι ἡ ψυχὴ ποὺ δὲν ἔμαθε νὰ καταφρονῇ τὰ μικρὰ καὶ βιωτικά, δὲν θὰ ἠμπορέσῃ νὰ θαυμάσῃ τὰ οὐράνια, ὅπως πάλιν, ἐὰν θαυμάζῃ ἐκεῖνα, δὲν θὰ δυνηθῇ νὰ μὴ περιγελάσῃ αὐτά. Τοῦτο ἔλεγε καὶ ὁ μακάριος Παῦλος. Μολονότι δὲ τὸ λεχθὲν ἀναφέρεται εἰς τὰ δόγματα, θὰ ἦτο ἐπίκαιρον νὰ λεχθῇ καὶ διὰ τὸ ἦθος καὶ τὰ χαρίσματα καὶ ὅτι «ὁ ψυχικὸς ἄνθρωπος δὲν δέχεται τὰς δωρεὰς τοῦ Πνεύματος τοῦ Θεοῦ»[3].

3. Ὅπως εἶπα λοιπόν, ἂς ἀναζητῶμεν τὰς ἐρημίας, ὄχι μόνον ἐκείνας τῶν ἐρήμων τόπων, ἀλλὰ καὶ ἐκείνας τῆς προαιρέσεως καὶ πρὶν ἀπὸ ὅλα τὰ ἄλλα ἂς ὁδηγήσωμεν ἐκεῖ τὴν ψυχήν. Καὶ ὁ μακάριος Δαυῒδ ἔχων τέτοιαν διάθεσιν, ἐνῷ κατῴκει εἰς πόλιν καὶ ἦτο ἐπωμισμένος μὲ τὸ ἀξίωμα τῆς βασιλείας καὶ ἐπνίγετο ἀπὸ πολλὰς ἄλλας φροντίδας, διακατείχετο ἀπὸ τὸν πόθον τοῦ Χριστοῦ θερμότερον, ἀπὸ ὅσον καὶ αὐτοὶ οἱ μονάζοντες ἐν ἐρημίαις. Διότι ἐκεῖνα

καὶ τὰς οἰμωγὰς καὶ τοὺς ὀλοφυρμοὺς ἐκείνους, τοὺς ἐν ἡμέρᾳ, τοὺς ἐν νυκτί, μόλις ἕνα που καὶ δεύτερον τῶν νῦν ἐσταυρωμένων ἐπιδεικνύμενον ἴδοι τις ἄν, εἴ γε τις ὅλως ἐστί.

5 *Μὴ γὰρ τοὺς θρήνους ἐξετάσωμεν μόνον, ἀλλὰ καὶ τίς ὢν ἐποιεῖτο τούτους ἴδωμεν ἀκριβῶς. Οὐ γάρ ἐστιν ἴσον, ἐν ἀξιώματι τοσούτῳ τυγχάνοντα, καὶ παρὰ πάντων θεραπευόμενον, καὶ μηδένα τὸν ἐπιτιμῶντα ἔχοντα ταπεινοῦσθαι καὶ κάμπτεσθαι καὶ κατεσθίειν ἑαυτόν, καὶ πάντων τούτων*
10 *ἀπεστερημένον τὸ αὐτὸ δὴ τοῦτο ποιεῖν. Ὁ μὲν γὰρ βασιλεὺς πολλὰ ἔχει τὰ πρὸς διάχυσιν αὐτὸν ἐξάγοντα, καὶ συστεῖλαι κωλύοντα τὴν ψυχήν. Καὶ γὰρ ὑπὸ τῆς καθημερινῆς τρυφῆς διαλύεται καὶ χαῦνος γίνεται, καὶ ὑπὸ τῆς ἐξουσίας φυσᾶται καὶ πρὸς ἀπόνοιαν αἴρεται· ἐκκαίει δὲ καὶ ὁ τῆς δόξης ἔ-*
15 *ρως αὐτόν, καὶ ὁ τῶν σωμάτων οὐχ ἧττον, ὑπὸ μὲν τῆς ἐξουσίας τικτόμενος, τρεφόμενος δὲ ὑπὸ τῆς τρυφῆς. Πρὸς τούτοις αἱ τῶν φροντίδων νιφάδες πάντοθεν αὐτὸν βάλλουσαι τῶν παθῶν ἐκείνων οὐκ ἔλαττον θορυβοῦσιν αὐτοῦ τὴν ψυχήν· ὅθεν οὐδὲ μικρὰν παρείσδυσιν ἡ κατάνυξις εὑρεῖν δυ-*
20 *νήσεται, τοσούτοις εἰργομένη τειχίσμασιν· ἀγαπητὸν γὰρ καὶ πάντων τούτων ἀπηλλαγμένην δυνηθῆναι ἐν αὐτῇ τοῦτο φυτεῦσαι τὸ καλόν. Ὁ δὲ ἰδιώτης πάσης ταύτης ἔξω τῆς ταραχῆς ἕστηκεν, ἂν μὴ λίαν ᾖ διεστραμμένος· διὸ καὶ μετ' ἐλάττονος δυσκολίας ἐπὶ τὸ πρᾶγμα δυνήσεται ἐλθεῖν, ἀλλ'*
25 *οὐχ ὁ ἐν δυναστείᾳ καὶ ἀρχῇ καὶ θεραπείᾳ τοσαύτῃ. Καὶ ὥσπερ χαλεπόν, μᾶλλον δὲ ἀδύνατον ἀναμίξαι ὕδατι πῦρ, οὕτως οἶμαι τρυφὴν καὶ κατάνυξιν εἰς ταὐτὸ συναγαγεῖν· ἐναντία*

τὰ δάκρυα, τοὺς θρήνους καὶ τοὺς ὀδυρμοὺς καὶ τῆς ἡμέρας καὶ τῆς νυκτὸς μόλις καὶ μετὰ βίας εἰς ἕνα ἢ καὶ δύο μοναχοὺς τῆς σήμερον θὰ ἠμποροῦσε κανεὶς νὰ ἴδῃ, ἐὰν βεβαίως ὑπάρχῃ κανεὶς τέτοιος σήμερον.

Ἂς μὴ ἐξετάσωμεν δὲ μόνον τοὺς θρήνους, ἀλλὰ ἂς ἴδωμεν ἀκριβῶς καὶ ποῖος ἦτο ὁ Δαυῒδ ὅταν ἐθρήνει. Διότι δὲν εἶναι τὸ ἴδιον πρᾶγμα νὰ κατέχῃς τόσον μέγα ἀξίωμα καὶ νὰ ὑπηρετῆσαι ἀπὸ ἄλλους καί, χωρὶς νὰ ἔχῃς κανένα νὰ σὲ ἐπιτιμᾷ, ἐσὺ νὰ ταπεινοῦσαι καὶ νὰ κάμπτεσαι καὶ καταθλίβῃς τὸν ἑαυτόν σου καὶ νὰ στερῆσαι ὅλα αὐτὰ καὶ νὰ κάμνῃς πάλιν ὅλα τὰ προαναφερθέντα παραπάνω. Ὁ βασιλεὺς ἔχει πολλὰς ἀφορμὰς ποὺ τὸν ὁδηγοῦν εἰς διάχυσιν καὶ ἐμποδίζουν τὴν ψυχὴν νὰ συνέλθῃ. Διότι καὶ ἀπὸ τὴν καθημερινὴν τρυφὴν χαλαρώνεται καὶ ἀποχαυνώνεται καὶ ἀπὸ τὴν ἐξουσίαν γεμίζει ἔπαρσιν καὶ ὁδηγεῖται εἰς παραλογισμούς. Τὸν πυρώνει δὲ καὶ ὁ ἔρως τῆς δόξης, ἐξ ἴσου δὲ καὶ ὁ ἔρως τῶν σωμάτων ποὺ γεννᾶται μὲν ἀπὸ τὴν ἐξουσίαν, τρέφεται δὲ ἀπὸ τὸν τρυφηλόν του βίον. Ἐκτὸς ὅμως ἀπὸ αὐτὰ καὶ αἱ νιφάδες τῶν φροντίδων ποὺ τὸν κτυποῦν ἀπὸ παντοῦ, ταράσσουν τὴν ψυχήν του ὀλιγώτερον ἀπὸ ἐκεῖνα τὰ πάθη. Ἐπομένως ἡ κατάνυξις δὲν θὰ ἠμπορέσῃ νὰ εὕρῃ οὔτε τὴν παραμικρὰν εἴσοδον εἰς τὴν καρδίαν του, ἐμποδιζομένη ἀπὸ τόσα ἐμπόδια. Θὰ ἦτο δὲ εὐχῆς ἔργον νὰ κατορθώσῃ νὰ φυτεύσῃ κανεὶς τοῦτο τὸ καλὸν εἰς τὴν ψυχήν, ἀκόμη καὶ ἂν αὐτὴ εἶναι ἀπηλλαγμένη ἀπὸ κάθε κακόν. Ὁ δὲ ἰδιώτης εὑρίσκεται ἐκτὸς τοῦ περισπασμοῦ τούτου, ἂν δὲν εἶναι πολὺ διεστραμμένος· διὰ τοῦτο αὐτὸς θὰ δυνηθῇ νὰ φθάσῃ εἰς τὴν πραγματοποίησιν τούτου μὲ ὀλιγωτέραν δυσκολίαν, ὄχι ὅμως καὶ ὁ εὑρισκόμενος εἰς τὴν ἐξουσίαν καὶ τὴν ἀρχὴν καὶ τὴν τόσην ὑπηρεσίαν. Καὶ ὅπως εἶναι δύσκολον ἢ μᾶλλον ἀδύνατον νὰ ἀναμείξῃ κανεὶς εἰς τὸ ὕδωρ πῦρ, ἔτσι νομίζω ὅτι εἶναι ἀδύνατον νὰ συζεύξῃ κανεὶς τρυφὴν καὶ κατάνυξιν, διότι αὐτὰ εἶναι ἀντίθετα μεταξύ των καὶ τὸ ἓν καταργεῖ τὸ ἄλ-

γὰρ ταῦτα, καὶ ἀλλήλων ἐστὶν ἀναιρετικά. Ἡ μὲν γὰρ δακρύων ἐστὶ μήτηρ καὶ νήψεως, ἡ δὲ γέλωτος καὶ παραφορᾶς· καὶ ἡ μὲν κούφην καὶ ὑπόπτερον ἐργάζεται τὴν ψυχήν, ἡ δὲ αὐτὴν παντὸς μολύβδου βαρυτέραν καθίστησι. Καὶ οὔπω δὴ τὸ πάντων μεῖζον εἶπον, ὅτι ὁ μὲν ἐν χρόνοις ἐπολιτεύετο οὐδὲν μέγα ἀπαιτοῦσιν εἰς πολιτείας ἀκρίβειαν· ἡμεῖς δὲ τότε εἰς τὸν ἀγῶνα καθήκαμεν, ὅτε οὐ μόνον τὰ ἄλλα, ἀλλὰ καὶ αὐτὸ τὸ γελᾶν πολλὴν ἔχει τὴν κόλασιν, ἐπαινεῖται δὲ πανταχοῦ τὸ πενθεῖν καὶ τὸ θλίβεσθαι.

Ἀλλ' ὅμως ὁ μακάριος ἐκεῖνος πάντα ταῦτα διακόψας τὰ κωλύματα, οὕτως αὐτῆς ἐπελάβετο σφοδρῶς, ὡς τῶν πολλῶν εἷς ὤν, καὶ μηδὲ ὄναρ ποτὲ βασιλείαν, μηδὲ τὴν ἐν βασιλείοις πολυτέλειαν θεασάμενος, καὶ τοσαύτην ἐν ἁλουργίδι καὶ διαδήματι καὶ θρόνῳ βασιλικῷ τὴν κατάνυξιν ἐπεδείξατο, ὅσην ὁ ἐν σάκκῳ καὶ σποδῷ καὶ ἐν ἐρημίᾳ καθήμενος. Καὶ γὰρ οἷς ἂν γνησίως τοῦτο παραγένηται τὸ καλόν, τοσαύτην ἐπιδείκνυται τὴν ἰσχύν, ὅσην ἐν ταῖς ἀκάνθαις τὸ πῦρ. Τοῦτο κἂν ὑπὸ μυρίων ἀγχόμενον εὕρῃ κακῶν, κἂν πολλὰ τὰ σχοινία τῶν ἁμαρτημάτων περικείμενον, κἂν σφοδρὰν τῶν ἐπιθυμιῶν τὴν φλόγα καίουσαν, κἂν πολὺν τῶν βιωτικῶν πραγμάτων περιεστῶτα θόρυβον, πάντα ἐκεῖνα εὐθέως σφοδρᾷ τινι μάστιγι κατ' ἄκρας ἐλαύνουσα πόρρω καθίστησι τῆς ψυχῆς. Καὶ καθάπερ πρὸς ἀνέμου βίαν ῥαγδαίου οὐκ ἄν ποτε σταίη κόνις λεπτή, οὕτως οὐδὲ τὸ τῶν ἐπιθυμιῶν πλῆθος κατανύξεως ῥύμην ἐμπεσοῦσαν δυνήσεται ἐνεγκεῖν, ἀλλ' ἀφανίζεται καὶ διαχεῖται καὶ κόνεως καὶ καπνοῦ θᾶττον παντός. Εἰ γὰρ ὁ τῶν σωμάτων ἔρως οὕτω δουλοῦται τὴν ψυχήν, ὡς πάντων αὐτὴν ἀπαγαγεῖν, καὶ τῇ τῆς ἐρωμένης προσηλῶσαι τυραννίδι μόνῃ, τί οὐκ ἂν ὁ τοῦ Χριστοῦ πόθος ἐργάσαιτο, καὶ τὸ δέος τῆς ἐκείνου ἀλλοτριώσεως; Ἅπερ ἀμφότερα ταῦτα οὕτως ἔστρεφε τοῦ προ-

λο. Διότι ἡ μὲν κατάνυξις εἶναι μήτηρ τῶν δακρύων καὶ τῆς νήψεως, ἡ δὲ τρυφὴ τοῦ γέλωτος καὶ τῶν παραλογισμῶν. Καὶ ἡ μὲν μία καθιστᾷ τὴν ψυχὴν ἐλαφρὰν καὶ πτερωτήν, ἡ δὲ τὴν καθιστᾷ ἀπὸ τὸν μόλυβδον βαρυτέραν. Καὶ ἀκόμη δὲ εἶπα τὸ σπουδαιότερον, ὅτι ἐκεῖνος μὲν ἔζη εἰς τέτοιον καιρὸν ποὺ τίποτε τὸ σπουδαῖον δὲν ἀπαιτοῦσε διὰ νὰ ἐπιτύχῃ κανεὶς τελειότητα βίου· ἐνῷ ἡμεῖς κατήλθομεν εἰς τὸν ἀγῶνα, τότε ὅταν ὄχι μόνον ὅλα τὰ ἄλλα, ἀλλὰ καὶ αὐτὸς ὁ γέλως θεωρῆται πολὺ κολάσιμος, ἐπαινῆται δὲ παντοῦ τὸ πένθος καὶ ἡ θλῖψις.

Ἀλλ' ὅμως ὁ μακάριος ἐκεῖνος, ἀφοῦ κατέστρεψεν ὅλα αὐτὰ τὰ ἐμπόδια, τόσον διακαῶς ἀνέλαβε τὸ ἔργον τοῦτο, ὥστε, ἐνῷ ἦτο εἷς ἐκ τῶν πολλῶν καὶ δὲν εἶχε ζήσει οὔτε ὡς ὄνειρον τὴν βασιλείαν καὶ πολυτέλειαν τῶν ἀνακτόρων του, τόσην κατάνυξιν ἔδειξε, φορῶν τὴν ἁλουργίδα καὶ τὸ διάδημα καὶ καθήμενος ἐπὶ βασιλικοῦ θρόνου, ὅσην καὶ οἱ μετανοοῦντες, οἱ καθήμενοι εἰς σάκκον καὶ στάκτην καὶ ἐρημίαν. Καθότι τοῦτο τὸ καλὸν παρουσιάζει, εἰς ὅσους καταλάβῃ, τόσην δύναμιν, ὅσην καὶ τὸ πῦρ ὅταν πέσῃ ἐπάνω εἰς ἀκάνθας. Τοῦτο λοιπὸν καὶ ἂν εὕρῃ κάποιον νὰ στενοχωρῆται ἀπὸ ἄπειρα κακά, νὰ περισφίγγεται ἀπὸ πλῆθος σχοινίων τῆς ἁμαρτίας, νὰ κατακαίεται ἀπὸ τὴν φλόγα τῶν παθῶν, νὰ περιβάλλεται ἀπὸ πολὺν θόρυβον τῶν βιωτικῶν ὑποθέσεων, ὅλα ἐκεῖνα τὰ ἀπομακρύνει ἀμέσως ἀπὸ τὴν ψυχήν, κτυπῶν αὐτὰ μὲ ἰσχυρὸν μαστίγιον. Καὶ καθὼς ἡ λεπτὴ σκόνη δὲν θὰ ἠμποροῦσε νὰ ἀντισταθῇ εἰς τὴν ὁρμὴν ἀνέμου σφοδροῦ, ἔτσι καὶ τὸ πλῆθος τῶν ἐπιθυμιῶν δὲν ἠμπορεῖ νὰ ἀντισταθῇ εἰς τὸ ὁρμητικὸν ρεῦμα τῆς κατανύξεως, ἀλλ' ἀφανίζεται καὶ σκορπίζεται ταχύτερον ἀπὸ τὴν σκόνην καὶ τὸν καπνόν. Διότι, ἐὰν ὁ σωματικὸς ἔρως ὑποδουλώνῃ τὴν ψυχὴν τόσον ὥστε νὰ τὴν ἀπομακρύνῃ ἀπὸ ὅλα τὰ πράγματα καὶ νὰ τὴν προσκολλᾷ εἰς μόνην τὴν τυραννίδα τῆς ἐρωμένης, τί δὲν θὰ ἠμποροῦσε νὰ ἐπιτελέσῃ ὁ πόθος τοῦ Χριστοῦ καὶ ὁ φόβος τῆς ἀποξενώσεως ἀπὸ ἐκεῖνον; Αὐτὰ τὰ δύο

φήτου τὴν ψυχήν, ὥς ποτὲ μὲν λέγειν, «ὃν τρόπον ἐπιποθεῖ ἡ ἔλαφος ἐπὶ τὰς πηγὰς τῶν ὑδάτων, οὕτως ἐπιποθεῖ ἡ ψυχή μου πρὸς σέ, ὁ Θεός», καὶ πάλιν, «ἡ ψυχή μου ὡς γῆ ἄνυδρός σοι», καὶ «ἐκολλήθη ἡ ψυχή μου ὀπίσω σου», ποτὲ 5 *δέ, «Κύριε, μὴ τῷ θυμῷ σου ἐλέγξῃς με, μηδὲ τῇ ὀργῇ σου παιδεύσῃς με».*

4. Καὶ μή μοι λεγέτω τις, ὅτι τὴν ἁμαρτίαν αὐτοῦ πενθῶν τοῦτον ἔγραψε τὸν ψαλμόν· οὐ γὰρ ἀληθὲς τοῦτο, οὐδὲ ἀφίησιν ὑποπτεῦσαί τι τοιοῦτον τὰ ἐπιγεγραμμένα ἄνωθεν 10 *γράμματα. Εἰ μὲν γὰρ μηδεὶς εἶχε τὴν ὑπόθεσιν δεῖξαι προγεγραμμένην, ἐνῆν τῷ βουλομένῳ τοῦτον ἐκείνοις ἁρμόσαι τοῖς πράγμασι τὸν ψαλμόν· εἰ δὲ ὁ ἐπ' ἐκείνοις λεχθεὶς δῆλός ἐστιν, οὗτος δὲ ἑτέραν ἔχει τὴν ὑπόθεσιν, μή, παρακαλῶ, μὴ συγχέωμεν τὰ θεῖα, μηδὲ τῶν ὑπὸ Πνεύματος* 15 *εἰρημένων δογμάτων κυριωτέρους εἶναι τοὺς ἡμετέρους ψηφιζώμεθα λογισμούς.*

Τίς οὖν ἐστιν ἡ ἐπιγραφή; Ὑπὲρ τῆς ὀγδόης, φησί. Τίς δέ ἐστιν ἡ ὀγδόη, ἀλλ' ἢ ἡ ἡμέρα τοῦ Κυρίου ἡ μεγάλη καὶ ἐπιφανής, ἡ ὡς κλίβανος καιομένη, ἡ καὶ 20 *τὰς ἄνω δυνάμεις τρέμειν παρασκευάζουσα, (Σεισθήσονται γάρ, φησί, καὶ δυνάμεις τῶν οὐρανῶν), ἡ πῦρ δεικνύουσα προτρέχον τοῦ βασιλέως τότε ἐκείνου; Ὀγδόην δὲ αὐτὴν ἐκάλεσε, τὸ τῆς καταστάσεως ἐνηλλαγμένον ἐμφαίνων, καὶ τῆς μελλούσης ζωῆς τὴν ἀνανέωσιν. Ὁ μὲν γὰρ* 25 *παρὼν βίος οὐδὲν ἕτερόν ἐστιν ἀλλ' ἢ ἑβδομὰς μία, ἀρχόμενος μὲν ἀπὸ τῆς πρώτης ἡμέρας, τελευτῶν δὲ εἰς τὴν ἑβδόμην, καὶ πάλιν τοῖς αὐτοῖς ἀνακυκλούμενος διαστήμασι, καὶ εἰς τὴν αὐτὴν ἀνιὼν ἀρχήν, καὶ καταβαίνων εἰς τὴν τελευτήν. Διόπερ ὀγδόην ἡμέραν οὐκ ἄν τις εἴποι ποτὲ*

---

4. Ψαλμ. 41, 2.
5. Ψαλμ. 142, 6.
6. Ψαλμ. 62, 9.
7. Ψαλμ. 6, 2.

πράγματα τόσον ἐβασάνιζαν τὴν ψυχὴν τοῦ προφήτου, ὥστε ἄλλοτε νὰ λέγῃ «ὅπως ἐπιποθεῖ ἡ ἔλαφος τὰς πηγὰς τῶν ὑδάτων, τόσον ἐπιποθεῖ ἡ ψυχή μου ἐσέ, ὁ Θεός»[4], καὶ «ἡ ψυχή μου εἶναι ὡς γῆ ἄνυδρος δι' ἐσὲ»[5] καὶ «ἐκολλήθη ἡ ψυχή μου ὀπίσω σου»[6], ἄλλοτε δὲ «Κύριε, μὴ μὲ ἐλέγξῃς εἰς τὸν θυμόν σου καὶ μὴ μὲ παιδεύσῃς εἰς τὴν ὀργήν σου»[7].

4. Καὶ ἂς μὴ μοῦ εἴπῃ κανεὶς ὅτι ἔγραφεν αὐτὸν τὸν ψαλμὸν διὰ νὰ πενθήσῃ τὴν ἁμαρτίαν του. Αὐτὸ δὲν εἶναι ἀληθὲς καὶ ἡ ἐπιγραφὴ τοῦ ψαλμοῦ δὲν ἀφήνει νὰ ὑποθέσωμεν κάτι τέτοιο. Διότι ἂν μὲν κανεὶς δὲν ἠμποροῦσε νὰ δείξῃ ὅτι ἡ ὑπόθεσις προδηλοῦται διὰ τῆς ἐπιγραφῆς, τότε αὐτὸς ποὺ ἤθελε θὰ ἠμποροῦσε νὰ προσαρμόσῃ τὸν ψαλμὸν εἰς τὴν ὑπόθεσιν τοῦ πένθους διὰ τὴν ἁμαρτίαν. Ἐφ' ὅσον ὅμως ὁ ψαλμὸς τῆς μετανοίας εἶναι γνωστός, αὐτὸς ἐδῶ δὲ ἔχει ἄλλην ὑπόθεσιν, ἂς μὴ συγχέωμεν, παρακαλῶ, τὰ θεῖα καὶ ἂς μὴ νομίζωμεν ὅτι αἱ ἰδικαί μας σκέψεις ἔχουν περισσότερον κῦρος ἀπὸ τὰς διδασκαλίας ποὺ ἔχουν λεχθῆ μὲ τὴν ἔμπνευσιν τοῦ Ἁγίου Πνεύματος.

Ποία εἶναι λοιπὸν ἡ ἐπιγραφὴ τοῦ ψαλμοῦ; «Ὑπὲρ τῆς ὀγδόης». Καὶ ποία εἶναι ἡ ὀγδόη; Δὲν εἶναι μήπως ἡ ἡμέρα τοῦ Κυρίου ἡ μεγάλη καὶ ἐπιφανής, ἡ καιομένη ὡσὰν κλίβανος, ἡ ὁποία προξενεῖ τρόμον καὶ εἰς τὰς οὐρανίους δυνάμεις (θὰ σεισθοῦν, λέγει, καὶ δυνάμεις τῶν οὐρανῶν)[8], ἡ ὁποία ἐμφανίζει πῦρ νὰ προηγῆται τότε πρὸ τοῦ βασιλέως ἐκείνου; Τὴν ὠνόμασε δὲ ὀγδόην, ἐπειδὴ ἤθελε νὰ δείξῃ τὴν ἀλλαγὴν τῆς καταστάσεως ἐκείνης καὶ τὴν ἀνακαίνισιν τῆς μελλούσης ζωῆς. Διότι ὁ παρὼν βίος τίποτε ἄλλο δὲν εἶναι παρὰ μία ἑβδομάς, ποὺ ἀρχίζει ἀπὸ τὴν πρώτην ἡμέραν καὶ τελειώνει εἰς τὴν ἑβδόμην, καὶ κάμνει τὴν ἀνακύκλησιν τῶν ἰδίων χρονικῶν διαστημάτων καὶ ἀνεβαίνει εἰς τὴν ἰδίαν ἀρχὴν καὶ κατεβαίνει εἰς τὸ τέλος. Δι' αὐτὸ ἀκρι-

8. Ματθ. 24, 29.

τὴν κυριακήν, ἀλλὰ πρώτην· οὐ γὰρ ἐκτείνεται εἰς ὄγδοον ἀριθμὸν ὁ τῆς ἑβδομάδος κύκλος. Ὅταν δὲ ταῦτα πάντα παύσηται καὶ καταλυθῇ, τότε ὁ τῆς ὀγδοάδος δρόμος εἰς μέσον ἄγεται· οὐ γὰρ ἀνατρέχει πάλιν ἐπὶ τὴν ἀρχήν, ἀλλὰ 5 *τῶν ἑξῆς ἔχεται διαστημάτων.*

Ὁ τοίνυν προφήτης ὑπὸ πολλῆς κατανύξεως ἐγγεγραμμένην τῆς κρίσεως τὴν μνήμην εἶχε διαπαντός, καὶ τὴν ἡμέραν ἐκείνην ἐν τοσαύτῃ θεραπείᾳ καὶ τρυφῇ διηνεκῶς ἔστρεφε παρ' ἑαυτῷ, ἣν ἐν ταῖς θλίψεσι μόλις ἡμεῖς εἰς 10 *μνήμην λαμβάνομεν· καὶ τὰ κρίματα αὐτοῦ συνεχῶς ἀναλογιζόμενος τοῦτον ἔγραψε τὸν ψαλμόν. Καί τί φησι; «Κύριε, μὴ τῷ θυμῷ σου ἐλέγξῃς με, μηδὲ τῇ ὀργῇ σου παιδεύσῃς με»· θυμὸν καὶ ὀργὴν λέγων τὴν ἐπίτασιν τῆς τιμωρίας (οἶδε γὰρ παντὸς πάθους τὸ θεῖον ἀπηλλαγμένον), καίτοι γε* 15 *ἑαυτῷ συνειδὼς οὐ κολάσεως οὐδὲ τιμωρίας, ἀλλὰ τιμῆς ἄξια καὶ στεφάνων. Ἥ τε γὰρ πίστις, δι' ἧς κατήνεγκε τὸν τῶν ἀλλοφύλων πύργον, καὶ τὸ πᾶν τῶν Ἰουδαίων ἔθνος ἐξ αὐτῶν ἥρπασε τῶν τοῦ θανάτου πυλῶν), ἥ τε εἰς τὸν ἠδικηκότα εὐεργεσία γενομένη καὶ ἅπαξ καὶ δὶς καὶ πολλά-* 20 *κις, καὶ πρὸ τούτων ἡ τοῦ Θεοῦ περὶ αὐτοῦ ψῆφος ἐξενεχθεῖσα, πᾶσαν ἱκανὴ δεῖξαι τοῦ ἀνδρὸς τὴν ἀρετήν, καὶ τῶν κατορθωμάτων μᾶλλον αὐτῶν. Τὰ μὲν γὰρ ἔργα κἂν ᾖ μεγάλα καὶ θαυμαστά, ὅμως πονηρὰ ὑποπτευθῆναι δύναιτ' ἄν, εἰ καὶ τὰ μάλιστα πάσης ὑποψίας ἀπήλλακτο τοῦ δικαίου* 25 *τὰ κατορθώματα· ὅταν δὲ ὁ Θεὸς ὁ μαρτυρῶν ᾖ, πάσης ἐκτὸς ὑποψίας ἡ ψῆφός ἐστιν· οὐ γάρ, εἰ μὴ τὴν ἀκριβεστάτην βάσανον τῆς ἀρετῆς ἐπεδείξατο, τῆς ἐν τοῖς οὐρανοῖς ἀνα-*

---

9. Ψαλμ. 6, 2.

10. Ὑπὸ τὸν «πύργον τῶν ἀλλοφύλων» ἐννοεῖ τὸν γιγαντόσωμον Γολιάθ, τὸν ὁποῖον ἐνίκησε καὶ ἐφόνευσε ὁ Δαυΐδ.

βῶς κανεὶς δὲν θὰ ὠνόμαζε τὴν Κυριακὴν ὀγδόην ἡμέραν, ἀλλὰ πρώτην, καθότι ὁ κύκλος τῆς ἑβδομάδος δὲν ἐκτείνεται ὡς τὸν ἀριθμὸν ὀκτώ. Ὅταν δὲ τὰ παρόντα παύσουν νὰ ὑφίστανται καὶ καταργηθοῦν, τότε θὰ ἐμφανισθῇ ὁ δρόμος τῆς ὀγδοάδος· καὶ δὲν ἀνατρέχει πάλιν εἰς τὴν ἀρχήν, ἀλλὰ θὰ ἀκολουθήσῃ τὰ ἑπόμενα διαστήματα.

Ὁ προφήτης λοιπὸν μὲ πολλὴν κατάνυξιν εἶχε διὰ παντὸς τὴν μνήμην τῆς κρίσεως καὶ τὴν ἡμέραν ἐκείνην ἐπανέφερε συνεχῶς εἰς τὸν νοῦν του, μὲ τόσην ἐπιμέλειαν καὶ ἀπόλαυσιν, ἐνῷ ἔζη μὲ τόσην περιποίησιν ἀπὸ ἄλλους καὶ τρυφήν, τὴν ὁποίαν ἡμεῖς μόλις καὶ ἐνθυμούμεθα ἐν καιρῷ θλίψεων. Καὶ ἀναλογιζόμενος συνεχῶς τὰ κρίματά του ἔγραψε τοῦτον τὸν ψαλμόν· καὶ τί λέγει; «Κύριε, μὴ τῷ θυμῷ σου ἐλέγξῃς με, μηδὲ τῇ ὀργῇ σου παιδεύσῃς με[9]. Θυμὸν καὶ ὀργὴν λέγων ἐννοεῖ τὴν ἔντασιν τῆς τιμωρίας (διότι γνωρίζει ὅτι τὸ θεῖον εἶναι ἀπηλλαγμένον ἀπὸ παντὸς εἴδους πάθος), μολονότι ἤξευρε πολὺ καλὰ ὅτι δὲν ἦτο ἄξιος τιμωρίας, ἀλλὰ τιμῆς καὶ στεφάνων μόνον. Διότι καὶ ἡ πίστις μὲ τὴν ὁποίαν κατεκρήμνισε τὸν πύργον τῶν ἀλλοφύλων καὶ διέσωσεν ἀπὸ τὰς χεῖρας των ὁλόκληρον τὸ ἰουδαϊκὸν ἔθνος, εὑρισκόμενον εἰς τὰ πρόθυρα τοῦ θανάτου, καὶ ἡ εὐεργεσία του εἰς τὸν ἀδικήσαντα αὐτὸν καὶ μίαν καὶ δύο καὶ πολλὰς φορὰς[10] καὶ ἐπάνω ἀπὸ ὅλα αὐτὰ ἡ γνώμη τοῦ Θεοῦ περὶ αὐτοῦ εἶναι ἀρκετὴ νὰ δείξῃ ὁλόκληρον τὴν ἀρετὴν τοῦ ἀνδρός, περισσότερον μάλιστα καὶ ἀπὸ αὐτά του τὰ κατορθώματα. Διότι τὰ ἔργα καὶ ὅταν ἀκόμη εἶναι μεγάλα καὶ θαυμαστά, θὰ ἠμποροῦσαν νὰ κινήσουν τὴν ὑποψίαν ὅτι εἶναι πονηρά, ἂν καὶ φαίνονται ἐντελῶς ἀπηλλαγμένα ἀπὸ κάθε ὑποψίαν τὰ ἔργα τοῦ δικαίου τούτου. Ὅταν δὲ ὁ Θεὸς εἶναι ἐκεῖνος ποὺ μαρτυρεῖ διὰ τὴν γνησιότητά των, τότε ἡ γνώμη εἶναι ἀπηλλαγμένη πάσης ὑποψίας. Ἐὰν δὲν εἶχε νὰ παρουσιάσῃ τὴν ἀκριβεστάτην ἐπαλήθευσιν τῆς ἀρετῆς, δὲν θὰ ἠμποροῦσε νὰ ἀνακηρυχθῇ ἄξιος τῆς βασιλείας τῶν οὐρανῶν. Τί λέγει ὁ Θεὸς περὶ αὐ-

κηρύξεως ἔτυχεν ἄν. Τί οὖν ὁ Θεός φησι περὶ αὐτοῦ; «Εὗρον Δαυῒδ τὸν τοῦ Ἰεσσαί, ἄνδρα κατὰ τὴν καρδίαν μου». Ἀλλ' ὅμως μετὰ τὴν τοιαύτην κρίσιν καὶ τὰς τοσαύτας ἀνδραγαθίας, τὰ τῶν κατεγνωσμένων ἐφθέγγετο ῥήματα, καὶ 5 *οὐδεμίαν ἐχόντων παρρησίαν πρὸς τὸν Θεόν, πληρῶν ἐκεῖνο τὸ εὐαγγελικόν, τό, «Ὅταν πάντα ποιήσητε, λέγετε, ὅτι ἀχρεῖοι δοῦλοί ἐσμεν».*

Τί τούτων πλέον ἐφθέγξατο ὁ ὄντως μυρίων γέμων κακῶν ὁ τελώνης ἐκεῖνος, ὁ μηδὲ ἀναβλέψαι εἰς τὸν οὐρα- 10 *νὸν ὑπομένων, μηδὲ μακρὸν κατατεῖναι λόγον, μηδὲ πλησίον στῆναι τοῦ Φαρισαίου τολμῶν; Ὁ μὲν γὰρ ὠνείδιζεν αὐτὸν λέγων, «ὅτι οὐκ εἰμὶ ὡς οἱ λοιποὶ τῶν ἀνθρώπων, ἅρπαγες, ἄδικοι, μοιχοί, ἢ καὶ ὡς οὗτος ὁ τελώνης», ὁ δὲ ὡς μηδὲν ἀκούσας δυσχερὲς καὶ κατεδέξατο τὸ λεχθέν, καὶ* 15 *οὐ μόνον οὐκ ἠγανάκτησεν, ἀλλὰ καὶ τὸν ὑβριστὴν ἐκεῖνον καὶ ἀλαζόνα τοσαύτῃ τετίμηκε τιμῇ, ὡς μηδὲ τῆς πατουμένης ὑπ' ἐκείνου γῆς ἄξιον εἶναι νομίζειν ἑαυτόν· καὶ ῥῆμα μὲν εἶπεν οὐδέν, πλὴν ὅσον τὰς ἁμαρτίας ὁμολογῆσαι τὰς ἑαυτοῦ· τὰ δὲ στέρνα τύπτων σφοδρῶς, οὕτω παρεκάλει* 20 *ἵλεων γενέσθαι τὸν Θεόν.*

Ἀλλὰ τὸ μὲν ἐκεῖνον ταῦτα ποιεῖν οὐδὲν θαυμαστόν· τὸ γὰρ τῶν ἁμαρτημάτων πλῆθος καὶ ἑκόντα αὐτὸν καὶ ἄκοντα κάτω κύπτειν ἠνάγκαζε· τὸ δὲ τὸν δίκαιον καὶ μηδὲν ἑαυτῷ συνειδότα τοιοῦτον μετὰ τῆς αὐ- 25 *τῆς τῷ τελώνῃ προσιέναι καταγνώσεως, τοῦτό ἐστι τὸ παράδοξον, καὶ ψυχῆς ὄντως συντετριμμένης σημεῖον. Τοῦ γάρ, «ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ», τί διενήνοχε, τό, «Κύριε, μὴ τῷ θυμῷ σου ἐλέγξῃς με, μηδὲ τῇ ὀργῇ σου παιδεύσῃς με»; Μᾶλλον δὲ τοῦτο ἐκείνου καὶ πολλῷ πλέον ἐ-*

11. Ἰεσσαί· εἶναι ὁ ἔγγονὸς τοῦ Βοὺς καὶ τῆς Ρούθ.
12. Α' Βασ. 13, 14 .
13. Λουκᾶ 17, 10.
14. Λουκᾶ 18, 11.
15. Λουκᾶ 18, 13.

τοῦ; «Εὗρον Δαυῒδ τὸν υἱὸν Ἰεσσαί, ἄνδρα ἐνεργοῦντα κατὰ τὴν καρδίαν μου»[12]. Πλὴν ὅμως καὶ μετὰ τὴν τοιαύτην περὶ αὐτοῦ κρίσιν τοῦ Θεοῦ καὶ τὰ τόσα ἀνδραγαθήματά του, αὐτὸς ἐπρόφερε τοὺς λόγους ἐκείνων ποὺ θεωροῦν τὸν ἑαυτόν των ἔνοχον καὶ καμμίαν παρρησίαν δὲν ἔχουν πρὸς τὸν Θεόν, ἐκπληρώνων ἔτσι ἐκεῖνο τὸ εὐαγγελικόν, τὸ «ὅταν πάντα ποιήσετε, λέγετε, ὅτι εἴμεθα ἀχρεῖοι δοῦλοι»[13].

Τί περισσότερον εἶπεν ὁ πράγματι πλήρης ὅλων τῶν κακῶν ἐκεῖνος τελώνης, ὁ ὁποῖος δὲν ἠνείχετο οὔτε νὰ ὑψώσῃ τὸ βλέμμα εἰς τὸν οὐρανόν, οὔτε νὰ μακρύνῃ τὸν λόγον του, οὔτε πλησίον τοῦ Φαρισαίου ἐτολμοῦσε νὰ σταθῇ; Καὶ ὁ μὲν Φαρισαῖος τὸν ἐκατηγόρει λέγων, ὅτι «δὲν εἶμαι ὅπως οἱ λοιποὶ τῶν ἀνθρώπων, ἅρπαγες, ἄδικοι, μοιχοὶ ἢ καὶ ὅπως οὗτος ὁ τελώνης»[14]. Αὐτὸς ὅμως ὡσὰν νὰ μὴ ἤκουσε τίποτε τὸ ἄσχημον, παρεδέχθη τὰ ὅσα ἤκουσεν εἰς βάρος του καὶ ὄχι μόνον δὲν ἠγανάκτησεν, ἀλλὰ καὶ τὸν ὑβριστὴν καὶ ἀλαζόνα ἐκεῖνον τόσον τὸν ἐτίμησεν, ὥστε νὰ νομίζῃ ὅτι αὐτὸς δὲν ἦτο ἄξιος νὰ πατήσῃ τὸ χῶμα ποὺ ἐπατοῦσεν ἐκεῖνος. Καὶ λόγον μὲν κανένα ἄλλον δὲν εἶπε, παρὰ μόνον τόσον, ὅσος ἐχρειάζετο διὰ νὰ ὁμολογήσῃ τὰς ἁμαρτίας του· ἐκτυποῦσε δὲ τὸ στῆθος του σφοδρῶς, ὥστε μὲ τὸν τρόπον αὐτὸν νὰ παρακαλέσῃ τὸν Θεὸν νὰ τὸν ἐλεήσῃ.

Ἀλλὰ βεβαίως δὲν εἶναι καθόλου παράδοξον νὰ κάμῃ αὐτὰ τὰ πράγματα ἐκεῖνος· διότι τὸ πλῆθος τῶν ἁμαρτιῶν του ἑκόντα ἄκοντα, τὸν ἠνάγκαζε νὰ κύπτῃ κάτω. Τὸ παράδοξον ὅμως εἶναι, ποὺ ἀποτελεῖ καὶ ἀπόδειξιν ψυχῆς πράγματι συντετριμμένης, τὸ ὅτι ὁ δίκαιος, ποὺ τίποτε διὰ τὸν ἑαυτὸν παρόμοιον δὲν συνῃσθάνετο, προσῆλθεν ὅπως καὶ ὁ τελώνης ἐκεῖνος, ἐξ ἴσου ἀναγνωρίζων τὸν ἑαυτόν του ἔνοχον. Διότι, τί διαφέρει ἀπὸ τὸ «ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ»[15] τὸ «Κύριε, μὴ τῷ θυμῷ σου ἐλέγξῃς με, μηδὲ τῇ ὀργῇ σου παιδεύσῃς με»[16]; Μᾶλλον δὲ καὶ μεγαλύτερον

16. Ψαλμ. 6, 2.

στίν. Ὁ μὲν γὰρ τελώνης οὐδὲ ἀναβλέψαι εἰς τὸν οὐρανὸν οὐκ ἐτόλμησεν, ὁ δὲ δίκαιος τούτου μεῖζον ἐποίησεν. Ἐκεῖνος μὲν γὰρ ἔλεγεν, Ἱλάσθητί μοι, οὗτος δὲ οὐδὲ τοῦτο ἐθάρρησεν εἰπεῖν· οὐ γὰρ εἶπε, Μὴ ἐλέγξῃς με, ἀλλά, Μὴ
5 *τῷ θυμῷ σου, οὐδέ, Μὴ παιδεύσῃς με, ἀλλὰ Μὴ τῇ ὀργῇ σου, οὐ τὸ μὴ κολασθῆναι, ἀλλὰ τὸ μὴ σφόδρα τοῦτο παθεῖν αἰτῶν. Ὥστε πάντοθεν αὐτοῦ τὸ ταπεινὸν τῆς ψυχῆς ἔστιν ἰδεῖν, ἀπό τε τοῦ τοσαύτης ἑαυτὸν κολάσεως ἄξιον εἶναι νομίζειν, ἀπό τε τοῦ μὴ τολμᾶν ὑπὲρ παντελοῦς συγχωρήσεως*
10 *ἀξιοῦν τὸν Θεόν· ὃ τῶν σφόδρα κατεγνωσμένων ἐστί, καὶ πεπεικότων ἑαυτοὺς ὅτι πάντων εἰσὶ τῶν ἀνθρώπων ἁμαρτωλότεροι. Καὶ τὸ δὴ τούτου μεῖζον, ὅτι καὶ αὐτὸ τὸ μὴ σφόδρα κολασθῆναι ἀπὸ τοῦ ἐλέους καὶ τῆς φιλανθρωπίας τοῦ Θεοῦ λαβεῖν, ὡς ἐξησθενηκώς, ἀξιοῖ· «ἐλέησον γάρ με,*
15 *φησίν, ὅτι ἀσθενής εἰμι».*

Τί τοῦτο; ὁ τοιαύτης μαρτυρίας ἀπολαύσας, καὶ τὰ κρίματα τοῦ Θεοῦ μὴ ἐπιλανθανόμενος («τὰ κρίματά σου γάρ», φησίν, «οὐκ ἐπελαθόμην»), ὁ τοῦ ἡλίου φαιδρότερον λάμπων, οὗτος τοιαῦτα φθέγγεται ῥήματα; Ναί· τοῦτο γάρ ἐστι
20 *τὸ θαυμαστόν, ὅτι οὕτω μεγάλα κατορθῶν οὐδὲν οὐδέποτε μέγα οὔτε εἶπέ τι, οὔτε ἐνόμισε περὶ ἑαυτοῦ, ἀλλὰ πάντων ἔσχατον ἑαυτὸν εἶναι ἐδόκει, καὶ ἀπὸ μόνης ἠξίου τῆς τοῦ Θεοῦ σώζεσθαι φιλανθρωπίας, ὡσανεὶ ἔλεγεν, «ἄξιος μέν εἰμι τιμωρίας ἀπαραιτήτου, καὶ τοῦ κολασθῆναι ἀθάνα-*
25 *τα· διὰ δὲ τὸ μηκέτι δύνασθαι φέρειν ἀξιῶ μοι λύσιν γενέσθαι τῶν παρόντων κακῶν· καθάπερ τῶν οἰκετῶν οἱ μυρία ἐργασάμενοι δεινά, ὅτι μὲν οὐχ ἥμαρτον οὐκ ἂν ἔχοιεν εἰπεῖν, διὰ δὲ τὸ τὴν ὀδύνην ἀφόρητον εἶναι τὴν ἀπὸ τῶν μαστίγων, ἀξιοῦσιν ἀνεθῆναι λοιπὸν τῶν πληγῶν.*

---

17. Ψαλμ. 6, 3.
18. Ψαλμ. 118, 30.

εἶναι αὐτὸ ἀπὸ ἐκεῖνο. Διότι ὁ τελώνης οὔτε εἰς τὸν οὐρανὸν νὰ ἀτενίσῃ δὲν ἐτόλμησεν, ὁ δὲ δίκαιος ἔπραξε κάτι μεγαλύτερον ἀπὸ αὐτό. Διότι ἐκεῖνος μὲν ἔλεγεν «ἱλάσθητί μοι», αὐτὸς ὅμως οὔτε καὶ τοῦτο ἐτόλμησε νὰ εἴπῃ. Διότι δὲν εἶπε «μὴ ἐλέγξῃς με», ἀλλά, «μὴ τῷ θυμῷ σου», οὔτε «μὴ παιδεύσῃς με», ἀλλὰ «μὴ τῇ ὀργῇ σου», ζητῶν ὄχι νὰ μὴ τιμωρηθῇ, ἀλλὰ νὰ μὴ πάθῃ τοῦτο ὑπερβολικά. Ὥστε ἀπὸ παντοῦ εἶναι δυνατὸν νὰ διακρίνῃ κανεὶς τὴν ταπείνωσιν τῆς ψυχῆς του, καὶ ἀπὸ τὸ ὅτι ἐνόμιζε τὸν ἑαυτόν του ἄξιον τόσον μεγάλης τιμωρίας καὶ ἀπὸ τὸ ὅτι δὲν ἐτόλμα νὰ ἀξιώσῃ ἀπὸ τὸν Θεὸν τὴν τελείαν συγχώρησίν του, πρᾶγμα ποὺ ἀποτελεῖ γνώρισμα τῶν ἀναγνωριζόντων τὴν ἐνοχήν των καὶ ἐχόντων πείσει τὸν ἑαυτόν των ὅτι εἶναι οἱ ἁμαρτωλότεροι τῶν ἀνθρώπων. Καὶ τὸ σπουδαιότερον εἶναι ὅτι ἀκόμη καὶ τὸ νὰ μὴ τιμωρηθῇ σκληρά, ζητεῖ νὰ τὸ λάβῃ ἀπὸ τὸ ἔλεος καὶ τὴν φιλανθρωπίαν τοῦ Θεοῦ, ἐπικαλούμενος τὴν ἀδυναμίαν του. Διότι λέγει, «ἐλέησόν με, διότι εἶμαι ἀσθενής»[17].

Διατί αὐτό; Αὐτὸς ποὺ ἠξιώθη τέτοιας μαρτυρίας καὶ δὲν ἐλησμόνησε τὰς ἀποφάσεις τοῦ Θεοῦ (τὰ παραδείγματά σου, λέγει, δὲν ἐλησμόνησα)[18], αὐτὸς ποὺ ἔλαμπε φαιδρότερον τοῦ ἡλίου, αὐτὸς λοιπὸν ἀπαγγέλλει αὐτοὺς τοὺς λόγους; Ναί, διότι τοῦτο εἶναι τὸ ἀξιοθαύμαστον, ὅτι τόσον μεγάλα κατορθώματα ἐπιτελῶν ποτὲ δὲν εἶπεν οὔτε ἐσκέφθη κάτι σπουδαῖον διὰ τὸν ἑαυτόν του, ἀλλ' εἶπεν ὅτι εἶναι ὁ τελευταῖος ὅλων καὶ ἐζήτει νὰ σωθῇ μόνον ἀπὸ τὴν φιλανθρωπίαν τοῦ Θεοῦ, ὡσὰν νὰ ἔλεγεν· ἐγὼ εἶμαι ἄξιος τῆς ἀπαραιτήτου τιμωρίας καὶ τῆς αἰωνίου κολάσεως, ἐπειδὴ ὅμως δὲν ἠμπορῶ νὰ ὑπομείνω, ἔχω τὴν ἀξίωσιν νὰ ἀπαλλαγῶ ἀπὸ τὰ παρόντα κακά. Καθὼς οἱ δοῦλοι οἱ διαπράξαντες ἄπειρα κακά, παραδέχονται μὲν τὸ σφάλμα των, διὰ τὸ ὅτι ὅμως ὁ πόνος τῆς μαστιγώσεως εἶναι ἀφόρητος, ἔχουν τὴν ἀξίωσιν ὁ πόνος τῶν τιμωριῶν νὰ μὴ εἶναι τόσον δριμύς.

Ἐγὼ δὲ αὐτὸν καὶ ἄλλην ἀσθένειαν οἶμαι αἰνίττεσθαι νῦν. Τίνα δὴ ταύτην; τὴν ἀπὸ τῆς ἀθυμίας καὶ τῶν ὀδυρμῶν ἐγγινομένην αὐτῷ. Εἴωθε γὰρ ἡ τῆς λύπης ὑπερβολή, ὅταν ἡμῖν ἐπισκήψῃ σφοδρότερον, ἅπασαν περιτρώγειν τῆς ψυχῆς 5 *τὴν ἰσχύν. Ὅπερ οἶμαι καὶ τὸν δίκαιον πεπονθέναι ἐκ τοῦ σφόδρα καταγινώσκειν ἑαυτοῦ, καὶ μηδέποτε χρηστὰς ἑαυτῷ ὑποτείνειν ἐλπίδας, ἀλλὰ τὰς ἐναντίας ἀεί. Τοῦτο γοῦν καὶ ἐκ τῶν ἑξῆς δῆλον ποιεῖ· «ἐλέησον γάρ με», ἐπήγαγεν, «ὅτι ἀσθενής εἰμι· ἴασαί με, Κύριε, ὅτι ἐταράχθη τὰ ὀστᾶ μου,* 10 *καὶ ἡ ψυχή μου ἐταράχθη σφόδρα», πρότερον εἰπών, «Κύριε, μὴ τῷ θυμῷ σου ἐλέγξῃς με».*

Εἰ δὲ ὁ συνειδὸς ἔχων οὕτω καθαρὸν ἀξιοῖ μὴ γενέσθαι τῶν πεπραγμένων ἐξέτασιν ἀκριβῆ, τί ποιήσομεν ἡμεῖς οἱ τοσούτοις ἐναπειλημμένοι κακοῖς, καὶ τοσοῦτον ἀπᾴδοντες 15 *τῆς παρρησίας ἐκείνου, καὶ μηδὲ τὸ πολλοστὸν τῆς ἐξομολογήσεως ἐκείνης ἐπιδειξάμενοι μέρος; Πόθεν οὖν ὁ μακάριος οὕτως ἐξωμολογεῖτο; Πεπαίδευτο ὅτι οὐδεὶς δικαιωθήσεται ἐνώπιον τοῦ Θεοῦ, καὶ ὅτι καὶ ὁ δίκαιος μόλις σώζεται. Διὰ τοῦτο ποτὲ μὲν παρακαλεῖ λέγων, «μὴ εἰσέλθῃς* 20 *εἰς κρίσιν μετὰ τοῦ δούλου σου», ποτὲ δέ, «ἐλέησόν με, Κύριε, ὅτι ἀσθενής εἰμι».*

5. Τοῦτο γὰρ ἄξιον πανταχοῦ σκοπεῖν, πῶς οὐδαμοῦ μέμνηται τῶν οἰκείων κατορθωμάτων, ἀλλ' ἐπὶ τὴν φιλανθρωπίαν τοῦ Θεοῦ ῥίπτει τὴν σωτηρίαν τὴν ἑαυτοῦ. Τοῦτο γὰρ 25 *συντετριμμένης ψυχῆς, τοῦτο τεταπεινωμένου πνεύματος, τοῦτο ποιεῖ μεγάλα κατορθοῦντα τῶν ἁμαρτωλῶν μᾶλλον δεδοικέναι καὶ τρέμειν. Ὅτι γὰρ ἔτρεμε μὲν οὕτω καὶ ἐδεδοίκει, ἄκουσον αὐτοῦ λέγοντος, «ἐὰν ἀνομίας παρατηρήσῃς, Κύριε, Κύριε, τίς ὑποστήσεται;». Ἤδει γάρ, ᾔδει σαφῶς,*

19. Ψαλμ. 6, 2-3.
20. Ψαλμ. 142, 2.
21. Ψαλμ. 6, 2-3.

Ἐγὼ ὅμως τώρα νομίζω ὅτι καὶ δι' ἄλλην ἀσθένειαν κάμνει ὑπαινιγμόν· διὰ ποίαν λοιπόν; δι' ἐκείνην ποὺ προέρχεται ἀπὸ τὴν ἀθυμίαν καὶ τοὺς ὀδυρμούς. Διότι συνήθως ἡ ὑπερβολικὴ λύπη, ὅταν μᾶς πλήξῃ σφοδρῶς, κατορθώνει νὰ ἐξαφανίζῃ ὅλην τὴν δύναμιν τῆς ψυχῆς, πρᾶγμα ποὺ νομίζω, ὅτι ἔπαθε καὶ ὁ δίκαιος μὲ τὸ νὰ θεωρήσῃ μεγάλον ἔνοχον τὸν ἑαυτόν του καὶ ποτὲ νὰ μὴ προτείνῃ εἰς αὐτὸν χρηστὰς ἐλπίδας, ἀλλὰ τὰς ἀντιθέτους πάντοτε. Φανερώνει δὲ τοῦτο καὶ ἀπὸ τὰ ἑξῆς: «ἐλέησόν με», ἐπρόσθεσε, «διότι εἶμαι ἀσθενής· θεράπευσέ με, Κύριε, διότι ἐταράχθησαν τὰ ὀστᾶ μου καὶ ἡ ψυχή μου ἐταράχθη σφοδρῶς»[19], ἐνῷ προηγουμένως εἶπε· «Κύριε, μὴ τῷ θυμῷ σου ἐλέγξῃς με».

Ἐὰν δὲ αὐτὸς ποὺ ἔχει τόσον καθαρὰν τὴν συνείδησιν ἀξιώνῃ νὰ μὴ γίνῃ ἀκριβὴς ἐξέτασις τῶν πράξεών του, τί θὰ κάμωμεν ἡμεῖς ποὺ ἔχομεν παραδοθῇ εἰς τόσα κακὰ καὶ εἴμεθα τόσον ξένοι πρὸς τὴν παρρησίαν ἐκείνου, χωρὶς καὶ νὰ ἔχωμεν δείξει οὔτε τὸ ἐλάχιστον μέρος τῆς ἐξομολογήσεως ἐκείνης; Ἀπὸ ποῦ λοιπὸν ὠθούμενος ὁ μακάριος ἐκεῖνος ἐξωμολογεῖτο ἔτσι; Εἶχε διδαχθῆ, ὅτι κανεὶς δὲν θὰ δικαιωθῇ πρὸ τοῦ Θεοῦ καὶ ὅτι ὁ δίκαιος δυσκόλως σώζεται. Δι' αὐτὸ ἄλλοτε μὲν παρακαλεῖ, λέγων· «μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου»[20], ἄλλοτε δὲ πάλιν «ἐλέησόν με, Κύριε, ὅτι ἀσθενής εἰμι»[21].

5. Ἄξιον παρατηρήσεως λοιπὸν εἶναι τὸ γεγονὸς ὅτι πουθενὰ δὲν μνημονεύει τὰς ἐναρέτους πράξεις του, ἀλλ' ἀναθέτει τὴν σωτηρίαν του εἰς τὴν φιλανθρωπίαν τοῦ Θεοῦ. Τοῦτο εἶναι ἴδιον συντετριμμένης ψυχῆς, τοῦτο μαρτυρεῖ πνεῦμα ταπεινωμένον, τοῦτο κάμνει τὸν ἐπιτελοῦντα τὰ μεγάλα κατορθώματα νὰ τρέμῃ καὶ νὰ φοβῆται περισσότερον ἀπὸ τοὺς ἁμαρτωλούς. Ὅτι δὲ ἔτρεμε τόσον καὶ ἐφοβεῖτο, ἄκουσε τὸν ἴδιον ποὺ λέγει· «Ἐὰν ἀνομίας παρατηρήσῃς, Κύριε, Κύριε, ποῖος θὰ ἀνθέξῃ»[22]. Διότι ἐγνώριζε

22. Ψαλμ. 120, 3.

ὅτι πολλῶν ἐσμεν ὀφλημάτων ὑπεύθυνοι τῷ Θεῷ, καὶ ὅτι τὰ μικρότατα τῶν ἁμαρτημάτων μεγάλης ἀξιοῦται τιμωρίας· ἔγνω προορῶν ἄνωθεν ἅπερ ἔμελλε νομοθετεῖν ὁ Χριστὸς ἐλθών· οὐ φόνων μόνον, ἀλλὰ καὶ ὕβρεων καὶ λοιδοριῶν καὶ ἐννοιῶν πονηρῶν καὶ γέλωτος καὶ ἀκαίρου λόγου καὶ εὐτραπελίας καὶ τῶν ἔτι μικροτέρων χαλεπὴν κεῖσθαι τὴν δίκην ἐπίστευε. Διὰ τοῦτο καὶ ὁ Παῦλος, καίτοι μηδὲν ἑαυτῷ συνειδώς, ἔλεγεν, «οὐδὲν ἐμαυτῷ σύνοιδα, ἀλλ' οὐκ ἐν τούτῳ δεδικαίωμαι». Τί δήποτε; Ὅτι καὶ εἰ μηδὲν κακὸν αὐτῷ εἴργαστο, ὥσπερ οὖν οὐδὲ εἴργαστο, τῆς γοῦν εἰς τὸν Θεὸν ὀφειλομένης τιμῆς οὐχ ἡγεῖτο πεπληρωκέναι τὸ μέτρον. Κἂν γὰρ μυριάκις ἀποθάνωμεν, κἂν πᾶσαν ἀρετὴν ἐπιδειξώμεθα οὐδὲ τὴν ἀξίαν ἀποδεδώκαμεν τῶν εἰς ἡμᾶς ὑπηργμένων παρὰ τοῦ Θεοῦ τιμῶν.

Ὅρα γάρ· οὐδενὸς τῶν παρ' ἡμῶν δεόμενος, ἀλλ' αὐτὸς ἀρκῶν ἑαυτῷ, οὐκ ὄντας ἡμᾶς εἰς τὸ εἶναι παρήγαγε, ψυχὴν ἐνέπνευσεν, οἵαν οὐδενὶ τῶν ἐπὶ τῆς γῆς, παράδεισον ἐφύτευσεν, οὐρανὸν ἔτεινε, γῆν ὑπεστόρεσε, φωστῆρας ἀνῆψε λαμπρούς, καὶ τὴν μὲν γῆν λίμναις καὶ πηγαῖς καὶ ποταμοῖς καὶ ἄνθεσι κατεκόσμησε καὶ φυτοῖς, τὸν δὲ οὐρανὸν τῷ ποικίλῳ τῶν ἄστρων καταστίξας χορῷ, τῆς ἡμέρας ἡμῖν οὐχ ἧττον τὴν νύκτα χρησιμωτέραν εἰργάσατο διὰ τὴν ἐκ τοῦ ὕπνου ἐγγινομένην ἀνάπαυσιν καὶ ἰσχύν. Τῶν γὰρ σιτίων οὐχ ἧττον ἡμῖν οὗτος τρέφει τὰ σώματα· καὶ δῆλον ἐκεῖθεν· λιμοῦ μὲν γὰρ πολλάκις ἴδοι τις ἂν πολλὰς κατατολμῶντας ἡμέρας, ὕπνου δὲ οὐδὲ ὀλίγας δυνατόν. Καὶ τὴν ἐν ἡμέρᾳ δὲ γενομένην φλόγα, τήν τε ἀπὸ τῆς ἀκτῖνος, τήν τε ἀπὸ

---

23. Α΄ Κορ. 4, 4.

καλῶς, ὅτι εἴμεθα ὑπεύθυνοι ἔναντι τοῦ Θεοῦ διὰ πολλὰ χρέη καὶ ὅτι καὶ τὰ παραμικρὰ ἁμαρτήματα τιμωροῦνται πολύ. Ἐγνώριζε, προβλέπων ἄνωθεν, ὅσα ἐπρόκειτο νὰ νομοθετήσῃ ἐρχόμενος ὁ Χριστός. Ἐπίστευε δὲ ὅτι θὰ ἐπιβληθῇ φοβερὰ τιμωρία ὄχι μόνον διὰ τοὺς φόνους, ἀλλὰ καὶ διὰ τὰς ὕβρεις καὶ τὰς λοιδορίας, τὰς πονηρὰς σκέψεις, τὸν γέλωτα, τὸν ἀστόχαστον λόγον καὶ τὸν εὐτράπελον καὶ διὰ τὰ ἀκόμη μικρότερα τούτων. Διὰ τοῦτο καὶ ὁ Παῦλος, ἂν καὶ ἐγνώριζε καλῶς ὅτι τίποτε δὲν τὸν βαρύνει, ὅμως ἔλεγε· «δὲν αἰσθάνομαι κανὲν βάρος, ἀλλὰ δὲν εὑρίσκω ἀπὸ αὐτὸ τὴν δικαίωσιν»[23]. Διατί λοιπόν; Διότι, καὶ ἂν δὲν εἶχε διαπράξει κανὲν κακόν, ὅπως πράγματι δὲν διέπραξεν, ἐν τούτοις ἐνόμιζεν ὅτι δὲν εἶχεν ἐκπληρώσει τὴν πρὸς τὸν Θεὸν ὀφειλομένην τιμὴν καθ' ὃ μέτρον ὤφειλε νὰ τὸ κάμῃ. Διότι καὶ ἂν ἀποθάνωμεν ἀκόμη ἀπείρους φορὰς καὶ ἂν ἐπιδείξωμεν ὅλην τὴν ἀρετήν, οὔτε τότε ἔχομεν ἀνταποδώσει τὴν ἀξίαν τῶν τιμῶν ποὺ ἔχουν δοθῇ εἰς ἡμᾶς ἐκ μέρους τοῦ Θεοῦ.

Διότι, πρόσεχε· ἐνῷ δὲν ἔχει ὁ Θεὸς καμμίαν ἀνάγκην τῶν ἰδικῶν μας πραγμάτων, ἀλλ' εἶναι αὐτάρκης, μᾶς ἔφερεν εἰς τὴν ζωὴν ἀπὸ τὴν ἀνυπαρξίαν, μᾶς ἔδωσε ψυχήν, παρομοίαν τῆς ὁποίας κανὲν ἄλλο ὂν ἐπὶ τῆς γῆς δὲν ἔλαβεν, ἐφύτευσε παράδεισον, ἥπλωσε τὸν οὐρανόν, ἔστρωσε κάτωθεν αὐτοῦ τὴν γῆν, ἥναψε φωστῆρας λαμπρούς, καὶ τὴν μὲν γῆν ἐστόλισε μὲ λίμνας καὶ πηγὰς καὶ ποταμοὺς καὶ ἄνθη καὶ φυτά, τὸν δὲ οὐρανὸν κατέστιξε μὲ τὸ ποικιλόμορφον σύνολον τῶν ἄστρων, καὶ ἔκαμε πρὸς χάριν μας τὴν νύκτα ὄχι ὀλιγώτερον χρήσιμον ἀπὸ τὴν ἡμέραν, λόγῳ τῆς ἀναπαύσεως καὶ τῆς δυνάμεως ποὺ μᾶς χαρίζει ὁ ὕπνος. Διότι δὲν τρέφει καὶ ὁ ὕπνος ὀλίγον τὰ σώματά μας, πρᾶγμα ποὺ φανερώνει καὶ τὸ γεγονὸς ὅτι, τὴν μὲ πεῖναν θὰ ἴδῃ κανεὶς ἐπὶ πολλὰς ἡμέρας νὰ τὴν κατανικοῦν, τὸν ὕπνον ὅμως οὔτε ὀλίγας μόνον. Καταψύχων δὲ καὶ διαλύων τὸν πυρετὸν τῆς ἡμέρας, ποὺ τὸν προκαλοῦν εἴτε ἡ θέρμη

τῶν μόχθων τῶν καθημερινῶν καταψύχων καὶ διαλύων, οὕτως ἀκμάζοντας πάλιν ἡμᾶς πρὸς τοὺς πόνους ἀνίστησι· χειμῶνος δὲ ὥρᾳ τῷ μήκει τοῦ δρόμου καὶ ἐπιπλέον ἡμῖν παρέχει τὴν ἀνάπαυσιν καὶ τὸ θάλπος, ὑπωροφίους εἶναι
5 *καταναγκάζων. Καὶ τὸ σκότος δὲ οὐχ ἁπλῶς οὐδὲ εἰκῇ τούτῳ συγκεκλήρωται τῷ καιρῷ, ἀλλ' ὑπὲρ ἀναπαύσεως πλείονος. Ὥσπερ οὖν αἱ φιλόστοργοι τῶν μητέρων, ὅταν κατευνάσαι τὰ παιδία βουληθῶσιν ἀλύοντα, ὑπὸ τὰς ἀγκάλας θεῖσαι τὰς ἑαυτῶν, καὶ τῷ χιτωνίσκῳ τὰς ὄψεις περιβαλοῦσαι, κα-*
10 *τακοιμίζουσιν· οὕτω καὶ ὁ Θεός, καθάπερ τι καταπέτασμα τὸ σκότος κατὰ τῆς οἰκουμένης ἁπλώσας, παύει τοὺς ἀνθρώπους τῶν πόνων. Εἰ γὰρ μὴ τοῦτο ἦν, ὑπὸ τῆς φιλοπραγμοσύνης ἢ φιλαργυρίας τῆς ἄγαν καὶ ὑπὸ τῶν πόνων ἅπαντες ἂν διεσπάσθημεν· νυνὶ δὲ καὶ ἄκοντας ἡμᾶς τῶν ἱδρώτων*
15 *ἀνίησιν. Οὐ τὰ σώματα δὲ ἡμῖν ἀνίησι μόνον, ἀλλὰ καὶ τὴν ψυχὴν οὗτος ὁ νόμος τῶν σωμάτων οὐχ ἧττον.*

Τί γὰρ ἄν τις λέγοι τὴν ἐν τῷ καιρῷ τούτῳ γαλήνην, τὴν ἡσυχίαν, καὶ πῶς ἅπαντα γέμει σιγῆς, καὶ θορύβων ἐστὶ καθαρά, καὶ οὐκ ἔστιν ἀκοῦσαι κραυγῆς τινος καθάπερ
20 *ἐν ἡμέρᾳ, τῶν μὲν πενίαν ὀδυρομένων, τῶν δὲ ἐπήρειαν καταβοώντων, τῶν δὲ ἀρρωστίαν σώματος καὶ πηρώσεις θρηνούντων, καὶ τῶν μὲν θάνατον τῶν οἰκείων, τῶν δὲ ζημίαν χρημάτων, τῶν δὲ ἄλλο τι τῶν ἀνθρωπίνων· πολλὰ δὲ ταῦτά ἐστιν· ὧν τούτων ἁπάντων καθάπερ τρικυμιῶν*
25 *ἐξαρπάσασα πρὸς τὸν αὐτῆς ἀναπαύει λιμένα τὸ τῶν ἀνθρώπων γένος ἡ νύξ. Καὶ διὰ μὲν τῆς νυκτὸς τοσαῦτα ἡμῖν τὰ ἀγαθά· διὰ δὲ τῆς ἡμέρας ταῦτα, ἅπερ ἅπαντες ἴσμεν.*

Τί ἄν τις εἴποι τὴν πρὸς τὰς ἐπιμιξίας εὐκολίαν γινομένην ἡμῖν; Ἵνα γὰρ μὴ τῆς ὁδοιπορίας τὸ μῆκος ἀποτρο-

τοῦ ἡλίου, εἴτε οἱ καθημερινοὶ μόχθοι, μᾶς ἐγείρει πάλιν τόσον ἀκμαίους διὰ τοὺς κόπους τῆς νέας ἡμέρας. Κατὰ δὲ τὴν ἐποχὴν τοῦ χειμῶνος μὲ τὴν μεγάλην της διάρκειαν, μᾶς παρέχει ἐπὶ πλέον ἀνάπαυσιν καὶ θαλπωρήν, ἀναγκάζων ἡμᾶς νὰ μένωμεν ὑπὸ στέγην. Καὶ τὸ σκότος πάλιν ὄχι τυχαίως, οὔτε ματαίως ἐτάχθη νὰ ὑπάρχῃ κατ' αὐτὸν τὸν καιρόν, ἀλλὰ χάριν περισσοτέρας ἀναπαύσεως. Ὅπως αἱ στοργικαὶ μητέρες, ποὺ θέλουν νὰ καθησυχάσουν τὰ διαμαρτυρόμενα τέκνα των τὰ ἀποκοιμίζουν, ἀφοῦ τὰ πάρουν εἰς τὴν ἀγκάλην των καὶ σκεπάσουν μὲ τὸ φόρεμά των τοὺς ὀφθαλμούς των, ἔτσι καὶ ὁ Θεός, ἁπλώνων ὡς καταπέτασμα τὸ σκότος ἐπάνω εἰς τὸν κόσμον, σταματᾷ τοὺς κόπους τῶν ἀνθρώπων. Ἐὰν δὲ δὲν ἐγίνετο τοῦτο, θὰ εἴχομεν ἐξαφανισθῆ ὅλοι ἀπὸ τὴν φιλοπραγμοσύνην ἢ τὴν ὑπερβολικὴν φιλαργυρίαν καὶ τοὺς κόπους. Τώρα ὅμως καὶ χωρὶς νὰ θέλωμεν μᾶς ξεκουράζει ἀπὸ τοὺς ἱδρῶτας μας. Καὶ ὁ νόμος αὐτὸς ξεκουράζει ὄχι μόνον τὰ σώματα, ἀλλὰ καὶ τὴν ψυχὴν ὄχι ὀλιγώτερον ἀπὸ τὰ σώματα.

Τί θὰ ἔλεγε κανεὶς διὰ τὴν γαλήνην ποὺ ἐπικρατεῖ κατὰ τὴν ἐποχὴν ταύτην καὶ τὴν ἡσυχίαν καὶ πῶς ὅλα εἶναι πλήρη σιγῆς καὶ καθαρὰ ἀπὸ θορύβους καὶ δὲν εἶναι δυνατὸν νὰ ἀκούσῃ κανεὶς μίαν κραυγήν, ὅπως γίνεται τὴν ἡμέραν, ποὺ ἄλλοι ὀδύρονται διὰ πενίαν, ἄλλοι βοοῦν διὰ κακομεταχείρισιν, ἄλλοι θρηνοῦν δι' ἀσθένειαν σώματος καὶ ἀναπηρίαν, ἄλλοι διὰ τὸν θάνατον τῶν οἰκείων των, ἄλλοι δὲ διὰ ζημίαν χρηματικήν, ἄλλοι διὰ κάτι ἄλλο ἀνθρώπινον· καὶ εἶναι πολλὰ αὐτά. Ἀπὸ ὅλα αὐτά, ὡσὰν ἀπὸ κάποιαν τρικυμίαν, ἁρπάζουσα ἡ νὺξ τὸ γένος τῶν ἀνθρώπων τὸ ἀναπαύει εἰς τὸν ἰδικόν της λιμένα. Καὶ μὲ τὴν νύκτα τόσα πολλὰ ἀγαθὰ προσφέρει εἰς ἡμᾶς, μὲ τὴν ἡμέραν δὲ ἐκεῖνα τὰ ὁποῖα ὅλοι γνωρίζομεν.

Τί δὲ θὰ ἔλεγε κανεὶς διὰ τὴν εὐκολίαν τῆς μεταξύ μας ἐπικοινωνίας; Διὰ νὰ μὴ γίνῃ τὸ μῆκος τῆς ὁδοιπορίας αἰτία ἀποτρεπτικὴ τῆς μεταξύ μας συναντήσεως, ἥπλωσεν ὁ

πὴ γίγνοιτο τῆς συνουσίας τῆς πρὸς ἀλλήλους, ἐπιτομωτέραν ἡμῖν ὁδὸν τὴν θάλασσαν ἀνῆκε πανταχοῦ τῆς γῆς ὁ Θεός, ἵνα ὥσπερ οἶκον ἕνα τὴν οἰκουμένην οἰκοῦντες, οὕτω θαμινὰ παρ' ἀλλήλους βαδίζωμεν, καὶ τῶν παρ' ἑαυτῷ
5 *ἕκαστος τῷ πλησίον μεταδιδοὺς εὐκόλως, ἀντιλαμβάνῃ τὰ παρ' ἐκείνου, καὶ μικρὸν τῆς γῆς μέρος κατέχων, ὥσπερ ἁπάσης κύριος ὤν, τῶν πανταχοῦ γινομένων ἀπολαύῃ καλῶν· καθάπερ ἐπὶ τραπέζης πλουσίας ἑκάστῳ τῶν δαιτυμόνων τὸ παρατεθειμένον αὐτῷ δόντι τῷ πόρρωθεν κατακει-*
10 *μένῳ, τὸ παρ' ἐκείνῳ κείμενον ἀντιλαβεῖν ἔξεστι τὴν χεῖρα μόνον ἐκτείναντα. Εἰ δέ τις καὶ τὰ ἄλλα πάντα ἐπελθεῖν ἐπιχειρήσειε τῷ λόγῳ, εἰς ἄφατον ἐκπεσεῖται μῆκος, καὶ οὐδὲ μικρὸν ἐπελεύσεται μέρος· πῶς γὰρ ἄνθρωπος ὢν καὶ τὴν ἄπειρον τοῦ Θεοῦ σοφίαν ἀναμετρεῖν ἐπιχειρῶν;*

15 *Ἐννόησον γὰρ τέως τὰς τῶν φυτῶν διαφοράς, τῶν καρποφόρων, τῶν ἀκάρπων, τῶν ἐν ἐρήμοις, τῶν κατὰ τὴν οἰκουμένην, τῶν ἐν ὄρεσι, τῶν ἐν πεδίοις· ἴδε τὴν ἐν τοῖς σπέρμασι ποικιλίαν, τὴν ἐν ταῖς βοτάνοις, τὴν ἐν τοῖς ἄνθεσι, τὴν ἐν τοῖς ζώοις τοῖς χερσαίοις, τοῖς ἀμφιβίοις, τοῖς νη-*
20 *κτοῖς· ἐννόησον ὅτι τὰ ὁρώμενα ἅπαντα δι' ἡμᾶς, οὐρανός, γῆ, θάλασσα, τὰ ἐν τούτοις ἅπαντα. Καθάπερ γάρ τις βασίλεια ἑαυτῷ λαμπρὰ κατασκευάσας, πολλῷ μὲν ἀποστίλβοντα τῷ χρυσῷ, πολλῇ δὲ λάμποντα τῇ τῶν λίθων αἴγλῃ, οὕτω τὸν κόσμον τεκτηνάμενος ὁ Θεὸς ἤγαγε τὸν ἄνθρωπον βα-*
25 *σιλεύοντα πάντων τῶν ἐν αὐτῷ. Καὶ τὸ πολλῷ θαυμασιώτερον, τούτου τοῦ οἴκου οὐκ ἀπὸ λίθων κατασκευάσας τὸν ὄροφον, ἀλλ' ἐξ ἑτέρας ὕλης τιμιωτέρας αὐτὸν συμπηξάμενος, οὐδὲ λυχνίας χρυσῆς φλόγα ἀνάψας, ἀλλ' ἄνωθεν τὰς λαμπάδας ἀφεὶς διατρέχειν τούτου τοῦ οἴκου τὴν στέγην ἐκέλευ-*
30 *σεν, ὡς μὴ χρήσιμον μόνον, ἀλλὰ καὶ πολλὴν ἡμῖν εἶναι τὴν*

Θεὸς εἰς ὅλα τὰ μέρη τῆς γῆς συντομώτερον δρόμον τὴν θάλασσαν διὰ νὰ πηγαίνωμεν ὁ εἷς πρὸς τὸν ἄλλον τόσον συχνὰ ὡσὰν ἀκριβῶς νὰ κατοικῶμεν τὴν οἰκουμένην ὁμοιάζουσαν μὲ μίαν μόνην οἰκίαν καὶ ὁ καθένας παρέχων τὰ ἰδικά του εἰς τὸν ἄλλον εὐκόλως, νὰ λαμβάνῃ καὶ αὐτὸς τὰ προϊόντα ἐκείνου καὶ ἐξουσιάζων ἐλάχιστον τῆς γῆς μέρος, ὡσὰν νὰ εἶναι ὁλοκλήρου τοῦ κόσμου κυρίαρχος ἀπολαμβάνει τὰ εὑρισκόμενα παντοῦ ἀγαθά. Συμβαίνει ὅπως ἀκριβῶς εἰς μίαν πλουσίαν εἰς φαγητὰ τράπεζαν ὅπου ὁ κάθε προσκεκλημένος δίδει μὲ εὐκολίαν τὸ παρατιθέμενον εἰς ἄλλον ποὺ κάθηται μακρὰν αὐτοῦ, καὶ ἔτσι εἶναι δυνατὸν νὰ λάβῃ καὶ αὐτὸς ἀπὸ ἄλλον, ἀρκεῖ μόνον νὰ ἁπλώσῃ τὸ χέρι του. Ἐὰν μάλιστα ἤθελε κανεὶς ὅλα νὰ τὰ συμπεριλάβῃ εἰς τὸν λόγον του, θὰ παρασυρθῇ εἰς μέγα μῆκος καὶ πάλιν οὔτε τὸ ἐλάχιστον δὲν θὰ εἴπῃ ἀπὸ αὐτά· διότι, πῶς θὰ τὸ κάμῃ αὐτὸ ἀφοῦ εἶναι ἄνθρωπος καὶ ἐπιχειρεῖ νὰ μετρήσῃ τὴν ἄπειρον σοφίαν τοῦ Θεοῦ;

Πρόσεξε, ἂν θέλῃς, τώρα τὰς διαφορὰς μεταξὺ τῶν φυτῶν, τῶν καρποφόρων, τῶν ἀκάρπων, τῶν βλαστανόντων εἰς τὰ ἔρημα μέρη καὶ εἰς ὅλον τὸν κόσμον, εἰς τὰ ὄρη καὶ τὰς πεδιάδας· ἰδὲ ἀκόμη καὶ τὴν ποικιλίαν τῶν καρπῶν, τῶν διαφόρων βοτανῶν, τῶν ἀνθέων, τῶν χερσαίων ζώων, τῶν ἀμφιβίων καὶ τῶν κολυμβητικῶν. Σκέψου ὅτι ὅλα αὐτὰ ἐδημιουργήθησαν δι' ἡμᾶς, ὁ οὐρανός, ἡ γῆ, ἡ θάλασσα καὶ ὅλα ὅσα ὑπάρχουν εἰς αὐτά. Διότι ὡς νὰ ἔχῃ κτίσει κανεὶς ἀνάκτορα διὰ τὸν ἑαυτόν του, ποὺ λαμποκοποῦν εἰς τὸ χρυσάφι καὶ τὴν στιλπνότητα τῶν πολυτίμων λίθων, ἔτσι κατασκευάζων ὁ Θεὸς καὶ τὸν κόσμον τοῦτον, ἔφερε τὸν ἄνθρωπον νὰ βασιλεύῃ ὅλης τῆς κτίσεως. Καὶ τὸ πλέον ἀξιοθαύμαστον ὅλων εἶναι, ὅτι τὴν ὀροφὴν τοῦ οἴκου τούτου ὁ Θεὸς τὴν κατεσκεύασεν ὄχι ἀπὸ λίθους, ἀλλ' ἀπὸ ἄλλο πολυτιμότερον ὑλικόν, χωρὶς νὰ ἀνάψῃ χρυσὸν λύχνον, ἀλλ' ἀφήσας ἀπὸ ἐπάνω λαμπάδας ὥρισε νὰ διατρέχουν τὴν στέγην τοῦ οἴκου τούτου, διὰ νὰ μᾶς εἶναι τοῦτο ὄχι μόνον

ἡδονήν· τὸ δὲ ἔδαφος ἀντὶ τραπέζης ἀνῆκε πολυτελοῦς. Καὶ ταῦτα παρέσχε τῷ μηδὲν οὐδέπω ἐπιδειξαμένῳ καλόν. Ἀλλ' ὅμως μετὰ τὴν τοσαύτην δωρεὰν ἀγνώμονα περὶ τὸν εὐεργέτην γενόμενον, οὐδὲ οὕτως ἐστέρησε τῆς τιμῆς, ἀλλ' 5 *ἐκβαλὼν μόνον τοῦ παραδείσου, τούτῳ κολάζει, περαιτέρω προβῆναι τὴν ἀγνωμοσύνην κωλύων, καὶ τὴν ἐπὶ τὸ χεῖρον ἀναστέλλων ῥοπήν.*

Ταῦτα δὴ πάντα ἀναλογιζόμενος ὁ ἀπόστολος, τά τε ἐξ ἀρχῆς, τά τε καθ' ἑκάστην ἡμέραν, τά τε εἰς ἕνα ἕκαστον, 10 *τά τε εἰς ἅπαντα κοινῇ γινόμενα, καὶ ἔτι τὰ κατὰ τὴν οἰκονομίαν τοῦ μονογενοῦς Υἱοῦ τοῦ Θεοῦ, ἐννοήσας, ὥσπερ εἰς πέλαγος ἐμπεσὼν ἀχανές, οὕτως ἐμάνθανεν ὅσων καὶ ἡλίκων ὑπεύθυνος ἦν, τὰ μὲν μικρὰ τῶν ἁμαρτημάτων μετὰ πολλῆς ἐξήταζε τῆς ἀκριβείας, τὰ δὲ κατορθώματα λήθῃ* 15 *παρέπεμπεν. Ἀλλ' οὐχ ἡμεῖς, οἳ τῶν μὲν πλημμελημάτων, καὶ πολλῶν ὄντων καὶ μεγάλων, οὔτε λόγον, οὔτε μνήμην ποιούμεθα· ἂν δέ τι μικρὸν κατορθώσωμεν, τοῦτο ἄνω καὶ κάτω στρέφομεν, καὶ οὐ πρότερον ἀφιστάμεθα γαυρούμενοι καὶ φυσώμενοι, ἕως ἂν καὶ αὐτὸ τὸ μικρὸν διὰ τῆς ἀλα-* 20 *ζονείας κενώσωμεν. Ταῦτα καὶ ὁ Δαυῒδ σκοπῶν ἔλεγε· «Τί ἐστιν ἄνθρωπος ὅτι μιμνήσκῃ αὐτοῦ;». Οὐ μόνον δέ, ἀλλὰ καὶ τῆς ἀγνωμοσύνης αὐτοῦ κατηγορῶν, «Ἄνθρωπος», φησίν, «ἐν τιμῇ ὢν οὐ συνῆκε, παρασυνεβλήθη τοῖς κτήνεσι τοῖς ἀνοήτοις, καὶ ὡμοιώθη αὐτοῖς».*

25 *6. Τοῦτο οἰκέτου εὐγνώμονος, τὰς εἰς τὸ κοινὸν εὐεργεσίας ἰδιοποιεῖσθαι, καὶ ὡς τοῦ παντὸς ὀφειλέτην ὄντα, φροντίζειν καὶ μεριμνᾶν. Ὅπερ καὶ ὁ Παῦλος ἐποίησε (καλὸν γὰρ πάλιν αὐτοῦ μνημονεῦσαι), δι' αὐτὸν λέγων τεθνη-*

24. Ψαλμ. 8, 5.
25. Ψαλμ. 48, 13.

χρήσιμον, ἀλλὰ καὶ πολὺ εὐχάριστον, τὸ δὲ ἔδαφος ἐξήπλωσεν ὡς πολυτελῆ τράπεζαν. Καὶ ὅλα αὐτὰ τὰ ἐχορήγησεν εἰς ἐκεῖνον ποὺ ποτέ του δὲν παρουσίασε κανὲν ἀγαθόν. Καὶ μετὰ ἀπὸ τὴν τόσον πλουσίαν δωρεὰν τὸν ἐπιδείξαντα ἀχαριστίαν πρὸς τὸν εὐεργέτην δὲν ἐστέρησεν, ὅσον ἤξιζε, τῆς τιμῆς, ἀλλὰ ἀφοῦ μόνον τὸν ἐξεδίωξεν ἀπὸ τὸν παράδεισον, μὲ τοῦτο τὸν τιμωρεῖ, ἐμποδίζων τὴν ἀχαριστίαν του νὰ προοδεύῃ περισσότερον καὶ διακόπτων τὴν πρὸς τὰ χειρότερα ὁρμήν του.

Αὐτὰ λοιπὸν ἀναλογιζόμενος ὁ ἀπόστολος, ὅσα ὑπῆρχαν ἐξ ἀρχῆς, ὅσα καθημερινῶς, ὅσα διὰ τὸν καθένα καὶ ὅσα ἀπὸ κοινοῦ δι' ὅλους συνέβαιναν καὶ τὰ φανερὰ καὶ τὰ κρυφίως γινόμενα, καὶ ἀκόμη ὅσα ἀναφέρονται εἰς τὸ μυστήριον τῆς θείας ἐνανθρωπήσεως τοῦ μονογενοῦς Υἱοῦ τοῦ Θεοῦ ὡσὰν νὰ ἔπεσεν ἀχανὲς πέλαγος, τόσον ἐμάνθανε ποίων καὶ πόσον μεγάλων πραγμάτων ἦτο ὑπεύθυνος, τὰ μὲν μικρὰ ἁμαρτήματα ἐξήταζε μὲ πολλὴν ἀκρίβειαν, τὰ δὲ κατορθώματα τὰ ἐλησμόνει. Δὲν πράττομεν τὸ ἴδιον ἡμεῖς οἱ ὁποῖοι διὰ τὰ παραπτώματά μας, ποὺ πολλὰ καὶ μεγάλα εἶναι, οὔτε λόγον κάμνομεν, οὔτε τὰ ἐνθυμούμεθα. Ἂν δὲ ἐπιτελέσωμεν ἕνα μικρὸν κατόρθωμα, κάμνομεν δι' αὐτὸ πολὺν λόγον καὶ δὲν παύομεν κομπάζοντες καὶ ὑπερηφανευόμενοι, μέχρις ὅτου χάσωμεν καὶ αὐτὸ τὸ μικρὸν μὲ τὴν ἀλαζονείαν μας. Αὐτὰ διαλογιζόμενος καὶ ὁ Δαυΐδ, ἔλεγε· «Τί εἶναι ὁ ἄνθρωπος, ποὺ τὸν ἐνθυμεῖσαι;»[24]. Ὄχι δὲ μόνον τοῦτο, ἀλλὰ καὶ τὴν ἀγνωμοσύνην του κατηγορῶν εἶπεν· «ὁ ἄνθρωπος δὲν ἀντελήφθη ὅτι εἶναι εἰς μεγάλην τιμήν, παρασυνεβλήθη μὲ τὰ κτήνη τὰ ἀνόητα καὶ ὡμοιώθη μὲ αὐτά»[25].

6. Ἴδιον τοῦ εὐγνώμονος δούλου εἶναι τοῦτο, τὸ νὰ ἰδιοποιῆται τὰς εὐεργεσίας ποὺ ἀφοροῦν εἰς ὅλους καὶ αὐτὸς νὰ φροντίζῃ καὶ νὰ μεριμνᾷ ὡς νὰ εἶναι ὀφειλέτης ὅλων, πρᾶγμα ποὺ ἔκαμε καὶ ὁ ἀπόστολος Παῦλος (διότι εἶναι καλὸν νὰ τὸν ἐνθυμηθῶμεν πάλιν), λέγων ὅτι ἔχει ἀ-

κέναι τὸν Κύριον, «ὃ γὰρ νῦν ζῶ», φησίν, «ἐν σαρκί, ἐν πίστει ζῶ τῇ τοῦ Υἱοῦ τοῦ Θεοῦ τοῦ ἀγαπήσαντός με καὶ παραδόντος ἑαυτὸν ὑπὲρ ἐμοῦ». Ταῦτα δὲ ἔλεγεν, οὐ συστεῖλαι βουλόμενος τοῦ Χριστοῦ τὴν δωρεάν, ἀλλὰ τοῦ παντὸς ἑαυ-
5 *τὸν ὑπεύθυνον καταστῆσαι σπεύδων, καὶ ἕκαστον οὕτω διακεῖσθαι πείθων. Εἰ γὰρ καὶ δι' ἕνα παρεγένετο ἄνθρωπον ὁ Χριστός, οὐ μόνον οὐκ ἐλαττοῦται τούτῳ ἡ δωρεά, ἀλλὰ καὶ μείζων δείκνυται. Πῶς; Ὅτι καὶ ὑπὲρ ἑνὸς τοσαύτην φαίνεται τὴν σπουδὴν ἐπιδεικνύμενος ὅσην ὁ τὸ ἓν πρόβατον*
10 *ἐπιζητῶν· διὰ ταῦτα ἐταράττετο, διὰ ταῦτα ἐθρήνει. Εἰ γὰρ οἱ χρήματα δανεισάμενοι καὶ οὐκ ἔχοντες ἀποτῖσαι, ἀλλὰ πολλῷ καταβαπτιζόμενοι τῷ τῶν ὀφλημάτων βυθῷ, οὔτε ἐσθίουσιν, οὔτε καθεύδουσιν ὑπὸ τῆς φροντίδος δακνόμενοι· ὁ δίκαιος ὁρῶν οὐκ ἐν χρήμασιν, ἀλλ' ἐν πράξεσιν οὖσαν*
15 *τὴν ὀφειλήν, τί οὐκ ἂν ἔπαθεν; Ἀλλ' οὐχ ἡμεῖς οὕτως, ἀλλὰ κἂν μικρὸν ἐκτίσωμεν, ὡς τὸ πᾶν ἐκτετικότες διακείμεθα, μᾶλλον δὲ καὶ ὑπερβαλλόμενοι· καὶ οὐδὲ τὸ μικρὸν τοῦτο μετὰ προθυμίας τῆς προσηκούσης ἐλευθέροις πράττομεν, ἀλλὰ πρότερον ἐξετάζομεν εἰ μισθὸν ἔχει, καὶ εἰ πολὺν τὸν*
20 *μισθόν, καὶ εἰ ἡμῖν αὐτοῖς λογίζεται, ἀνελευθέρων τινῶν καὶ μισθωτῶν φθεγγόμενοι ῥήματα.*

Τί λέγεις, ἄνθρωπε μικρόψυχε καὶ ταλαίπωρε; πρόκειταί τι πρᾶξαι τῶν ἀρεσκόντων Θεῷ, καὶ σὺ περὶ μισθοῦ φροντίζων ἕστηκας; Εἰ γὰρ πράξαντά σε εἰς γέενναν ἐμπε-
25 *σεῖν προὔκειτο, ἀναδύσασθαι ἐχρῆν, ἀλλ' οὐχὶ μετὰ πολλῆς καὶ οὕτω τῆς προθυμίας ἅπτεσθαι τῆς τῶν καλῶν ἐργασίας; Πράττεις τι τῶν τῷ Θεῷ φίλων, καὶ μισθὸν ἕτερον ἐπιζητεῖς; Ὄντως ἀγνοεῖς ὅσον ἐστὶν ἀγαθὸν ἀρέσαι Θεῷ· εἰ*

---

26. Γαλ. 2, 20.

ποθάνει δι' αὐτὸν τὸν Κύριον· «τὸ ὅτι δὲ ζῶ τώρα ἐν σαρκί, λέγει, εἶναι προϊὸν τῆς πίστεως εἰς τὸν Υἱὸν τοῦ Θεοῦ ὁ ὁποῖος μὲ ἠγάπησε καὶ παρέδωσεν ἑαυτὸν ὑπὲρ ἐμοῦ»[26]. Ἔλεγε δὲ αὐτὰ ὄχι ἐπειδὴ ἤθελε νὰ μειώσῃ τὴν δωρεὰν τοῦ Χριστοῦ, ἀλλ' ἐπειδὴ ἔσπευδε νὰ καταστήσῃ τὸν ἑαυτόν του ὑπεύθυνον διὰ τὸ σύνολον τῆς σωτηρίας, πείθων καὶ τὸν καθένα νὰ πράττῃ τὸ ἴδιον. Διότι καὶ ἐὰν ἀκόμη ὁ Χριστὸς ἦλθε δι' ἕνα ἄνθρωπον, ὄχι μόνον δὲν μειοῦται μὲ αὐτὸ ἡ δωρεά, ἀλλὰ καὶ ἀποδεικνύεται μεγαλυτέρα. Πῶς; Μὲ τὸ ὅτι καὶ διὰ μίαν καὶ μόνην ψυχὴν φαίνεται νὰ ἐπιδεικνύῃ τόσην φροντίδα, ὅσην καὶ ὁ ἀναζητῶν τὸ ἓν πρόβατον· δι' αὐτὸ ἐλυπεῖτο, δι' αὐτὸ καὶ ἐθρήνει. Ἐὰν δὲ ἐκεῖνοι ποὺ ἐδανείσθησαν χρήματα καὶ δὲν ἔχουν νὰ ἐξοφλήσουν τὴν ὀφειλήν των, ἀλλ' ἀντιθέτως κατέρχονται βαθμηδὸν εἰς τὸν βυθὸν τοῦ χρέους των, οὔτε τρώγουν οὔτε κοιμοῦνται, κατατρωγόμενοι οἱ ἴδιοι ἀπὸ τὴν φροντίδα των, τί δὲν θὰ ἔπασχεν ὁ δίκαιος, βλέπων ὅτι ἡ ὀφειλή του συνίσταται ὄχι εἰς χρῆμα, ἀλλὰ εἰς πράξεις; Ἡμεῖς ὅμως δὲν εἴμεθα τέτοιοι, διότι καὶ ἂν ἐξοφλήσωμεν ἔστω καὶ κάτι τὸ ἐλάχιστον, διακείμεθα ὡσὰν νὰ ἔχωμεν ἐξοφλήσει τὸ πᾶν, μᾶλλον δὲ καὶ πολὺ περισσότερον. Καὶ τὸ ἐλάχιστον τοῦτο δὲν τὸ πράττομεν μὲ προθυμίαν ἁρμόζουσαν εἰς ἀνθρώπους ἐλευθέρους, ἀλλὰ προηγουμένως ἐξετάζομεν ἐὰν ἔχῃ μισθὸν καὶ μάλιστα μεγάλον καὶ ἐὰν εἶναι πρὸς ὄφελός μας, μεταχειριζόμενοι λόγους ἀνθρώπων ἀνελευθέρων καὶ μισθωτῶν.

Τί λέγεις, ἄνθρωπε μικρόψυχε καὶ ταλαίπωρε; Πρόκειται νὰ πράξῃς ἔργον θεάρεστον, καὶ ἵστασαι φροντίζων δι' ἀμοιβήν; Διότι, ἐὰν ἐπρόκειτο ἡ διάπραξίς του νὰ σὲ ρίψῃ εἰς κόλασιν, θὰ ἔπρεπε νὰ ἀποφύγῃς τὸ ἐγχείρημα, καὶ ἐὰν πρόκειται περὶ ἐργασίας τῶν καλῶν, δὲν θὰ ἔπρεπε νὰ ἀναλάβῃς μὲ πολλὴν πάλιν προθυμίαν; Πράττεις κάτι ποὺ ἀρέσει εἰς τὸν Θεὸν καὶ ζητεῖς ἄλλον μισθόν; Πράγματι ἀγνοεῖς τὸ πόσον εἶναι καλὸν τὸ νὰ εὐαρεστήσῃς τὸν Θεόν.

γὰρ ᾔδεις, οὐδεμίαν ἂν ἑτέραν ἐνόμισας εἶναι ἴσην ἀμοιβήν. Οὐκ οἶδας ὅτι σοι ὁ μισθὸς αὔξεται, ὅταν μὴ ἐπ' ἐλπίδι τῶν μισθῶν πράττει τὰ δέοντα; Οὐχ ὁρᾷς ὅτι καὶ ἐπὶ τῶν ἀνθρώπων τούτους μάλιστα τιμῶσιν ἅπαντες, οὓς ἂν ἴδωσι
5 *πρὸ τῶν μισθῶν εἰς τὸ ἐκείνοις ἀρέσκον ὁρῶντας, καὶ ὑπὲρ τούτου μᾶλλον σπουδάζοντας, ἢ τῆς παρ' αὐτῶν τιμῆς; Εἶτα, ἄνθρωποι μὲν οὕτως εὐγενῶς πρὸς τοὺς ὁμοδούλους διάκεινται, σὺ δὲ ὁ τοσαῦτα εὐεργετηθεὶς παρὰ τοῦ Δεσπότου, καὶ τοσαῦτα προσδοκῶν ἀγαθά, ἡνίκα ἄν τι δέῃ πρᾶξαι*
10 *τῶν εἰς σωτηρίαν ἡκόντων τὴν σήν, πρὸ τῆς πράξεως τὸν μισθὸν περιεργάζῃ.*

Διὰ ταῦτα πανταχοῦ ψυχροὶ καὶ ταλαίπωροι καὶ πρὸς οὐδεμίαν τῶν γενναίων ἐσμὲν παρεσκευασμένοι πράξεων· διὰ τοῦτο οὔτε ἐν κατανύξει γενέσθαι δεδυνήμεθά ποτε, οὔτε
15 *μικρόν τι συστεῖλαι τὴν ψυχὴν τὴν ἡμετέραν. Οὔτε γὰρ τὰ ἁμαρτήματα ἡμῶν ἀναλογιζόμεθα μετὰ ἀκριβείας, οὔτε τὰς τοῦ Θεοῦ εὐεργεσίας ἐξετάζομεν, οὔτε πρὸς τοὺς τὰ μέγιστα κατωρθωκότας ὁρῶμεν. Διὰ τοῦτο τῶν ἀγαθῶν ἔργων ἐπιλανθανόμεθα, ὅτι οὔτε μετρίως τὰς εὐπραγίας φέρομεν, οὔ-*
20 *τε ὃ συνεχῶς λέγομεν, ἁμαρτωλοὺς ἑαυτοὺς καλοῦντες, μετὰ ἀληθείας φθεγγόμεθα. Καὶ δῆλον ἐκεῖθεν· ὅταν γὰρ παρ' ἑτέρων ταῦτα ἀκούσωμεν, ἀγριαίνομεν, ἐκθηριούμεθα, ὕβριν τὸ πρᾶγμα εἶναι φαμέν. Οὕτω πάντα ὑπόκρισις τὰ παρ' ἡμῶν, καὶ οὐδὲ τὸν τελώνην μιμούμεθα, ὅς, ἑτέρου τὸ τῶν*
25 *ἁμαρτημάτων ὀνειδίζοντος αὐτῷ πλῆθος, καταδεξάμενος τὰ ὀνείδη διὰ τῶν ἔργων τὸ κέρδος ἐκαρπώσατο· κατῆλθε γὰρ δεδικαιωμένος μᾶλλον ὑπὲρ τὸν Φαρισαῖον· ἡμεῖς δὲ οὐδὲ ὅ τί ποτέ ἐστιν ἐξομολόγησις ἴσμεν, καὶ ταῦτα μυρίων γέμοντες κακῶν. Ἔδει δὲ μὴ μόνον πεπεῖσθαι ὅτι μυρία ἡμῖν*

Διότι, ἐὰν τὸ ἐγνώριζες, θὰ ἐνόμιζες ὅτι τίποτε ἄλλο δὲν ἠμπορεῖ νὰ θεωρηθῇ ἀμοιβὴ ἰσαξία μὲ αὐτό. Δὲν γνωρίζεις ὅτι ὁ μισθός σου αὐξάνει, ὅταν πράττῃς τὰ πρέποντα ὄχι μὲ τὴν ἐλπίδα τῆς ἀνταποδόσεως; Δὲν βλέπεις ὅτι καὶ ἐπὶ τῶν ἀνθρώπων ὅλοι ἐκτιμοῦν περισσότερον αὐτοὺς ποὺ ἀποβλέπουν πρὶν ἀπὸ κάθε ἀμοιβήν των εἰς ὅ,τι ἀρέσει εἰς ἐκείνους καὶ δι' αὐτὸ μᾶλλον ἐνδιαφέρονται, παρὰ διὰ τὴν ἐκ μέρους ἐκείνων ἐκτίμησιν; Ἔπειτα, οἱ ἄνθρωποι διάκεινται τόσον εὐγενῶς ἀπέναντι τῶν συνανθρώπων των καὶ ἐσὺ ποὺ τόσον εὐηργετήθης ἀπὸ τὸν Κύριον καὶ ἀναμένεις τόσα ἀγαθά, ὅταν πρόκειται νὰ κάμῃς κάτι ποὺ ἀφορᾷ εἰς τὴν σωτηρίαν σου, πρὸ τῆς πράξεως ὑπολογίζεις τὸν μισθόν;

Διὰ τοῦτο καὶ εἴμεθα παντοῦ ψυχροὶ καὶ ταλαίπωροι καὶ δὲν εἴμεθα ἕτοιμοι διὰ καμμίαν γενναίαν πρᾶξιν. Δι' αὐτὸ καὶ ποτὲ δὲν ἠμπορέσαμεν νὰ αἰσθανθῶμεν κατάνυξιν καὶ νὰ συγκεντρώσωμεν ὀλίγον τὴν ψυχήν μας. Διότι οὔτε τὰ ἁμαρτήματά μας ἀναλογιζόμεθα μετὰ ἀκριβείας οὔτε ἐξετάζομεν τὰς εὐεργεσίας τοῦ Θεοῦ, οὔτε καὶ στρέφομεν τὸν νοῦν μας πρὸς ἐκείνους ποὺ ἔχουν ἐπιτύχει μεγάλα πράγματα. Δι' αὐτὸ λησμονῶμεν τὰ ἀγαθὰ ἔργα, καθότι οὔτε τὰς εὐεργεσίας δεχόμεθα μετριοφρόνως οὔτε αὐτὸ ποὺ συνεχῶς ἐπαναλαμβάνομεν, ἀποκαλοῦντες τοὺς ἑαυτούς μας ἁμαρτωλούς, τὸ λέγομεν μὲ εἰλικρίνειαν. Ἡ ἀπόδειξις φαίνεται ἀπὸ τὸ ἑξῆς. Ὅταν ἀκούσωμεν τοῦτο ἀπὸ τοὺς ἄλλους, τόσον ἐξαγριωνόμεθα καὶ γινόμεθα θηρία, ὥστε νὰ τὸ θεωρῶμεν ὅτι ἀποτελεῖ ὕβριν. Τόσον ὑποκριτικὰ εἶναι ὅλα τὰ ἰδικά μας, ὥστε δὲν μιμούμεθα τουλάχιστον τὸν Τελώνην, ὁ ὁποῖος, ἐνῷ ὁ ἄλλος τὸν ὕβριζε διὰ τὰς ἁμαρτίας του, αὐτός, ἀφοῦ παρεδέχθη τὰ ὀνείδη ἐκεῖνα, μὲ τὰς πράξεις του ἐκαρπώθη τὸ κέρδος, διότι ἐπέστρεψε δικαιωμένος περισσότερον ἀπὸ τὸν Φαρισαῖον. Ἡμεῖς οὔτε τί εἶναι ἐξομολόγησις δὲν γνωρίζομεν καὶ μάλιστα ἐνῷ εἴμεθα πλήρεις κακῶν. Διότι θὰ ἔπρεπε νὰ μὴ ἔχωμεν μόνον τὴν πεποίθη-

πεπλημμέληται, ἀλλὰ καὶ πάντα ἡμῶν τὰ ἁμαρτήματα, τά τε μικρά, τά τε μεγάλα, ὥσπερ ἐν βίβλῳ τῇ καρδίᾳ γράφοντας ἔχειν, καὶ ὡς νεωστὶ γεγενημένα πενθεῖν. Οὕτω γὰρ ἂν καὶ τὸ φρόνημα τῆς ψυχῆς κατεστείλαμεν, συνεχῶς αὐ-
5 *τῇ τῶν οἰκείων ἀναμιμνήσκοντες κακῶν.*

Τοσοῦτόν ἐστιν ἀγαθὸν μνημονεύειν ἁμαρτημάτων οἰκείων, ὡς καὶ τὰ ἀφανισθέντα ἐγκλήματα συνεχῶς φέρειν εἰς μέσον τὸν μακάριον Παῦλον. Ἐπειδὴ γὰρ τὰ πρότερα ἀπενίψατο πάντα διὰ τοῦ βαπτίσματος, καὶ μετὰ ταῦτα ἐβίου
10 *καθαρῶς, οὕτως ὡς μηδὲν ἑαυτῷ συνειδέναι, καὶ οὐκ εἶχεν ὑπὲρ ὧν στενάξειεν ἁμαρτημάτων, τῶν πρὸ τοῦ βαπτίσματος ἐξηλειμμένων ἐμέμνητο λέγων, ὅτι «ὁ Χριστὸς Ἰησοῦς ἦλθεν εἰς τὸν κόσμον ἁμαρτωλοὺς σῶσαι, ὧν πρῶτός εἰμι ἐγώ»· καὶ πάλιν, «πιστόν με ἡγήσατο θέμενος εἰς διακονίαν,*
15 *τὸν πρότερον ὄντα βλάσφημον καὶ διώκτην καὶ ὑβριστήν· καθ' ὑπερβολὴν γὰρ ἐδίωκον τὴν Ἐκκλησίαν τοῦ Θεοῦ, καὶ ἐπόρθουν αὐτήν»· καὶ πάλιν, «οὐκ εἰμὶ ἄξιος καλεῖσθαι ἀπόστολος». Εἰ γὰρ καὶ ἀνευθύνους ἡμᾶς ἀφίησιν ἐκεῖνα τὰ ἁμαρτήματα· ἀλλ' ὅμως ἐστὶν ἱκανὰ ψυχὴν ἐντρέψαι, καὶ πεῖ-*
20 *σαι σφοδρῶς ἀγαπᾶν τὸν Θεόν. Καὶ γὰρ ἐρωτηθεὶς ὁ Σίμων ὑπὸ τοῦ Κυρίου, τίς τῶν δύο χρεωφειλετῶν τὸν δεδανεικότα ἀγαπήσει πλέον, καὶ εἰπών, ὅτι «νομίζω, ᾧ τὸ πλέον ἐχαρίσατο», ἤκουσεν, «ὀρθῶς ἔκρινας».*

7. *Ὅταν γὰρ ἐννοήσωμεν τὸ πλῆθος τῶν παρελθόντων*
25 *ἁμαρτημάτων, τότε εἰσόμεθα τῆς τοῦ Θεοῦ χάριτος τὴν ὑπερβολήν, τότε κάτω νεύσομεν, τότε συσταλησόμεθα. Ὅσῳ γὰρ μειζόνων ἐσμὲν ὑπεύθυνοι πλημμελημάτων, τοσούτῳ μᾶλλον ἐντραπησόμεθα. Παῦλος μὲν οὖν κἀκείνων ἐμέμνητο· ἡμεῖς δὲ οὐδὲ τὰ μετὰ τὸ βάπτισμα ἀναμνησθῆναι βουλόμε-*

---

27. Α' Τιμ. 1, 15.
28. Α' Τιμ. 1, 12-13.
29. Α' Κορ. 15, 9.
30. Λουκᾶ 7, 43.

σιν ὅτι ἔχομεν διαπράξει ἄπειρα κακά, ἀλλὰ καὶ ὅλα μας τὰ ἁμαρτήματα καὶ τὰ μικρὰ καὶ τὰ μεγάλα, νὰ τὰ ἔχωμεν καταγεγραμμένα ὡσὰν εἰς βιβλίον καὶ κάθε φορὰν νὰ τὰ θρηνῶμεν ὡσὰν πρόσφατα. Ἔτσι δὲ θὰ εἴχομεν καταστείλει καὶ τὴν ὑπερηφάνειαν τῆς ψυχῆς, ὑπενθυμίζοντες εἰς αὐτὴν συνεχῶς τὰ οἰκεῖα κακά.

Τόσον εἶναι καλὸν τὸ νὰ ἐνθυμῆται κανεὶς τὰ ἰδικά του παραπτώματα, ὥστε καὶ ὁ μακάριος Παῦλος νὰ κάμνῃ λόγον διὰ τὰ ἐξαλειφθέντα ἁμαρτήματά του. Ἐπειδὴ δὲ διὰ τοῦ βαπτίσματος ἐκαθάρισε τὰ ἁμαρτήματα τοῦ προηγουμένου του βίου καὶ ἔπειτα ἔζη βίον καθαρόν, τόσον ὥστε νὰ μὴ γνωρίζῃ διὰ τὸν ἑαυτόν του παράπτωμα, καὶ δὲν εἶχεν ἁμαρτήματα διὰ τὰ ὁποῖα νὰ θρηνήσῃ, ἐνεθυμεῖτο τὰ πρὸ τοῦ βαπτίσματος, λέγων ὅτι «ὁ Χριστὸς Ἰησοῦς ἦλθεν εἰς τὸν κόσμον νὰ σώσῃ ἁμαρτωλοὺς τῶν ὁποίων πρῶτος εἶμαι ἐγώ»[27]· καὶ πάλιν, «μὲ ἐθεώρησεν ἔμπιστον ὥστε νὰ μὲ τοποθετήσῃ εἰς διακονίαν, ἐμὲ τὸν προηγουμένως βλάσφημον καὶ διώκτην καὶ ὑβριστήν· διότι ἐδίωκα μὲ πεῖσμα τὴν Ἐκκλησίαν τοῦ Θεοῦ καὶ τὴν καταπατοῦσα»[28]· καθὼς ἐπίσης, «δὲν εἶμαι ἄξιος νὰ καλοῦμαι ἀπόστολος»[29]. Μολονότι δὲ ἐκεῖνα τὰ ἁμαρτήματα μᾶς καθιστοῦν ἀνευθύνους, ἐν τούτοις εἶναι ἱκανὰ νὰ κάμουν τὴν ψυχὴν νὰ ἐντραπῇ καὶ νὰ τὴν πείσουν νὰ ἀγαπᾷ τὸν Θεὸν δυνατά. Διότι, ἐρωτηθεὶς ὁ Σίμων ἀπὸ τὸν Κύριον, ποῖος ἐκ τῶν δύο χρεωφειλετῶν θὰ ἀγαπήσῃ περισσότερον τὸν δανειστήν των καὶ εἰπών, ὅτι «νομίζω, ἐκεῖνος εἰς τὸν ὁποῖον ἐχαρίσθη περισσότερον», ἤκουσεν· «ὀρθῶς ἔκρινες»[30].

7. Ὅταν λοιπὸν κατανοήσωμεν τὸ πλῆθος τῶν παρελθόντων ἁμαρτημάτων μας, τότε θὰ γνωρίσωμεν τὴν ὑπερβολὴν τῆς χάριτος τοῦ Θεοῦ, τότε θὰ κύψωμεν τὸν αὐχένα κάτω, τότε θὰ αἰσθανθῶμεν συστολήν. Διότι ὅσον μεγαλυτέρων ἁμαρτημάτων εἴμεθα ὑπεύθυνοι τόσον περισσότερον θὰ ἐντραπῶμεν. Ὁ ἀπόστολος Παῦλος μάλιστα ἐνεθυμεῖτο καὶ ἐκεῖνα, ἡμεῖς δὲ οὔτε τὰ μετὰ τὸ ἅγιον βάπτισμα θέ-

θα, τὰ κίνδυνον ἔχοντα, καὶ τῆς ἐπ' αὐτοῖς ἐξετάσεως ὑπευθύνους ἡμᾶς καθιστῶντα, ἀλλὰ κἂν εἰς ἔννοιαν τοιούτου τινός ποτε ἐμπέσωμεν, εὐθέως ἀπεπηδήσαμεν, οὐδὲ τὸ πρὸς βραχὺ τῇ μνήμῃ λυπῆσαι βουλόμενοι τὴν ψυχήν. Τοιγάρτοι 5 μυρία ἀπὸ ταύτης τῆς ἀνωφελοῦς χάριτος ἡμῖν τίκτεται τὰ κακά. Οὕτω γὰρ ἀναλγήτως ἔχοντες καὶ μαλακῶς, οὔτε ὑπὲρ τῶν πρότερον ἐξομολογήσασθαι δυνάμεθα· πῶς γάρ, ὧν οὐδὲ τὴν μνήμην ἀνέχεσθαι ἐθίζομεν ἑαυτούς, καὶ πρὸς τὰ μέλλοντα προχείρως καταφερόμεθα; Ἀγαπητὸν γὰρ τῆς 10 μνήμης ἐκείνης ἐνακμαζούσης ἡμῖν ἀεί, καὶ τοῦ φόβου κατασείοντος τὴν διάνοιαν, δυνηθῆναι τὸ χαῦνον αὐτῆς καὶ διακεχυμένον ἐξελεῖν· εἰ δὲ καὶ τοῦτον ἀφέλοις τὸν χαλινόν, τίς αὐτὴν καθέξει λοιπὸν ἀδεῶς κατὰ κρημνῶν φερομένην, καὶ εἰς τὰ τῆς ἀπωλείας ἐμπίπτουσαν βάραθρα; Διὰ ταῦτα 15 ὁ δίκαιος ἐκεῖνος τὴν μέλλουσαν ὑπέγραψε κόλασιν· διὰ ταῦτα ἐθρήνει, διὰ ταῦτα ἔστενε, ταῦτα ἐκ περιουσίας ποιῶν.

Τοῖς μὲν μεγάλοις ὑμῖν ἀρκεῖ πρὸς τὸ κατανυγῆναι τὸ τῶν εὐεργεσιῶν ἀναμνησθῆναι τοῦ Θεοῦ, τὸ μὴ μεμνῆσθαι τῶν οἰκείων κατορθωμάτων, τὸ μετὰ πολλῆς ἀκριβείας 20 ἐξετάζειν εἴ πού τι καὶ μικρὸν ὑμῖν τύχοι πλημμεληθέν, τὸ πρὸς τοὺς μεγάλους ἄνδρας ὁρᾶν καὶ σφόδρα εὐηρεστηκότας Θεῷ, τὸ μετὰ ταῦτα ἅπαντα ἐννοεῖν τὸ τοῦ μέλλοντος ἄδηλον, τὸ πρὸς τὴν κατάπτωσιν καὶ τὴν ἁμαρτίαν ὀξύρροπον, ὅπερ καὶ ὁ Παῦλος ἐδεδοίκει· διὸ καὶ ἔλεγε· «φοβοῦμαι 25 μή πως ἄλλοις κηρύξας αὐτὸς ἀδόκιμος γένωμαι»· καὶ τό, «ὁ δοκῶν ἑστάναι, βλεπέτω μὴ πέσῃ». Οὕτω καὶ ὁ Δαυῒδ ταῦτα πάντα ἔστρεφε παρ' ἑαυτῷ· τὰς μὲν γὰρ εὐεργεσίας τοῦ Θεοῦ λογιζόμενος, ἔλεγε· «τί ἐστιν ἄνθρωπος, ὅτι μιμνήσκῃ αὐτοῦ· ἢ υἱὸς ἀνθρώπου, ὅτι ἐπισκέπτῃ αὐτόν; Ἠ-

31. Α' Κορ. 9, 27.
32. Α' Κορ. 10, 12.

λομεν νὰ ἐνθυμούμεθα, τὰ ὁποῖα εἶναι καὶ ἐπικίνδυνα καὶ ὅταν ἐξετασθοῦν μᾶς καθιστοῦν ἐνόχους· ἀλλὰ καὶ ἂν τύχῃ ποτὲ νὰ ἐνθυμηθῶμεν κανὲν ἐξ αὐτῶν, ἀμέσως τὸ ἀποφεύγομεν μὴ στέργοντες νὰ λυπήσωμεν τὴν ψυχὴν οὔτε ἐπ' ὀλίγον μὲ τὴν ἐνθύμησίν του. Διὰ τοῦτο ἀκριβῶς γεννῶνται πάρα πολλὰ κακὰ ἀπὸ τὴν ἀνωφελῆ αὐτὴν χάριν. Διότι τόσον ἀναλγήτως καὶ ὀκνηρῶς διακείμεθα ποὺ δὲν ἠμποροῦμεν νὰ ἐξομολογηθῶμεν οὔτε τὰ προηγούμενα ἁμαρτήματα (διότι πῶς θὰ τὸ κάμωμεν, ὅταν οὔτε εἰς τὴν ἀνάμνησίν των δὲν συνηθίζομεν τοὺς ἑαυτούς μας;) καὶ πρὸς τὰ μέλλοντα μὲ προχειρότητα στρεφόμεθα. Διότι εἶναι καλὸν νὰ ἀκμάζῃ μέσα μας ἐκείνη ἡ ἐνθύμησις καὶ νὰ συνταράσσῃ τὴν διάνοιάν μας ὁ φόβος, διὰ νὰ ἠμπορέσωμεν νὰ ἀποδιώξωμεν τὴν χαυνότητά της καὶ τὴν διαχυτικότητά της. Ἂν ὅμως τῆς ἀφαιρέσῃς καὶ τοῦτον τὸν χαλινόν, τότε ποῖος θὰ δυνηθῇ νὰ τὴν συγκρατήσῃ ἐνῷ θὰ φέρεται ἐλεύθερα κατὰ κρημνῶν καὶ θὰ καταπίπτῃ εἰς τὰ βάραθρα τῆς ἀπωλείας; Δι' αὐτὸ καὶ ὁ δίκαιος ἐκεῖνος ὑπενθύμιζε τὴν μέλλουσαν κόλασιν, δι' αὐτὸ ἐθρήνει, δι' αὐτὸ ἐστέναζεν, ἂν καὶ ἔπραττεν αὐτὰ ἔχων περίσσειαν ἔργων.

Εἰς ἐσᾶς τοὺς προχωρημένους ἀρκεῖ διὰ νὰ φθάσετε εἰς τὴν κατάνυξιν ἡ ἀνάμνησις τῶν εὐργεσιῶν τοῦ Θεοῦ, ἡ λήθη τῶν κατορθωμάτων τῆς ἀρετῆς σας, τὸ νὰ ἐξετάζετε μετὰ ἀκριβείας ἐὰν ἐπράξατε κάποιο μικρὸν παράπτωμα, τὸ νὰ στρέφετε τὸ βλέμμα πρὸς ἄνδρας ἐναρέτους ποὺ ἔχουν εὐαρεστήσει τὸν Θεόν, τὸ νὰ ἐννοήσετε μετὰ ἀπὸ ὅλα αὐτὰ τὸ ἄδηλον τοῦ μέλλοντος, τὴν δυνατότητα νὰ ὀλισθήσετε ταχέως πρὸς τὴν κατάπτωσιν καὶ τὴν ἁμαρτίαν, πρᾶγμα ποὺ καὶ ὁ ἀπόστολος Παῦλος ἐφοβεῖτο, διὸ καὶ ἔλεγε· «φοβοῦμαι μήπως εἰς ἄλλους κηρύξας ὁ ἴδιος γίνω ἀδόκημος»[31]· καὶ τό, «ὁποιος νομίζει ὅτι στέκεται σταθερά, νὰ κυττάζῃ μὴ πέσῃ»[32]. Ἔτσι καὶ ὁ Δαυΐδ ὅλα αὐτὰ τὰ ἐμελέτα· τὰς μὲν εὐεργεσίας τοῦ Θεοῦ ἀναλογιζόμενος, ἔλεγε· «τί εἶναι ὁ ἄνθρωπος ποὺ τὸν ἐνθυμεῖσαι ἢ ὁ υἱὸς ἀνθρώπου ποὺ τὸν

λάττωσας αὐτὸν βραχύ τι παρ' ἀγγέλους, δόξῃ καὶ τιμῇ ἐστεφάνωσας αὐτόν». Τῶν δὲ κατορθωμάτων οὕτως ἐπελέληστο τῶν αὐτοῦ, ὡς μετὰ τὴν μυρίαν φιλοσοφίαν ἐκείνην εἰπεῖν· «τίς εἰμι ἐγώ, Κύριέ μου, Κύριε, καὶ τίς ὁ οἶκος
5 *τοῦ πατρός μου, ὅτι ἠγάπησάς με ἕως τούτων; καὶ κατεσμίκρυνται ταῦτα ἐνώπιόν σου, Κύριέ μου· καὶ ἐλάλησας ὑπὲρ τοῦ οἴκου τοῦ δούλου σου εἰς μακράν. Οὗτος δὲ ὁ νόμος τοῦ ἀνθρώπου, Κύριέ μου, Κύριε, πρὸς σέ. Καὶ τί προσθήσει Δαυῒδ ἔτι τοῦ λαλῆσαι πρός σέ;». Καὶ τῶν προγόνων*
10 *συνεχῶς τὴν ἀρετὴν ἐννοῶν, τὸ μηδὲν πρὸς ἐκείνους ἑαυτὸν ἐξετάζων εἶναι ἐνόμιζε. Μετὰ γὰρ τὸ εἰπεῖν, «ἐπὶ σοὶ ἤλπισαν οἱ πατέρες ἡμῶν», περὶ ἑαυτοῦ λέγων ἐπήγαγε, «ἐγὼ δέ εἰμι σκώληξ, καὶ οὐκ ἄνθρωπος». Τὸ δὲ τοῦ μέλλοντος ἄδηλον οὕτως εἶχε πρὸ τῶν ὀφθαλμῶν, ὡς λέγειν·*
15 *«φώτισον τοὺς ὀφθαλμούς μου, μή ποτε ὑπνώσω εἰς θάνατον». Καὶ ἁμαρτημάτων δὲ οὕτω πολλῶν ὑπεύθυνον ἑαυτὸν εἶναι ἐνόμιζεν, ὡς λέγειν· «ἱλάσθητι τῇ ἁμαρτίᾳ μου, πολλὴ γάρ ἐστιν».*

Ὑμῖν μὲν οὖν τοῖς μεγάλοις ἀρκεῖ καὶ ταῦτα· ἡμῖν δὲ
20 *καὶ μετὰ τούτων τῶν φαρμάκων ἐστὶν ἀνάγκη ἰσχυρὰ καὶ ἱκανὴ καθελεῖν τὸ φρόνημα καὶ τὴν ἀλαζονείαν ἅπασαν. Τί δὴ τοῦτό ἐστι; Τὸ τῶν ἁμαρτημάτων πλῆθος, τὸ συνειδὸς τὸ πονηρόν· ὅπερ ἐπειδὰν ἡμῶν ἐπιλάβηται, οὐδὲ ἑκόντας ἀφίησι ἀρθῆναι πρὸς τὸ ὕψος. Διὸ δὴ δέομαι καὶ ἀντιβολῶ*
25 *πρὸς τῆς παρρησίας αὐτῆς, ἧς διὰ τῶν κατορθωμάτων ἐκτήσω πρὸς τὸν Θεόν, χεῖρα ἡμῖν ὀρέξαι συνεχῶς δεομένοις, ὥστε δυνηθῆναι καὶ πενθῆσαι τὸν φόρτον τῶν τοσούτων κακῶν κατ' ἀξίαν, καὶ πενθήσαντας ἐπιλαβέσθαι τινὸς ὁδοῦ φίλης, καὶ πρὸς τὸν οὐρανὸν φερούσης ἡμᾶς, ἵνα μὴ ἀπελ-*

---

33. Ψαλμ. 8, 5-6.
34. Β' Βασ. 7, 18-20.
35. Ψαλμ. 21, 6-7.
36. Ψαλμ. 12, 14.

ἐπισκέπτεσαι; Τὸν ἔκαμες ὀλίγον κατώτερον τῶν ἀγγέλων, μὲ δόξαν καὶ τιμὴν τὸν ἐστεφάνωσες»[33]. Τὰ δὲ προσωπικά του κατορθώματα τόσον τὰ εἶχε λησμονήσει, ὥστε μετὰ τὴν ἄπειρον ἐκείνην φιλοσοφίαν νὰ εἴπῃ· «Ποῖος εἶμαι ἐγώ, Κύριέ μου, Κύριε, καὶ ποῖος ὁ οἶκος τοῦ πατρός μου, ὅτι μὲ ἠγάπησες ἕως αὐτούς; καὶ ἔχουν μικρύνει ταῦτα ἐνώπιόν σου, Κύριέ μου, καὶ ἐλάλησες ὑπὲρ τοῦ οἴκου τοῦ δούλου σου εἰς ἔκτασιν. Αὐτὸς δὲ εἶναι ὁ νόμος τοῦ ἀνθρώπου, Κύριέ μου, Κύριε, πρὸς σέ. Καὶ τί θὰ ὠφελήσῃ νὰ λαλήσῃ καὶ ἄλλα ὁ Δαυῒδ πρός σέ;»[34]. Ἀναλογιζόμενος δὲ τὴν ἀρετὴν τῶν προγόνων του καὶ συγκρίνων τὸν ἑαυτόν του πρὸς ἐκείνους, ἐνόμιζεν ὅτι δὲν εἶναι τίποτε. Διότι μετὰ ἀπὸ τοὺς λόγους του, «ἐπὶ σὲ ἤλπισαν οἱ πατέρες ἡμῶν», κάμνων λόγον περὶ τοῦ ἑαυτοῦ σου, ἔλεγεν· «ἐγὼ δὲ εἶμαι σκώληξ καὶ ὄχι ἄνθρωπος»[35]. Τὸ δὲ ἄδηλον τοῦ μέλλοντος τόσον εἶχε πρὸ τῶν ὀφθαλμῶν του, ὥστε νὰ λέγῃ, «φώτισον τοὺς ὀφθαλμούς μου, μὴ τυχὸν κοιμηθῶ ἕως θανάτου»[36]. Καὶ τόσον ὑπεύθυνον ἐθεώρει τὸν ἑαυτόν του διὰ πολλὰ ἁμαρτήματα, ὥστε νὰ λέγῃ· «λυπήσου τὴν ἁμαρτίαν μου διότι εἶναι πολλή»[37].

Δι' ἐσᾶς λοιπὸν τοὺς προχωρημένους εἶναι ἀρκετὰ αὐτά. Δι' ἡμᾶς ὅμως εἶναι ἀνάγκη μεγάλη μαζὶ μὲ αὐτὰ τὰ φάρμακα νὰ καθαιρέσωμεν τὸ φρόνημα τῆς σαρκὸς καὶ ὅλην τὴν ἀλαζονείαν. Τί σημαίνει αὐτό; Σημαίνει τὸ πλῆθος τῶν ἁμαρτιῶν, τὴν πονηρὰν συνείδησιν, ἡ ὁποία ὅταν μᾶς καταλάβῃ δὲν μᾶς ἀφήνει νὰ ἀρθῶμεν πρὸς τὸ ὕψος οὔτε καὶ ὅταν θέλωμεν. Δι' αὐτὸ λοιπὸν παρακαλῶ καὶ ἱκετεύω παραλλήλως πρὸς τὴν παρρησίαν πρὸς τὸν Θεὸν ποὺ ἔχεις ἀποκτήσει διὰ τῶν ἀρετῶν σου, νὰ τείνῃς χεῖρα βοηθείας πρὸς ἡμᾶς ποὺ συνεχῶς σὲ ἱκετεύομεν, ὥστε νὰ ἠμπορέσωμεν νὰ θρηνήσωμεν ἐπαξίως διὰ τὸ πλῆθος τῶν τόσων κακῶν καὶ μετὰ τὸ πένθος νὰ ἀκολουθήσωμεν τὴν ὁδὸν ποὺ

37. Ψαλμ. 24, 11.

θόντες εἰς τὸν ᾅδην, ἔνθα οὐδεὶς ἐξομολογεῖσθαι δύναται, τὰ τῶν ἠτιμωμένων πάθωμεν, οὐδενὸς ἡμᾶς ἐξαιρουμένου λοιπόν. Ἕως μὲν γὰρ ἂν ἐνθάδε ὦμεν, καὶ ἡμεῖς παρ᾽ ὑμῶν μεγάλα καρπώσασθαι δυνησόμεθα, καὶ ὑμεῖς ἡμᾶς εὐεργε-
5 *τῆσαι τὰ μέγιστα· ἐπειδὰν δὲ ἀπέλθωμεν ἐκεῖ, ἔνθα μήτε φίλος, μήτε ἀδελφός, μήτε πατὴρ ἐπαρκέσαι δυνήσεται, μήτε παραστῆναι κολαζομένοις ἡμῖν, ἀνάγκη λοιπὸν ἐν ἀπορίᾳ καὶ σκότῳ βαθεῖ καὶ πολλῇ τῶν παραμυθησομένων ἐρημίᾳ· τὴν ἀθάνατον τίνειν δίκην, ἀνάλωτον τροφὴν τῇ παμφάγῳ*
10 *γινομένους φλογί.*

φέρει εἰς τὸν οὐρανόν, διὰ νὰ μὴ συμβῇ ὥστε μεταβαίνοντες εἰς τὸν ἅδην, ὅπου κανεὶς δὲν ἠμπορεῖ πλέον νὰ ἐξομολογηθῇ τὰ παραπτώματά του, νὰ ὑποστῶμεν ὅσα καὶ οἱ ἀτιμασμένοι ἐκεῖ ἄνθρωποι, καὶ κανεὶς δὲν ἠμπορεῖ εἰς τὸ ἑξῆς νὰ μᾶς ἀπαλλάξῃ. Ὅσον χρόνον λοιπὸν εὑρισκόμεθα εἰς τὸν παρόντα κόσμον θὰ ἠμπορέσωμεν καὶ ἡμεῖς νὰ καρπωθῶμεν ἀπὸ σᾶς μεγάλην πνευματικὴν ὠφέλειαν καὶ ἐσεῖς νὰ εὐργετήσετε ἡμᾶς τὰ μέγιστα. Ὅταν δὲ μεταβῶμεν εἰς τὴν ἄλλην ζωήν, ὅπου οὔτε φίλος οὔτε ἀδελφὸς οὔτε πατὴρ θὰ ἠμπορέσῃ νὰ μᾶς βοηθήσῃ οὔτε νὰ μᾶς παρασταθῇ ἐνῷ θὰ κολαζώμεθα, εἶναι ἀνάγκη τότε νὰ ὑποστῶμεν τὴν αἰώνιον ἐκείνην τιμωρίαν μὲ πολλὴν στέρησιν καὶ βαθὺ σκότος καὶ ἔλλειψιν δυνατοτήτων παραμυθίας, γινόμενοι ἀδαπάνητος τροφὴ εἰς τὴν παμφάγον ἐκείνην φλόγα.

ΠΡΟΣ ΘΕΟΔΩΡΟΝ ΜΟΝΑΧΟΝ

1. Εἰ καὶ δάκρυα καὶ στεναγμοὺς ἦν διὰ γραμμάτων δηλοῦσθαι, καὶ τούτων ἄν σοι τὴν ἐπιστολὴν ἐμπλήσας ἀπέστειλα. Δακρύω δὲ οὐχ ὅτι φροντίζεις πραγμάτων πατρῴων,
5 *ἀλλ' ὅτι τοῦ καταλόγου τῶν ἀδελφῶν σεαυτὸν ἐξήλειψας, ὅτι τὰς πρὸς τὸν Χριστὸν συνθήκας κατεπάτησας. Ταῦτα φρίττω, ἐπὶ τούτοις ἀλγῶ, διὰ ταῦτα φοβοῦμαι καὶ τρέμω. Ἰδιώτην μὲν γὰρ λιποστρατείας οὐδεὶς ἄν ποτε γράψαιτο· ὁ δὲ στρατιώτης ἅπαξ γενόμενος, ἐὰν ἁλῶ λιποτακτήσας, περὶ*
10 *τῶν ἐσχάτων ὁ κίνδυνος.*

Οὐ δεινόν, ὦ φίλε Θεόδωρε, τὸ παλαίοντα πεσεῖν, ἀλλὰ τὸ μεῖναι ἐν τῷ πτώματι· οὐδὲ χαλεπὸν τὸ πολεμοῦντα τρωθῆναι, ἀλλὰ τὸ μετὰ τὴν πληγὴν ἀπογνόντα καταμελῆσαι τοῦ τραύματος. Οὐδεὶς ἔμπορος ἅπαξ ναυαγίῳ περιπεσών,
15 *καὶ τὸν φόρτον ἀπολέσας, ἀπέστη τοῦ πλεῖν, ἀλλὰ πάλιν τὴν θάλασσαν καὶ τὰ κύματα καὶ τὰ μακρὰ διαβαίνει πελάγη, καὶ τὸν πρότερον ἀποκτᾶται πλοῦτον. Πολλάκις καὶ ἀθλητὰς θεωροῦμεν μετὰ πολλὰ πτώματα στεφανίτας γινομένους· ἤδη δὲ καὶ στρατιώτης πολλάκις φυγών, ἔσχατον ἀριστεὺς*
20 *ἀπεδείχθη, καὶ τῶν πολεμίων ἐπεκράτησε. Πολλοὶ δὲ καὶ τῶν τὸν Χριστὸν ἀρνησαμένων διὰ τὴν τῶν βασάνων ἀνάγκην, ἀνεμαχέσαντο τὴν ἧτταν πάλιν καὶ τὸν τοῦ μαρτυρίου στέφανον ἀπῆλθον ἀναδησάμενοι. Εἰ δὲ τούτων ἕκαστος ἐκ τῆς προτέρας πληγῆς ἀπέγνω, οὐκ ἂν τῶν δευτέρων ἀπή-*
25 *λαυσεν ἀγαθῶν.*

Μὴ οὖ τοίνυν, ὦ φίλε Θεόδωρε, διότι μικρόν σε τῆς στάσεως παρεσάλευσεν ὁ ἐχθρός, ἤδη καὶ σαυτὸν ὤσῃς ἐπὶ

ΠΡΟΣ ΘΕΟΔΩΡΟΝ ΜΟΝΑΧΟΝ

1. Ἐὰν ἦτο δυνατὸν καὶ τὰ δάκρυα καὶ οἱ στεναγμοὶ νὰ γίνουν φανερὰ μὲ γράμματα, θὰ ἐγέμιζα τὴν ἐπιστολήν μου καὶ μὲ αὐτὰ καὶ θὰ σοῦ τὴν ἔστελλα. Δακρύζω δὲ ὄχι διότι φροντίζεις διὰ πατρικάς σου ὑποθέσεις, ἀλλὰ διότι διέγραψες τὸν ἑαυτόν σου ἀπὸ τὸν κατάλογον τῶν ἀδελφῶν, ὅτι παρέβης τὴν πρὸς τὸν Χριστὸν ὑπόσχεσίν σου. Δι' αὐτὰ φρίττω, δι' αὐτὰ πονῶ, δι' αὐτὰ φοβοῦμαι καὶ τρέμω. Διότι ἕνα ἰδιώτην κανεὶς δὲν θὰ τὸν ἐκατηγοροῦσε διὰ λιποταξίαν· ἐκεῖνος ὅμως ποὺ ἔχει ἤδη καταταχθῇ εἰς τὸν στρατόν, ἐὰν συλληφθῇ ὡς λιποτάκτης, διατρέχει τὸν ἔσχατον κίνδυνον ζωῆς.

Δὲν εἶναι φοβερόν, φίλε Θεόδωρε, τὸ νὰ πέσῃ ὁ παλαιστής, ἀλλὰ τὸ νὰ παραμείνῃ κανεὶς πεσμένος κάτω. Οὔτε εἶναι βαρὺ τὸ νὰ πληγωθῇ ὁ πολεμιστής, ἀλλὰ τὸ νὰ ἀπελπισθῇ μετὰ τὸν τραυματισμόν του καὶ παραμελήσῃ τὸ τραῦμα του. Ἄλλωστε κανεὶς ἔμπορος δὲν σταματᾷ νὰ ταξιδεύῃ ἐπειδὴ κάποτε ἐναυάγησε καὶ ἔχασε τὸ φορτίον, ἀλλὰ διασχίζει πάλιν τὴν θάλασσαν καὶ τὰ κύματα καὶ τὰ ἀπέραντα πελάγη, καὶ ἀνακτᾷ τὸν προηγούμενον πλοῦτον. Πολλάκις δὲ βλέπομεν καὶ ἀθλητὰς νὰ στεφανώνωνται ἔπειτα ἀπὸ πολλὰς ἥττας των. Συνέβη δὲ ἐπίσης καὶ στρατιώτης ποὺ ἐγκατέλειψε πολλάκις τὴν θέσιν του νὰ ἀναδειχθῇ τελικῶς ἄριστος πολεμιστὴς καὶ νὰ νικήσῃ τοὺς ἐχθρούς. Πολλοὶ δὲ ἀρνηθέντες τὸν Χριστὸν λόγῳ τῆς δριμύτητος τῶν βασανιστηρίων, ἐπανώρθωσαν τὴν ἧττάν των μὲ νέαν μάχην καὶ ἀπῆλθαν λαμβάνοντες τὸν στέφανον τοῦ μαρτυρίου. Ἐὰν λοιπὸν ὁ καθεὶς ἐξ αὐτῶν περιήρχετο εἰς ἀπόγνωσιν διὰ τὸ προηγούμενον τραῦμά του, δὲν θὰ ἀπελάμβανε τὰ μετ' ἔπειτα ἀγαθά.

Ἐσὺ λοιπόν, φίλε Θεόδωρε, μὴ ὠθήσῃς τὸν ἑαυτόν σου εἰς τὸ βάραθρον, ἐπειδὴ ὀλίγον σὲ μετεκίνησεν ὁ ἐχθρὸς

τὸ βάραθρον, ἀλλὰ στῆθι γενναίως καὶ ἐπάνελθε ταχέως, ὅθεν ἐξέβης, μηδὲ ὄνειδος νομίσῃς τὴν πρὸς ὀλίγον εἶναι ταύτην πληγήν. Οὐδὲ γὰρ στρατιώτην ἰδὼν ἐπανιόντα μετὰ τραύματος ἀπὸ πολέμου ὠνείδισας ἂν (ὄνειδος γὰρ τὸ ὅπλα
5 *ῥῖψαι, καὶ τῶν πολεμίων ἔξω γενέσθαι), ἕως δὲ ἂν στήκηταί τις μαχόμενος, κἂν βάλληται, κἂν ὑποχωρῇ πρὸς βραχύ, οὐδεὶς οὕτως ἀγνώμων οὐδὲ τῶν πολεμικῶν ἄπειρος, ὡς ἐγκαλέσαι ποτὲ ἐκείνῳ. Τῶν γὰρ μὴ μαχομένων ἐστὶ τὸ μὴ τιτρώσκεσθαι· τοὺς δὲ πολλῷ τῷ θυμῷ κατὰ τῶν πολεμίων*
10 *χωροῦντας ἔστι καὶ βληθῆναί ποτε καὶ καταπεσεῖν· οἷον καὶ ἐπὶ σοῦ γέγονε νῦν· ἀθρόως γὰρ τὸν ὄφιν ἀνελεῖν ἐπιχειρήσας ἐδήχθης.*

Ἀλλὰ θάρσει, μικρᾶς σοι χρεία νήψεως, καὶ οὐδὲ ἴχνος λελείψεται τοῦ τραύματος ἐκείνου· μᾶλλον δὲ Θεοῦ χάριτι
15 *καὶ αὐτοῦ τοῦ πονηροῦ συντρίψεις τὴν κεφαλήν· μηδέ σε ταραττέτω τὸ ταχέως καὶ παρ᾽ αὐτὴν ἐμποδισθῆναι τὴν ἀρχήν. Εἶδε γάρ, εἶδεν ὀξέως ὁ πονηρὸς τῆς σῆς ψυχῆς τὴν ἀρετήν, καὶ γενναῖον αὐτῷ πολέμιον αὐξηθήσεσθαι ἐκ πολλῶν ἐστοχάσατο· τὸν γὰρ εὐθέως τοσαύτῃ καὶ τηλικαύτῃ χρησά-*
20 *μενον κατ᾽ αὐτοῦ σπουδῇ, τοῦτον, εἰ παραμείνοι, ῥᾳδίως αὐτὸν καταπολεμήσειν προσεδόκησε. Διὰ τοῦτο ἔσπευσεν, ἐγρηγόρησεν, ἠγέρθη πολὺς κατὰ σοῦ, μᾶλλον δὲ κατὰ τῆς ἑαυτοῦ κεφαλῆς, ἐὰν θελήσῃς στῆναι γενναίως.*

Τίς γάρ σου τὴν ὀξεῖαν καὶ εἰλικρινῆ καὶ ζέουσαν ἐπὶ
25 *τὰ ἀγαθὰ μετάθεσιν οὐκ ἐθαύμασεν; Ἐδεσμάτων μὲν γὰρ τρυφὴ παρεωρᾶτο, πολυτελὴς δὲ ἔσθησις καταπεφρόνητο, πᾶς τῦφος κατεπεπάτητο, πᾶσα ἡ περὶ τὴν ἔξωθεν σοφίαν*

---

1. Νῆψις, ἐκ τοῦ νήφω, σημαίνει τὴν κατάστασιν τῆς νηφαλιότητος. Εἰς τοὺς ἀσκητικοὺς συγγραφεῖς σημαίνει τὴν κατάστασιν τῆς συνεχοῦς ἐπαγρυπνήσεως καὶ προσοχῆς τοῦ νοὸς κατὰ τῶν πονηρῶν καὶ ἀκαθάρτων λογισμῶν.

ἐκ τῆς θέσεώς σου, ἀλλὰ στάσου μὲ γενναιότητα καὶ ἐπέστρεψε ταχέως ἐκεῖ ἀπ' ὅπου ἔφυγες καὶ μὴ θεωρήσῃς ἐντροπὴν τὴν προσωρινὴν αὐτὴν πληγήν. Διότι, οὔτε ἂν ἔβλεπες στρατιώτην νὰ ἐπιστρέφῃ ἐκ τῆς μάχης τραυματισμένον θὰ τὸν κατηγοροῦσες. Καθότι ἐντροπὴ θεωρεῖται τὸ νὰ ρίψῃ κανεὶς τὰ ὅπλα καὶ νὰ ἀποφύγῃ τὴν σύγκρουσίν του μὲ τοὺς ἐχθρούς. Ἐν ὅσῳ ὅμως μένει μαχόμενος, εἴτε κτυπᾶται, εἴτε ὑποχωρεῖ προσωρινῶς, νομίζω, ὅτι κανεὶς δὲν θὰ ἦτο τόσον ἀχάριστος καὶ ἄπειρος τῆς πολεμικῆς τέχνης, ὥστε νὰ τὸν κατηγορήσῃ ποτὲ δι' αὐτό. Διότι τραύματα δὲν δέχονται μόνον ὅσοι δὲν μάχονται. Ὅσοι ὅμως ἐπιτίθενται μὲ ὅλην των τὴν ψυχὴν κατὰ τῶν ἐχθρῶν εἶναι δυνατὸν κάποτε νὰ τραυματισθοῦν καὶ νὰ πέσουν κάτω, αὐτὸ ποὺ ἔπαθες καὶ σὺ τώρα. Διότι ἔδειξες ὅτι ἤθελες διὰ μιᾶς νὰ φονεύσῃς τὸν ὄφιν, τὸν διάβολον.

Ἀλλ' ὅμως ἔχε θάρρος. Ἔχεις ἀνάγκην ὀλίγης νήψεως[1] καὶ δὲν θὰ μείνῃ οὔτε ἴχνος ἀπὸ ἐκεῖνο τὸ τραῦμα, μᾶλλον δὲ μὲ τὴν χάριν τοῦ Θεοῦ θὰ συντρίψῃς καὶ αὐτὴν τὴν κεφαλὴν τοῦ ἐχθροῦ. Ἂς μὴ σὲ ἐνοχλῇ τὸ γεγονός, ὅτι ἠμποδίσθης εἰς τοῦτο ἀμέσως καὶ ἐξ ἀρχῆς. Διότι εἶδεν ὁ ἐχθρὸς καὶ διέβλεψε μάλιστα μὲ ὀξυδέρκειαν τὴν ἀρετὴν τῆς ψυχῆς σου καὶ συνεπέρανεν ἐκ πολλῶν δεδομένων ὅτι θὰ ἐξελιχθῇς εἰς γενναῖον ἀντίπαλόν του. Διότι ἐνόμιζεν, ὅτι ἐσὺ μὲ τὴν τόσην καὶ τέτοιου εἴδους φροντίδα ποὺ ἔδειξες ἀμέσως κατ' αὐτοῦ, ἐὰν ἔμενεν ἄπρακτος μέχρι τέλους εὐκόλως θὰ τὸν κατέβαλλες. Διὰ τοῦτο ἔσπευσεν, ἠγρύπνησεν, ὠρθώθη ἰσχυρὸς ἐναντίον σου, μᾶλλον ὅμως ἐναντίον τοῦ ἑαυτοῦ του, ἐὰν θελήσῃς τελικῶς νὰ τὸν ἀντιμετωπίσῃς γενναίως.

Διότι, ποῖος δὲν ἐθαύμασε τὴν ταχεῖαν καὶ εἰλικρινῆ καὶ θερμὴν μεταστροφήν σου εἰς τὸ καλόν; Παρεθεωρεῖτο ἡ ἀπόλαυσις τῶν τροφῶν καὶ κατεφρονοῦντο τὰ πολυτελῆ ἐνδύματα, κατεπατεῖτο κάθε ἴχνος ὑπερηφανείας καὶ ὅλη σου ἡ φροντίδα διὰ τὴν κοσμικὴν παιδείαν ἀποτόμως μετε-

σπουδὴ ἀθρόως ἐπὶ τὰ θεῖα μετενήνεκτο λόγια· ὅλαι μὲν εἰς ἀναγνώσεις ἡμέραι, ὅλαι δὲ εἰς εὐχὰς ἀνηλίσκοντο νύκτες· οὐκ ἀξίας ἦν μνησθῆναι πατρικῆς, οὐ πλοῦτον ἐν νῷ λαβεῖν· τὸ δὲ γονάτων ἅψασθαι καὶ ποσὶ προσδραμεῖν ἀδελ-
5 *φῶν, τοῦτο πάσης εὐγενείας ἀνώτερον ᾔδεις. Ταῦτα ἔθλιψε τὸν πονηρόν, ταῦτα εἰς μάχην ἐξήγειρε σφοδροτέραν· ἀλλ' οὐ καιρίαν ἔδωκε τὴν πληγήν.*

Εἰ μὲν γὰρ μετὰ χρόνον πολὺν μετὰ νηστείας τε συνεχεῖς καὶ χαμευνίας καὶ τὴν ἄλλην ἄσκησιν κατέβαλεν, ἦν
10 *μὲν οὐδὲ τότε ἀπογνῶναι, πλὴν ἄν τις πολλὴν ἔφη τὴν ζημίαν γεγενῆσθαι, μετὰ πολλοὺς πόνους καὶ ἱδρῶτας καὶ νίκας τῆς ἥττης γενομένης· ἀλλ' ἐπειδὴ ἅμα τῷ πρὸς αὐτὸν ἀποδύσασθαι ὑπεσκέλισε, τοσοῦτον ἤνυσε μόνον, ὅσον σπουδαιότερον εἰς τὴν κατ' αὐτοῦ μάχην ἐργάσασθαι. Ἄρτι γάρ*
15 *σοι ἐκπλέοντι, καὶ οὐκ ἐκ τῆς ἐμπορίας ἐπανελθόντι, οὐδὲ πλήρη τὸν φόρτον ἐπιφερομένῳ, ὁ δεινὸς ἐπέθετο πειρατής. Καὶ καθάπερ λέοντα γενναῖόν τις ἀνελεῖν ἐπιχειρήσας, ἐπειδὰν τὴν δορὰν ἐπιξύσειε μόνον, ἐκεῖνον μὲν ἔβλαψεν οὐδέν, ἤγειρε δὲ καθ' ἑαυτοῦ μᾶλλον καὶ ἀσφαλέστερον καὶ δυσα-*
20 *νάλωτον τοῦ λοιποῦ πεποίηκεν· οὕτω δὴ καὶ ὁ κοινὸς ἁπάντων ἐχθρὸς βαθεῖαν ἐπιχειρήσας πῆξαι τὴν πληγήν, τούτου μὲν ἀπέτυχεν, ἐγρηγορέναι δὲ καὶ νήφειν τοῦ λοιποῦ παρεσκεύασε μᾶλλον.*

2. Ὀλισθηρὸν γὰρ ἡ ἀνθρωπίνη φύσις, καὶ ὀξὺ μὲν
25 *κλαπῆναι, ὀξὺ δὲ ἀνενεγκεῖν ἐκ τῆς ἀπάτης, καὶ ὥσπερ πίπτει ταχέως, οὕτω καὶ θᾶττον ἀνίσταται. Καὶ γὰρ ὁ μακάριος ἐκεῖνος ἀνήρ, τὸν Δαυῒδ λέγω τὸν ἐκλεκτὸν βασιλέα καὶ προφήτην, ἡνίκα πολλὰ κατώρθωσεν, οὐκ ἔλαθεν ἄνθρωπος ὤν, ἀλλ' ἠράσθη ποτὲ γυναικὸς ἀλλοτρίας, καὶ οὐκ*

στρέφετο εἰς μελέτην τῶν θείων λόγων. Ὅλαι σου αἱ ἡμέραι διήρχοντο εἰς ἀναγνώσεις, ὅλαι δὲ αἱ νύκτες κατηναλίσκοντο εἰς προσευχάς. Δὲν σὲ ἀπησχόλουν τότε θέματα εὐγενοῦς καταγωγῆς, οὔτε ἀναμνήσεις πλούτου. Ἐθεώρεις δὲ ἀνώτερον πάσης εὐγενείας τὸ νὰ ἐναγκαλίζεσαι γόνατα καὶ νὰ τρέχῃς εἰς τοὺς πόδας ἀδελφῶν. Αὐτὰ ἐλύπησαν τὸν πονηρόν, αὐτὰ τὸν ἐξήγειραν εἰς σφοδρὰν κατὰ σοῦ μάχην· εὐτυχῶς ὅμως, δὲν σὲ ἐπλήγωσεν ἀνεπανόρθωτα.

Ἐὰν λοιπὸν σὲ κατέβαλε, μετὰ ἀπὸ πολὺν χρόνον ἀσκήσεως καὶ νηστείας συνεχεῖς καὶ χαμευνίας καὶ τὴν ἄλλην σου ἄσκησιν, οὔτε καὶ τότε ἐπετρέπετο νὰ περιέλθῃς εἰς ἀπόγνωσιν, θὰ ἔλεγε ὅμως κανεὶς ὅτι ἡ ζημία εἶναι σημαντική, καθότι ἡ ἧττα ἐπῆλθε μετὰ ἀπὸ πολλοὺς κόπους καὶ ἱδρῶτας καὶ νίκας. Ἐπειδὴ ὅμως τοῦτο ἔγινε πρὶν ἀκόμη ἀποδυθῇς εἰς μεγάλον κατ' αὐτοῦ ἀγῶνα, τόσον μόνον κατώρθωσεν ὅσον νὰ σὲ ἑτοιμάσῃ καλύτερον εἰς τὸν κατ' αὐτοῦ πόλεμον. Διότι ὁ φοβερὸς πειρατὴς σοῦ ἐπετέθη μόλις ἀναχωροῦσες καὶ ὄχι ὅταν ἐπέστρεφες καὶ μετέφερες ὅλον τὸ ἐμπόρευμα τῆς ἀρετῆς. Ὅπως δέ, ἐπιχειρῶν κανεὶς νὰ φονεύσῃ λέοντα, τοῦ προκαλέσῃ μόνον ἐκδορὰς εἰς τὸ δέρμα, ἐκεῖνον μὲν καθόλου δὲν τὸν βλάπτει, μᾶλλον δὲ χειρότερα τὸν ἐξαγριώνει ἐναντίον του καὶ τὸν καθιστᾷ ἀσφαλέστερον καὶ δυσθήρατον εἰς τὸ ἑξῆς, τοιουτοτρόπως καὶ ὁ κοινός μας ἐχθρός, ὁ διάβολος, ἐπιχειρῶν νὰ σοῦ ἀνοίξῃ βαθεῖαν πληγήν, εἰς τὸν στόχον του μὲν αὐτὸν ἠστόχησε, σὲ ἔκαμε δὲ εἰς τὸ ἑξῆς νὰ ἐπαγρυπνῇς καὶ νὰ νήφῃς περισσότερον.

2. Ἀληθινὰ ὀλισθηρὸν πρᾶγμα εἶναι ἡ ἀνθρωπίνη φύσις καὶ εὐκόλως πλανᾶται, εὐκόλως ὅμως καὶ ἀποχωρεῖ ἐκ τῆς ἀπάτης, καὶ ὅπως ταχέως πίπτει, ἔτσι καὶ εὐκόλως ἐγείρεται. Διότι καὶ ὁ μακάριος ἐκεῖνος ἄνθρωπος, ὁ Δαυΐδ, ὁ ἐκλεκτὸς βασιλεὺς καὶ προφήτης, ἐνῷ εἶχεν ἐπιτελέσει ἤδη πολλὰ κατορθώματα, δὲν ἔπαυσε νὰ ἔχῃ ἀνθρωπίνας ἀδυναμίας, ἀλλ' ἐπεθύμησε ξένην γυναῖκα καὶ δὲν ἐστάθη

ἔστη μέχρι τούτου, ἀλλ' εἰργάσατο μὲν μοιχείαν διὰ τὴν ἐπιθυμίαν, εἰργάσατο δὲ καὶ φόνον διὰ τὴν μοιχείαν· ἀλλ' οὐκ ἐπειδὴ τηλικαύτας ἔλαβε δύο πληγάς, ἤδη καὶ τρίτην ἑαυτῷ δοῦναι ἐπεχείρησεν, ἀλλ' εὐθέως πρὸς τὸν ἰατρὸν
5 *ἀπέτρεχε καὶ τὰ φάρμακα ἐπετίθει (Ποῖα ταῦτα; νηστείαν, δάκρυα, θρήνους, εὐχὰς συνεχεῖς, τὸ τὴν ἁμαρτίαν πολλάκις ἀναγγέλλειν), καὶ οὕτω διὰ τούτων ἵλεω κατέστησε τὸν Θεόν, εἴς τε τὴν προτέραν ἐπανῆλθεν ἀξίαν, ὥστε μετὰ μοιχείαν καὶ φόνον πάλιν ἐπισκιάσαι δυνηθῆναι τὴν τοῦ παιδὸς*
10 *εἰδωλολατρίαν τὴν τοῦ πατρὸς μνήμην. Ὁ γὰρ τούτου υἱός, Σολομὼν ἦν ὄνομα αὐτῷ, διὰ τῆς αὐτῆς ἑάλω παγίδος, ἧσπερ καὶ ὁ πατήρ, καὶ γυναιξὶ χαριζόμενος ἀπέστη τοῦ πατρῴου Θεοῦ. Ὁρᾷς πόσον κακὸν τὸ μὴ κρατεῖν ἡδονῆς, ἀλλὰ τὴν τῆς φύσεως ἀνατρέπειν ἀρχήν, καὶ ἄνδρα ὄντα*
15 *γυναικῶν εἶναι δοῦλον, αὐτὸν δὴ τοῦτον τὸν Σολομῶντα, δίκαιον ὄντα πᾶσαν ἀφαιρεθῆναι τὴν βασιλείαν, διὰ τὴν τοῦ πατρὸς εὐδοκίμησιν τὸ τῆς ἀρχῆς ἕκτον μέρος ἀφῆκεν ἔχειν ὁ Θεός.*

Εἰ μὲν οὖν ἡ σπουδή σοι περὶ τοὺς ἔξωθεν λόγους ἦν,
20 *εἶτα ἀπερραθύμησας, δικαστηρίων καὶ βήματος καὶ τῶν ἐκεῖθεν στεφάνων καὶ παρρησίας ἀναμιμνήσκων, παρεκάλεσα ἂν ἐπανελθεῖν εἰς τοὺς ὑπὲρ ἐκείνων πόνους· ἐπειδὴ δὲ ὑπὲρ τῶν ἐν οὐρανοῖς τρέχομεν καὶ τῶν ἐπὶ γῆς λόγος ἡμῖν οὐδείς, ἑτέρου σε ἀναμιμνήσκω δικαστηρίου, καὶ βήμα-*
25 *τος φοβεροῦ καὶ φρικώδους· «πάντας γὰρ ἡμᾶς φανερωθῆναι δεῖ ἔμπροσθεν τοῦ βήματος τοῦ Χριστοῦ». Κριτὴς δὲ κάθηται τότε ὁ νῦν ἀθετούμενος ὑπὸ σοῦ. Τί οὖν ἐροῦμεν, εἰπέ μοι, τότε; τί δὲ καὶ ἀπολογησόμεθα, ἐὰν ἐπιμένωμεν ἀθετοῦν-*

---

2. Πρόκειται περὶ τοῦ διπλοῦ ἐγκλήματος τοῦ βασιλέως Δαυΐδ, ὁ ὁποῖος ἠτίμασε τὴν σύζυγον τοῦ στρατηγοῦ του Οὐρία καὶ ἐνήργησε ὥστε νὰ φονευθῇ ὁ ἴδιος. Ἀπὸ τὴν συντετριμμένην καρδίαν τοῦ προφητάνακτος ἐξῆλθεν ἔπειτα ὁ περίφημος ἐκεῖνος ψαλμὸς τῆς μετανοίας, ὁ πεντηκοστός. Βλ. Β' Βασ. κεφ. 11-12.

3. Β' Κορ. 5, 10.

ἕως ἐδῶ, ἀλλ' ἔπραξε μὲν τὴν μοιχείαν ἕνεκα τῆς ἐπιθυμίας, διέπραξεν ὅμως καὶ φόνον ἐξ αἰτίας τῆς μοιχείας[2]. Ἀφοῦ ὅμως ἐτραυματίσθη τόσον ὀδυνηρῶς δύο φοράς, δὲν ἐπεχείρησε νὰ ὑποστῇ τρίτην πληγήν, ἀλλ' εὐθὺς ἔτρεξε πρὸς τὸν ἰατρὸν καὶ ἤρχισε τὴν διὰ φαρμάκων θεραπείαν, (ποῖα δὲν εἶναι αὐτά; νηστεία, δάκρυα, θρῆνοι, συνεχεῖς προσευχαί, συχνὴ ἐξαγόρευσις τῆς ἁμαρτίας), καὶ ἔτσι δι' αὐτῶν κατέστησε τὸν Θεὸν εὐμενῆ, ὥστε νὰ ἐπανέλθῃ εἰς τὴν προηγουμένην του ἀξίαν, μετὰ δὲ τὴν μοιχείαν καὶ τὸν φόνον ἡ εἰδωλολατρία τοῦ υἱοῦ νὰ δυνηθῇ νὰ ἐπισκιάσῃ τὴν μνήμην τοῦ πατρός. Διότι ὁ υἱός του ὁ Σολομὼν ἔπεσεν εἰς τὴν ἰδίαν παγίδα εἰς τὴν ὁποίαν καὶ ὁ πατήρ του, καὶ ὑπηρέτης τοῦ θελήματος τῶν γυναικῶν γενόμενος, ἀπεμακρύνθη ἀπὸ τὸν Θεὸν τῶν πατέρων του. Βλέπεις πόσον μέγα κακὸν εἶναι τὸ νὰ μὴ ἐγκρατεύεται κανεὶς ἀπὸ τὰς σαρκικὰς ἡδονάς, ἀλλὰ νὰ ἀνατρέπῃ τὴν τάξιν τῆς φύσεως καὶ ἐνῷ εἶναι ἀνήρ, νὰ καθίσταται δοῦλος γυναικῶν; Εἰς αὐτὸν ἀκριβῶς τὸν Σολομῶντα, ἀπὸ τὸν ὁποῖον ὀρθὸν ἦτο νὰ ἀφαιρεθῇ ὁλόκληρον τὸ βασίλειον, καὶ διὰ μόνην τὴν θεοσέβειαν τοῦ πατρός του ἐπέτρεψεν ὁ Θεὸς μόλις τὸ ἓν ἕκτον τούτου νὰ ἔχῃ.

Ἐὰν βέβαια ἠσχολεῖσο μὲ τὴν ρητορικὴν καὶ κατόπιν τὴν παραμελοῦσες, ὑπενθυμίζων εἰς σὲ τὰ δικαστήρια καὶ τὸ βῆμα καὶ τὰς δάφνας των καὶ τὴν ἐλευθερίαν νὰ παρουσιάζεσαι δημοσίᾳ, θὰ σὲ παρακαλοῦσα νὰ ἐπιστρέψῃς καὶ ἐργασθῇς πάλιν δι' αὐτά. Ἐπειδὴ ὅμως ἀγωνιζόμεθα διὰ τὴν βασιλείαν τῶν οὐρανῶν καὶ δὲν μᾶς ἐνδιαφέρουν καθόλου τὰ ἐπίγεια, σοῦ ὑπενθυμίζω ἄλλο δικαστήριον καὶ βῆμα φοβερὸν καὶ φρικῶδες. «Διότι ὅλοι ἡμεῖς πρέπει νὰ ἐμφανισθῶμεν ἔμπροσθεν τοῦ βήματος τοῦ Χριστοῦ»[3]. Καὶ τότε θὰ καθήσῃ ἐπ' αὐτοῦ κριτὴς αὐτὸς ποὺ τώρα ἀθετεῖται ἀπὸ σέ. Τί θὰ εἴπωμεν τότε, εἰπέ μου; Καί τί θὰ ἀπολογηθῶμεν, ἐὰν συνεχίσωμεν νὰ παραβαίνωμεν τὰς ἐντολάς του; Τί θὰ εἴπωμεν λοιπόν; Θὰ προφασισθῶμεν ὅτι ἔχομεν κοσμικὰς

τες; Τί οὖν ἐροῦμεν; πραγμάτων φροντίδας σκηψόμεθα; Ἀλλ' αὐτὸς προλαβὼν εἶπε· «τί ὠφελήσει ἄνθρωπος, ἐὰν τὸν κόσμον ὅλον κερδήσῃ, τὴν δὲ ψυχὴν αὐτοῦ ζημιωθῇ;». Ἀλλὰ τὸ ὑφ' ἑτέρων ἠπατῆσθαι; Ἀλλ' οὐδὲ τὸν Ἀδὰμ πρὸς
5 *ἀπολογίαν ὤνησε τὸ προβαλέσθαι τὴν γυναῖκα καὶ εἰπεῖν· «ἡ γυνή, ἣν ἔδωκας μετ' ἐμοῦ, αὕτη με ἠπάτησεν», ὥσπερ οὐδὲ τὴν γυναῖκα τὸν ὄφιν.*

Φοβερόν, ὦ φίλε Θεόδωρε, τὸ δικαστήριον ἐκεῖνο, οὐ κατηγόρων δεόμενον, οὐ μάρτυρας περιμένον· πάντα γὰρ γυ-
10 *μνὰ καὶ τετραχηλισμένα ἐστὶ τῷ δικάζοντι, καὶ οὐ πράξεων μόνον, ἀλλὰ καὶ ἐννοιῶν εὐθύνας ὑπέχειν δεῖ· κριτικὸς γάρ ἐστιν ἐνθυμήσεων καὶ ἐννοιῶν καρδίας ὁ δικαστὴς ἐκεῖνος.*

Ἀλλ' ἴσως ἀσθένειαν φύσεως ἐρεῖς καὶ τὸ μὴ δυνηθῆναι ἐνεγκεῖν τὸν ζυγόν. Καὶ ποία αὕτη ἀπολογία, ζυγὸν
15 *μὴ ἰσχῦσαι τὸν χρηστὸν ἐνεγκεῖν, φορτίον μὴ δυνηθῆναι βαστάσαι τὸ ἐλαφρόν; βαρὺ πρᾶγμα καὶ φορτικὸν ἡ τῶν κόπων ἀνάπαυσις; Ἐπὶ ταῦτα γὰρ πάντα καλεῖ ὁ Χριστὸς λέγων; «δεῦτε πρός με πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς»· καὶ πάλιν, «ἄρατε τὸν ζυγόν μου*
20 *ἐφ' ὑμᾶς, καὶ μάθετε ἀπ' ἐμοῦ, ὅτι πρᾶός εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ· ὁ γὰρ ζυγός μου χρηστὸς καὶ τὸ φορτίον μου ἐλαφρόν». Τί γὰρ ἐλαφρότερον, εἰπέ μοι, τοῦ φροντίδων καὶ πραγμάτων καὶ φόβων καὶ πόνων ἀπηλλάχθαι, ἔξωθεν δὲ τῶν τοῦ βίου κυμάτων ἑστάναι καὶ ἐν εὐδίῳ διάγειν*
25 *λιμένι;*

3. Τί σοι δοκεῖ τῶν ἐν κόσμῳ μακαριστὸν εἶναι καὶ ζηλωτόν; Ἀρχὴν πάντως ἐρεῖς καὶ πλοῦτον καὶ τὸ παρὰ ἀνθρώποις εὐδοκιμεῖν. Καὶ τί τούτων ἀθλιώτερον, ὅταν πρὸς

---

4. Ματθ. 16, 26.
5. Γεν. 3, 12.
6. Ὁ ζυγὸς αὐτὸς εἶναι ὁ βίος τῆς ἁγιότητος καὶ τῆς τελειότητος γενικῶς, κυριολεκτεῖται δὲ εἰς τοὺς ἀσκητικοὺς συγγραφεῖς διὰ τὴν μοναχικὴν ζωήν.

φροντίδας; Αὐτὸς ὅμως μᾶς ἐπρόλαβε καὶ εἶπε· «τί θὰ ὠφεληθῇ ὁ ἄνθρωπος, ἐὰν κερδίσῃ ὅλον τὸν κόσμον, τὴν δὲ ψυχὴν αὐτοῦ ζημιωθῇ;»[4]. Ὅτι ἄλλοι μᾶς ἐξηπάτησαν; Οὔτε ὅμως τὸν Ἀδὰμ ὠφέλησε τὸ ὅτι προέβαλεν ὡς πρόφασιν τὴν γυναῖκα του λέγων· «ἡ γυνή, τὴν ὁποίαν ἔδωσες νὰ εἶναι μαζί μου, μὲ ἠπάτησεν»[5], ὅπως ἐπίσης οὔτε τὴν γυναῖκα, προφασιζομένην τὴν πονηρίαν τοῦ ὄφεως.

Φοβερόν, φίλε Θεόδωρε, τὸ δικαστήριον ἐκεῖνο, τὸ ὁποῖον οὔτε κατηγόρους χρειάζεται, οὔτε μάρτυρας περιμένει. Διότι ὅλα εἶναι γυμνὰ καὶ ἐντελῶς ξεσκεπασμένα εἰς τὸν δικαστήν· καὶ ὁ καθεὶς θὰ εἶναι ὑπεύθυνος ὄχι μόνον διὰ τὰς πράξεις, ἀλλὰ καὶ δι' αὐτὰς τὰς ἐνθυμήσεις τῶν λογισμῶν. Διότι εἶναι κριτὴς ἐνθυμήσεων καὶ ἐννοιῶν καρδίας ὁ δικαστὴς ἐκεῖνος.

Ἴσως ὅμως προβάλῃς τὴν ἀσθένειαν τῆς φύσεως καὶ τὴν ἀδυναμίαν νὰ φέρῃς τὸν ζυγὸν τοῦ Κυρίου. Καὶ ποία ἀπολογία τότε θὰ εἶναι ἱκανὴ νὰ σὲ σώσῃ ποὺ δὲν κατώρθωσες νὰ φέρῃς ζυγὸν[6] χρηστὸν καὶ νὰ βαστάσῃς φορτίον ἐλαφρόν; Μήπως εἶναι βαρὺ καὶ φορτικὸν πρᾶγμα ἡ ἐκ τῶν κόπων ἀνάπαυσις; Καὶ τότε πῶς μᾶς καλεῖ εἰς αὐτὸ ὁ Χριστός, λέγων· «ἔλθετε πρὸς ἐμὲ ὅλοι οἱ κοπιάζοντες καὶ φορτωμένοι, καὶ ἐγὼ θὰ σᾶς ἀναπαύσω· σηκώσατε τὸν ζυγόν μου ἐπάνω σας καὶ μάθετε ἀπὸ ἐμὲ πόσον πρᾶος καὶ ταπεινὸς εἶμαι εἰς τὴν καρδίαν· διότι ὁ ζυγός μου εἶναι χρηστὸς καὶ τὸ φορτίον μου ἐλαφρόν»[7]. Τί εἶναι ἐλαφρότερον, εἰπέ μου, ἀπὸ τοῦ νὰ ἀπαλλαγῇ κανεὶς ἀπὸ φροντίδας καὶ ὑποθέσεις καὶ φόβους καὶ κόπους, νὰ εὑρίσκεται ἐκτὸς τῶν κυμάτων τοῦ βίου καὶ νὰ ἐφησυχάζῃ εἰς εὔδιον λιμένα;

3. Λέγε μου ὅμως, τί νομίζεις ὅτι εἶναι μακαριστὸν καὶ ἐπιθυμητὸν εἰς τὸν κόσμον τοῦτον; Ἡ ἐξουσία, θὰ εἴπῃς ἴσως, καὶ ὁ πλοῦτος καὶ ἡ μεταξὺ τῶν ἀνθρώπων εὐδοκίμησις. Καὶ τί ἀθλιώτερον ἀπὸ αὐτά, ὅταν συγκρίνωνται πρὸς

---

7. Ματθ. 11, 29-30.

τὴν τῶν Χριστιανῶν ἐλευθερίαν συγκρίνηται; Ὁ μὲν γὰρ ἄρχων δήμων ὑπόκειται θυμῷ, καὶ πλήθους ὁρμαῖς ἀλόγοις, φόβῳ τε ἀρχόντων μειζόνων, καὶ ταῖς ὑπὲρ τῶν ἀρχομένων φροντίσι, καὶ ὁ χθὲς ἄρχων σήμερον ἰδιώτης· σκη-
5 *νῆς γὰρ οὐδὲν ὁ παρὼν διενήνοχε βίος· ἀλλὰ καθάπερ ἐκεῖ βασιλέως μὲν οὗτος, στρατηγοῦ δὲ ἐκεῖνος, ἕτερος δὲ στρατιώτου τάξιν πληροῖ, τῆς δὲ ἑσπέρας καταλαβούσης, οὔτε βασιλεὺς ὁ βασιλεύς, οὔτε ἄρχων ὁ ἄρχων, οὔτε ὁ στρατηγὸς στρατηγός, οὕτω καὶ ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, οὐκ ἀπὸ τοῦ*
10 *προσώπου, ἀλλ' ἀπὸ τῶν ἔργων ἕκαστος λήψεται τὴν ἀξίαν ἀμοιβήν.*

Ἀλλὰ δόξα τίμιον, τὸ καταπῖπτον ὡς ἄνθος χόρτου; Ἀλλὰ πλοῦτος, ὃν οἱ κεκτημένοι ταλανίζονται; «οὐαὶ γάρ», φησί, «τοῖς πλουσίοις»· καὶ πάλιν, «οὐαὶ οἱ πεποιθότες ἐπὶ
15 *τῇ δυνάμει αὐτῶν, καὶ ἐπὶ τῷ πλήθει τοῦ πλούτου αὐτῶν καυχόμενοι». Ὁ Χριστιανὸς οὐδέποτε ἐξ ἄρχοντος ἰδιώτης γίνεται, οὐδὲ ἀπὸ πλουσίου πένης, οὐδὲ ἄδοξος ἀπὸ ἐνδόξου· ἀλλὰ μένει πλουτῶν ὅταν πτωχεύῃ καὶ ὑψοῦται ὅταν ταπεινοῦν ἑαυτὸν σπουδάζῃ· καὶ τῆς ἀρχῆς ἧς ἄρχει, οὐκ ἀνθρώ-*
20 *πων, ἀλλὰ καὶ τῶν ἀρχόντων τῆς ἐξουσίας τοῦ κοσμοκράτορος τοῦ σκότους, οὐδεὶς αὐτὸν παραλῦσαι δύναται.*

Δίκαιος ὁ γάμος, σύμφημι κἀγώ· «τίμιος γάρ», φησίν, «ὁ γάμος, καὶ ἡ κοίτη ἀμίαντος, πόρνους δὲ καὶ μοιχοὺς κρινεῖ ὁ Θεός»· σοὶ δὲ οὐκέτι δυνατὸν τὰ δίκαια τοῦ γάμου
25 *φυλάξαι. Τὸν γὰρ ἐπουρανίῳ συναφθέντα νυμφίῳ, τοῦτον μὲν ἀφεῖναι, γυναικὶ δὲ ἑαυτὸν συνάψαι, μοιχεία τὸ πρᾶγμα, κἂν μυριάκις αὐτὸ γάμον καλῇς· μᾶλλον δὲ καὶ μοιχείας τοσούτῳ δεινότερον, ὅσῳ κρείττων ἀνθρώπων Θεός. Μηδείς σε ἀπατάτω λέγων, 'γαμεῖν οὐκ ἐκώλυσεν ὁ Θεός'.*

---

8. Ἐλευθερίαν καλεῖ τὴν ἀπαλλαγὴν ἀπὸ πᾶσαν ἁμαρτίαν, ἡ ὁποία εἶναι ἡ μόνη ἐπαχθεὶς δουλεία τῆς ψυχῆς. Βλ. Γαλ. 5, 1.
9. Λουκᾶ 6, 24 καὶ Ψαλμ. 48, 7.
9α. Ἑβρ. 13, 4.

τὴν ἐλευθερίαν[8] τῶν χριστιανῶν; Διότι ὁ ἄρχων ὑπόκειται εἰς τὸν θυμὸν τοῦ δήμου καὶ εἰς τὰς παραλόγους ὁρμὰς τοῦ πλήθους καὶ εἰς τὸν φόβον ἀνωτέρων ἀρχόντων καὶ εἰς τὰς φροντίδας του ὑπὲρ τῶν ἀρχομένων καὶ ὁ χθεσινὸς ἄρχων γίνεται σήμερον ἁπλοῦς ἰδιώτης. Διότι ἡ ζωὴ δὲν διαφέρει καθόλου ἀπὸ θέατρον, ἀλλ' ὅπως ἐκεῖ ἄλλος μὲν παίζει ρόλον βασιλέως, ἄλλος δὲ ἄρχοντος καὶ ἄλλος στρατιώτου, καὶ μόλις ἔλθῃ ἡ νύξ, οὔτε ὁ βασιλεὺς εἶναι βασιλεὺς οὔτε ὁ ἄρχων ἄρχων, οὔτε ὁ στρατηγὸς στρατηγός, ἔτσι καὶ τὴν ἡμέραν τῆς κρίσεως, ὁ καθεὶς θὰ λάβῃ τὴν ἀμοιβὴν ποὺ θὰ τοῦ ἀξίζει ὄχι ἐπὶ τῇ βάσει τῆς ἰδιότητός του, ἀλλὰ τῶν πράξεών του.

Μήπως ὅμως ἡ δόξα, ἡ ὁποία ἐξαφανίζεται ὡς ἄνθος χόρτου, εἶναι κάτι τιμητικόν; Μήπως ὁ πλοῦτος, διὰ τὸν ὁποῖον ταλανίζονται οἱ κάτοχοι; Διότι λέγει, «ἀλοίμονον εἰς τοὺς πλουσίους»· καὶ πάλιν, «ἀλοίμονον εἰς ὅσους ἔχουν πεποίθησιν εἰς τὴν δύναμίν των καὶ καυχῶνται διὰ τὴν ἀφθονίαν τοῦ πλούτου των»[9]. Ὁ χριστιανὸς ποτὲ δὲν γίνεται ἀπὸ ἄρχοντας ἰδιώτης καὶ ἀπὸ πλούσιος πτωχὸς καὶ ἀπὸ ἔνδοξος ἄδοξος, ἀλλὰ μένει πλούσιος ὅταν πτωχεύῃ καὶ ὑψώνεται ὅταν φροντίζῃ νὰ ταπεινοῦται· τὴν ἐξουσίαν δὲ τὴν ὁποίαν ἔχει δὲν ἠμπορεῖ κανεὶς νὰ τὴν καταλύσῃ οὔτε ἀπὸ τοὺς ἀνθρώπους, ἀλλ' οὔτε καὶ ἀπὸ τοὺς ἄρχοντας τῆς ἐξουσίας τοῦ κοσμοκράτορος τοῦ σκότους.

Εἶναι δίκαιον πρᾶγμα ὁ γάμος, συμφωνῶ καὶ ἐγώ. «Τίμιος, λέγει, ὁ γάμος καὶ ἡ κοίτη ἀμίαντος· πόρνους δὲ καὶ μοιχοὺς θὰ κατακρίνῃ ὁ Θεός»[9α]. Εἰς σὲ ὅμως δὲν εἶναι πλέον δυνατὸν νὰ ἐφαρμόσῃς τὰ τοῦ γάμου. Διότι δι' ἐκεῖνον ποὺ ἡνώθη μὲ τὸν οὐράνιον Νυμφίον διὰ τῆς μοναχικῆς ὑποσχέσεως, τὸ νὰ τὸν ἀφήσῃ καὶ νὰ προσκοληθῇ εἰς μίαν γυναῖκα, αὐτὸ εἶναι μοιχεία, ἔστω καὶ ἂν ἤθελες ἐσὺ ἀπείρως νὰ τὸ ἀποκαλῇς γάμον, ἢ μᾶλλον τόσον χειρότερον ἀπὸ μοιχείαν, ὅσον ἀνώτερος ἀπὸ τοὺς ἀνθρώπους εἶναι ὁ Θεός. Ἂς μὴ σὲ ἀπατᾷ κανείς, λέγων ὅτι δὲν ἀπηγόρευ-

Οἶδα τοῦτο κἀγώ, γαμεῖν οὐκ ἐκώλυσεν, ἀλλὰ μοιχεύειν ἐκώλυσεν, ὃ σὺ ποιεῖν ἐθέλεις· ὃ μὴ γένοιτο, σὲ ὁμιλῆσαι γάμῳ ποτέ.

Καὶ τί θαυμάζεις εἰ γάμος ὥσπερ μοιχεία κρίνεται, 5 *ὅταν ἀθετῆται ὁ Θεός; Φόνος δικαιοσύνην ἤνεγκε καὶ φιλανθρωπία μᾶλλον φόνου κατέκρινεν· ἐπειδὴ τὸ μὲν κατὰ γνώμην, τὸ δὲ κωλύοντος ἐγένετο Θεοῦ. Καὶ τῷ μὲν Φινεὲς ἐλογίσθη εἰς δικαιοσύνην τὸ τὴν πορνευομένην γυναῖκα μετὰ τοῦ πορνεύοντος ἐκκεντῆσαι· τὸν δὲ Σαοὺλ ὁ ἅγιος τοῦ Θε-* 10 *οῦ Σαμουὴλ ἐκεῖνος ὅλας νύκτας δακρύων καὶ πενθῶν καὶ παρακαλῶν, οὐκ ἴσχυσεν ἐξελέσθαι τῆς καταδίκης ἧς ἐξήνεγκε κατ' αὐτοῦ ὁ Θεός, ἐπειδὴ τὸν τῶν ἀλλοφύλων βασιλέα, ὃν δέον ἀνελεῖν, ἔσωσε παρὰ γνώμην Θεοῦ. Εἰ τοίνυν φιλανθρωπία μᾶλλον φόνου κατέκρινε διὰ τὸ παρακουσθῆ-* 15 *ναι Θεόν, τί θαυμαστὸν εἰ γάμος μοιχείας καταδικάζει μᾶλλον, διὰ τὸ ἀθετηθῆναι τὸν Χριστόν; Ὅπερ γὰρ τὴν ἀρχὴν ἔφην· εἰ μὲν ἰδιώτης ἧς, οὐδεὶς ἄν σε λιποστρατείας ἐγράψατο· νυνὶ δὲ οὐκέτι κύριος εἶ σαυτοῦ, βασιλεῖ τοιούτῳ στρατευόμενος. Εἰ γὰρ «ἡ γυνὴ τοῦ ἰδίου σώματος οὐκ ἐξουσιάζει,* 20 *ἀλλ' ὁ ἀνήρ», πολλῷ μᾶλλον οἱ ἐν Χριστῷ ζῶντες οὐκ ἂν εἶεν αὐτοὶ τοῦ σώματος αὐτῶν κύριοι. Ὁ καταφρονηθεὶς νῦν ὑπὸ σοῦ αὐτός ἐστιν ὁ τότε δικάζων· τοῦτον ἐννόει δι' ὅλου, καὶ τὸν ποταμὸν τοῦ πυρός· «ποταμὸς γάρ», φησίν, «εἷλκε πυρὸς πρὸ προσώπου αὐτοῦ»· οὐκ ἔστι γὰρ παρ' ἐκείνου πα-* 25 *ραδοθέντα τῷ πυρὶ προσδοκῆσαι κολάσεως τέλος.*

Ἀλλ' οἱ μὲν ἄτοποι τοῦ βίου ἡδοναὶ τῶν σκιῶν καὶ ὀνειράτων διαφέρουσιν οὐδέν· πρὶν ἢ γὰρ τελεσθῆναι τὰ τῆς

---

10. Α΄ Κορ. 7, 4.
11. Δαν. 7, 10.

σεν ὁ Θεὸς τὸν γάμον. Τοῦτο καὶ ἐγὼ τὸ γνωρίζω. Τὸν μὲν γάμον δὲν ἀπηγόρευσεν, ἀλλ' ἀπηγόρευσεν ὅμως τὴν μοιχείαν, πρᾶγμα ποὺ θέλεις νὰ κάμῃς ἐσύ, ἐάν, ὃ μὴ γένοιτο, θελήσῃς νὰ ἔλθῃς ποτὲ εἰς γάμου κοινωνίαν.

Διατί ἀπορεῖς, ἐὰν θεωρῆται ὁ γάμος μοιχεία, ὅταν ἀθετῆται ὁ Θεός; Εἷς φόνος κάποτε ἐπέβαλε δικαιοσύνην καὶ ἡ φιλανθρωπία κάποτε ὑπῆρξεν ἀξιοκατάκριτος περισσότερον ἀπὸ φόνον, ἐπειδὴ ἐκεῖνος μὲν ἔγινε μὲ τὸ θέλημα τοῦ Θεοῦ, αὐτὴ δὲ ἀντίθετα πρὸς τὸ θέλημα αὐτοῦ. Δι' αὐτό κατελογίσθη ὑπὲρ τοῦ Φινεὲς τὸ ὅτι ἐλόγχισε τὴν πορνευομένην γυναῖκα καὶ τὸν μετ' αὐτῆς πορνεύοντα. Τὸν Σαοὺλ ὅμως, ὁ ἅγιος τοῦ Θεοῦ ἄνθρωπος Σαμουήλ, ἐνῷ ἐπένθει καὶ ἐδάκρυε καὶ παρεκάλει ἐπὶ ὁλοκλήρους νύκτας, δὲν κατώρθωσε νὰ τὸν ἀπαλλάξῃ ἀπὸ τὴν καταδίκην, τὴν ὁποίαν ἀπεφάσισε δι' αὐτὸν ὁ Θεός, ἐπειδὴ παρὰ τὴν θέλησιν τοῦ Θεοῦ ἔσωσε τὸν βασιλέα τῶν ἀλλοφύλων, ὁ ὁποῖος ἔπρεπε νὰ φονευθῇ. Ἐὰν λοιπὸν ἡ ἐπίδειξις φιλανθρωπίας κατεδίκασε περισσότερον ἀπὸ τὸν φόνον, ἐπειδὴ δὲν ἐτηρήθη ἡ ἐντολὴ τοῦ Θεοῦ, τί τὸ περίεργον, ἐὰν ὁ γάμος καταδικάζεται περισσότερον τῆς μοιχείας, λόγῳ τοῦ ὅτι ἀθετεῖται ὁ Χριστός; Διότι, ὅπως εἶπε εἰς τὴν ἀρχήν, ἐὰν ἦτο ἁπλοῦς ἰδιώτης, κανεὶς δὲν θὰ σὲ ἐκατηγόρει διὰ παράληψιν στρατιωτικῆς ὑπηρεσίας, τώρα ὅμως δὲν εἶσαι καθόλου πλέον κύριος τοῦ ἑαυτοῦ σου, διότι ὑπηρετεῖς ὡς στρατιώτης εἰς τοιοῦτον βασιλέα. Ἄλλωστε, ἐὰν «ἡ γυνὴ δὲν ἐξουσιάζῃ ἡ ἰδία τὸ σῶμά της, ἀλλὰ ὁ ἀνὴρ αὐτῆς»[10], πόσον μᾶλλον δὲν ἠμποροῦν νὰ εἶναι κύριοι τῶν σωμάτων των οἱ ζῶντες διὰ τὸν Χριστόν. Αὐτὸς ὅμως ποὺ περιεφρονήθη τώρα, γνώριζε ὅτι αὐτὸς ὁ ἴδιος θὰ εἶναι καὶ δικαστὴς τότε. Τοῦτον νὰ σκέπτεσαι συνεχῶς καὶ τὸν ποταμὸν τοῦ πυρός. «Ποταμός, λέγει, πυρὸς ἔρρεεν ἔμπροσθεν αὐτοῦ»[11]. Ἐὰν δὲ κανεὶς παραδοθῇ ἀπὸ ἐκεῖνον εἰς τὸ πῦρ, δὲν εἶναι δυνατὸν νὰ περιμένῃ τέλος τῆς κολάσεως.

Ἀλλ' αἱ μὲν παράλογοι ἡδοναὶ τοῦ βίου τούτου καθό-

ἁμαρτίας, σβέννυται τὰ τῆς ἡδονῆς· αἱ δὲ ὑπὲρ τούτων κολάσεις πέρας οὐκ ἔχουσιν. Καὶ τὸ μὲν ἡδὺ πρὸς ὀλίγον, τὸ δὲ ἀνιαρὸν αἰώνιον. Τί βέβαιον τῶν ἐν τῷ κόσμῳ, εἰπέ μοι; Πλοῦτος ὁ μηδὲ μέχρι τῆς ἑσπέρας μείνας πολλάκις; Ἀλλὰ 5 δόξα; Ἀλλ' ἄκουέ τινος λέγοντος δικαίου· «ὁ βίος μού ἐστιν ἐλαφρότερος δρομέως». Ὥσπερ γὰρ ἐκεῖνοι πρὶν ἢ στῆναι μεταπηδῶσιν, οὕτω καὶ αὕτη πρὶν ἢ παραγενέσθαι ἀφίπταται. Οὐδὲν ψυχῆς τιμιώτερον· καὶ οὐδὲ οἱ μωρίας εἰς ἔσχατον ἐλάσαντες ἠγνόησαν τοῦτο». Ψυχῆς γὰρ οὐδὲν ἀντά-10 ξιον, τῶν ἔξωθέν τις ποιητικῶς ἔφη.

Οἶδα ὅτι πολὺ πρὸς τὴν τοῦ πονηροῦ πάλην ἀσθενέστερος γέγονας· οἶδα ὅτι ἐν μέσῃ τῶν ἡδονῶν ἕστηκας τῇ φλογί· ἀλλ' ἐὰν εἴπῃς πρὸς τὸν ἐχθρόν, ὅτι ταῖς ἡδοναῖς σου οὐ λατρεύομεν, καὶ τῇ ῥίζῃ πάντων τῶν κακῶν σου οὐ προσκυνοῦμεν, 15 ἂν τείνῃς ἄνω τὸ ὄμμα, τινάξει καὶ νῦν τὴν φλόγα ὁ Σωτήρ, καὶ τοὺς μὲν ἐμβαλόντας σε εἰς τὸ πῦρ κατακαύσει, σοὶ δὲ ἐν μέσῃ καμίνῳ νεφέλην καὶ δρόσον καὶ πνεῦμα διασυρίζον ἀποστελεῖ, ὡς μηδὲ τῶν λογισμῶν σου καὶ τῆς συνειδήσεώς σου ἅψασθαι τὸ πῦρ· μόνον σεαυτὸν μὴ κατακαύσῃς. 20 Καὶ γὰρ τὰς ὀχυρὰς τῶν πόλεων ὅπλα μὲν πολλάκις καὶ μηχανήματα τῶν ἔξωθεν οὐκ ἴσχυσε καθελεῖν, προδοσία δὲ ἑνὸς ἢ δύο τῶν ἔνδον οἰκούντων πολιτῶν ἀπονητὶ παρέδωκε τοῖς ἐχθροῖς. Καὶ νῦν, εἰ μηδείς σε τῶν ἔνδον προδῷ λογισμῶν, κἂν μυρία προσαγάγῃ μηχανήματα ἔξωθεν ὁ πονη-25 ρός, προσάξει μάτην.

4. Πολλοὺς ἔχεις Θεοῦ χάριτι καὶ μεγάλους τοὺς συν-

---

12. Ἰὼβ 9, 25.
13. Ὁμήρου Ἰλιὰς Ι, 401, ὅπου λέγεται, «οὐ γὰρ ἐμοὶ ψυχῆς ἀντάξιον οὐδ' ὅσα φησὶν Ἴλιον ἐκτῆσθαι».

λου δὲν διαφέρουν ἀπὸ τὰς σκιὰς καὶ τὰ ὄνειρα, διότι πρὶν ἀκόμη ὁλοκληρωθῇ ἡ ἁμαρτία, σβήνει ἡ ἡδονή· ἡ τιμωρία ὅμως ποὺ θὰ ἐπιβληθῇ δι' αὐτὴν ποτὲ δὲν θὰ ἔχῃ τέλος. Καὶ τὸ μὲν εὐχάριστον εἶναι σύντομον, τὸ δὲ λυπηρὸν αἰώνιον. Τί ὑπάρχει λοιπὸν βέβαιον εἰς τὸν παρόντα κόσμον, εἰπέ μου; Μήπως ὁ πλοῦτος, ὁ ὁποῖος δὲν παραμένει πολλάκις οὔτε μέχρι τῆς δύσεως τοῦ ἡλίου εἰς τὰς χεῖρας τοῦ κατόχου του; Μήπως ἡ δόξα; Ἄκουσε ὅμως κάποιον δίκαιον ποὺ λέγει· «ὁ βίος μου εἶναι ἐλαφρότερος δρομέως»[12]. Ὅπως λοιπὸν οἱ δρομεῖς πρὶν ἀκόμη σταματήσουν πηδοῦν ἐκ νέου, ἔτσι καὶ ἡ δόξα, πρὶν ἀκόμη καταφθάσῃ πετᾷ καὶ ἐξαφανίζεται. Τίποτε δὲν εἶναι τιμιώτερον ἀπὸ τὴν ψυχὴν καὶ τοῦτο δὲν τὸ ἠγνόησαν οὔτε καὶ ἐκεῖνοι ποὺ ἔτυχε νὰ φθάσουν ὥς τὸ τέρμα τῆς κακίας. Διότι τίποτε δὲν εἶναι ἀντάξιον τῆς ψυχῆς, εἶπε καὶ κάποιος ἐκ τῶν θύραθεν ποιητῶν[13].

Γνωρίζω ὅτι ἔγινες πολὺ ἀδύνατος εἰς τὸν κατὰ τοῦ πονηροῦ ἀγῶνα σου, γνωρίζω ὅτι εὑρίσκεσαι εἰς τὸ μέσον τῆς καμίνου τῶν ἡδονῶν. Ἐὰν ὅμως εἴπῃς εἰς τὸν ἐχθρόν, ὅτι δὲν προσκυνῶ πλέον εἰς τὰς ἡδονάς σου, ἐὰν στρέψῃς ἄνω τὸ βλέμμα, θὰ ἐκτινάξῃ καὶ τώρα τὴν φλόγα ὁ Σωτὴρ καὶ ἐκείνους μὲν ποὺ σὲ ὤθησαν εἰς τὸ πῦρ θὰ κατακαύσῃ, εἰς ἐσὲ δὲ ποὺ εὑρίσκεσαι εἰς τὸ μέσον τῆς καμίνου θὰ στείλῃ νεφέλην καὶ δρόσον καὶ πνοὴν συριστικήν, ὥστε τὸ πῦρ οὔτε κἂν νὰ ἐγγίσῃ τοὺς λογισμούς σου καὶ τὴν συνείδησίν σου. Πρόσεξε μόνον νὰ μὴ κατακαύσῃς ἐσὺ τὸν ἑαυτόν σου. Διότι πολλάκις ὀχυρὰς πόλεις ὅπλα μὲν καὶ μηχαναὶ τῶν πολιορκητῶν δὲν κατώρθωσαν νὰ κυριεύσουν ἀπὸ ἔξω, ἐνῷ ἡ προδοσία ἑνὸς ἢ δύο ἐκ τῶν ἐντὸς αὐτῶν πολιτῶν, χωρὶς κόπους τὰς παρέδωσεν εἰς τοὺς ἐχθρούς. Καὶ τώρα ἐὰν κανεὶς ἀπὸ τοὺς λογισμούς σου δὲν σὲ προδώσῃ καὶ ἂν ἀκόμη ἄπειρα τεχνάσματα ἀπὸ ἔξω προσκομίσῃ ὁ ἐχθρός, ἀδίκως θὰ τὰ φέρῃ.

4. Εἶναι πολλοὶ μὲ τὴν βοήθειαν τοῦ Θεοῦ καὶ μεγά-

αλγοῦντας, τοὺς ἀλείφοντας, τοὺς ὑπὲρ τῆς σῆς τρέμοντας ψυχῆς, τὸν ἅγιον τοῦ Θεοῦ Βαλέριον, τὸν πάντα τιμιώτατον αὐτῷ ἀδελφὸν Φλωρέντιον, τὸν τὴν τοῦ Χριστοῦ σοφίαν σοφὸν Πορφύριον, καὶ ἑτέρους πολλούς. Οὗτοι καθ' ἑκάστην 5 ὀλοφύρονται ἡμέραν καὶ εὐχόμενοι οὐκ ἐπαύσαντο· καὶ ἔτυχον ἂν ὧν ἐδέοντο πάλαι, εἰ μικρὸν γοῦν ἀποστῆσαι σαυτὸν ἠθέλησας τῶν τοῦ πολεμίου χειρῶν. Πῶς οὖν οὐκ ἄτοπον ἑτέρους μὲν μηδὲ νῦν ἀπογνῶναί σου τὴν σωτηρίαν, ἀλλὰ δι' ὅλου τὸ μέλος αὐτῶν ἀπολαβεῖν εὔχεσθαι, σὲ δὲ ἅπαξ 10 πεσόντα μὴ θέλειν ἀναστῆναι, ἀλλὰ κεῖσθαι, μονονουχὶ βοῶντα πρὸς τὸν ἐχθρόν· σφάττε, παῖε, μὴ φείσῃ; Μὴ ὁ πίπτων οὐκ ἀνίσταται; ὁ θεῖος ἔφη χρησμός. Σὺ δὲ μάχῃ τούτῳ καὶ ἀντιλέγεις· τὸ γὰρ πεσόντα ἀπογνῶναι, οὐδὲν ἄλλο ἐστὶν εἰπεῖν ἢ ὅτι ὁ πίπτων οὐκ ἀνίσταται.

15 *Μή, παρακαλῶ, μὴ τοσοῦτον ἀδικήσῃς σαυτόν· μὴ τοσαύτην ἡμῶν καταχέῃς ὀδύνην. Οὐ λέγω νῦν, ὅτε οὔπω εἰκοστὸν ἄγεις ἔτος, ἀλλὰ εἰ πολλὰ ποιήσας, καὶ τὸν ἅπαντα βίον ἐν Χριστῷ ζήσας, ἐν ἐσχάτῳ γήρᾳ ταύτην ἔπαθες τὴν ἐπήρειαν, ἣν μὲν οὐδὲ τότε ἀπογνῶναι καλόν, ἀλλὰ ἐν νῷ λαβεῖν τὸν ἐν τῷ σταυ- 20 ρῷ δικαιωθέντα λῃστήν, τοὺς περὶ τὴν ἑνδεκάτην ὥραν ἐργασαμένους, καὶ τῆς ὅλης ἡμέρας ἀπειληφότας τὸν μισθόν. Ὥσπερ δὲ οὐ καλὸν τοὺς ἐν ἐσχάτῳ τέρματι πεσόντας ἀπελπίζειν, ἐὰν σωφρονῶσιν, οὕτως οὐκ ἀσφαλὲς ταύτῃ τρέφεσθαι τῇ ἐλπίδι, καὶ λέγειν, ὅτι ἐνταῦθα τέως μὲν ἀπολαύσω τῶν 25 ἡδέων τοῦ βίου, ὕστερον δὲ ὀλίγον πονέσας χρόνον, τοῦ παντὸς ἀπολήψομαι χρόνου τοὺς μισθούς. Καὶ γὰρ μέμνημαί*

13α. Ἀλείφοντες καὶ ἀλεῖπται, κατ' ἀναλογίαν πρὸς τοὺς γυμναστὰς τῶν ἀρχαίων ἀγώνων, οἱ ὁποῖοι ἤλειφαν μὲ ἔλαιον τὸ σῶμα τῶν ἀθλητῶν διὰ νὰ γίνουν δυσκατάβλητοι ἀπὸ τοὺς ἀντιπάλους των, καλοῦνται οἱ προετοιμάζοντες εἰς τοὺς πνευματικοὺς ἀγῶνας τοὺς ἀρχαίους μοναχούς.

14. Ὅλοι αὐτοὶ ἠσκοῦντο εἰς τὸ περίφημον ἀσκητήριον τοῦ Διοδώρου καὶ τοῦ Καρτερίου (PG 67, 665-668).

15. Ἱερ. 8, 4.

λοι ἐκεῖνοι ποὺ συμπάσχουν μαζί σου καὶ σὲ προπονοῦν[13α] μὲ τὸ ἔλαιον τῶν πνευματικῶν ἀγώνων καὶ τρέμουν κυριολεκτικῶς διὰ τὴν ἰδικήν σου ψυχήν, ὅπως ὁ ἅγιος τοῦ Θεοῦ ἄνθρωπος Βαλέριος, ὁ κατὰ πάντα τιμιώτατος ἀδελφὸς αὐτοῦ Φλωρέντιος, ὁ σοφὸς εἰς τὴν κατὰ Θεὸν σοφίαν Πορφύριος καὶ ἄλλοι πολλοί[14]. Αὐτοὶ θρηνοῦν διὰ σὲ καθημερινῶς καὶ δὲν ἔπαυσαν νὰ προσεύχωνται. Θὰ ἐπετύγχαναν δὲ ἀπὸ καιρὸν νὰ ἔχουν αὐτὰ ποὺ ζητοῦν, ἐὰν καὶ ἐσὺ δι' ὀλίγον ἀπεμακρύνεσο ἀπὸ τὰς χεῖρας τοῦ ἐχθροῦ. Πῶς λοιπὸν δὲν εἶναι παράλογον, οἱ ἄλλοι μὲν οὔτε καὶ τώρα νὰ μὴ ἀπελπίζωνται διὰ τὴν σωτηρίαν σου καὶ νὰ εὔχωνται νὰ ἀποκτήσουν ἐξ ὁλοκλήρου τὸ μέλος τῆς ἀδελφότητός των καὶ ἐσύ, ἐπειδὴ ἔπεσες μίαν φοράν, νὰ μὴ θέλῃς νὰ ἐγερθῇς, ἀλλὰ νὰ μένῃς πεσμένος κάτω καὶ σχεδὸν νὰ ἐπικαλῆσαι τὸν ἐχθρόν, 'σφάττε, κτύπα, μὴ λυηθῇς τίποτε'; «Μήπως ὁ πίπτων οὐκ ἀνίσταται;»[15], λέγουν τὰ θεῖα λόγια. Ἐσὺ ὅμως ἀντιμάχεσαι πρὸς αὐτὸν καὶ ἀντιλέγεις· διότι τὸ νὰ ἀπελπισθῇ κάποιος ποὺ ἔχει πέσει, τίποτε ἄλλο δὲν σημαίνει, παρὰ ὅτι ὁ πίπτων δὲν ἐγείρεται.

Μή, σὲ παρακαλῶ, μὴ διαπράξῃς τόσην μεγάλην ἀδικίαν κατὰ τοῦ ἑαυτοῦ σου. Μὴ μᾶς γεμίσῃς τόσην ὀδύνην. Δὲν τὰ λέγω αὐτὰ τώρα ποὺ δὲν εἶσαι ἀκόμη εἴκοσιν ἐτῶν, ἀλλὰ καὶ εἰς ἔσχατον γῆρας ἂν εἶχες ὑποστῇ αὐτὴν τὴν προσβολήν, ἀφοῦ εἶχες κάμει πολλὰ κατορθώματα καὶ εἶχες ζήσει κατὰ Χριστὸν ὅλην τὴν ζωήν, οὔτε καὶ τότε θὰ ἦτο καλὸν νὰ ἀπελπισθῇς, ἀλλὰ νὰ φέρῃς εἰς τὸν νοῦν σου τὸν ἐπὶ τοῦ σταυροῦ δικαιωθέντα λῃστὴν καὶ τοὺς ἐργάτας τῆς ἑνδεκάτης ὥρας ποὺ ἔλαβαν τὸν μισθὸν ὅλης τῆς ἡμέρας. Ὅπως δὲ δὲν εἶναι καλὸν νὰ ἀπελπίζωνται ἐκεῖνοι ποὺ ἔπεσαν εἰς τὸ ἔσχατον τέρμα, ἐὰν σωφρονοῦν, ἔτσι δὲν εἶναι ἀσφαλὲς μὲ αὐτὴν νὰ τρέφωνται τὴν ἐλπίδα καὶ νὰ λέγουν, τώρα μὲν ἂς ἀπολαύσωμεν τὰ τερπνὰ τοῦ βίου, ὕστερα δέ, ἀφοῦ κοπιάσωμεν ὀλίγον, θὰ λάβωμεν τὴν ἀμοιβὴν ὅλου τοῦ χρόνου. Διότι ἐνθυμοῦμαι ποὺ ἔλεγες πολ-

σου πολλάκις εἰρηκότος, ἡνίκα σοι πολλοὶ παρῄνουν εἰς μουσεῖα φοιτῶντι· 'τί δέ, ἐὰν ἐν τῷ βραχεῖ χρόνῳ κακῶς καταλύσω τὸν βίον, πῶς ἀπελεύσομαι πρὸς τὸν εἰρηκότα, «μὴ ἀνάμενε ἐπιστρέψαι πρὸς Κύριον, μηδὲ ἀναβάλλου ἡμέραν 5 ἐξ ἡμέρας»;' Τοῦτον ἀνάκτησαι τὸν λογισμόν, καὶ δεῖσον τὸν κλέπτην· οὕτω γὰρ ὁ Χριστὸς τὴν ἐνθένδε ἡμῶν ἔξοδον καλεῖ, διὰ τὸ ἀγνοοῦσιν ἐφίστασθαι.

Ἐννόησον τὰς τοῦ βίου φροντίδας τὰς ἰδίᾳ καὶ κοινῇ γινομένας, τοὺς τῶν ἀρχόντων φόβους, τὸν τῶν πολιτῶν 10 φθόνον, τὸν μέχρι τῶν ἐσχάτων πολλάκις ἐπαρτηθέντα κίνδυνον, τοὺς πόνους, τὰς ταλαιπωρίας, τὰς κολακείας τὰς δουλοπρεπεῖς, καὶ οὐδὲ τῶν ἀνδραπόδων τοῖς σπουδαίοις προσηκούσας, τὸ τῶν πόνων τὸν καρπὸν ἐνθάδε τελευτᾶν, οὗ τί ἂν γένοιτο ἀλγεινότερον; Πολλοῖς δὲ οὐδὲ ἀπολαῦσαι 15 ὑπὲρ ὧν ἐπόνεσαν συνέβη, ἀλλὰ τὴν πρώτην ἡλικίαν πόνοις καὶ κινδύνοις ἀναλώσαντες, ἡνίκα ἤλπισαν ἀπολήψεσθαι τοὺς μισθούς, ἀπῆλθον μηδὲν ἔχοντες μεθ' ἑαυτῶν. Εἰ γὰρ τὸν ἐπὶ γῆς βασιλέα μετὰ τὸ πολλοὺς μὲν ὑπομεῖναι κινδύνους, πολλοὺς δὲ ἀνύσαι πολέμους, μόλις τις ὄψεται μετὰ παρρη- 20 σίας, πῶς τὸν οὐράνιον ἰδεῖν δυνήσεταί τις, τὸν ἅπαντα χρόνον ἑτέρῳ ζήσας καὶ στρατευσάμενος;

5. *Εἴπω βούλει καὶ τὰς οἴκοι φροντίδας τὰς τῆς γυναικός, τὰς τῶν παίδων, τὰς τῶν οἰκετῶν; Δεινὸν πενεστέραν λαβεῖν γυναῖκα, δεινὸν εὐπορωτέραν· τὸ μὲν γὰρ 25 εἰς τὴν οὐσίαν ἔβλαψε, τὸ δὲ εἰς αὐθεντίαν καὶ ἐλευθερίαν τὸν ἄνδρα. Ἀλγεινὸν κτήσασθαι παῖδας, ἀλγεινότερον μὴ κτήσασθαι· τὸ μὲν γὰρ μάτην ἐστὶ γεγαμηκέναι, τὸ δὲ πικρὰν*

---

16. Σοφ. Σειρ. 5, 7.

λάκις, ὅταν ἐφοιτοῦσες εἰς τὰς σχολὰς καὶ πολλοὶ σὲ παρέσυραν μὲ τὰ λόγια· τί δέ, ἐὰν εἰς τὸν σύντομον τοῦτον χρόνον δὲν τελειώσω καλῶς τὸν βίον, πῶς θὰ μεταβῶ πρὸς αὐτὸν ποὺ εἶπε, «μὴ βραδύνῃς νὰ ἐπιστρέψῃς πρὸς Κύριον, καὶ μὴ ἀναβάλλῃς ἀπὸ ἡμέρας εἰς ἡμέραν;»[16]. Ἀπόκτησε καὶ πάλιν τοῦτον τὸν λογισμὸν καὶ φοβοῦ τὸν κλέπτην. Διότι ἔτσι ὀνομάζει ὁ Χριστὸς τὴν ἀπὸ τὸν παρόντα κόσμον ἔξοδόν μας, ἐπειδὴ ἀγνοοῦμεν πότε θὰ γίνῃ.

Σκέψου τὰς φροντίδας τοῦ βίου, τὰς προσωπικὰς καὶ τὰς κοινάς, τοὺς φόβους τῶν ἀρχόντων, τὸν φθόνον τῶν πολιτῶν, τὸν κίνδυνον ποὺ μέχρι ἐσχάτων πολλάκις ἄνωθεν τῶν κεφαλῶν μας ἐπικρέμαται, τοὺς κόπους, τὰς ταλαιπωρίας, τὰς δουλοπρεπεῖς κολακείας, ποὺ δὲν ἁρμόζουν καὶ εἰς αὐτοὺς ἀκόμη τοὺς ἀξιοπρεπεῖς δούλους, καὶ τὸ ὅτι ὅλων αὐτῶν τῶν κόπων ὁ καρπὸς τελειώνει ἐδῶ· τί ἀλγεινότερον τούτου θὰ ἦτο δυνατὸν νὰ ὑπάρξῃ; Πολλοὶ μάλιστα συνέβη νὰ μὴ ἀπολαύσουν οὔτε ἐκεῖνα ποὺ μὲ πολὺν κόπον ἀπέκτησαν. Καταναλώσαντες τὴν νεότητά των εἰς κόπους καὶ κινδύνους, ὅταν ἐνόμισαν ὅτι θὰ ἀπελάμβαναν πλέον τοὺς κόπους των, μετέβησαν εἰς τὴν ἄλλην ζωὴν χωρὶς νὰ συναποκομίσουν* μαζί των τίποτε. Διότι, ἐὰν κανείς, μετὰ ἀπὸ πολλοὺς κινδύνους ποὺ ὑπέμεινε καὶ πολλοὺς πολέμους ποὺ ἔκαμε, μόλις καὶ μετὰ δυσκολίας ἠμπορεῖ μὲ παρρησίαν νὰ ἴδῃ τὸν ἐπίγειον βασιλέα, πῶς θὰ ἴδῃ μὲ παρρησίαν τὸν οὐράνιον, ἀφοῦ ἔζησε καὶ ὑπηρέτησεν εἰς ὅλην του τὴν ζωὴν ἄλλον βασιλέα;

5. Θέλεις νὰ σοῦ ἀπαριθμήσω τὰς κατ' οἶκον φροντίδας ὅσας ἔχει διὰ τὴν γυναῖκα του, τὰ τέκνα καὶ τοὺς ὑπηρέτας; Φοβερὸν νὰ λάβῃ κανεὶς γυναῖκα πτωχοτέραν του, φοβερὸν ἐπίσης νὰ λάβῃ εὐπορωτέραν του. Διότι τὸ μὲν ἕνα βλάπτει τὸν ἄνδρα εἰς τὴν περιουσίαν, τὸ δὲ ἄλλο εἰς τὴν ἰδιότητά του ὡς αὐθέντου καὶ εἰς τὴν ἐλευθερίαν του. Λυπηρὸν νὰ ἀποκτήσῃ κανεὶς τέκνα, λυπηρότερον δὲ καὶ νὰ μὴ ἀποκτήσῃ. Τὸ μὲν ἕνα δεικνύει ὅτι ἀδίκως ἐνυμφεύ-

ὑπομένειν δουλείαν. Ἠρρώστησε τὸ παιδίον, φόβος οὐ μικρός· ἀπῆλθεν ἄωρον, πένθος ἀπαραμύθητον· καὶ καθ' ἑκάστην ἡλικίαν διάφοροι φροντίδες ὑπὲρ αὐτῶν καὶ φόβοι καὶ πόνοι πολλοί. Τί δεῖ λέγειν τὰς τῶν οἰκετῶν μοχθηρίας;
5 *Βίος οὖν ἄρ' οὗτος, ὦ Θεόδωρε, εἰς τοσαῦτα μερίζεσθαι ψυχὴν μίαν, τοσούτοις δουλεύειν, τοσούτοις ζῆν, ἑαυτῷ δὲ μηδέποτε;*

Οὐδὲν τούτων ἐστὶ παρ' ἡμῖν, ὦ φίλε, καὶ αὐτόν σε μάρτυρα καλῶ. Ὅτε γὰρ τὸν βραχὺν ἐκεῖνον χρόνον ἀνα-
10 *κύψαι τῶν κυμάτων ἠθέλησας, οἶσθα πόσης εὐφροσύνης ἀπέλαυες, καὶ χαρᾶς. Οὐ γάρ ἐστιν ἐλεύθερος, ἀλλ' ἢ μόνος ὁ Χριστῷ ζῶν· οὗτος ἀνώτερος ἁπάντων ἕστηκε τῶν δεινῶν, κἂν αὐτὸς ἑαυτὸν ἀδικῆσαι μὴ βούληται, ἕτερος τοῦτο οὐκ ἰσχύσει ποτέ, ἀλλ' ἔστιν ἀνάλωτος· οὐ ζημίᾳ χρημάτων*
15 *δακνόμενος; ἔμαθε γὰρ ὅτι «οὐδὲν εἰσηνέγκαμεν εἰς τὸν κόσμον τοῦτον οὐδὲ ἐξενεγκεῖν τι δυνάμεθα»· οὐ πόθῳ φιλοτιμίας ἢ δόξης ἁλισκόμενος, ἔμαθε γὰρ ὅτι «ἐν οὐρανῷ ἡμῶν τὸ πολίτευμα»· οὐ λοιδορῶν αὐτόν τις λυπεῖ, οὐ τύπτων παροξύνει. Μία συμφορὰ Χριστιανῷ μόνη, τὸ προσκροῦσαι*
20 *Θεῷ· τὰ δὲ ἄλλα, οἷον κτημάτων ἀποβολήν, πατρίδος στέρησιν, τὸν ὑπὲρ τῶν ἐσχάτων κίνδυνον, οὐδὲ εἶναί τι νομίζει δεινόν· καὶ ὃ πάντες πεφρίκασι, τὸ ἐνθέδε ἐκεῖ ἀπελθεῖν, τοῦτο ἐκείνῳ τοῦ ζῆν ἥδιον. Ὥσπερ γὰρ ἄν τις εἰς ἄκρον σκόπελον ἀνελθὼν θεωρῇ τὴν θάλασσαν, καὶ τοὺς αὐτὴν πλέ-*

---

16 π. Α' Τιμ. 6, 7.
17. Φιλ. 3, 20 καὶ 1, 27.

βασανιστήρια ἐκεῖ καὶ νιφάδες κολάσεων ἀπὸ παντοῦ θὰ καταβαίνουν ἐπάνω εἰς τὴν ψυχήν. Ἐὰν κανεὶς ἤθελεν ἐρωτήσει· καὶ πῶς θὰ ἠμπορέσῃ νὰ ἀνθέξῃ εἰς τόσον πλῆθος τιμωριῶν καὶ νὰ παραμείνῃ τιμωρουμένη ἡ σὰρξ εἰς τοὺς ἀτελευτήτους αἰῶνας; Αὐτὸς ἂς ἐξετάσῃ τὰ ἐδῶ συμβαίνοντα, πῶς δηλαδὴ πολλοὶ πολλάκις ἀντεστάθησαν καὶ ἄνθεξαν εἰς μακρὰν καὶ βαρεῖαν νόσον. Ἐὰν δὲ συνέβη ἄλλοι νὰ ἀποθάνουν, συνέβη ὄχι διότι ἐξηντλήθη ἡ ψυχή των, ἀλλὰ τὸ σῶμα των, εἰς σημεῖον ὥστε ἐὰν ἐκεῖνο δὲν ὑπεχώρει, δὲν θὰ ἔπαυε νὰ τυραννῆται ἡ ψυχή. Ὅταν λοιπὸν τὸ παραλάβῃ ἄφθαρτον καὶ ἀδιάλυτον, τίποτε δὲν ἐμποδίζει τὴν ἐπ' ἄπειρον ἐπέκτασιν τῆς κολάσεως. Διότι ἐδῶ δὲν εἶναι δυνατὸν νὰ συνυπάρξουν καὶ τὰ δύο, δηλαδὴ ἡ σφοδρότης τῶν κολάσεων καὶ ἡ διάρκεια, ἀλλὰ τὸ ἓν ἀνατρέπει τὸ ἄλλο, ἐπειδὴ ἡ φύσις τοῦ σώματός μας εἶναι φθαρτή, δὲν συγχωρεῖ τὴν συνύπαρξιν αὐτῶν. Ὅταν ὅμως συντελεσθῇ ἡ ἀφθαρσία καὶ ἡ διαμάχη αὕτη θὰ λήξῃ, τότε μὲ μεγάλην ἐξουσίαν θὰ μᾶς κατέχουν ἐπ' ἄπειρον ἀμφότερα τὰ δεινά.

Ἂς μὴ διατεθῶμεν λοιπὸν τώρα ἔτσι μὲ τὴν ἰδέαν ὅτι τὸ μέγεθος τῶν βασανιστηρίων καταστρέφει τὴν ψυχήν μας. Διότι οὔτε τὸ σῶμα θὰ ἠμπορέσῃ νὰ πάθῃ τοῦτο κατ' ἐκεῖνον τὸν καιρόν, ἀλλὰ θὰ μείνῃ τιμωρούμενον μαζὶ μὲ τὴν ψυχὴν καὶ δὲν θὰ ὑπάρξῃ πλέον κανένα ἄλλο τέλος. Πόσην τρυφὴν καὶ πόσον χρόνον θέλεις λοιπὸν νὰ ἀντιτάξῃς εἰς τὴν τοιαύτην κόλασιν καὶ τιμωρίαν; Θέλεις χρόνον ἑκατὸν ἐτῶν ἢ καὶ τὸν διπλάσιον; Καὶ πόσος εἶναι ὁ χρόνος αὐτὸς ἐμπρὸς εἰς τοὺς ἀτελευτήτους αἰῶνας; Διότι ὅ,τι εἶναι ὄνειρον μιᾶς ἡμέρας εἰς ὅλον τὸν βίον τοῦτον, τοῦτο ἐν συγκρίσει εἶναι καὶ ἡ ἀπόλαυσις τῶν πραγμάτων τοῦ παρόντος βίου πρὸς τὴν κατάστασιν τῶν μελλόντων. Ὑπάρχει ἆρά γε κανεὶς ποὺ θὰ προτιμοῦσε νὰ κολάζεται αἰωνίως διὰ νὰ ἴδῃ ἕνα καλὸν ὄνειρον; Ποῖος λοιπὸν εἶναι τόσον ἀνόητος, ὥστε νὰ προτιμᾷ μίαν τέτοιαν ἀνταλλαγήν; Δὲν

γὰρ διαβάλλω τὴν τρυφήν, οὐδὲ τὴν ἐν αὐτῇ κειμένην πικρίαν ἀποκαλύπτω νῦν· οὐ γὰρ οὗτος τῶν λόγων τούτων ὁ καιρός, ἀλλ' ὅταν αὐτὴν ἐκφυγεῖν δυνηθῇς. Νῦν μὲν γὰρ ἐνεχόμενος τῷ πάθει, καὶ ληρεῖν ἡμᾶς ὑποπτεύσεις, εἰ τὴν 5 ἡδονὴν καλοίημεν πικράν· ὅταν δὲ ἀπαλλαγῇς τῇ τοῦ Θεοῦ χάριτι τοῦ νοσήματος, τότε εἴσῃ καὶ τὴν κακίαν αὐτοῦ καλῶς.

Διὸ τούτους ἐν ἑτέρῳ καιρῷ τοὺς λόγους ταμιευσάμενοι, ἐκεῖνο ἐροῦμεν νῦν. Ἔστω εἶναι τρυφὴν τὴν τρυφήν, καὶ ἡδονὴν τὴν ἡδονήν, καὶ μηδὲν ἔχειν ἀνιαρὸν μηδὲ ἐπο- 10 νείδιστον, τί πρὸς τὴν ἀποκειμένην κόλασιν ἐροῦμεν; τί δὲ τότε πράξομεν, ἡσθέντες μὲν ὡς ἐν σκιᾷ καὶ εἰκόνι τανῦν, ἔργῳ δὲ τὴν βάσανον αἰωνίαν τιννύοντες ἐκεῖ, καὶ ταῦτα ἐξὸν ἐν βραχεῖ χρόνῳ τά τε εἰρημένα στρεβλωτήρια διαφυγεῖν καὶ τῶν ἀποκειμένων ἀπολαῦσαι καλῶν; Καὶ γὰρ καὶ 15 τοῦτο τῆς τοῦ Θεοῦ φιλανθρωπίας ἔργον τὸ μὴ εἰς μῆκος ἡμῖν ἐκταθῆναι τοὺς ἀγῶνας μακρόν, ἀλλ' ἐν βραχεῖ καὶ ἀκαριαίῳ καὶ ὀφθαλμοῦ ριπῇ (τοῦτο γὰρ ἡ παροῦσα ζωὴ πρὸς ἐκείνην) ἀγωνισαμένους ἐν τοῖς ἀπείροις στεφανωθῆναι αἰῶσιν.

20 *Οὐχ ὡς ἔτυχε δὲ καὶ τοῦτο τότε τὰς τῶν κολαζομένων ἀνιάσει ψυχάς, ὅταν ἐννοήσωσιν, ὅτι παρὸν ἐν ταῖς ὀλίγαις ἡμέραις ταύταις κατορθῶσαι τὸ πᾶν, ἀμελήσαντες τοῖς ἀθανάτοις ἑαυτοὺς παρέδωκαν κακοῖς. Ὅπερ ἵνα μὴ πάθωμεν, διαναστῶμεν «ἕως καιρὸς εὐπρόσδεκτος, ἕως ἡμέρα σωτη- 25 ρίας», ἕως πολλὴ τῆς μετανοίας ἡ ἰσχύς. Οὐδὲ γὰρ τὰ εἰρημένα μόνον ἡμᾶς ἐκδέξεται ραθυμήσαντας κακά, ἀλλὰ καὶ ἕτερα πολλῷ τούτων χαλεπώτερα. Ταῦτα μὲν γὰρ ἐν τῇ γεέννῃ, καὶ τούτων πικρότερα· ἡ δὲ τῶν ἀγαθῶν ἀπόπτωσις το-*

34. Τὰ στρεβλωτήρια ἦσαν εἶδος βασανιστηρίων ὀργάνων, διὰ τῶν ὁποίων ἐκακοποίουν τοὺς βασανιζομένους.
35. Β' Κορ. 6, 2.

κατηγορῶ ἀκόμη τὴν τρυφήν, οὔτε ἀποκαλύπτω τώρα τὴν ἐνυπάρχουσαν εἰς αὐτὴν πικρίαν. Κατάλληλος διὰ τέτοια λόγια δὲν εἶναι ὁ παρὼν καιρός, ἀλλ' ὅταν ἠμπορέσῃς νὰ ἀπομακρυνθῇς ἀπὸ αὐτήν, τότε. Διότι τώρα, ἐπειδὴ διακατέχεσαι ἀπὸ τὸ πάθος αὐτό, θὰ νομίσῃς ὅτι φλυαρῶ, ἐὰν ἀπεκάλουν τὴν ἡδονὴν πικράν. Ὅταν ὅμως μὲ τὴν χάριν τοῦ Θεοῦ ἀπαλλαγῇς ἀπὸ τὸ νόσημά σου, τότε θὰ γνωρίσῃς καλῶς καὶ τὸ πόσον ἐπιβλαβὲς εἶναι.

Διὰ τοῦτο, φυλάσσοντες τὰ λόγια αὐτὰ δι' ἄλλους καιρούς, τοῦτο θὰ εἴπωμεν τώρα. Ἔστω ὅτι ἡ τρυφὴ εἶναι τρυφὴ καὶ ἡ ἡδονὴ ἡδονὴ καὶ ὅτι τίποτε τὸ λυπηρὸν καὶ ἐπονείδιστον δὲν ἔχουν· τί ὅμως θὰ εἴπωμεν ἔναντι τῆς μελλούσης κολάσεως; Τί θὰ πράξωμεν τότε, ἀπολαύσαντες μὲν ἐνταῦθα ὡσὰν σκιὰν καὶ εἰκόνα τὴν ἡδονήν, ὑφιστάμενοι δὲ ἐκεῖ ἐμπράκτως τὴν αἰωνίαν βάσανον ὡς ποινήν, ἐνῷ μᾶς ἦτο δυνατὸν ἐντὸς μικροῦ χρόνου νὰ ἀποφύγωμεν τὰ λεγόμενα στρεβλωτήρια[34] καὶ ἀπολαύσωμεν τὰ μέλλοντα ἀγαθά; Διότι καὶ τοῦτο εἶναι ἔργον τῆς φιλανθρωπίας τοῦ Θεοῦ, τὸ νὰ μὴ διαρκοῦν ἐπὶ μακρὸν οἱ ἀγῶνες, ἀλλ' ἀφοῦ ἀγωνισθῶμεν συντόμως καὶ ἀκαριαίως καὶ ἐν ριπῇ ὀφθαλμοῦ (διότι τοῦτο εἶναι ἡ παροῦσα ζωὴ ἐν σχέσει πρὸς τὴν μέλλουσαν), νὰ στεφανωθῶμεν εἰς τοὺς ἀπεράντους αἰῶνας.

Δὲν θὰ εἶναι δὲ τυχαία καὶ ἡ λύπη τῶν κολαζομένων τότε, ὅταν ἀντιληφθοῦν ὅτι, ἐνῷ ἐντὸς ὀλίγων ἡμερῶν ἐνταῦθα ἠδύναντο νὰ κατορθώσουν τὸ πᾶν, δείξαντες ἀμέλειαν παρέδωσαν τὸν ἑαυτόν των εἰς τὴν αἰώνιον τιμωρίαν. Διὰ νὰ μὴ πάθωμεν τοῦτο, ἂς ἐγερθῶμεν «ἕως ὅτου εἶναι καιρὸς εὐπρόσδεκτος, ἕως ὅτου εἶναι ἡμέρα σωτηρίας»[35], ὅσον χρόνον εἶναι ἀκόμη μεγάλη ἡ ἰσχὺς τῆς μετανοίας. Καὶ ὄχι μόνον τὰ ἀναφερθέντα κακὰ θὰ μᾶς ὑποδεχθοῦν, ἐὰν δείξωμεν ραθυμίαν, ἀλλὰ καὶ ἄλλα πολὺ χειρότερα ἀπὸ αὐτά. Αὐτὰ λοιπὸν θὰ ὑποστῶμεν εἰς τὴν γέενναν καὶ ἀκόμη πικρότερα τούτων. Ἡ ἀπώλεια δὲ τῶν ἀποκειμένων

σαύτην ἔχει τὴν ὀδύνην, τοσαύτην τὴν θλῖψιν καὶ τὴν στενοχωρίαν, ὡς εἰ καὶ μηδεμία τιμωρία τοῖς ἐνταῦθα ἁμαρτάνουσιν ἔκειτο, αὐτὴν καθ' ἑαυτὴν ἀρκέσαι τῶν ἐν τῇ γεέννῃ βασανιστηρίων πικρότερον δοκεῖν καὶ συνταράξαι τὰς ἡμετέρας ψυχάς.

11. Ἐννόησον γάρ μοι τῆς ζωῆς τὴν κατάστασιν ἐκείνης, καθ' ὅσον ἐννοῆσαι δυνατόν· πρὸς γὰρ τὴν ἀξίαν οὐδεὶς ἡμῖν ἀρκέσει λόγος· ἀλλ' ἐξ ὧν ἀκούομεν ὥσπερ διά τινων αἰνιγμάτων λάβωμέν τινα φαντασίαν αὐτῆς ἀμυδράν. «Ἀπέδρα», φησίν, «ὀδύνη καὶ λύπη καὶ στεναγμός». Τί οὖν ταύτης μακαριώτερον γένοιτ' ἂν τῆς ζωῆς; Οὐκ ἔστιν ἐκεῖ πενίαν δεῖσαι καὶ νόσον· οὐκ ἔστιν ἀδικοῦντα οὐδὲ ἀδικούμενον ἰδεῖν, οὐ παροξύνοντα καὶ παροξυνόμενον, οὐκ ὀργιζόμενον, οὐ βασκαίνοντα, οὐκ ἐπιθυμίᾳ ἀτόπῳ φλεγόμενον, οὐχ ὑπὲρ τῆς τῶν ἀναγκαίων ἀλύοντα χορηγίας, οὐχ ὑπὲρ ἀρχῆς καὶ δυναστείας κοπτόμενον· πᾶσα γὰρ ἡ ζάλη τῶν ἐν ἡμῖν παθῶν σβεσθεῖσα ἀπόλλυται καὶ πάντα εἰρήνη καὶ εὐφροσύνη ἔσται καὶ χαρά, πάντα εὔδια καὶ γαληνά, πάντα ἡμέρα καὶ λαμπρότης καὶ φῶς, φῶς οὐ τοῦτο τὸ νῦν, ἀλλ' ἕτερον τούτου τοσοῦτον λαμπρότερον, ὅσον λυχνιαίου τοῦτο φαιδρότερον. Οὔτε γὰρ ἐκεῖ νυκτὶ οὔτε συνδρομῇ κρύπτεται νεφῶν· οὐ καίει καὶ φλέγει τὰ σώματα· οὔτε γὰρ νύξ, οὔτε ἑσπέρα ἐκεῖ, οὐ κρύος, οὐ θάλπος, οὐκ ἄλλη τις τροπῶν μεταβολή· ἀλλ' ἑτέρα τις κατάστασις τοιαύτη, ἣν οἱ καταξιωθέντες εἴσονται μόνοι· οὐκ ἔστι γῆρας ἐκεῖ, οὔτε τὰ τοῦ γήρως κακά, ἀλλὰ πάντα ἐκποδὼν γίνεται τὰ τῆς φθορᾶς, τῆς ἀφθάρτου δόξης κρατούσης πανταχοῦ. Τὸ δὲ τούτων ἁπάντων μεῖζον, τὸ τῆς πρὸς τὸν Χριστὸν ὁμιλίας ἀπολαύειν διηνεκῶς, μετὰ

8(?)6. Ἠσ. 35, 10.

ἀγαθῶν τόσην ὀδύνην προξενεῖ, τόσην θλῖψιν καὶ στενοχωρίαν, ὥστε καὶ ἂν ἀκόμη καμμία τιμωρία δὲν ἐπερίμενε τοὺς ἐνταῦθα ἁμαρτάνοντας, αὐτὴ καθ' ἑαυτὴν ἡ ἀπώλεια εἶναι ἀρκετὴ νὰ δαγκώσῃ πικρότερον καὶ ἀπὸ αὐτὰ τὰ βασανιστήρια τῆς γεέννης καὶ νὰ συνταράξῃ τὰς ψυχάς μας.

11. Σκέψου τὴν κατάστασιν ἐκείνης τῆς ζωῆς, ὅσον βεβαίως εἶναι δυνατὸν τοῦτο, διότι κανεὶς λόγος δὲν εἶναι ἀρκετὸς διὰ νὰ ἐκφράσῃ τὴν ἀξίαν της. Ἀπὸ ὅσα ὅμως ἀκούομεν, ὡσὰν δι' αἰνίγματος, ἂς λάβωμεν περὶ αὐτῆς ἀμυδρὰν ἰδέαν. «Ἐξηφανίσθη, λέγει, ὀδύνη καὶ λύπη καὶ στεναγμός»[36]. Καὶ τί μακαριώτερον θὰ ἠμποροῦσε νὰ ὑπάρξῃ ἀπὸ αὐτὴν τὴν ζωήν; Δὲν εἶναι δυνατὸν νὰ φοβηθῇ κανεὶς ἐκεῖ πτωχείαν καὶ ἀσθένειαν, ἢ νὰ ἴδῃ βλάπτοντα καὶ βλαπτόμενον ἄνθρωπον, οὔτε ἐρεθίζοντα καὶ ἐρεθιζόμενον, οὔτε ὀργιζόμενον, οὔτε φθονοῦντα οὔτε φλεγόμενον ἀπὸ ἄτοπον ἐπιθυμίαν, ἢ στενοχωρούμενον διὰ τὴν δαπάνην τῆς ἀποκτήσεως τῶν ἀπαραιτήτων τῆς παρούσης ζωῆς, οὔτε κανένα ποὺ νὰ κόπτεται διὰ τὴν ἀπόκτησιν ἀρχῆς καὶ δυναστείας. Διότι ὅλη ἡ ταραχὴ τῶν ἐντός μας παθῶν σβήνεται καὶ χάνεται καὶ τὰ πάντα θὰ εἶναι εἰρήνη καὶ εὐφροσύνη καὶ χαρά, ἤρεμα καὶ γαλήνια, ὅλα ἡμέρα τῆς λαμπρότης καὶ φῶς, καὶ ὄχι τὸ τῆς παρούσης ζωῆς, ἀλλ' ἄλλο, τόσον λαμπρότερον ἀπὸ αὐτό, ὅσον φαιδρότερον εἶναι τὸ φῶς τοῦ ἡλίου ἀπὸ τὸ τοῦ λύχνου. Καὶ δὲν κρύπτεται ἐκεῖ οὔτε ἀπὸ τὴν νύκτα, οὔτε ἀπὸ τὴν βαρυσυννεφιάν· δὲν καίει καὶ δὲν φλέγει τὰ σώματα. Διότι ἐκεῖ δὲν ὑπάρχει οὔτε νὺξ οὔτε ἑσπέρα οὔτε ψῦχος οὔτε θερμότης οὔτε καμμία ἄλλη καιρικὴ μεταβολή, ἀλλὰ μία ἐντελῶς ἄλλη κατάστασις, τὴν ὁποίαν θὰ γνωρίσουν μόνον ὅσοι κριθοῦν ἄξιοι δι' αὐτήν. Ἐκεῖ δὲν ὑπάρχει γῆρας καὶ τὰ δυσάρεστα τοῦ γήρατος, ἀλλ' ὅλα ὅσα σχετίζονται μὲ τὴν φθορὰν ἐξαφανίζονται, ἐπειδὴ παντοῦ ἐπικρατεῖ ἡ ἄφθαρτος δόξα. Τὸ μεγαλύτερον ὅμως ὅλων τούτων εἶναι, ὅτι θὰ ἀπολαμβάνῃ κανεὶς τὴν συνεχῆ συναναστροφὴν μὲ τὸν Χριστόν, τοὺς ἀγγέλους καὶ

ἀγγέλων, μετὰ ἀρχαγγέλων, μετὰ τῶν ἀνωτέρω δυνάμεων.

Ἴδε τὸν οὐρανὸν νῦν, καὶ διάβηθι τῷ λογισμῷ πρὸς τὰ ὑπὲρ τὸν οὐρανόν, λόγισαι τῆς κτίσεως ἁπάσης τὸν μετασχηματισμόν· οὐ γὰρ τοιαύτη μενεῖ, ἀλλὰ πολλῷ καλλίων 5 ἔσται καὶ φαιδροτέρα, καὶ ὅσῳ μᾶλλον μολύβδου πρὸς χρυσὸν ἀποστίλβοντα τὸ μέσον, τοσοῦτον τῆς κατασκευῆς ταύτης ἔσται βελτίων ἢ τότε, καθὼς καὶ ὁ μακάριος Παῦλός φησιν· «ὅτι καὶ αὐτὴ ἡ κτίσις ἐλευθερωθήσεται ἀπὸ τῆς δουλείας τῆς φθορᾶς». Νῦν μὲν γὰρ ἅτε φθορᾶς μετέχουσα, πολλὰ 10 πάσχει οἷα τὰ τοιαῦτα σώματα πάσχειν εἰκός· τότε δὲ ταῦτα ἀποδυσαμένη πάντα, ἄφθαρτον ἡμῖν ἐπιδείξεται τὴν εὐπρέπειαν· ἐπειδὴ γὰρ ἄφθαρτα μέλλει δέχεσθαι σώματα, καὶ αὐτὴ λοιπὸν ἐπὶ τὸ κρεῖττον μετασχηματισθήσεται. Οὐδαμοῦ τότε στάσις καὶ μάχη· πολλὴ γὰρ ἡ συμφωνία τοῦ χοροῦ 15 τῶν ἁγίων, πάντων ὁμογνωμονούντων ἀλλήλοις ἀεί. Οὐκ ἔστιν ἐκεῖ διάβολον δεῖσαι, καὶ δαιμόνων ἐπιβουλάς, οὐ γεέννης ἀπειλήν, οὐ θάνατον, οὐ τοῦτον τὸν νῦν, οὐ τὸν πολλῷ τούτου χαλεπώτερον ἐκεῖνον, ἀλλὰ πᾶς ὁ τοιοῦτος λέλυται φόβος. Καὶ καθάπερ παιδίον βασιλικὸν πρότερον 20 ἐν εὐτελεῖ τρεφόμενον σχήματι, καὶ ὑπὸ φόβον ὂν καὶ ἀπειλάς, ὥστε μὴ τῇ ἀνέσει γενέσθαι χεῖρον καὶ τῆς πατρικῆς ἀνάξιον κληρονομίας, ἐπειδὰν εἰς τὸ βασιλικὸν ἐλθεῖν ἀξίωμα δέῃ, πάντα ἀθρόως ἐκεῖνα μεταμφιασάμενον ἐξαίφνης μετὰ τῆς ἁλουργίδος καὶ τοῦ διαδήματος καὶ τοῦ πλήθους 25 τῶν δορυφόρων, μετὰ πολλῆς προκάθηται τῆς παρρησίας, τὰ ταπεινὰ καὶ κατηφῆ ῥίψας ἀπὸ τῆς ψυχῆς καὶ ἕτερα ἀντ' ἐκείνων λαβών· οὕτω καὶ τότε συμβήσεται τοῖς ἁγίοις πᾶσι.

Καὶ ὅτι οὐ κόμπος τὰ ῥήματα, πορευθῶμεν ἐπὶ τὸ ὄρος τῷ λόγῳ, ἔνθα μετεμορφώθη Χριστός· ἴδωμεν αὐτὸν λάμπον-

---

37. Ρωμ. 8, 21.

ἀρχαγγέλους, τὰς ἄνω δυνάμεις.

Ἰδὲ τώρα τὸν οὐρανὸν καὶ πέρασε μὲ τὸν λογισμόν σου εἰς τὰ ὑπὲρ τὸν οὐρανόν, ἀναλογίσου τὸν μετασχηματισμὸν ὁλοκλήρου τῆς δημιουργίας. Διότι δὲν θὰ παραμείνῃ αἰωνίως ἡ ἰδία, ἀλλὰ θὰ γίνῃ πολὺ ὡραιοτέρα καὶ φαιδροτέρα. Τί λέγω; ὅση εἶναι ἡ διαφορὰ μεταξὺ τοῦ μολύβδου καὶ τοῦ ἀποστίλβοντος χρυσοῦ, τόσον καλύτερος θὰ εἶναι ἐκεῖνος ὁ κόσμος ἀπὸ τὸν παρόντα, καθὼς λέγει καὶ ὁ μακάριος Παῦλος· «ὅτι καὶ αὐτὴ ἡ κτίσις θὰ ἐλευθερωθῇ ἀπὸ τὴν δουλείαν τῆς φθορᾶς»[31]. Τώρα μὲν ἐπειδὴ συμμετέχει εἰς τὴν φθοράν, πάσχει πολλὰς μεταβολάς, ὅσας εἶναι φυσικὸν νὰ παθαίνουν τὰ τοιαῦτα σώματα. Τότε ὅμως ἀφοῦ ἀποδυθῇ ὅλα αὐτά, θὰ μᾶς παρουσιάσῃ ἄφθαρτον μεγαλοπρέπειαν. Ἐπειδὴ δηλαδὴ πρόκειται νὰ δεχθῇ ἄφθαρτα σώματα καὶ αὐτὴ θὰ ἀλλάξῃ εἰς τὸ καλύτερον. Πουθενὰ δὲν θὰ ὑπάρχῃ τότε ἐπανάστασις καὶ διαμάχη. Διότι ἡ ὁμόνοια ποὺ θὰ ἐπικρατῇ μεταξὺ τῶν ἁγίων θὰ εἶναι μεγάλη, καθ' ὅσον ὅλοι θὰ ἔχουν τὴν ἰδίαν γνώμην μεταξύ των διὰ παντός. Δὲν ὑπάρχει περίπτωσις νὰ φοβῆται κανεὶς ἐκεῖ τὸν διάβολον καὶ ἐπιβουλὰς δαιμόνων, γεέννης ἀπειλήν, θάνατον, τὸν παρόντα καὶ τὸν ἐκεῖνον τὸν χειρότερον τούτου, τὸν αἰώνιον, ἀλλὰ κάθε παρόμοιος φόβος θὰ διαλυθῇ. Καὶ ὅπως ἀκριβῶς υἱὸς βασιλέως, ποὺ προηγουμένως ἀνατρέφεται μὲ ταπεινότητα καὶ τελεῖ κάτω ἀπὸ φόβον καὶ ἀπειλάς, ὥστε νὰ μὴ γίνῃ λόγῳ τῆς ἀνέσεως χειρότερος καὶ ἀνάξιος τῆς πατρικῆς κληρονομίας, ὅταν πρέπει νὰ ἀναλάβῃ τὸ βασιλικὸν ἀξίωμα, πετᾷ διὰ μιᾶς ὅλα ἐκεῖνα τὰ ταπεινὰ ἐνδύματα καὶ αἴφνης φορῶν τὴν ἁλουργίδα καὶ τὸ διάδημα καὶ ἔχων πλῆθος δορυφόρων, κάθεται μὲ πολλὴν παρρησίαν, ἀφοῦ ἀπέρριψεν ἐκ τῆς ψυχῆς του τὰ ταπεινὰ καὶ κατηφῆ καὶ ἀντ' ἐκείνων ἀνέλαβεν ἄλλα, τὸ ἴδιον θὰ συμβῇ τότε καὶ μὲ ὅλους τοὺς ἁγίους.

Ὅτι δὲ δὲν ἀποτελοῦν κομπασμὸν οἱ λόγοι αὐτοί, διὰ νὰ τὸ διαπιστώσωμεν, ἂς μεταβῶμεν διὰ τοῦ λόγου εἰς τὸ

τα ὥσπερ ἔλαμψε· καίτοι γε οὐδὲ οὕτω πᾶσαν ἡμῖν ἔδειξε τὴν τοῦ μέλλοντος αἰῶνος λαμπρότητα. Ὅτι γὰρ συγκατάβασις τὸ φαινόμενον ἦν, ἀλλ᾿ οὐκ ἐπίδειξις τοῦ πράγματος ἀκριβής, ἀπ᾿ αὐτῶν δῆλον τῶν ῥημάτων τοῦ εὐαγγελιστοῦ.
5 *Τί γάρ φησιν; «Ἔλαμψεν ὡς ὁ ἥλιος». Ἡ δὲ τῶν ἀφθάρτων σωμάτων δόξα οὐ τοσοῦτον ἀφίησι τὸ φῶς, ὅσον τοῦτο τὸ σῶμα τὸ φθαρτόν, οὐδὲ τοιοῦτον οἷον καὶ θνητοῖς ὄμμασι γενέσθαι χωρητόν, ἀλλὰ ἀφθάρτων καὶ ἀθανάτων δεόμενον ὀφθαλμῶν πρὸς τὴν θέαν αὐτοῦ. Τότε δὲ ἐπὶ τοῦ ὄρους*
10 *τοσοῦτον αὐτοῖς ἀπεκάλυψεν, ὅσον ἰδεῖν δυνατὸν ἦν καὶ μὴ βλάψαι τὰς τῶν ὁρώντων ὄψεις· καὶ οὐδὲ οὕτως ἤνεγκαν, ἀλλ᾿ ἔπεσον ἐπὶ πρόσωπον αὐτῶν.*

Εἰπέ μοι, εἴ τίς σε εἰς θέατρον ἤγαγεν, ἔνθα πάντες ἐκάθηντο χρυσᾶς ἀναβεβλημένοι στολάς, καὶ ἐν μέσῳ τῷ πλή-
15 *θει ἕτερόν τινα ἐπέδειξεν ἀπὸ λίθων τιμίων μόνον καὶ τὰ ἱμάτια καὶ τὸν στέφανον ἔχοντα τὸν ἐπὶ τῆς κεφαλῆς, εἶτά σε ἐπηγγείλατο εἰς ἐκεῖνον κατατάξαι τὸν δῆμον, ἆρ᾿ οὐκ ἂν πάντα ἔπραξας, ὥστε τῆς ἐπαγγελίας ταύτης τυχεῖν; Ἀναπέτασον οὖν καὶ νῦν τῷ νῷ τοὺς οὐρανοὺς καὶ βλέψον εἰς ἐκεῖνο*
20 *τὸ θέατρον, οὐκ ἀπὸ τῶν τοιούτων συγκείμενον ἀνδρῶν, ἀλλ᾿ ἀπ᾿ ἐκείνων, οἳ καὶ τοῦ χρυσοῦ καὶ τῶν λίθων τῶν τιμίων καὶ τῶν ἀκτίνων τῶν ἡλιακῶν, καὶ πάσης τῆς ὁρωμένης φαιδρότητός εἰσι τιμιώτεροι, καὶ οὐκ ἐξ ἀνθρώπων δὲ μόνον, ἀλλὰ καὶ ἀπὸ τῶν πολλῷ τούτων τιμιωτέρων, ἀγγέλων, ἀρχαγγέλων,*
25 *θρόνων, κυριοτήτων, ἀρχῶν, ἐξουσιῶν. Περὶ γὰρ τοῦ βασιλέως οὐδὲ εἰπεῖν ἔνι, οἷός ἐστιν· οὕτως ἅπαντα λόγον καὶ νοῦν ἐκεῖνο διαφεύγει τὸ κάλλος, ἡ ὡραιότης, ἡ λαμπρότης, ἡ δόξα, ἡ μεγαλωσύνη, ἡ μεγαλοπρέπεια.*

---

38. Ματθ. 17, 2.

ὄρος ὅπου μετεμορφώθη ὁ Χριστός, ἂς τὸν ἴδωμεν νὰ λάμπῃ καθὼς ἔλαμψε, μολονότι δὲν μᾶς ἐφανέρωσε καὶ μὲ αὐτὸν τὸν τρόπον ὅλην τὴν λαμπρότητα τοῦ μέλλοντος αἰῶνος. Ὅτι δὲ τὸ φαινόμενον ἀπετέλει συγκατάβασιν καὶ ὄχι ἀκριβῆ παρουσίασιν τοῦ πράγματος, τοῦτο γίνεται φανερὸν ἀπὸ τοὺς λόγους τοῦ εὐαγγελιστοῦ. Διότι, τί λέγει; «Ἔλαμψεν ὡς ὁ ἥλιος»[38]. Ἡ δόξα ὅμως τῶν ἀφθάρτων σωμάτων δὲν ἐκπέμπει τόσον φῶς, ὅσον τοῦτο τὸ φθαρτὸν σῶμα, οὔτε τέτοιο ὥστε νὰ εἶναι ορατὸν ἀπὸ ἀνθρωπίνους ὀφθαλμούς, ἀλλ' εἶναι φῶς ποὺ ἀπαιτεῖ ἀφθάρτους καὶ ἀθανάτους ὀφθαλμοὺς διὰ νὰ τὸ ἴδουν. Τότε ἐπάνω εἰς τὸ ὄρος τῆς μεταμορφώσεως τόσον μόνον φῶς τοὺς ἀπεκάλυψεν, ὅσον ἦτο δυνατὸν νὰ ἴδουν καὶ νὰ μὴ βλάψῃ τοὺς ὀφθαλμοὺς ἐκείνων ποὺ τὸ ἔβλεπαν. Καὶ πάλιν, οὔτε ἔτσι τὸ ἄνθεξαν, ἀλλ' ἔπεσαν κατὰ πρόσωπον εἰς τὴν γῆν.

Εἰπέ μου, ἐὰν κάποιος σὲ ὡδήγει εἰς θέατρον ὅπου ἐκάθηντο ὅλοι φοροῦντες χρυσᾶς στολὰς καὶ εἰς τὸ μέσον τοῦ πλήθους σοῦ ἐδείκνυε κάποιον ἄλλον τοῦ ὁποίου καὶ τὰ φορέματα καὶ ὁ στέφανος τῆς κεφαλῆς ἦσαν ἀπὸ πολυτίμους λίθους μόνον καὶ κατόπιν σοῦ ὑπέσχετο ὅτι μέλλει νὰ σὲ κατατάξῃ ἀνάμεσα εἰς τὸ πλῆθος ἐκεῖνο, δὲν θὰ ἔκαμνες τότε τὸ πᾶν, ὥστε νὰ ἀξιωθῇς νὰ ἴδῃς πραγματοποιουμένην ἐκείνην τὴν ὑπόσχεσιν; Καὶ τώρα ἄνοιξε μὲ τὸν νοῦν τοὺς οὐρανοὺς καὶ ἴδε ἐκείνην τὴν ὁμήγυριν, ἡ ὁποία δὲν ἀποτελεῖται ἀπὸ ἀνθρώπους ὅπως ἡμεῖς, ἀλλ' ἀπὸ ἐκείνους οἱ ὁποῖοι καὶ ἀπὸ τὸν χρυσὸν καὶ ἀπὸ τοὺς πολυτίμους λίθους καὶ τὰς ἀκτῖνας τοῦ ἡλίου καὶ ἀπὸ ὅλην τὴν ὁρωμένην ὡραιότητα εἶναι πολυτιμότεροι ὄχι μόνον ἀπὸ τοὺς ἀνθρώπους, ἀλλὰ καὶ ἀπὸ αὐτοὺς τοὺς κατὰ πολὺ τιμιωτέρους τῶν ἀνθρώπων, ἀρχαγγέλους, θρόνους, κυριότητας, ἀρχάς, ἐξουσίας. Ὅσον δὲ διὰ τὸν βασιλέα, τί εἴδους εἶναι, οὔτε εἶναι δυνατὸν νὰ εἴπωμεν κάτι. Τόσον διαφεύγει κάθε λόγον καὶ κάθε νοῦν ἐκεῖνο τὸ κάλλος, ἡ ὡραιότης, ἡ λαμπρότης, ἡ δόξα, ἡ μεγαλωσύνη, ἡ μεγαλοπρέπεια.

Τοσούτων οὖν ἀγαθῶν καὶ τηλικούτων ἀποστερήσομεν ἑαυτούς, εἰπέ μοι, ἵνα μὴ μικρὸν κακοπαθήσωμεν χρόνον; Εἰ γὰρ μυρίους καθ' ἑκάστην ἡμέραν θανάτους ὑπομένειν ἐχρῆν, εἰ γὰρ τὴν γέενναν αὐτήν, ὑπὲρ τοῦ τὸν Χριστὸν ἐρ-
5 *χόμενον ἰδεῖν ἐν τῇ δόξῃ αὐτοῦ καὶ εἰς τὸν τῶν ἁγίων καταλεγῆναι χορόν, οὐκ ἐχρῆν ἅπαντα ὑπομένειν ἐκεῖνα; Ἄκουσον τί φησιν ὁ μακάριος Πέτρος· «καλόν ἐστιν ἡμᾶς ὧδε εἶναι». Εἰ δὲ ἐκεῖνος ἀμυδράν τινα τῶν μελλόντων εἰκόνα ἰδὼν πάντα ἐξαίφνης ἔρριψεν ἀπὸ τῆς ψυχῆς διὰ τὴν ἀπὸ*
10 *τῆς ὄψεως ἐκείνης ἡδονὴν αὐτοῦ ἐντεθεῖσαν τῇ ψυχῇ, τί ἂν τις εἴποι ὅταν αὐτὴ τῶν πραγμάτων ἡ ἀλήθεια παραγένηται, ὅταν, τῶν βασιλείων ἀνοιγέντων, κατοπτεύειν ἐξῇ τὸν βασιλέα αὐτόν, μηκέτι ἐν αἰνίγματι, μηδὲ δι' ἐσόπτρου, ἀλλὰ πρόσωπον πρὸς πρόσωπον, μηκέτι διὰ πίστεως, ἀλλὰ διὰ*
15 *εἴδους;*

12. Οἱ μὲν οὖν πολλοὶ τῶν ἀλογώτερον διακειμένων τὸ τῆς γεέννης ἀπαλλαγῆναι ἀγαπητὸν τίθενται μόνον· ἐγὼ δὲ τῆς γεέννης πολλῷ χαλεπωτέραν κόλασιν εἶναί φημι τὸ μὴ γενέσθαι ἐν ἐκείνῃ τῇ δόξῃ, καὶ τὸν ἐκπεσόντα ἐκεῖθεν
20 *οὐχ οὕτως οἶμαι δεῖν πενθεῖν τὰ ἐν τῇ γεέννῃ κακά, ὡς τὴν ἀπόπτωσιν τὴν ἐκ τῶν οὐρανῶν· τοῦτο γὰρ μόνον ἁπάντων χαλεπώτερον εἰς κολάσεως λόγον ἐστί. Νῦν δὲ βασιλέα μὲν πολλάκις ὁρῶντες μετὰ πολλῶν τῶν δορυφόρων εἰς τὰ βασίλεια εἰσελαύνοντα, τοὺς πλησίον ὄντας αὐτοῦ, καὶ λόγου*
25 *καὶ γνώμης κοινωνοῦντας αὐτῷ, καὶ τῆς δόξης μετέχοντας τῆς λοιπῆς μακαρίζομεν· καί, κἂν μυρία ἔχωμεν ἀγαθά, ταλανίζομεν ἑαυτοὺς, καὶ οὐδενὸς ἐκείνων λαμβάνομεν αἴσθησιν, εἰς τὴν δόξαν ἀφορῶντες τῶν περὶ αὐτόν, καίτοι γε εἰδότες ἐπισφαλῆ καὶ ἀβέβαιον τὴν τοιαύτην λαμπρότητα καὶ*

---

39. Ματθ. 17, 4.

Εἰπέ μου λοιπόν, ἀπὸ τόσα καὶ τέτοιου εἴδους ἀγαθὰ θὰ στερήσωμεν τὸν ἑαυτόν μας διὰ νὰ μὴ κοπιάσωμεν ὀλίγον χρόνον ἐδῶ; Ἐὰν δηλαδὴ ἦτο ἀνάγκη νὰ ὑπομένωμεν καθ' ἡμέραν ἀπείρους θανάτους καὶ αὐτὴν ἀκόμη τὴν γέενναν, προκειμένου νὰ ἴδωμεν τὸν Χριστὸν ἐρχόμενον εἰς τὴν δόξαν του, καὶ εἰς τὸν χορὸν τῶν ἁγίων νὰ συγκαταλεχθῶμεν, δὲν θὰ ἔπρεπε νὰ τὰ ὑπομένωμεν ὅλα ἐκεῖνα; Ἄκουσε τί λέγει ὁ μακάριος Πέτρος· «καλὸν εἶναι νὰ μείνωμεν ἐδῶ»[39]. Ἐὰν λοιπὸν ἐκεῖνος, βλέπων κάποιαν ἀμυδρὰν εἰκόνα τῶν μελλόντων, αἰφνιδίως ἀπέβαλε τὰ πάντα ἀπὸ τὴν ψυχήν του ἕνεκα τῆς ἡδονῆς ποὺ παρουσίαζε τὸ θέαμα ἐκεῖνο, ἡ ὁποία εἰσεχώρησε τότε μέσα εἰς τὴν ψυχήν του, τί θὰ εἴπῃ κανείς, ὅταν φθάσῃ ἐμπρός μας ἡ ἴδια ἡ ἀλήθεια τῶν πραγμάτων, ὅταν ἀφοῦ ἀνοιγοῦν αἱ πύλαι τῶν ἀνακτόρων εἶναι δυνατὸν νὰ ἀτενίζῃ κανεὶς τὸν ἴδιον τὸν βασιλέα, ὄχι πλέον ἐν αἰνίγματι, μηδὲ δι' ἐσόπτρου, ἀλλὰ πρόσωπον πρὸς πρόσωπον καὶ ὄχι διὰ τῆς πίστεως, ἀλλὰ κατ' ὄψιν;

12. Πολλοὶ ἄνθρωποι, λοιπόν, ἀπὸ ἐκείνους ποὺ σκέπτονται παραλογώτερα, ἐπιθυμοῦν μόνον νὰ ἀποφύγουν τὴν γέενναν. Ἐγὼ ὅμως λέγω ὅτι ἀπὸ τὴν γέενναν πολὺ βαρυτέρα κόλασις εἶναι τὸ νὰ μὴ ἀπολαύσῃ κανεὶς ἐκείνην τὴν δόξαν καὶ αὐτὸς ποὺ θὰ τὴν ἀπολέσῃ, νομίζω, ὅτι δὲν πρέπει νὰ πενθῇ τὰ τόσον εἰς τὴν γέεναν κακά, ὅσον τὴν πτῶσίν του ἀπὸ τὴν βασιλείαν τῶν οὐρανῶν. Διότι, τοῦτο μόνον εἶναι βαρύτερον ἀπὸ ὅλα ὡς κόλασις. Τώρα πολλάκις βλέποντες βασιλέα μαζί μὲ πολλοὺς δορυφόρους νὰ εἰσέρχεται εἰς τὰ ἀνάκτορα, μακαρίζομεν ὅσους τὸν περιστοιχίζουν καὶ συμμετέχουν εἰς τοὺς λόγους καὶ τὰς σκέψεις του καὶ εἰς τὴν ἄλλην δόξαν του. Καὶ ἂν ἀκόμη ἔχωμεν ἄπειρα ἀγαθά, ἐλεεινολογοῦμεν τοὺς ἑαυτούς μας καὶ τίποτε ἀπὸ αὐτὰ δὲν μᾶς συγκινεῖ, ὅσον ἡ δόξα τῶν περιστοιχιζόντων αὐτόν, ἂν καὶ γνωρίζωμεν ὅτι εἶναι ἐπισφαλὴς καὶ ἀβεβαία ἡ λαμπρότης ἐκείνη καὶ ἐξ αἰτίας τῶν πο-

διὰ τοὺς πολέμους καὶ διὰ τὰς ἐπιβουλὰς καὶ διὰ τὰς βασκανίας, καὶ διὰ τὸ χωρὶς τούτων αὐτὴν καθ' ἑαυτὴν οὐδενὸς ἀξίαν εἶναι λόγου.

Ἐπὶ δὲ τοῦ βασιλέως πάντων, «τοῦ κατέχοντος» οὐ μέ-
5 ρος γῆς, ἀλλὰ «πάντα τὸν γῦρον τῆς γῆς», μᾶλλον δὲ τοῦ πᾶσαν αὐτὴν περιλαμβάνοντος ἐν δρακὶ καὶ τοὺς οὐρανοὺς μετροῦντος σπιθαμῇ, τοῦ πάντα φέροντος τὸ ῥήματι τῆς δυνάμεως αὐτοῦ τὰ σύμπαντα, ᾧ πάντα τὰ ἔθνη ὡς οὐδὲν καὶ ὡς σίελος ἐλογίσθησαν, ἐπὶ τούτου δὴ οὐχ ἡγησόμεθα ἐσχά-
10 της εἶναι κολάσεως τὸ μὴ καταταχθῆναι εἰς τὸν χορὸν ἐκεῖνον τὸν περὶ αὐτόν, ἀλλὰ καὶ στέρξομεν, ἂν τῆς γεέννης ἀπαλλαγῶμεν μόνον;

Καὶ τί ταύτης ἐλεεινότερον γένοιτ' ἂν τῆς ψυχῆς; Οὗτος γὰρ ὁ βασιλεὺς οὐ ζεῦγος ἔχων ἡμιόνων λευκῶν, οὐδὲ
15 ὄχημα χρυσοῦν, οὐδὲ ἁλουργίδα καὶ διάδημα περικείμενος, οὕτως ἔρχεται κρῖναι τὴν γῆν· ἀλλὰ πῶς; Ἄκουσον τῶν προφητῶν βοώντων καὶ λεγόντων, ὡς ἀνθρώπους εἰπεῖν δυνατόν· ὁ μὲν γάρ φησιν· «ὁ Θεὸς ἐμφανῶς ἥξει, ὁ Θεὸς ἡμῶν, καὶ οὐ παρασιωπήσεται· πῦρ ἐνώπιον αὐτοῦ καυθήσεται, καὶ
20 κύκλῳ αὐτοῦ καταιγὶς σφοδρά· προσκαλέσεται τὸν οὐρανὸν ἄνω καὶ τὴν γῆν τοῦ διακρῖναι τὸν λαὸν αὐτοῦ». Ὁ δὲ Ἡσαΐας καὶ τὴν κόλασιν ἡμῖν αὐτὴν προστίθησιν οὑτωσὶ λέγων· «ἰδοὺ ἡμέρα Κυρίου ἔρχεται ἀνίατος θυμοῦ καὶ ὀργῆς, θεῖναι τὴν οἰκουμένην ὅλην ἔρημον, καὶ τοὺς
25 ἁμαρτωλοὺς ἀπολέσαι ἐξ αὐτῆς. Οἱ γὰρ ἀστέρες τοῦ οὐρανοῦ, καὶ ὁ Ὠρίων, καὶ πᾶς ὁ κόσμος τοῦ οὐρανοῦ, τὸ φῶς αὐτῶν οὐ δώσουσι καὶ σκοτισθήσεται ὁ ἥλιος ἐν τῇ ἐξόδῳ αὐτοῦ, καὶ ἡ σελήνη οὐ δώσει τὸ φέγγος αὐτῆς. Καὶ ἐντελοῦμαι ὅλῃ τῇ οἰκουμένῃ κακά, καὶ τοῖς ἀσεβέσι τὰς ἁμαρτίας

40. Ἡσ. 40, 22. Ἰὼβ 22, 14.
41. Ἡσ. 40, 12.
42. Ἑβρ. 1, 3.

λέμων καὶ ἐξ αἰτίας τῶν συχνῶν ἐπιβουλῶν καὶ συκοφαντιῶν καὶ ἐξ αἰτίας τοῦ ὅτι καὶ ἀκόμη χωρὶς τὰ ἀνωτέρω καθ' ἑαυτὴν εἶναι ἐντελῶς ἀναξία λόγου.

Προκειμένου διὰ τὸν βασιλέα τῶν ὅλων ὅμως, ὁ ὁποῖος κατέχει ὄχι μόνον τμῆμα, ἀλλ' ὁλόκληρον τὴν σφαῖραν τῆς γῆς[40], ἢ μᾶλλον περιλαμβάνει ὁλόκληρον τὴν γῆν εἰς τὴν φούχταν του καὶ τοὺς οὐρανοὺς μετρεῖ μὲ τὴν σπιθαμήν[41], ὁ ὁποῖος ὁδηγεῖ «ὁλόκληρον τὸ σύμπαν μὲ τὸν δυνατόν του λόγον»[42], ἐνώπιον τοῦ ὁποίου πάντα τὰ ἔθνη λογίζονται ὡς μηδὲν καὶ ὡς σίελος, δι' αὐτὸν λοιπὸν δὲν θὰ θεωρήσωμεν ὅτι ἀποτελεῖ τὴν μεγαλυτέραν τιμωρίαν τὸ νὰ μὴ συγκαταλεχθῶμεν εἰς τὸ πλῆθος ἐκεῖνο ποὺ τὸν περιστοιχίζει καὶ νὰ προτιμήσωμεν μόνον νὰ ἀπαλλαγῶμεν ἀπὸ τὴν γέενναν;

Καὶ τί θὰ ἠμποροῦσε νὰ θεωρηθῇ ἐλεεινότερον ἀπὸ αὐτὴν τὴν ψυχήν; Αὐτὸς λοιπὸν ὁ βασιλεὺς ἔρχεται νὰ κρίνῃ τὴν γῆν ὄχι μὲ ζεῦγος ἡμιόνων λευκῶν ἢ μὲ χρυσῆν ἅμαξαν ἢ μὲ ἁλουργίδα καὶ διάδημα. Ἀλλὰ πῶς; Ἄκουσε τοὺς προφήτας τί λέγουν, ὅσον βεβαίως ἠμπορεῖ νὰ τὸ εἴπῃ ἄνθρωπος. Ὁ μὲν εἷς λέγει· «ὁ Θεὸς θα ἔλθῃ φανερά, ὁ Θεὸς ἡμῶν, καὶ δὲν θὰ ἀποσιωπηθῇ· πῦρ θὰ καίεται ἐνώπιόν του καὶ γύρω του σφοδρὰ καταιγίς· θὰ προσκαλέσῃ τὸν οὐρανὸν ἄνω καὶ τὴν γῆν διὰ νὰ κρίνῃ τὸν λαόν του»[43]. Ὁ δὲ Ἠσαΐας αὐτὴν τὴν ἰδίαν τὴν κόλασιν μᾶς θέτει πρὸ ὀφθαλμῶν, ὅταν λέγῃ· «Ἰδοὺ ἡμέρα Κυρίου ἔρχεται μὲ ἄπαυστον θυμὸν καὶ ὀργήν, νὰ καταστήσῃ τὴν οἰκουμένην ὅλην ἔρημον καὶ τοὺς ἁμαρτωλοὺς καὶ ἀπολέσῃ ἐξ αὐτῆς. Διότι οἱ ἀστέρες τοῦ οὐρανοῦ καὶ ὁ Ὠρίων καὶ πᾶς ὁ κόσμος τοῦ οὐρανοῦ τὸ φῶς αὐτῶν δὲν θὰ δώσουν καὶ θὰ σκοτισθῇ ὁ ἥλιος κατὰ τὴν ἔξοδον αὐτοῦ, καὶ ἡ σελήνη δὲν θὰ δώσῃ τὸ φέγγος αὐτῆς. Καὶ θὰ παραγγείλω δι' ὅλην τὴν οἰκουμένην κακὰ καὶ διὰ τοὺς ἀσεβεῖς τὰς ἁμαρτίας αὐτῶν· καὶ

---

43. Ψαλμ. 49, 3-4.

αὐτῶν· καὶ ἀπολῶ ὕβριν ἀνόμων καὶ ὕβριν ὑπερηφάνων ταπεινώσω, καὶ ἔσονται οἱ ἐγκαταλελειμμένοι ἔντιμοι μᾶλλον ἢ τὸ χρυσίον τὸ ἄπυρον, καὶ ἄνθρωπος ἔντιμος ἔσται μᾶλλον ἢ ὁ λίθος ὁ ἐκ Σουφείρ. Καὶ γὰρ ὁ οὐρανὸς σαλευθήσεται, καὶ ἡ γῆ σεισθήσεται ἐκ τῶν θεμελίων αὐτῆς διὰ θυμὸν ὀργῆς Κυρίου Σαβαώθ, ἐν τῇ ἡμέρᾳ ᾗ ἂν ἀπέλθῃ ὁ θυμὸς αὐτοῦ». Καὶ πάλιν, «θυρίδες», φησίν, «ἐκ τοῦ οὐρανοῦ ἀνοιχθήσονται καὶ σεισθήσονται τὰ θεμέλια τῆς γῆς· ταραχῇ ταραχθήσεται ἡ γῆ, κλινομένη κλιθήσεται ἡ γῆ, ἀπορίᾳ ἀπορηθήσεται ἡ γῆ, σάλῳ σαλευθήσεται ἡ γῆ, ὡς ὁ μεθύων καὶ ὁ κραιπαλῶν σεισθήσεται, ὡς ὀπωροφυλάκιον ἡ γῆ πεσεῖται, καὶ οὐ μὴ δύνηται ἀναστῆναι· κατίσχυσε γὰρ ἐπ' αὐτὴν ἡ ἀνομία. Καὶ ἐπάξει ὁ Θεὸς ἐπὶ τὸν κόσμον τοῦ οὐρανοῦ ἐν τῷ ὕψει τὴν χεῖρα αὐτοῦ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, καὶ ἐπὶ τὰς βασιλείας τῆς γῆς· καὶ συνάξουσι συναγωγὴν αὐτῆς εἰς δεσμωτήριον, καὶ ἀποκλείσουσιν εἰς ὀχύρωμα». Καὶ ὁ Μαλαχίας συνῳδὰ τούτοις φρεγγόμενος ἔλεγεν· «ἰδοὺ ἔρχεται Κύριος παντοκράτωρ, καὶ τίς ὑπομενεῖ ἡμέραν εἰσόδου αὐτοῦ, ἢ τίς ὑποστήσεται ἐν τῇ ὀπτασίᾳ αὐτοῦ; Διότι αὐτὸς εἰσπορεύεται ὡς πῦρ χωνευτηρίου, καὶ ὡς πόα πλυνόντων, καὶ καθιεῖται χωνεύων καὶ καθαρίζων ὡς τὸ ἀργύριον καὶ ὡς τὸ χρυσίον». Καὶ πάλιν, «ἰδού», φησίν, «ἡμέρα ἔρχεται Κυρίου καιομένη ὡς κλίβανος, καὶ καταφλέξαι αὐτούς, καὶ ἔσονται πάντες οἱ ἀλλογενεῖς καὶ πάντες οἱ ποιοῦντες τὰ ἄνομα ὡς καλάμη, καὶ ἀνάψει αὐτοὺς ἡ ἡμέρα ἡ ἐρχομένη, λέγει Κύριος παντοκράτωρ· καὶ οὐ μὴ ὑπολειφθῇ ῥίζα οὐδὲ κλῆμα».

Ὁ δὲ ἀνὴρ τῶν ἐπιθυμιῶν, «ἐθεώρουν», φησίν, «ἕως οὗ θρόνοι ἐτέθησαν, καὶ ὁ παλαιὸς τῶν ἡμερῶν ἐκάθητο· καὶ τὸ ἔνδυμα αὐτοῦ λευκὸν ὡσεὶ χιών, καὶ ἡ θρὶξ τῆς κεφαλῆς αὐτοῦ ὡσεὶ ἔριον καθαρόν· ὁ θρόνος αὐτοῦ φλὸξ πυ-

---

44. Ἡσ. 13, 9-13.

θὰ καταστρέψω τὴν ὕβριν ἀνόμων καὶ τὴν ὕβριν τῶν ὑπερηφάνων θὰ ταπεινώσω καὶ θὰ εἶναι οἱ ἐγκαταλελειμμένοι πολυτιμότεροι ἀπὸ τὸν φυσικὸν χρυσὸν καὶ οἱ ἄνθρωποι θὰ εἶναι πολυτιμότεροι ἀπὸ τὸν λίθον ἀπὸ τὸ Σουφείρ. Διότι ὁ οὐρανὸς θὰ σαλευθῇ καὶ ἡ γῆ θὰ σεισθῇ ἐκ τῶν θεμελίων αὐτῆς, ἀπὸ τὸν θυμὸν ὀργῆς τοῦ Κυρίου Σαβαώθ, καθ' ἣν ἡμέραν θὰ ἐπέλθῃ ὁ θυμὸς αὐτοῦ»[44]. Καὶ πάλιν· «θυρίδες, λέγει, ἐκ τοῦ οὐρανοῦ θὰ ἀνοιχθοῦν καὶ θὰ σεισθοῦν τὰ θεμέλια τῆς γῆς· θὰ συνταραχθῇ ἡ γῆ, θὰ συγκλιθῇ ἡ γῆ, θὰ συγκλονισθῇ, θὰ σαλευθῇ ἀπὸ τὰ θεμέλια, ὡσὰν μεθυσμένη καὶ κραιπαλῶν· θὰ σεισθῇ ὡσὰν ὀπωροφυλάκιον ἡ γῆ, θὰ πέσῃ καὶ δὲν θὰ δύναται νὰ σηκωθῇ· διότι ἐπεκράτησεν ἐπ' αὐτῆς ἡ ὀνομία. Καὶ ἐκείνην τὴν ἡμέραν θὰ ἐπιφέρῃ ἐπὶ τὸν κόσμον τοῦ οὐρανοῦ ὑψηλὰ καὶ ἐπὶ τὰ βασίλεια τῆς γῆς. Καὶ θὰ συγκεντρώσῃ τὰς συνελεύσεις της εἰς δεσμωτήριον καὶ θὰ τὰς κλείσῃ εἰς φυλακήν»[45]. Καὶ ὁ προφήτης Μαλαχίας ὁμιλῶν κατὰ παρόμοιον τρόπον ἔλεγεν· «ἰδοὺ ἔρχεται Κύριος παντοκράτωρ καὶ ποῖος θὰ ὑπομείνῃ τὴν ἡμέραν εἰσόδου αὐτοῦ, ἢ ποῖος θὰ ὑποφέρῃ τὴν θέαν αὐτοῦ; Διότι αὐτὸς εἰσπορεύεται ὡς πῦρ χωνευτηρίου καὶ ὡς πόα πατητῶν, καὶ θὰ καθήσῃ χωνεύων καὶ καθαρίζων ὡσὰν τὸ ἀργύριον καὶ τὸ χρυσίον»[46]. Καὶ πάλιν· «ἰδού, λέγει, ἡμέρα ἔρχεται Κυρίου καιομένη, ὡς κλίβανος, καὶ θὰ καταφλέξῃ αὐτοὺς καὶ ὅλοι οἱ ἀλλογενεῖς καὶ ὅλοι οἱ ποιοῦντες ἀνομίαν θὰ εἶναι καλαμία καὶ θὰ ἀνάψῃ αὐτοὺς ἡ ἡμέρα ἡ ἐρχομένη, λέγει ὁ Κύριος παντοκράτωρ, καὶ δὲν θὰ ὑπολειφθῇ ρίζα οὐδὲ κλῆμα»[47].

Ὁ δὲ ἀνὴρ τῶν ἐπιθυμιῶν, λέγει· «ἐθεώρουν, ἕως ὅτου θρόνοι ἐτέθησαν καὶ ὁ παλαιὸς τῶν ἡμερῶν ἐκάθησε· καὶ τὸ ἔνδυμα αὐτοῦ ἦτο λευκὸν ὡσὰν χιὼν καὶ ἡ θρὶξ τῆς κεφαλῆς αὐτοῦ ὡσὰν ἔριον καθαρόν· ὁ θρόνος αὐτοῦ φλὸξ πυ-

---

45. Ἡσ. 24, 18-22.
46. Μαλ. 3, 1-3.
47. Μαλ. 4, 1.

ρός, οἱ τροχοὶ αὐτοῦ πῦρ φλέγον· ποταμὸς πυρὸς εἷλκε πορευόμενος ἔμπροσθεν αὐτοῦ. Χίλιαι χιλιάδες ἐλειτούργουν ἔμπροσθεν αὐτοῦ καὶ μύριαι μυριάδες παρειστήκεισαν ἔμπροσθεν αὐτοῦ. Κριτήριον ἐκάθισε, καὶ βίβλοι ἠνεῴχθησαν». Εἶτα μετὰ μικρόν, «ἐθεώρουν», φησίν, «ἐν ὁράματι τῆς νυκτός, καὶ ἰδοὺ μετὰ τῶν νεφελῶν τοῦ οὐρανοῦ, ὡς υἱὸς ἀνθρώπου ἐρχόμενος ἦν, καὶ ἕως τοῦ παλαιοῦ τῶν ἡμερῶν ἔφθασε, καὶ ἐνώπιον αὐτοῦ προσηνέχθη αὐτῷ· καὶ αὐτῷ ἐδόθη ἡ ἀρχὴ καὶ ἡ τιμὴ καὶ ἡ βασιλεία καὶ πάντες οἱ λαοί, φυλαί, γλῶσσαι, αὐτῷ δουλεύουσιν. Ἡ ἐξουσία αὐτοῦ ἐξουσία αἰώνιος, ἥτις οὐ παρελεύσεται, καὶ ἡ βασιλεία αὐτοῦ οὐ διαφθαρήσεται. Ἔφριξε τὸ πνεῦμά μου, ἐγὼ Δανιήλ, ἐν τῇ ἕξει μου, καὶ αἱ ὁράσεις τῆς κεφαλῆς μου συνετάρασσόν με».

Τότε ἀναπετάννυνται πᾶσαι τῶν οὐρανίων ἀψίδων αἱ πύλαι, μᾶλλον δὲ καὶ αὐτὸς λαμβάνεται ἐκ μέσου ὁ οὐρανός· εἱλιγήσεται γάρ, φησιν, ὡς βιβλίον ὁ οὐρανός, καθάπερ τινὸς σκηνῆς διφθέρα καὶ παραπέτασμα συστελλόμενος ἐκ τοῦ μέσου, ὥστε μετασχηματισθῆναι ἐπὶ τὸ βέλτιον. Τότε πάντα ἐκστάσεως γέμει καὶ φρίκης καὶ τρόμου· τότε καὶ αὐτοὺς πολὺς ἔχει τοὺς ἀγγέλους φόβος, οὐκ ἀγγέλους δὲ μόνον, ἀλλὰ καὶ ἀρχαγγέλους καὶ θρόνους καὶ κυριότητας καὶ ἀρχὰς καὶ ἐξουσίας· «σεισθήσονται γάρ», φησίν, «αἱ δυνάμεις τῶν οὐρανῶν», διὰ τὸ τοὺς ὁμοδούλους τὰς εὐθύνας ἀπαιτεῖσθαι τῆς ἐνθάδε ζωῆς.

Καὶ μὴ θαυμάσῃς. Εἰ γάρ, πόλεως μιᾶς κρινομένης ἐπὶ τούτων τῶν ἀρχόντων, πεφρίκασιν ἅπαντες καὶ οἱ κινδύνων ὄντες ἐκτός, τῆς οἰκουμένης ἁπάσης δικαζομένης ἐπὶ τοιούτου κριτοῦ οὐ μαρτύρων δεομένου, οὐκ ἐλέγχων, ἀλλὰ χωρὶς τούτων ἁπάντων καὶ πράξεις καὶ ῥήματα καὶ ἐνθυμήματα περιστῶντος εἰς μέσον, καὶ πάντα ὥσπερ ἐν εἰκόνι

48. Δαν. 7, 9-10.
49. Δαν. 7, 13-15.

ρός, οἱ τροχοὶ αὐτοῦ πῦρ φλέγον· ποταμὸς πυρὸς ἔρρεεν ἔμπροσθεν αὐτοῦ. Χίλιαι χιλιάδες ἐλειτούργουν εἰς αὐτὸν καὶ μύριαι μυριάδες παρίσταντο ἔμπροσθεν αὐτοῦ. Κριτήριον ἐκάθισε καὶ βίβλοι ἠνοίχθησαν»[48]. Καὶ ὀλίγον κατωτέρω λέγει· «Ἐθεώρουν εἰς ὅραμα τῆς νυκτὸς καὶ ἰδοὺ μετὰ τῶν νεφελῶν τοῦ οὐρανοῦ, ὡσὰν νὰ ἤρχετο υἱὸς ἀνθρώπου καὶ ἔφθασεν ἕως τοῦ παλαιοῦ τῶν ἡμερῶν καὶ ὡδηγήθη ἐνώπιον αὐτοῦ· καὶ εἰς αὐτὸν ἐδόθη ἡ ἀρχὴ καὶ ἡ τιμὴ καὶ ἡ βασιλεία, καὶ πάντες οἱ λαοί, φυλαί, γλῶσσαι εἰς αὐτὸν θὰ δουλεύουν. Ἡ ἐξουσία αὐτοῦ θὰ εἶναι ἐξουσία αἰώνιος, ἡ ὁποία δὲν θὰ παρέλθῃ καὶ ἡ βασιλεία αὐτοῦ δὲν θὰ καταστραφῇ. Ἔφριξε τὸ πνεῦμά μου, ἐγὼ ὁ Δανιήλ, μέσα μου καὶ αἱ ὁράσεις τῆς κεφαλῆς μου μὲ συνετάραξαν»[49].

Τότε ἀνοίγουν διάπλατα ὅλαι αἱ πύλαι τῶν οὐρανίων ἀψίδων, ἢ μᾶλλον καὶ αὐτὸς ὁ οὐρανὸς θὰ φύγῃ ἀπὸ τὸ μέσον, «θὰ ἐκτυλιχθῇ, λέγει, ὡς βιβλίον ὁ οὐρανός»[50], συστελλόμενος ὡσὰν παραπέτασμα θεατρικῆς σκηνῆς, ὥστε νὰ ἀλλάξῃ ἐπὶ τὸ καλύτερον. Τότε τὰ πάντα γεμίζουν ἀπὸ ἔκστασιν, φρίκην καὶ τρόμον, τότε καὶ αὐτοὶ οἱ ἄγγελοι διακατέχονται ἀπὸ πολὺν φόβον καὶ ὄχι μόνον αὐτοί, ἀλλὰ καὶ οἱ ἀρχάγγελοι καὶ οἱ θρόνοι καὶ αἱ κυριότητες καὶ αἱ ἀρχαὶ καὶ αἱ ἐξουσίαι. «Θὰ σεισθοῦν, λέγει, αἱ δυνάμεις τῶν οὐρανῶν», διότι θὰ ἀπαιτηθοῦν ἀπὸ τοὺς ἀνθρώπους εὐθύναι διὰ τὴν ἐνταῦθα ζωήν»[51]. Καὶ μὴ θαυμάσῃς.

Διότι ἂν ὅταν δικάζεται μία πόλις ἀπὸ τοὺς ἐπιγείους ἄρχοντας, οἱ πάντες καταλαμβάνονται ἀπὸ μέγαν φόβον καὶ αὐτοὶ ἀκόμη οἱ μὴ διατρέχοντες κίνδυνον, ὅταν θὰ δικάζεται ὁλόκληρος ἡ οἰκουμένη ἀπὸ κριτὴν ἀδέκαστον, ὅπου δὲν χρειάζονται μάρτυρες καὶ ἔλεγχοι, ἀλλὰ χωρὶς ὅλα αὐτά, πράξεις καὶ λόγοι καὶ ἐνθυμήσεις ἀποκαλύπτονται ἐνώπιον πάντων, ὡσὰν εἰς εἰκόνα δὲ ἐπιδεικνύονται εἰς

50. Ἡσ. 34, 4.
51. Ματθ. 24, 29.

τινὶ τοῖς τε ἡμαρτηκόσιν αὐτά, καὶ τοῖς ἀγνοοῦσιν ἐπιδεικνύντος, πῶς οὐκ εἰκὸς πᾶσαν κλονεῖσθαι δύναμιν καὶ σαλεύεσθαι; Εἰ γὰρ μὴ ποταμὸς εἵλκετο πυρός, μηδὲ ἄγγελοι παρειστήκεισαν φοβεροί, μόνον δὲ καλούμενοι τῶν ἀνθρώπων
5 *οἱ μὲν ἐπῃνοῦντο καὶ ἐθαυμάζοντο, οἱ δὲ παρεπέμποντο ἀτίμως, ἵνα μὴ ἴδωσι τὴν δόξαν τοῦ Θεοῦ καὶ τοῦτο μόνον ἡ κόλασις ἦν, οὐκ ἂν πάσης γεέννης πικρότερον ἡ τῶν τοιούτων ἔκπτωσις ἀγαθῶν τὰς τῶν ἀποστερημένων ἔδακνε ψυχάς; Τοῦτο γὰρ ὅσον κακόν, νῦν μὲν οὐ δυνατὸν παρα-*
10 *στῆσαι τῷ λόγῳ· τότε δὲ ἐπὶ τῶν πραγμάτων εἰσόμεθα σαφῶς. Σὺ δέ μοι προστίθει νῦν καὶ τὴν κόλασιν, καὶ μὴ μόνον αἰσχυνομένους μηδὲ ἐγκαλυπτομένους καὶ κάτω νεύοντας, ἀλλὰ καὶ τὴν ἐπὶ τὸ πῦρ ἑλκομένους ὁδὸν καὶ πρὸς αὐτὰ συρομένους τὰ βασανιστήρια καὶ ταῖς ἀποτόμοις παραδι-*
15 *δομένους δυνάμεσι, καὶ ταῦτα πάσχοντας κατὰ τὸν καιρόν, καθ' ὃν στεφανοῦνται καὶ ἀνακηρύττονται καὶ τῷ θρόνῳ παρίστανται τῷ βασιλικῷ πάντες οἱ τὰ ἀγαθὰ πράξαντες καὶ ἄξια τῆς αἰωνίου ζωῆς ποιήσαντες.*

13. Καὶ ταῦτα μὲν ἐν ἐκείνῃ τῇ ἡμέρᾳ· τὰ δὲ ἑξῆς
20 *λοιπὸν τίς ἡμῖν παραστήσει λόγος, τῆς μετὰ τοῦ Χριστοῦ συνουσίας τὴν ἡδονήν, τὴν ὠφέλειαν, τὴν χαράν; Ψυχὴ γὰρ εἰς τὴν οἰκείαν εὐγένειαν ἐπανελθοῦσα, καὶ μετὰ παρρησίας λοιπὸν δυνηθεῖσα τὸν ἑαυτῆς Δεσπότην ὁρᾶν, οὐκ ἔστιν εἰπεῖν ὅσην καρποῦται τὴν ἡδονήν, ὅσον τὸ κέρδος, οὐ τοῖς*
25 *ἐν χερσὶ μόνον χαίρουσα ἀγαθοῖς, ἀλλὰ καὶ τῷ πεπεῖσθαι λοιπόν, ὅτι οὐδαμοῦ ταῦτα τελευτήσει τὰ καλά. Πᾶσαν μὲν οὖν τὴν εὐφροσύνην ἐκείνην οὔτε λόγῳ, παραστῆσαί ἐστιν, οὔτε νῷ διαλαβεῖν, ἀμυδρῶς δὲ καὶ ὡς ἄν τις διὰ μικρῶν μεγάλα δεικνύῃ, πειράσομαι ποιῆσαι φανεράν.*
30 *Ἐξετάσωμεν γὰρ τοὺς ἐν τῷ παρόντι βίῳ τῶν τοῦ κό-*

τοὺς ἁμαρτήσαντας καὶ εἰς τοὺς ἀγνοοῦντας αὐτά, πῶς δὲν εἶναι φυσικὸν νὰ κλονισθῇ καὶ σαλευθῇ κάθε δύναμις; Διότι καὶ ἂν ἀκόμη δὲν ἔρρεε ποταμὸς πυρός, οὔτε ἄγγελοι φοβεροὶ παρίσταντο, μόνον δὲ ἄνθρωποι ἐκαλοῦντο καὶ οἱ μὲν ἐπαινοῦντο καὶ ἐθαυμάζοντο, οἱ ἄλλοι δὲ ἐξαπεστέλλοντο ἀτιμασμένοι διὰ νὰ μὴ ἴδουν τὴν δόξαν τοῦ Θεοῦ, καὶ τοῦτο μόνον ἦτο ἡ κόλασις, μήπως ἡ ἔκπτωσις ἀπὸ τόσα ἀγαθὰ δὲν θὰ ἦτο πικροτέρα ἀπὸ ὅλην τὴν γέενναν καὶ δὲν θὰ κατέτρωγε τὰς ψυχὰς ἐκείνων ποὺ θὰ τὰ ἐστεροῦντο; Πόσον δὲ κακὸν εἶναι τοῦτο, τώρα μὲν δὲν εἶναι εὔκολον νὰ τὸ περιγράψωμεν διὰ τοῦ λόγου, τότε ὅμως θὰ τὸ γνωρίσωμεν καλῶς εἰς τὴν πραγματικότητα. Ἐσὺ ὅμως πρόσθεσε τώρα καὶ τὴν κόλασιν καὶ μὴ βλέπῃς μόνον τὸ ὅτι ἐντρέπονται καὶ καλύπτονται καὶ κάτω νεύονται, ἀλλὰ ὅτι σύρονται καὶ πρὸς τὸ πῦρ καὶ πρὸς αὐτὰ τὰ βασανιστήρια καὶ εἰς τὰς βαναύσους ἐκείνας δυνάμεις παραδίδονται καὶ ὅτι πάσχουν αὐτά, καθ' ὃν χρόνον στεφανώνονται καὶ δημοσίᾳ ἀνακηρύσσονται καὶ εἰς τὸν θρόνον παρίστανται ὅλοι ἐκεῖνοι ποὺ ἔπραξαν τὰ ἀγαθὰ καὶ ἠξιώθησαν τῆς αἰωνίου ζωῆς.

13. Καὶ αὐτὰ μὲν κατὰ τὴν ἡμέραν ἐκείνην· τὰ λοιπὰ ὅμως, ποῖος λόγος θὰ μᾶς παραστήσῃ, τὴν ἡδονὴν δηλαδὴ τῆς συναναστροφῆς μας μὲ τὸν Χριστόν, τὴν ὠφέλειαν, τὴν χαράν; Διότι ὅταν ἡ ψυχὴ ἐπανέλθῃ εἰς τὴν εὐγένειάν της καὶ κατορθώσῃ μὲ παρρησίαν νὰ βλέπῃ τὸν Δεσπότην της, δὲν εἶναι δυνατὸν νὰ εἴπωμεν πόσην ἡδονὴν ἀπολαμβάνει καὶ πόσον κέρδος, ὄχι διὰ τὴν χαρὰν ποὺ αἰσθάνεται διὰ τῆς στιγμῆς τὰ ἀγαθὰ μόνον, ἀλλὰ καὶ διὰ τὴν πεποίθησιν ὅτι ποτὲ δὲν θὰ τελειώσουν τὰ καλά. Ὅλην λοιπὸν ἐκείνην τὴν εὐφροσύνην οὔτε μὲ λόγια εἶναι δυνατὸν νὰ παραστήσῃ κανείς, οὔτε μὲ τὸν νοῦν του νὰ διανοηθῇ, ἀμυδρῶς δὲ καὶ ὅπως κανεὶς μὲ τὰ μικρὰ παρουσιάζει μεγάλα πράγματα, ἔτσι θὰ προσπαθήσω νὰ τὴν καταστήσω φανεράν.

Ἃς ἐξετάσωμεν τοὺς ἀπολαύοντας εἰς τὸν παρόντα

σμου καλῶν ἀπολαύοντας, πλούτου λέγω καὶ δυναστείας καὶ δόξης, πῶς ὑπὸ τῆς ἐπιθυμίας γαυρούμενοι, οὐδὲ ἐπὶ τῆς γῆς εἶναι νομίζουσι, καὶ ταῦτα οὔτε ὁμολογουμένων ἀπολαύοντας καλῶν, οὔτε παραμενόντων αὐτοῖς, ἀλλ᾽ ἀφιπταμένων
5 *ὀνείρου ταχύτερον· εἰ δέ ποτε καὶ σταίη μικρόν, μέχρι τῆς παρούσης ζωῆς τὴν εὔνοιαν ἐπιδεικνυμένων, περαιτέρω δὲ οὐκ ἰσχυόντων συνεξελθεῖν. Εἰ δὲ ταῦτα εἰς τοσαύτην αἴρει τοὺς ἔχοντας χαράν, τί οἴει γίνεσθαι τὰς ψυχάς, τὰς καλουμένας ἐπὶ τὰ μυρία ἀγαθὰ τὰ ἐν τοῖς οὐρανοῖς, τὰ πε-*
10 *πηγότα καὶ ἑστῶτα βεβαίως διαπαντός; Οὐδὲ γὰρ τοῦτο μόνον, ἀλλὰ καὶ τῇ ποσότητι καὶ τῇ ποιότητι τοσούτῳ κρείττω τῶν παρόντων ἐστίν, «ὡς μηδὲ ἐπὶ καρδίαν ἀνθρώπου ἀναβῆναί ποτε».*

Νῦν μὲν γὰρ καθάπερ ἐν μήτρᾳ παιδίον, οὕτως ἐν τῷ
15 *κόσμῳ τούτῳ διάγομεν στενοχωρούμενοι καὶ τοῦ μέλλοντος αἰῶνος τὴν λαμπρότητα καὶ τὴν ἐλευθερίαν οὐ δυνάμενοι συνιδεῖν· ὅταν δὲ ὁ καιρὸς ἐπιστῇ τῶν ὠδίνων, καὶ ἀποτέκῃ κατὰ τὴν τῆς κρίσεως ἡμέραν οὓς ἐπεδέξατο πάντας ἀνθρώπους ὁ παρὼν βίος, τὰ μὲν ἐξαμβλωθέντα ἀπὸ σκότους εἰς*
20 *σκότος ἔρχεται, καὶ ἀπὸ θλίψεως εἰς θλῖψιν χαλεπωτέραν· τὰ δὲ ἄρτια καὶ τῆς βασιλικῆς εἰκόνος τοὺς χαρακτῆρας διαφυλάξαντα παραστήσονται τῷ βασιλεῖ καὶ τὴν λειτουργίαν ἀναδέξονται ἐκείνην, ἣν ἄγγελοι καὶ ἀρχάγγελοι τῷ πάντων διακονοῦνται Θεῷ.*

25 *Μὴ τοίνυν εἰς τέλος τούτους ἡμῖν ἀφανίσῃς τοὺς χαρακτῆρας, ὦ φίλος, ἀλλὰ ταχέως αὐτοὺς ἀνακτησάμενος ἐπὶ τὸ βέλτιον διατύπωσον. Τὸ μὲν γὰρ κάλλος τὸ σωματικὸν εἴσω τῶν τῆς φύσεως ὅρων συνέκλεισεν ὁ Θεός, ἡ δὲ τῆς ψυχῆς ὥρα τῆς μὲν ἐκεῖθεν ἀνάγκης καὶ δουλείας ἀπήλλα-*
30 *κται, ἅτε δὴ πολλῷ βελτίων οὖσα τῆς σωματικῆς εὐμορφίας·*

βίον τῶν ἀγαθῶν τοῦ κόσμου, δηλαδὴ τὸν πλοῦτον, τὴν δυναστείαν καὶ τὴν δόξαν, πῶς ξεσηκώνονται ἀπὸ τὴν εὐφροσύνην καὶ νομίζουν ὅτι δὲν πατοῦν ἐπάνω εἰς τὴν γῆν. Καὶ αὐτὰ ἐνῷ δὲν ἀπολαύουν βεβαίων ἀγαθῶν, οὔτε μονίμως παραμενόντων εἰς αὐτούς, ἀλλ' ἀγαθῶν ποὺ ἐξανεμίζονται ταχύτερον ἀπὸ ὄνειρον. Ἐὰν δὲ ἐνίοτε παραμένουν δι' ὀλίγον, τοῦτο συμβαίνει κατὰ τὴν διάρκειαν τῆς παρούσης ζωῆς, καὶ δὲν ἠμποροῦν πέραν τῆς ζωῆς νὰ συνεχίσουν. Ἐὰν λοιπὸν εἰς τόσην χαρὰν τοὺς ὑψώνουν αὐτά, τί νομίζεις ὅτι θὰ γίνῃ μὲ ἐκείνας τὰς ψυχάς, αἱ ὁποῖαι προσκαλοῦνται εἰς τὰ ἄπειρα ἐκεῖνα ἀγαθὰ τοῦ οὐρανοῦ τὰ σταθερὰ καὶ αἰώνια; Καὶ ὄχι μόνον αὐτό, ἀλλὰ καὶ κατὰ τὴν ποσότητα καὶ κατὰ τὴν ποιότητα τόσον ἀνώτερα τῶν παρόντων εἶναι, ὥστε νὰ μὴ τὰ ἔχῃ διανοηθῇ ποτὲ νοῦς ἀνθρώπου.

Τώρα δὲ εἰς τὸν παρόντα κόσμον διάγομεν καθὼς τὸ νήπιον εἰς τὴν κοιλίαν τῆς μητρός του, στενοχωρούμενοι καὶ μὴ δυνάμενοι νὰ γνωρίσωμεν καλῶς τὴν λαμπρότητα καὶ τὴν ἐλευθερίαν τοῦ μέλλοντος αἰῶνος. Ὅταν δὲ ἐγγίσῃ ὁ καιρὸς τῶν ὠδίνων καὶ ὁ παρὼν βίος γεννήσῃ κατὰ τὴν ἡμέραν τῆς κρίσεως ὅλους ὅσους ἐδέχθη, τὰ μὲν ἐξαμβλωθέντα ἀπὸ τοῦ σκότους θὰ μεταβοῦν εἰς τὸ σκότος καὶ ἀπὸ θλῖψιν εἰς χειροτέραν τοιαύτην, τὰ δὲ ἀρτιμελῆ καὶ ὅσα διεφύλαξαν τὸν χαρακτῆρα τῆς βασιλικῆς εἰκόνος θὰ σταθοῦν πρὸ τοῦ βασιλέως καὶ θὰ δεχθοῦν ἐκείνην τὴν διακονίαν, τὴν ὁποίαν ἄγγελοι καὶ ἀρχάγγελοι ὑπηρετοῦν εἰς τὸν Θεὸν τῶν πάντων.

Μὴ καταστρέψῃς λοιπόν, φίλε Θεόδωρε, τελείως αὐτοὺς τοὺς χαρακτῆρας, ἀλλὰ συντόμως καὶ πάλιν ἀνάκτησέ τους καὶ ἐγχάραξέ τους καλύτερον. Διότι τὸ μὲν κάλλος τοῦ σώματος περιέκλεισεν ὁ Θεὸς ἐντὸς τῶν ὁρίων τῆς φύσεως, ἡ χάρις ὅμως τῆς ψυχῆς ἔχει ἀπαλλαγῇ ἀπὸ τὴν ἐκεῖθεν ἀνάγκην καὶ δουλείαν, καθότι εἶναι ἀσυγκρίτως καλυτέρα τῆς σωματικῆς εὐμορφίας, ἐξαρτᾶται δὲ ἀπὸ ἡμᾶς

ἐφ' ἡμῖν δὲ ἅπασα κεῖται καὶ τῇ ῥοπῇ τοῦ Θεοῦ. Φιλάνθρωπος γὰρ ὢν ὁ Δεσπότης ἡμῶν καὶ ἐν τούτῳ μάλιστα τὸ ἡμέτερον ἐτίμησε γένος, τὰ μὲν ἐλάττονα καὶ οὐδὲν μέγα συντελοῦντα ἡμῖν, ἀλλ' ὅπως ἂν συμπέσῃ ἀδιάφορα ὄντα, τῇ 5 τῆς φύσεως ἐπιτρέψας ἀνάγκῃ, τῶν δὲ ὄντως καλῶν ἡμᾶς ποιήσας εἶναι δημιουργούς.

Εἰ μὲν γὰρ καὶ τοῦ σωματικοῦ κάλλους ἡμᾶς ἐποίησεν εἶναι κυρίους, καὶ φροντίδα περιττὴν ἐδεξάμεθα ἂν καὶ ἐν τοῖς οὐδὲν ὠφελοῦσι τὸν ἅπαντα ἂν ἀπησχολήσαμεν χρόνον 10 καὶ τῆς ψυχῆς σφόδρα ἂν ἠμελήσαμεν. Ὅπου γὰρ νῦν οὐκ οὔσης ἡμῖν τῆς ἐξουσίας ταύτης ἅπαντα πράττομεν καὶ βιαζόμεθα, καὶ σκιαγραφίαις ἐκδιδόαμεν ἑαυτούς, ἐπειδὴ τῇ ἀληθείᾳ μὴ δυνάμεθα, καὶ χρώμασι καὶ βαφαῖς καὶ συνθέσει τριχῶν καὶ ἱματίων περιβολαῖς καὶ γραφαῖς ὀφθαλμῶν καὶ 15 πολλοῖς ἑτέροις μηχανήμασι τοιαῦτα σοφιζόμεθα κάλλη, τίνα ἂν τῇ ψυχῇ καὶ τοῖς σπουδαίοις σχολὴν ἀπενείμαμεν, εἰ πρὸς τὴν ὄντως αὐτὸ εὐμορφίαν μεταθεῖναι εἴχομεν; Τάχα γὰρ οὐδ' ἂν ἐγένετο ἡμῖν ἔργον ἕτερον, εἰ τοῦτο ἔργον ἡμέτερον ἦν, ἀλλὰ πάντα τὸν χρόνον ἂν ἀνηλώσαμεν, τὴν μὲν δούλην 20 καλλωπίζοντες μυρίοις καλλωπισμοῖς, τὴν δὲ ταύτης κυρίαν παντὸς ἀνδραπόδου μᾶλλον ἐν ἀμορφίᾳ καὶ ῥαθυμίᾳ ἐῶντες κεῖσθαι διαπαντός. Διὰ τοῦτο ταύτης ἡμᾶς τῆς κακοσχολίας ἀπαλλάξας ὁ Θεός, τοῦ βελτίονος ἡμῖν τὴν τέχνην ἐνέθηκε, καὶ ὁ τὸ σῶμα μὴ δυνάμενος εὔμορφον ποιῆσαι ἐξ εἰδεχθοῦς, 25 οὗτος τὴν ψυχήν, κἂν εἰς ἐσχάτην δυσειδίαν κατενεχθῇ, εἰς αὐτὴν τὴν τῆς ὥρας ἀναγαγεῖν δυνήσεται κορυφήν, καὶ οὕτως ἐπέραστον ποιῆσαι καὶ ποθεινήν, ὥστε μὴ μόνον τοὺς

καὶ ἀπὸ τὴν βοήθειαν τοῦ Θεοῦ. Ἐπειδὴ δηλαδὴ ὁ Δεσπότης ἡμῶν εἶναι φιλάνθρωπος καὶ κατὰ τοῦτο ἰδιαιτέρως ἐτίμησε τὸ ἀνθρώπινον γένος, ὅτι αὐτὰ ποὺ εἰς τὴν ζωὴν εἶναι ἀσήμαντα καὶ δὲν μᾶς προσφέρουν μεγάλην ὠφέλειαν, καὶ οἱανδήποτε τροπὴν καὶ ἂν πάρουν εἶναι καθ' ἑαυτὰ ἀδιάφορα, τὰ ἔθεσεν ὑπὸ τὴν ἀναγκαιότητα τῶν νόμων τῆς φύσεως, ὅσα ὅμως εἶναι ὄντως καλά, ἐπέτρεψε νὰ τὰ δημιουργῶμεν ἡμεῖς.

Διότι ἐὰν ὁ Θεὸς ἔκαμνε νὰ εἴμεθα καὶ τοῦ σωματικοῦ κάλλους ἐξουσιασταί, καὶ περιττὰς φροντίδας θὰ εἴχομεν καὶ εἰς τὰ ἀνωφελῆ θὰ ἀπασχολούσαμεν ὅλον μας τὸν χρόνον καὶ θὰ ἀμελούσαμεν πολὺ τὴν ψυχήν μας. Πράγματι ἂν ἐκεῖ ὅπου δὲν ἔχομεν ἐξουσίαν κάμνωμεν τὸ πᾶν καὶ βιαζώμεθα καὶ καλλωπίζωμεν τοὺς ἑαυτούς μας μὲ σκιαγραφίας ἐπειδὴ δὲν τὸ ἐπιτυγχάνομεν ἀληθινά, καὶ μὲ χρώματα καὶ βαφὰς καὶ κομμώσεις τριχῶν καὶ ἀμφιέσεις ἐνδυμάτων καὶ βαφὰς ὀφθαλμῶν καὶ μὲ πολλὰς παρομοίας ἐπινοήσεις σοφιζόμεθα τὰ τοιαῦτα κάλλη, ποίαν φροντίδα θὰ εἴχομεν νὰ ἐπιδείξωμεν διὰ τὴν ψυχὴν καὶ διὰ τὰ σπουδαῖα ἐὰν ἠμπορούσαμεν νὰ μεταθέσωμεν τὸ σῶμα εἰς τὴν πραγματικὴν εὐμορφίαν; Ἀσφαλῶς δὲν θὰ εἴχομεν ἄλλην ἀπασχόλησιν εἰς τὴν παροῦσαν ζωήν, ἐὰν τοῦτο ἀπετέλει τὸ ἔργον μας ἐδῶ, ἀλλ' ὅλον μας τὸν χρόνον θὰ ἐξοδεύαμεν εἰς τὸ νὰ καλλωπίζωμεν τὴν δούλην σάρκα μὲ πολλοὺς στολισμούς, τὴν δὲ κυρίαν αὐτῆς, τὴν ψυχήν, θὰ τὴν ἀφήναμεν νὰ κεῖται διὰ παντὸς εἰς κατάστασιν χειροτέραν παντὸς ἀνδραπόδου, εἰς ραθυμίαν καὶ ἀμορφίαν. Δι' αὐτὸ ὁ Θεός, ἀφοῦ μᾶς ἀπήλλαξεν ἀπὸ τὸ ἄχαρι τοῦτο ἔργον, ἔθεσεν ἐντός μας τὴν τέχνην τοῦ ὑψηλοτέρου πράγματος. Καὶ ἐκεῖνος ποὺ δὲν ἠμπορεῖ νὰ μεταβάλῃ τὸ σῶμά του ἀπὸ κακόμορφον εἰς ὡραῖον, αὐτὸς ἠμπορεῖ τὴν ψυχήν, ἀκόμη καὶ ἂν ἔχῃ φθάσει εἰς τὴν ἐσχάτην βαθμίδα τῆς κακομορφίας, νὰ τὴν ἐξυψώσῃ εἰς τὴν κορυφὴν τῆς ἀκμῆς της καὶ νὰ τὴν κάμῃ τόσον ἐπέραστον καὶ ποθητήν, ὥστε νὰ τὴν ἐπιθυμοῦν ὄχι

ἄνδρας τοὺς ἀγαθοὺς εἰς ἐπιθυμίαν αὐτῆς ἐλθεῖν, ἀλλὰ καὶ αὐτὸν τὸν τῶν ἁπάντων βασιλέα Θεόν, καθὼς καὶ ὁ ψαλμῳδὸς περὶ τούτου τοῦ κάλλους διαλεγόμενος ἔλεγε· «καὶ ἐπιθυμήσει ὁ βασιλεὺς τοῦ κάλλους σου».

5 *Οὐχ ὁρᾷς καὶ ἐν τοῖς χαμαιτυπείοις τῶν γυναικῶν, ὅτι τὰς μὲν εἰδεχθεῖς καὶ ἀναισχύντους μονομάχοι καὶ δραπέται καὶ θηριομάχοι μόλις ἂν πρόσοιντο· εἰ δέ πού τις εὔμορφος καὶ εὐγενὴς καὶ αἰσχυντηρὰ κατά τινα περίστασιν εἰς ταύτην ἔλθοι τὴν ἀνάγκην, οὐδὲ τῶν σφόδρα λαμπρῶν καὶ* 10 *μεγάλων ἀνδρῶν τὸν ἐκείνης τις γάμον ἐρυθριάσειεν; Εἰ δὲ παρὰ ἀνθρώποις τοσοῦτος ἔλεος καὶ τοσαύτη δόξης ὑπεροψία, ὥστε τὰς πολλάκις καταισχυνθείσας ἐπὶ τοῦ τέγους ἀπαλλάξαι τῆς δουλείας ἐκείνης, καὶ ἐν τάξει ἔχειν γυναικῶν, πολλῷ μᾶλλον ἐπὶ τοῦ Θεοῦ τοῦτό ἐστι, καὶ τῶν ψυ-* 15 *χῶν τῶν ἀπὸ τῆς ἄνωθεν εὐγενείας κατὰ τὴν τοῦ διαβόλου τυραννίδα εἰς τὸ τοῦ παρόντος βίου χαμαιτυπεῖον καταπεσουσῶν.*

Καὶ τούτων εὑρήσεις τῶν παραδειγμάτων τοὺς προφήτας πεπληρωμένους, ὅταν διαλέγωνται τῇ Ἱερουσαλήμ· 20 *καὶ γὰρ ἐκείνην εἰς πορνείαν ἐμπεσοῦσαν, πορνείαν τινὰ καινοτέραν, καθὼς καὶ ὁ Ἰεζεκιὴλ φησι, «πάσαις πόρναις δίδοται μισθώματα, σὺ δὲ προσεδίδους μισθώματα, καὶ ἐγένετο ἐν σοὶ διεστραμμένον παρὰ τὰς λοιπάς», καὶ πάλιν ἕτερος, «ἐκάθισας προσδοκῶντα αὐτοὺς ὡσεὶ κορώνη ἠρημωμέ-* 25 *νη»· ταύτην οὖν τὴν οὕτω πορνεύσασαν ἀνακαλεῖται πάλιν ὁ Θεός. Καὶ γὰρ ἡ αἰχμαλωσία ἡ γενομένη, οὐ τιμωρίας τοσοῦτον ἦν, ὅσον ἐπιστροφῆς καὶ διορθώσεως· ἐπεί, εἰ κολάσαι αὐτοὺς καθάπαξ ἐβούλετο ὁ Θεός, οὐκ ἂν πάλιν ἐπανήγαγεν οἴκαδε, οὐκ ἂν μείζονα καὶ λαμπροτέραν καὶ τὴν πό-*

---

52. Ψαλμ. 44, 12.
53. Ἰεζ. 16, 33.

μόνον ἄνδρες ἀγαθοί, ἀλλὰ καὶ αὐτὸς ὁ βασιλεὺς τῶν πάντων, ὁ Θεός, καθὼς ἔλεγε καὶ ὁ ψαλμῳδὸς ὁμιλῶν περὶ αὐτοῦ τοῦ κάλλους, «καὶ θὰ ἐπιθυμήσῃ ὁ βασιλεὺς τὸ κάλλος σου»[52].

Δὲν βλέπεις τί συμβαίνει καὶ εἰς τοὺς κακοφήμους οἴκους τῶν γυναικῶν, ὅτι τὰς μὲν ἀπαισίας καὶ ἀναισχύντους μετὰ δυσκολίας θὰ τὰς ἐπλησίαζαν ἀκόμη καὶ οἱ μονομάχοι καὶ οἱ θηριομάχοι καὶ οἱ δραπέται τῶν φυλακῶν. Ἐνῷ, ἐὰν ἐτύγχανε νὰ φθάσῃ εἰς τὸ σημεῖον ἐκεῖνο κάποια εὔμορφος καὶ εὐγενὴς καὶ ἐντροπαλή, οὔτε ὁ ἐνδοξότερος καὶ μεγάλος ἀνὴρ δὲν θὰ ἐρυθριοῦσε νὰ τὴν λάβῃ ὡς γυναῖκα του; Ἐὰν λοιπὸν μεταξὺ τῶν ἀνθρώπων συναντᾶται τόσον ἔλεος καὶ τόση περιφρόνησις τῆς δόξης, ὥστε γυνὴ ποὺ ἠτιμάσθη πολλάκις εἰς κακοφήμους οἴκους νὰ τὴν ἀπαλλάσσῃ κανεὶς ἀπὸ τὴν δουλείαν καὶ νὰ τὴν κάμῃ σύζυγόν του, πολὺ περισσότερον συμβαίνει τοῦτο μεταξὺ τοῦ Θεοῦ καὶ τῶν ψυχῶν, αἱ ὁποῖαι μὲ τὴν τυραννίδα τοῦ διαβόλου ἔχουν ἀπὸ τὴν ἄνωθεν εὐγένειάν των καταπέσει εἰς τὸ διαφθορεῖον τοῦ παρόντος βίου.

Καὶ τοιαῦτα παραδείγματα θὰ εὕρῃς πολλὰ εἰς τὰ βιβλία τῶν προφητῶν, ὅταν ὁμιλοῦν διὰ τὴν Ἱερουσαλήμ. Καθότι καὶ ἐκείνη περιέπεσεν εἰς πορνείαν, πορνείαν παράδοξον, καθὼς λέγει καὶ ὁ προφήτης Ἰεζεκιήλ. «Εἰς ὅλας τὰς πόρνας δίδεται μισθός, σὺ δὲ ἔδωσες μισθὸν καὶ μὲ ἐσὲ συνέβη κάτι ἀντίθετον ἀπὸ τὰς ἄλλας»[53]. Καὶ πάλιν ἄλλος· «ἐκάθισες ἀναμένουσα αὐτοὺς ὡσὰν μοναχικὴ κουρούνα»[54]. Αὐτὴν λοιπὸν τὴν τοιουτοτρόπως πορνεύσασαν, καλεῖ πάλιν ὁ Θεὸς νὰ ἐπιστρέψῃ. Διότι ἡ αἰχμαλωσία της δὲν ἀπέβλεπε τόσον εἰς τὴν τιμωρίαν, ὅσον εἰς τὴν ἐπιστροφὴν καὶ τὴν διόρθωσιν. Πράγματι ἐὰν ἤθελεν ὁ Θεὸς νὰ τοὺς τιμωρήσῃ ἅπαξ διὰ παντός, δὲν θὰ τοὺς ἐπανέφερεν ὀπίσω ἐκ τῆς ἐξορίας καὶ δὲν θὰ κατεσκεύαζεν μεγαλύτερα καὶ λαμπρό-

54. Ἱερ. 3, 2.

λιν καὶ τὸν ναὸν κατεσκεύασεν. «Ἔσται γάρ», φησίν, «ἡ δόξα τοῦ οἴκου τούτου ἡ ἐσχάτη ὑπὲρ τὴν ἔμπροσθεν». Εἰ δὲ τὴν πολλάκις ἐκπορνεύσασαν οὐκ ἀπέκλεισε τῆς μετανοίας ὁ Θεός, πολλῷ μᾶλλον τῆς σῆς ἀνθέξεται ψυχῆς, τοῦτο πρῶτον 5 *πεσούσης τὸ πτῶμα. Οὐδεὶς γάρ, οὐδεὶς σωμάτων ἐραστής, κἂν σφόδρα ᾖ μανικός, οὕτω τῆς ἐρωμένης τῆς αὐτοῦ περικαίεται, ὡς ὁ Θεὸς τῆς σωτηρίας τῶν ἡμετέρων ἐφίεται ψυχῶν· καὶ τοῦτο ἔνεστι μὲν καὶ ἐκ τῶν καθ' ἑκάστην ἡμέραν γινομένων ἰδεῖν, ἔνεστι δὲ καὶ ἀπὸ τῶν θείων Γραφῶν.*

10 *Ὅρα γοῦν καὶ ἐν τοῖς προοιμίοις τοῦ Ἱερεμίου, καὶ πολλαχοῦ δὲ τῶν προφητῶν, καταφρονούμενον αὐτὸν καὶ ὑπερορώμενον, καὶ πάλιν ἐπιτρέχοντα καὶ διώκοντα τὴν φιλίαν τῶν ἀποστρεφομένων αὐτόν· ὅπερ καὶ αὐτὸς ἐν τοῖς Εὐαγγελίοις ἐδήλου λέγων· «Ἱερουσαλήμ, Ἱερουσαλήμ, ἡ* 15 *ἀποκτείνουσα τοὺς προφήτας καὶ λιθοβολοῦσα τοὺς ἀπεσταλμένους πρὸς αὐτήν, ποσάκις ἠθέλησα ἐπισυναγαγεῖν τὰ τέκνα σου, ὃν τρόπον ἐπισυνάγει ὄρνις τὰ νοσσία αὐτῆς ὑπὸ τὰς πτέρυγας αὐτῆς, καὶ οὐκ ἠθελήσατε;». Καὶ ὁ Παῦλος δὲ Κορινθίους ἐπιστέλλων ἔλεγεν· «ὅτι Θεὸς ἦν ἐν Χριστῷ* 20 *κόσμον καταλλάσσων ἑαυτῷ, μὴ λογιζόμενος αὐτοῖς τὰ παραπτώματα αὐτῶν, καὶ θέμενος ἐν ἡμῖν τὸν λόγον τῆς καταλλαγῆς. Ὑπὲρ Χριστοῦ οὖν πρεσβεύομεν, ὡς τοῦ Θεοῦ παρακαλοῦντος δι' ἡμῶν, δεόμεθα ὑπὲρ Χριστοῦ· καταλλάγητε τῷ Θεῷ». Τοῦτο καὶ πρὸς ἡμᾶς εἰρῆσθαι νόμιζε νῦν. Οὐ* 25 *γὰρ ἀπιστία μόνον, ἀλλὰ καὶ βίος ἀκάθαρτος τὴν ἀπευκτὴν ταύτην ἔχθραν ἱκανὸς ἐργάσασθαι. Τὸ γὰρ φρόνημα, φησί, τῆς σαρκός, ἔχθρα εἰς Θεόν. Καταλύσωμεν οὖν τοῦτο τὸ διάφραγμα καὶ διέλωμεν καὶ θῶμεν νεκρόν, ἵνα τῆς μακαρίας τύχωμεν καταλλαγῆς, ἵνα γενώμεθα πάλιν ἀπέραστοι καὶ*

---

55. Ἀγγ. 2, 10.
56. Ματθ. 23, 37.
57. Β' Κορ. 5, 19-20.
58. Ρωμ. 8, 7.

τερα καὶ τὴν πόλιν καὶ τὸν ναόν. «Θὰ εἶναι, λέγει, ἡ τελευταία δόξα τοῦ οἴκου τούτου μεγαλυτέρα ἀπὸ τὴν πρώτην»[55]. Ἐὰν δὲ τὴν πολλάκις περιπεσοῦσαν εἰς πορνείαν δὲν ἀπέκλεισεν ἀπὸ τὴν μετάνοιαν ὁ Θεός, πολὺ περισσότερον θὰ δεχθῇ τὴν ἰδικήν του ψυχήν, ποὺ διὰ πρώτην φορὰν ἔπεσεν τέτοιαν πτῶσιν. Πράγματι, ὅσον μανιώδης καὶ ἂν εἶναι, δὲν ὑπάρχει ἐραστὴς σωμάτων, ποὺ νὰ φλέγεται τόσον διὰ τὴν ἐρωμένην του, ὅσον σφοδρῶς ἐπιθυμεῖ ὁ Θεὸς τὴν ἰδικήν μας σωτηρίαν. Τοῦτο δὲ εἶναι δυνατὸν νὰ τὸ διαπιστώσῃ κανεὶς καὶ ἐκ τῶν καθημερινῶν γεγονότων καὶ ἐκ τῶν θείων Γραφῶν.

Βλέπε λοιπὸν καὶ εἰς τὰ πρῶτα κεφάλαια τοῦ Ἱερεμίου καὶ εἰς πολλὰ μέρη ἄλλων προφητῶν, νὰ περιφρονῆται ὁ Θεὸς καὶ νὰ παραθεωρῆται καὶ πάλιν νὰ τρέχῃ πρὸς αὐτοὺς καὶ νὰ ἐπιδιώκῃ τὴν φιλίαν ἐκείνων ποὺ τὸν ἀπεστρέφοντο, πρᾶγμα ποὺ καὶ ὁ Χριστὸς ἐδήλωσεν εἰς τὰ εὐαγγέλια, λέγων· «Ἱερουσαλήμ, Ἱερουσαλήμ, ἡ ἀποκτείνουσα τοὺς προφήτας καὶ λιθοβολοῦσα τοὺς ἀπεσταλμένους πρὸς αὐτήν, πόσας φορὰς ἠθέλησα καὶ συναγάγω τὰ τέκνα σου, ὅπως συνάγει ἡ ὄρνις τὰ νοσσία αὐτῆς ὑπὸ τὰς πτέρυγας αὐτῆς καὶ δὲν ἠθελήσατε;»[56]. Καὶ ὁ Παῦλος, γράφων πρὸς τοὺς Κορινθίους, ἔλεγεν· «Ὁ Θεὸς ἦτο εἰς τὸν Χριστὸν συμφιλιώνων τὸν κόσμον μὲ ἑαυτόν, μὴ καταλογίζων εἰς αὐτοὺς τὰ παραπτώματα αὐτῶν καὶ μεταδίδων εἰς αὐτοὺς τὰ παραπτώματα αὐτῶν καὶ μεταδίδων εἰς ἡμᾶς τὸν λόγον τῆς συμφιλιώσεως. Χάριν τοῦ Χριστοῦ λοιπὸν κηρύσσομεν, χάριν τοῦ Χριστοῦ παρακαλοῦμεν, συμφιλιωθῆτε μὲ τὸν Θεόν»[57]. Τοῦτο τώρα νὰ θεωρῇς ὅτι ἐλέχθη καὶ πρὸς ἡμᾶς. Διότι, ὄχι μόνον ἡ ἀπιστία, ἀλλὰ καὶ ὁ βίος ὁ ἀκάθαρτος εἶναι ἱκανὸς νὰ μᾶς δημιουργήσῃ τὴν ἀνεπιθύμητον αὐτὴν ἔχθραν, «διότι τὸ φρόνημα τῆς σαρκός, λέγει, εἶναι ἔχθρα εἰς Θεόν»[58]. Ἂς καταρρίψωμεν λοιπὸν τοῦτο τὸ μεσότοιχον καὶ ἂς τὸ διασκορπίσωμεν καὶ ἂς τὸ καταστήσωμεν νεκρόν, διὰ νὰ ἐπιτύχωμεν τὴν μακαρίαν συμφιλίωσιν μὲ τὸν Θεόν, διὰ

ποθεινοὶ τῷ Θεῷ.

14. Οἶδα ὅτι θαυμάζεις τὴν Ἑρμιόνης ὥραν νῦν καὶ τῆς εὐμορφίας ἐκείνης οὐδὲν ὅμοιον κρίνεις ἐπὶ τῆς γῆς εἶναι· ἀλλ' ἐὰν θέλῃς, ὦ φίλος, τοσοῦτον αὐτῆς εὐπρεπέστε-
5 ρος ἔσῃ καὶ ὡραιότερος, ὅσῳ τῶν πηλίνων οἱ χρυσοῖ βελτίους ἀνδριάντες εἰσίν. Εἰ γὰρ ἐπὶ τοῦ σώματος ὂν τὸ κάλλος οὕτω τὰς τῶν πολλῶν ἐκπλήττει ψυχὰς καὶ ἀναπτεροῖ, ὅταν ἐν τῇ ψυχῇ τοῦτο ἀποστίλβῃ, τί ἴσον τοῦ οὕτω καλοῦ καὶ ὡραίου γένοιτ' ἄν; Ἡ μὲν γὰρ τούτου τοῦ κάλλους ὑπόστασις
10 οὐδὲν ἕτερόν ἐστιν ἢ φλέγμα καὶ αἷμα καὶ ῥεῦμα καὶ χολὴ καὶ τροφῆς διαμασηθείσης χυλός. Τούτοις γὰρ καὶ οἱ ὀφθαλμοὶ καὶ αἱ παρειαὶ καὶ τὰ λοιπὰ πάντα ἄρδεται, κἂν μὴ καθ' ἑκάστην ἡμέραν δέξηται τὴν ἀρδείαν ἐκείνην ἀπὸ τῆς γαστρὸς καὶ τοῦ ἥπατος ἀνιοῦσαν, τοῦ δέρματος παρὰ τὸ προσῆ-
15 κον ὑφιζάνοντος, τῶν τε ὀφθαλμῶν κοιλαινομένων, εὐθέως ἡ ἅπασα ἀφίπταται τῆς ὄψεως ὥρα. Ὥστε, ἂν ἐννοήσῃς τί μὲν τῶν καλῶν ἔνδον ἀπόκειται ὀφθαλμῶν, τί δὲ τῆς εὐθείας ῥινός, τί δὲ καὶ τοῦ στόματος καὶ τῶν παρειῶν, οὐδὲν ἕτερον ἢ τάφον κεκονιασμένον εἶναι φήσεις τοῦ σώματος
20 τὴν εὐμορφίαν· τοσαύτης τὰ ἔνδον ἀκαθαρσίας ἐστὶ μεστά. Εἶτα ῥάκος μὲν ἰδὼν ἔχον τι τούτων, οἷον ἢ φλέγμα ἢ σίελον, οὐδὲ ἄκροις ψαῦσαι τοῖς δακτύλοις ὑπομένεις, ἀλλ' οὐδὲ ἰδεῖν ἀνέχῃ· πρὸς δὲ τὰ ταμιεῖα τούτων καὶ τὰς ἀποθήκας ἐπτόησαι;

25 Ἀλλ' οὐ τό γε σὸν κάλλος τοιοῦτον ἦν, ἀλλ' ὅσον τῆς γῆς βελτίων ὁ οὐρανός, μᾶλλον δὲ καὶ πολλῷ τούτου λαμπρότερόν τε καὶ ἄμεινον· ψυχὴν γὰρ καθ' ἑαυτὴν σώματος μὲν γεγυμνωμένην οὐδεὶς εἶδεν οὐδαμοῦ· ὅμως δὲ καὶ οὕτως ἑτέρωθέν σοι παραστῆσαι τὸ ταύτης κάλλος πειράσομαι. Πό-

νὰ γίνωμεν καὶ πάλιν ἀξιαγάπητοι καὶ ποθητοὶ ἀπὸ αὐτόν.

14. Γνωρίζω ὅτι τώρα θαυμάζεις τὴν ὡραιότητα τῆς Ἑρμιόνης καὶ νομίζεις ὅτι τίποτε ἐπὶ τῆς γῆς δὲν συγκρίνεται μὲ τὸ ἰδικόν της κάλλος. Ἀλλ' ἐὰν θέλῃς, φίλε, θὰ γίνῃς τόσον κοσμιώτερος ἀπὸ αὐτὴν καὶ ὡραιότερος ὅσον ἀνώτεροι εἶναι οἱ χρυσοῖ ἀνδριάντες ἀπὸ τοὺς πηλίνους. Ἐὰν δὲ τὸ κάλλος ποὺ ὑπάρχει εἰς τὸ σῶμα τόσον ἐκπλήττῃ καὶ ἀναπτερώνῃ τὰς καρδίας, ὅταν τοῦτο διαλάμπῃ εἰς τὴν ψυχήν, τί θὰ ἠμποροῦσε νὰ ἐξισωθῇ πρὸς τὸ τόσον καλὸν καὶ ὡραῖον; Διότι ἡ οὐσία τοῦ σωματικοῦ κάλλους δὲν εἶναι τίποτε ἄλλο παρὰ φλέγμα καὶ αἷμα καὶ ὑγρὸν καὶ χολὴ καὶ χυλὸς μασημένης τροφῆς. Διότι μὲ αὐτὰ ποτίζονται καὶ οἱ ὀφθαλμοὶ καὶ αἱ παρειαὶ καὶ ὅλα τὰ ἄλλα, καὶ ἂν καθημερινῶς δὲν δεχθοῦν αὐτὰ τὸ πότισμα, ποὺ ἀνεβαίνει ἀπὸ τὴν κοιλίαν καὶ τὸ ἧπαρ, τότε θὰ ἀρχίσουν τὸ δέρμα νὰ ρυτιδώνεται περισσότερον ἀπὸ ὅ,τι εἶναι φυσιολογικόν, οἱ ὀφθαλμοὶ νὰ κοιλαίνωνται καὶ ὅλη ἡ ὡραιότης τοῦ προσώπου νὰ ἐξαφανίζεται ἀμέσως. Ὥστε, ἐὰν σκεφθῇς τί ὑπάρχει κάτω ἀπὸ τοὺς ὡραίους ὀφθαλμούς, ἀπὸ τὴν εὐθεῖαν ρῖνα, τὸ στόμα καὶ τὰς παρειάς, δὲν θὰ εἴπῃς ὅτι ἡ ὡραιότης τοῦ σώματος εἶναι τίποτε ἄλλο παρὰ τάφος κεκονιασμένος. Ἀπὸ τόσην ἀκαθαρσίαν εἶναι γεμᾶτα τὰ ἐντός μας. Ἔπειτα, ἐὰν ἴδῃς κάποιον ράκος λερωμένον μὲ φλέγμα καὶ σίελον, οὔτε μὲ τὸ ἄκρον τῶν δακτύλων σου δὲν θὰ ὑπέφερες νὰ τὸ ἐγγίσῃς καὶ δὲν θὰ ἠνείχεσο οὔτε κἂν νὰ τὸ κυττάξῃς, ἐνῷ χάσκεις ἐκστατικὸς ἐμπρὸς εἰς τὰ σώματα ποὺ εἶναι ταμεῖα καὶ ἀποθῆκαι τῶν ἀκαθαρσιῶν αὐτῶν.

Τὸ ἰδικόν σου κάλλος ὅμως δὲν ἦτο τέτοιον, ἀλλ' ἦτο τόσον καλύτερον, ὅσον εἶναι ἀπὸ τὴν γῆν ὁ οὐρανός, μᾶλλον δὲ ἀκόμη λαμπρότερον καὶ καλύτερον. Βεβαίως ψυχὴν χωρὶς σῶμα κανεὶς πουθενὰ δὲν εἶδε. Παρὰ ταῦτα καὶ εἰς αὐτὴν τὴν κατάστασιν εὑρισκομένην θὰ προσπαθήσω νὰ παραστήσω τὸ κάλλος της ἀπὸ ἄλλην πλευράν. Ἀπὸ ποῦ

*θεν οὖν ἐπιδείξω τοῦτο; Ἀπὸ τῶν δυνάμεων τῶν μειζόνων.
Ἄκουσον γοῦν πῶς τὸν ἄνδρα τῶν ἐπιθυμιῶν ἡ τούτων
ὡραιότης ἐξέπληξε· βουλόμενος γὰρ αὐτῶν παραστῆσαι τὸ
κάλλος, καὶ οὐκ ἔχων σῶμα τοιοῦτον εὑρεῖν, ἐπὶ τὰς μεταλ-
5 λικὰς ὕλας κατέφυγε, καὶ οὐδὲ ταύταις ἠρκέσθη μόνον, ἀλ-
λὰ καὶ τὴν τῆς ἀστραπῆς λαμπρότητα εἰς τὸ ὑπόδειγμα πα-
ρελάμβανεν. Εἰ δὲ μὴ καθαρὰς μηδὲ γυμνὰς φήνασαι τὰς
ἑαυτῶν οὐσίας ἐκεῖναι, ἀλλ᾽ ἀμυδρῶς σφόδρα καὶ συνεσκια-
σμένως, ὅμως οὕτω διέλαμψαν, ὁποίας αὐτὰς εἰκὸς παντὸς
10 ἀπηλλαγμένας παραπετάσματος φαίνεσθαι. Τοιοῦτόν τι καὶ
περὶ τοῦ κάλλους τῆς ψυχῆς φαντάζεσθαι χρή· «ἔσονται γάρ»,
φησίν, «ὡς ἄγγελοι».*

*Καὶ ἐπὶ τῶν σωμάτων δὲ τὰ κουφότερα καὶ λεπτότερα
καὶ πρὸς τὴν ἐπὶ τὰ ἀσώματα φέρουσαν ὁδὸν ἀνακεχωρηκό-
15 τα, πολλῷ μᾶλλον βελτίω καὶ θαυμαστότερα τῶν ἑτέρων ἐστί.
Τῆς γοῦν γῆς ὁ οὐρανὸς καὶ τοῦ ὕδατος τὸ πῦρ καὶ οἱ ἀ-
στέρες τῶν λίθων εἰσὶν ὡραιότεροι· καὶ τὴν ἶριν δὲ πολλῷ
πλέον ἴων καὶ ρόδων καὶ τῶν ἄλλων ἁπάντων τῶν ἐπὶ τῆς
γῆς θαυμάζομεν ἀνθῶν. Καὶ ὅλως, εἴ γε ἐνῆν τοῖς σωματι-
20 κοῖς ὀφθαλμοῖς τὸ τῆς ψυχῆς κάλλος ἰδεῖν, κατεγέλασας ἂν
τῶν σωματικῶν ὑποδειγμάτων τούτων, οὕτως ἀσθενῶς ἡ-
μῖν τὴν τῆς ψυχῆς παραστησάντων ὡραιότητα. Μὴ δὴ τοι-
ούτου κτήματος μηδὲ τοσαύτης μακαριότητος ἀμελήσωμεν,
καὶ μάλισθ᾽ ὅτε εὔκολος ἡμῖν ἡ ἐπάνοδος πρὸς ἐκεῖνο τὸ κάλ-
25 λος ταῖς τῶν μελλόντων ἐλπίσι γίνεται. «Τὸ γὰρ παραυτίκα»,
φησίν, «ἐλαφρὸν τῆς θλίψεως ἡμῶν καθ᾽ ὑπερβολὴν εἰς ὑ-
περβολὴν αἰώνιον βάρος δόξης κατεργάζεται, μὴ σκοπούν-
των ἡμῶν τὰ βλεπόμενα, ἀλλὰ τὰ μὴ βλεπόμενα· τὰ γὰρ βλε-
πόμενα πρόσκαιρα, τὰ δὲ μὴ βλεπόμενα αἰώνια».*

30 *Εἰ δὲ θλίψεις, οἵας οἶδας, ἐλαφρὰς ἐκάλεσε καὶ κούφας
ὁ μακάριος Παῦλος, διὰ τὸ μὴ σκοπεῖν τὰ βλεπόμενα, πολλῷ*

---

59. Λουκᾶ 20, 36 .
60. Β΄ Κορ. 4, 17.

λοιπὰν θὰ τὸ ἐπιδείξω; Ἀπὸ τὰς ἀνωτέρας της πνευματικὰς φύσεις. Ἄκουσε λοιπὸν πῶς ἡ ὡραιότης αὐτῶν ἐξέπληξε τὸν Δανιήλ, τὸν ἄνδρα τῶν ἐπιθυμιῶν. Θέλων λοιπὸν νὰ παραστήσῃ τὸ κάλλος αὐτῶν καὶ μὴ ἔχων παρόμοιον σῶμα νὰ εὕρῃ, προσέφυγεν εἰς τὰς μεταλλικὰς ὕλας καὶ οὔτε ἠρκέσθη μόνον εἰς αὐτάς, ἀλλὰ ἔφερεν ὡς παράδειγμα καὶ τὴν λαμπρότητα τῆς ἀστραπῆς. Ἐὰν δὲ ἐκεῖναι διέλαμψαν τόσον, μολονότι δὲν ἔδειξαν τὴν οὐσίαν των καθαρὰν καὶ γυμνήν, ἀλλὰ πολὺ ἀμυδρῶς καὶ συνεσκιασμένως, πόσον ὡραιότεραι πρέπει νὰ εἶναι ὅταν ἀπαλλαγοῦν ὁποιουδήποτε καλύμματος. Κάτι παρόμοιον πρέπει νὰ φαντάζεται κανεὶς καὶ διὰ τὸ κάλλος τῆς ψυχῆς· «θὰ εἶναι», λέγει, «ὡσὰν ἄγγελοι»[59].

Ἀκόμη δὲ προκειμένου καὶ διὰ τὰ σώματα, καλύτερα καὶ θαυμαστότερα τῶν ἄλλων σωμάτων εἶναι ὅσα εἶναι ἐλαφρότερα καὶ λεπτότερα καὶ ὁμοιάζουν περισσότερον πρὸς τὰ ἀσώματα. Ὡραιότερον λοιπὸν εἶναι ὁ οὐρανὸς καὶ τοῦ ὕδατος τὸ πῦρ καὶ τῶν λίθων οἱ ἀστέρες. Τὰ χρώματα τῆς ἴριδος θαυμάζομεν πολὺ περισσότερον ἀπὸ τὰ ἴα καὶ τὰ ρόδα καὶ ἀπὸ ὅλα τὰ ἄνθη τῆς γῆς. Γενικῶς δέ, ἐὰν ἦτο δυνατὸν νὰ ἴδῃς μὲ τοὺς σωματικούς σου ὀφθαλμοὺς τὸ κάλλος τῆς ψυχῆς, θὰ ἐπεριφρονοῦσες αὐτὰ τὰ φυσικὰ παραδείγματα, ποὺ μᾶς παρέστησαν τόσον ἀσθενικὰ τὴν ὡραιότητα τῆς ψυχῆς. Ἂς μὴ ἀμελήσωμεν λοιπὸν τέτοιον ἀπόκτημα καὶ τέτοιαν μακαριότητα, καὶ μάλιστα ὅταν εἶναι εὔκολος ἡ ἐπάνοδος εἰς ἐκεῖνο τὸ κάλλος μὲ τὴν ἐλπίδα τῶν μελλόντων ἀγαθῶν. «Διότι μία πρόσκαιρος ἐλαφρὰ θλῖψις ἡμῶν φέρει ὡς καρπὸν αἰώνιον βάρος δόξης καθ' ὑπερβολήν, ἐὰν δὲν παρατηροῦμεν τὰ βλεπόμενα, ἀλλὰ τὰ μὴ βλεπόμενα· διότι τὰ βλεπόμενα εἶναι πρόσκαιρα τὰ δὲ μὴ βλεπόμενα αἰώνια»[60].

Ἐὰν δὲ τὰς θλίψεις, ποὺ γνωρίζεις, ὠνόμασεν ὁ ἀπόστολος Παῦλος ἐλαφράς, ἐπειδὴ δὲν ἀπέβλεπεν εἰς τὰ βλεπόμενα, πολὺ περισσότερον ὑποφερτὸν εἶναι τὸ νὰ

μᾶλλον τὸ παύσασθαι ἀσελγαίνοντα φορητόν. Οὐδὲ γὰρ ἐπὶ τοὺς κινδύνους σε καλοῦμεν τέως ἐκείνους, οὐδὲ ἐπὶ τοὺς θανάτους τοὺς καθημερινούς, τὰς πληγὰς τὰς συνεχεῖς, τὰς μάστιγας, τὰ δεσμά, τὴν πρὸς τὴν οἰκουμένην ἀπέχθειαν,
5 *τὸ παρὰ τῶν οἰκείων μῖσος, τὰς ἀγρυπνίας τὰς ἐπαλλήλους, τὰς ὁδοιπορίας τὰς μακράς, τὰ ναυάγια, τὰς τῶν λῃστῶν ἐφόδους, τὰς παρὰ τῶν συγγενῶν ἐπιβουλάς, τὰς ὑπὲρ τῶν φίλων ὀδύνας, τὸν λιμόν, τὸν κρυμόν, τὴν γυμνότητα, τὴν πύρωσιν, τὴν ἀθυμίαν τὴν ὑπὲρ τῶν αὐτοῦ, τὴν ὑπὲρ τῶν*
10 *οὐκ αὐτοῦ.*

Οὐδὲν τούτων ἀπαιτοῦμεν τέως, ἀλλὰ μόνον τοσοῦτον ἀξιοῦμεν, τῆς ἐπαράτου δουλείας ἀπαλλαγῆναι, καὶ πρὸς τὴν προτέραν ἐλευθερίαν ἐπανελθεῖν, ἐννοήσαντα καὶ τὴν ἐκ τῆς ἀσελγείας κόλασιν, καὶ τὴν ἐκ τοῦ προτέρου βίου τιμήν.
15 *Τὸ μὲν γὰρ τοὺς ἀπιστοῦντας τῷ τῆς ἀναστάσεως λόγῳ ῥαθύμως διακεῖσθαι, καὶ μηδέποτε ἐν τοιούτῳ γενέσθαι φόβῳ, θαυμαστὸν οὐδέν· τὸ δὲ ἡμᾶς τοὺς περὶ τῶν ἐκεῖ μᾶλλον ἢ τῶν ἐνταῦθα πεπεισμένους οὕτως ἀθλίως διάγειν καὶ ταλαιπώρως, καὶ μηδὲν ὑπὸ τῆς μνήμης πάσχειν ἐκείνων, ἀλλ'*
20 *εἰς ἐσχάτην ἀναισθησίαν καταπεσεῖν, τοῦτο πολλῆς ἀλογίας γέμον ἐστίν. Ὅταν γὰρ οἱ πιστεύοντες τὰ τῶν ἀπίστων πράττωμεν, μᾶλλον δὲ κἀκείνων ἀθλιώτερον διακεώμεθα (εἰσὶ γὰρ πολλοὶ καὶ ἐν αὐτοῖς οἳ κατὰ τὴν τοῦ βίου διέλαμψαν ἀρετήν), τίς ἔσται ἡμῖν παράκλησις, ποία συγγνώμη λοιπόν;*

25 *Καὶ ναυαγίῳ μὲν περιπεσόντες πολλοὶ τῶν ἐμπόρων, οὐκ ἀνέπεσαν, ἀλλὰ πάλιν ἐπέβησαν τῆς αὐτῆς ὁδοῦ, καὶ ταῦτα οὐ παρὰ τὴν οἰκείαν ῥαθυμίαν, ἀλλὰ παρὰ τὴν τῶν πνευμάτων ἀνάγκην τῆς ζημίας γεγενημένης αὐτοῖς· ἡμεῖς δὲ οἱ περὶ τοῦ τέλους θαρρεῖν ἔχοντες, καὶ ἀκριβῶς εἰδότες, ὅτι*
30 *μὴ βουλομένων ἡμῶν, οὔτε ναυάγιον οὔτε περὶ τὸ τυχὸν ἡμῖν ἡ ζημία συμβήσεται, οὐχ ἀψόμεθα πάλιν αὐτῶν καὶ ἐμπορευ-*

παύσῃ κανεὶς νὰ ἀσελγῇ. Διότι δὲν σὲ προσκαλοῦμεν νὰ ὑποστῇς τοὺς κινδύνους τῶν περασμένων καιρῶν, οὔτε τοὺς καθημερινοὺς θανάτους, τὰς συνεχεῖς πληγάς, τὰς μαστιγώσεις, τὰ δεσμά, τὴν πρὸς τὸν κόσμον ἀποστροφήν, τὸ παρὰ τῶν συγγενῶν μῖσος, τὰς ἀλλεπαλλήλους ἀγρυπνίας, τὰς μακρὰς ὁδοιπορίας, τὰ ναυάγια, τὰς ἐφόδους τῶν λῃστῶν, τὰς παρὰ τῶν συγγενῶν ἐπιβουλάς, τὴν λύπην ὑπὲρ τῶν φίλων, τὴν πεῖναν, τὸ ψῦχος, τὴν γυμνότητα, τὴν πύρωσιν, τὴν ἀθυμίαν διὰ τὰ κατὰ σὲ καὶ τὰ τῶν ἄλλων.

Τίποτε ἀπὸ ὅλα αὐτὰ δὲν σοῦ ζητοῦμεν πλέον, ἀλλὰ μίαν μόνον ἀξίωσιν ἔχω, νὰ ἀπαλλαγῇς ἀπὸ τὴν ἐπάρατον δουλείαν καὶ νὰ ἐπανέλθῃς εἰς τὴν προτέραν σου ἐλευθερίαν, ἀφοῦ ἐννοήσῃς καὶ τὴν τιμωρίαν ποὺ ἐπιφυλάσσεται ἕνεκα τῆς ἀσελγείας καὶ τὴν τιμὴν ἕνεκα τοῦ προτέρου βίου. Διότι τὸ νὰ ραθυμοῦν αὐτοὶ ποὺ δὲν πιστεύουν εἰς τὸ κήρυγμα τῆς ἀναστάσεως καὶ ποτὲ νὰ μὴ φθάνουν εἰς τοιοῦτον φόβον δὲν εἶναι καθόλου παράδοξον. Τὸ νὰ ζῶμεν ὅμως τόσον ἄθλια καὶ ταλαίπωρα ἡμεῖς ποὺ πιστεύομεν περισσότερον εἰς τὰ μέλλοντα παρὰ εἰς τὰ παρόντα καὶ νὰ μὴ παθαίνωμεν τίποτε ὅταν ἀναλογιζώμεθα ἐκεῖνα ἀλλὰ νὰ ἔχωμεν πέσει εἰς ἄκραν ἀναισθησίαν, αὐτὸ εἶναι ὑπερβολικὰ παράλογον. Διότι ὅταν οἱ πιστοὶ πράττωμεν ὅσα καὶ οἱ ἄπιστοι, ἢ μᾶλλον εὑρισκώμεθα εἰς χειροτέραν ἀπὸ ἐκείνους κατάστασιν (διότι ὑπάρχουν πολλοὶ καὶ μεταξὺ αὐτῶν, οἱ ὁποῖοι διέλαμψαν εἰς τὸν κατ' ἀρετὴν βίον), ποία παρηγορία καὶ ποία συγγνώμη θὰ ὑπάρξῃ δι' ἡμᾶς;

Καὶ πολλοὶ μὲν ἔμποροι μολονότι περιέπεσαν εἰς ναυάγια δὲν ἐγκατέλειψαν κατόπιν τὸ ἔργον των, ἀλλ' ἐπανέλαβαν ἐκ νέου τὸ ἴδιον ἐγχείρημα, ἂν καὶ δὲν ἔπταιαν οἱ ἴδιοι, ἀλλὰ ἔπαθαν τὴν ζημίαν ἀπὸ τὴν βίαν τῶν ἀνέμων. Ἡμεῖς ὅμως ποὺ ἠμποροῦμεν μὲ θάρρος νὰ ἐλπίζωμεν εἰς τὸ τέλος καὶ γνωρίζομεν καλῶς ὅτι, ἐὰν δὲν θέλωμεν ἡμεῖς, οὔτε ναυάγιον θὰ συμβῇ οὔτε καμμία τυχὸν ζημία,

σόμεθα καθάπερ καὶ τὸ πρότερον, ἀλλὰ κεισόμεθα ἀργοῦντες καὶ τὰς χεῖρας παρ' ἑαυτοῖς ἔχοντες; Καὶ εἴθε παρ' ἑαυτοῖς μόνον, καὶ μὴ καθ' ἑαυτῶν, ὅπερ λαμπρᾶς μανίας ἐστί. Καὶ γὰρ εἴ τις τῶν πυκτευόντων τὸν ἀνταγωνιστὴν ἀφεὶς κατὰ 5 τῆς ἑαυτοῦ κεφαλῆς τρέποι τὰς χεῖρας καὶ τὴν οἰκείαν ὄψιν συγκόπτοι, οὐ μετὰ τῶν μαινομένων αὐτὸν κατατάξομεν, εἰπέ μοι;

Ὑπεσκέλισεν ἡμᾶς ὁ διάβολος καὶ κατέβαλεν· οὐκοῦν ἀναστῆναι δεῖ, οὐχ ὑποσύρεσθαι πάλιν καὶ κατακρημνίζειν 10 ἑαυτοὺς καὶ ταῖς παρ' ἐκείνου πληγαῖς προστιθέναι τὰς παρ' ἑαυτῶν. Καὶ γὰρ καὶ ὁ μακάριος Δαυῒδ ἔπεσε πτῶμα τοιοῦτον, ὅπερ καὶ σὺ νῦν· καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ ἕτερον ἐφεξῆς, τὸ τοῦ φόνου λέγω. Τί οὖν; ἔμεινε κείμενος; οὐχὶ δὲ εὐθέως ἀνέστη πάλιν καὶ παρετάξατο πρὸς τὸν ἐχθρόν; 15 Οὕτω μὲν οὖν γενναίως αὐτὸν κατεπάλαισεν, ὡς καὶ τελευτήσαντα προστῆναι τῶν ἐκγόνων αὐτοῦ. Τῷ γὰρ Σολομῶντι τὴν μεγάλην παρανομίαν τετολμηκότι καὶ μυρίων ἀξίῳ γενομένῳ θανάτων, διὰ τὸν Δαυῒδ ὁ Θεός φησιν ἀφεῖναι αὐτῷ τὴν βασιλείαν ὁλόκληρον, οὑτωσὶ λέγων· «διαρρήσσων δια- 20 ρρήξω τὴν βασιλείαν σου ἐκ χειρός σου, καὶ δώσω αὐτὴν τῷ δούλῳ σου. Πλὴν ἐν ταῖς ἡμέραις σου οὐ ποιήσω ταῦτα». Διὰ τί; «Διὰ Δαυῒδ τὸν πατέρα σου ἐκ χειρὸς τοῦ υἱοῦ σου λήψομαι αὐτήν». Καὶ τῷ Ἐζεκίᾳ δὲ μέλλοντι κινδυνεύειν ὑπὲρ τῶν ἐσχάτων καίτοι γε ὄντι δικαίῳ, πάλιν διὰ τὸν 25 μακάριον ἐκεῖνον ἔλεγε βοηθεῖν· «ὑπερασπιῶ γάρ», φησίν, «ὑπὲρ τῆς πόλεως ταύτης τοῦ σῶσαι αὐτὴν δι' ἐμὲ καὶ διὰ Δαυῒδ τὸν παῖδά μου». Τοσαύτη τῆς μετανοίας ἡ ἰσχύς.

Εἰ δὲ ἐκεῖνος ταῦτα ἐβουλεύσατο, ἅπερ καὶ σὺ νῦν, ὅτι

---

61. Γ' Βασ. 11, 11-12.
62. Δ' Βασ. 19, 34.

δὲν θὰ ἐπιχειρήσωμεν πάλιν τὸ ἴδιον ἔργον, ὅπως καὶ πρίν, καὶ δὲν θὰ ἐπιδοθῶμεν εἰς τὸ ἐμπόριον ὅπως καὶ πρότερον, ἀλλὰ θὰ μείνωμεν ἄπρακτοι καὶ μὲ σταυρωμένας τὰς χεῖρας; Καὶ εἴθε νὰ τὰς ἔχωμεν σταυρωμένας καὶ ὄχι ὑψωμένας ἐναντίον μας, πρᾶγμα ποὺ ἀποτελεῖ ἐξαιρετικὴν παραφροσύνην. Διότι ἐὰν κανεὶς πυγμάχος ἀφήσῃ ἐλεύθερον τὸν ἀντίπαλόν του καὶ στρέψῃ τὰς χεῖρας αὐτοῦ κατὰ τῆς κεφαλῆς του καὶ τὸ πρόσωπόν του μωλωπισθῇ, εἰπέ μου λοιπόν, δὲν θὰ τὸν θεωρήσωμεν παράφρονα;

Μᾶς ὑπεσκέλισεν ὁ διάβολος καὶ μᾶς ἐνίκησε· λοιπόν, πρέπει νὰ ἐγερθῶμεν καὶ νὰ μὴ παρασυρώμεθα καὶ κατακρημνίζωμεν ἑαυτοὺς καὶ εἰς τὰ τραύματα ποὺ ἐδέχθημεν ἀπὸ ἐκεῖνον νὰ μὴ προσθέσωμεν καὶ ἐκ τῆς ἰδικῆς μας ἀμελείας ἄλλα. Διότι καὶ ὁ μακάριος Δαυῒδ ἔπεσεν εἰς τὸ ἴδιον παράπτωμα, εἰς τὸ ὁποῖον καὶ ἐσὺ τώρα, καὶ ὄχι μόνον εἰς αὐτό, ἀλλὰ καὶ εἰς ἄλλο ἐν συνεχείᾳ, δηλαδὴ τὸν φόνον. Τί συνέβη ὅμως; ἔμεινεν εἰς τὴν πτῶσιν του; Δὲν ἠγέρθη ἀμέσως πάλιν καὶ δὲν παρετάχθη διὰ νὰ ἀντιμετωπίσῃ πάλιν τὸν ἐχθρόν; Τέτοιαν δὲ νίκην κατέφερεν εἰς τὸν ἀντίπαλόν του, ὥστε καὶ μετὰ θάνατον ἔγινε προστάτης τῶν ἀπογόνων του. Εἰς τὸν Σολομῶντα ποὺ ἐτόλμησε τὴν μεγάλην ἐκείνην παρανομίαν καὶ ἔγινεν αἰτία πολλῶν θανάτων, ὁ Θεὸς λέγει, ὅτι διὰ τὸν Δαυῒδ τοῦ ἀφήνει τὴν βασιλείαν ὁλόκληρον, μὲ τοὺς λόγους· «θὰ ἁρπάσω βιαίως τὴν βασιλείαν ἀπὸ τὴν χεῖρά σου καὶ θὰ τὴν δώσω εἰς τὸν δοῦλόν σου. Ἀλλὰ δὲν θὰ πράξω τοῦτο εἰς τὰς ἡμέρας σου». Διατί; «Χάριν τοῦ Δαυῒδ τοῦ πατρός σου, θὰ τὴν πάρω ἀπὸ τὴν χεῖρα τοῦ υἱοῦ σου»[61]. Καὶ εἰς τὸν Ἐζεκίαν ποὺ ἐκινδύνευσε νὰ ἀποθάνῃ, μολονότι ἦτο δίκαιος, ὑπεσχέθη ὅτι θὰ τὸν βοηθήσῃ πάλιν πρὸς χάριν τοῦ μακαρίου Δαυῒδ, λέγων· «Θὰ ὑπερασπισθῶ», λέγει, «τὴν πόλιν ταύτην διὰ νὰ τὸν σώσω δι᾽ ἐμὲ καὶ διὰ Δαυῒδ τὸν παῖδα μου»[62]. Τόσον μεγάλη εἶναι ἡ δύναμις τῆς μετανοίας.

Ἐὰν λοιπὸν καὶ ἐκεῖνος ἐσκέπτετο αὐτὰ ποὺ σκέπτε-

λοιπὸν ἀδύνατον ἐξιλεώσασθαι τὸν Θεόν, καὶ εἰ ἐν ἑαυτῷ εἶπεν, 'ἐτίμησέ με τιμὴν μεγάλην ὁ Θεὸς καὶ εἰς προφήτας ἐνέταξε καὶ τὴν ἀρχὴν τῶν ὁμοφύλων ἐνεχείρισε, καὶ μυρίων κινδύνων ἐξήρπασε, πῶς οὖν δυνήσομαι μετὰ τοσαύτας εὐεργεσίας προσκεκρουκώς, καὶ τὰ τῶν ἐσχάτων τολμήσας, ἵλεω καταστῆσαι πάλιν αὐτόν;'. Εἰ ταῦτα ἐνενόησεν, οὐ μόνον τὰ μετὰ ταῦτα οὐκ ἂν ἔπραξεν, ἀλλὰ καὶ τὰ πρότερα ἐπέτριψεν ἄν.

15. Οὐδὲ γὰρ τὰ ἐν τοῖς σώμασι τραύματα μόνον θάνατον ἐργάζεται ἀμελούμενα, ἀλλὰ καὶ τὰ τῆς ψυχῆς· ἀλλ' ὅμως εἰς τοσοῦτον ἀνοίας ἠλάσαμεν ἡμεῖς, ὡς ἐκείνων μὲν ἐπιμελεῖσθαι σφοδρῶς, τούτων δὲ ὑπερορᾶν· καίτοι ἐπὶ μὲν τοῦ σώματος ἀνίατα πολλάκις πολλὰ συμβαίνειν εἰκός, καὶ οὐδὲν ἀπαγορεύομεν, ἀλλὰ συνεχῶς τῶν ἰατρῶν λεγόντων ἀκούοντες, ὅτι τοῦτο τὸ πάθος ἀφανίσαι φαρμάκοις οὐκ ἔνι, ὅμως ἐπικείμεθα παρακαλοῦντες παραμυθίαν γοῦν τινα ἐπινοῆσαι μικράν· ἐπὶ δὲ τῶν ψυχῶν, ἔνθα οὐδέν ἐστιν ἀνίατον νόσημα, οὐδὲ γὰρ ὑπὸ τὴν τῆς φύσεως ἀνάγκην ἐστίν, ἐνταῦθα ὡς ἀλλοτρίων ὄντων τῶν παθῶν, οὕτως ἀμελοῦμεν καὶ ἀπογινώσκομεν· καὶ ἔνθα μέν ἡ τῶν νοσημάτων φύσις εἰς ἀπόγνωσιν ἡμᾶς ἐμβάλλειν εἴωθε, καθάπερ τῶν πολλὰς ἐλπίδας ἐχόντων ὑγιείας ἐπιμελούμεθα· ἔνθα δὲ οὐδέν ἐστιν ὧν ἀπαγορεῦσαι χρή, ὥσπερ τῶν ἀπεγνωσμένων ἀφιστάμεθα καὶ παραμελοῦμεν· τοσούτῳ πλείονα τοῦ σώματος ἢ τῆς ψυχῆς λόγον ἔχομεν. Διά τοι τοῦτο οὐδὲ τὸ σῶμα διασῶσαι δυνάμεθα. Ὁ μὲν γὰρ τοῦ προηγουμένου παραμελῶν καὶ περὶ τὰ ἐλάττονα πᾶσαν τὴν σπουδὴν ἐπιδεικνύμενος, ἀμφότερα καταλύει καὶ ἀπόλλυσιν· ὁ δὲ τὴν τάξιν φυλάττων καὶ τὸ κυριώτερον διασώζων καὶ θεραπεύων, κἂν ἀμελήσῃ τοῦ δευ-

σαι καὶ ἐσὺ τώρα, ὅτι εἶναι ἀδύνατον νὰ ἐξιλεώσῃ τὸν Θεόν, καὶ ἐὰν ἔλεγε μέσα του· 'μὲ ἐτίμησεν ὁ Θεὸς μὲ μεγάλην τιμὴν καὶ εἰς τοὺς προφήτας μὲ κατέταξε καὶ τὴν ἐξουσίαν τῶν ὁμοεθνῶν μοῦ ἔδωσε καὶ μὲ προεφύλαξεν ἀπὸ πολλοὺς κινδύνους, πῶς θὰ ἠμπορέσω λοιπὸν νὰ ἐξιλεώσω πάλιν τὸν Θεὸν μετὰ ἀπὸ τέτοιου εἴδους παρανομίαν καὶ φόνον;' Ἐὰν ἐσκέπτετο αὐτά, ὄχι μόνον τὰ μετὰ ταῦτα δὲν θὰ ἔπραττεν, ἀλλὰ καὶ τὰ πρότερα θὰ ἐξηφάνιζεν.

15. Θάνατον δὲν προκαλοῦν μόνα τὰ τραύματα τοῦ σώματος, ὅταν παραμελῶνται, ἀλλὰ καὶ τῆς ψυχῆς. Καὶ ὅμως, εἰς τοιοῦτον σημεῖον παραλογισμοῦ ἐφθάσαμεν ἡμεῖς, ὥστε ἐκεῖνα μὲν νὰ ἐπιμελώμεθα προσεκτικῶς, αὐτὰ δὲ νὰ παραμελῶμεν. Μολονότι δὲ πολλὰ σώματα συμβαίνει πολλάκις, ὅπως εἶναι φυσικόν, νὰ παραμένουν ἀνίατα, παρὰ ταῦτα δὲν ἀπογοητευόμεθα καθόλου, ἀλλά, ἐνῷ συνεχῶς ἀκούομεν τοὺς ἰατροὺς νὰ λέγουν ὅτι τοῦτο τὸ πάθος δὲν εἶναι δυνατὸν νὰ θεραπευθῇ μὲ φάρμακα, ὅμως ἐπιμένομεν νὰ τοὺς παρακαλῶμεν νὰ ἐπινοήσουν κάποιαν μικρὰν παρηγορίαν. Εἰς τὰς ψυχὰς ὅμως ὅπου κανένα νόσημα δὲν ὑπάρχει ἀνίατον, ἀφοῦ αὐταὶ δὲν ὑπόκεινται εἰς τὰς συνεπείας τῶν φυσικῶν νόμων, παραμελοῦμεν τὰ πάθη, ὡσὰν νὰ ἦσαν ξένα, καὶ περιπίπτομεν εἰς ἀπόγνωσιν. Καὶ ἐκεῖ ὅπου ἡ φύσις τῶν νοσημάτων εἶναι εὔλογον νὰ μᾶς ὠθῇ εἰς ἀπόγνωσιν, φροντίζομεν διὰ τὴν ὑγείαν μας, ὡσὰν ἐκείνους ποὺ ἔχουν πολλὰς ἐλπίδας θεραπείας. Ἐκεῖ ὅμως ὅπου τίποτε δὲν ἀποκλείεται, ἀπομακρυνόμεθα καὶ δεικνύομεν ἀμέλειαν ὡσὰν ἀπεγνωσμένοι. Τόσον περισσότερον ἐνδιαφερόμεθα διὰ τὸ σῶμα παρὰ διὰ τὴν ψυχήν. Διὰ τοῦτο καὶ δὲν ἠμποροῦμεν νὰ σώσωμεν οὔτε τὸ σῶμα. Διότι ὁ παραμελῶν τὴν ἀνωτέραν τοῦ σώματος ψυχὴν καὶ ἐπιδεικνύων ὅλην τὴν φροντίδα διὰ τὸ κατώτερον τῆς ψυχῆς σῶμα καταστρέφει καὶ χάνει ἀμφότερα. Ὁ τηρῶν ὅμως τὴν τάξιν καὶ ἐπιμελούμενος καὶ περισώζων τὸ κυριώτερον, καὶ ἂν ἀκόμη παραμελήσῃ τὸ δεύτερον, μὲ τὴν σωτηρίαν τοῦ

τέρου, διὰ τῆς τοῦ πρώτου σωτηρίας καὶ τοῦτο διέσωσεν. Ὅπερ καὶ ὁ Χριστὸς ἡμῖν παραδηλῶν ἔλεγε· «μὴ φοβηθῆτε ἀπὸ τῶν ἀποκτεινόντων τὸ σῶμα, τὴν δὲ ψυχὴν μὴ δυναμένων ἀποκτεῖναι· φοβήθητε δὲ μᾶλλον τὸν δυνάμενον καὶ ψυ-
5 χὴν καὶ σῶμα ἀπολέσαι ἐν γεέννῃ».

Ἀρά σε πείθομεν, ὅτι οὐδέποτε τῶν τῆς ψυχῆς ὡς ἀνιάτων ἀπογινώσκειν δεῖ παθῶν, ἢ καὶ ἑτέρους πάλιν λογισμοὺς ἀνακινῆσαι χρή; Κἂν γὰρ μυριάκις ἀπογνῷς σεαυτοῦ, ἡμεῖς οὐκ ἀπογνωσόμεθά σου ποτέ, οὐδὲ ὅπερ ἑτέροις
10 ἐγκαλοῦμεν αὐτοὶ πεισόμεθα· καίτοι γε οὐκ ἔστιν ἴσον αὐτόν τινα ἀπελπίζειν ἑαυτόν, καὶ ἕτερον αὐτόν. Ὁ μὲν γὰρ ὑπὲρ ἑτέρου ταύτην ἔχων τὴν ὑπόνοιαν, κἂν συγγνωσθείη ταχέως· ὁ δὲ αὐτὸς περὶ ἑαυτοῦ, οὐκέτι. Τί δήποτε; Ὅτι αὐτὸς μὲν οὐκ ἔστι κύριος τῆς ἐκείνου σπουδῆς καὶ μετανοίας, τῆς δὲ
15 ἑαυτοῦ τὴν ἐξουσίαν ἔχει μόνος αὐτός. Ἀλλ' ὅμως οὐδὲ οὕτως ἀπογνωσόμεθά σου, κἂν μυριάκις σὺ τοῦτο πάθῃς· ἴσως γάρ, ἴσως ἔσται τις ἐπάνοδος πρὸς τὴν ἀρετὴν καὶ τὴν καταλλαγὴν τὴν πρὸς τὸν πρότερον βίον.

Ἄκουε δὲ καὶ τῶν ἑξῆς. Οἱ Νινευῖται τοῦ προφήτου
20 διατεινομένου καὶ σαφῶς ἀπειλοῦντος ἀκούσαντες, «ἔτι τρεῖς ἡμέραι καὶ Νινευὶ καταστραφήσεται», οὐδὲ οὕτως ἀνέπεσαν, ἀλλὰ καίτοι μὴ θαρροῦντες ὅτι πείσουσι τὸν Θεόν, μᾶλλον δὲ καὶ τοὐναντίον ἔχοντες ὑποπτεύειν ἀπὸ τοῦ χρησμοῦ (οὐ γὰρ μετὰ διορισμοῦ τινος εἴρητο τὸ λεχθέν, ἀλλ' ἀπόφασις ἦν
25 καθαρὰ) καὶ οὕτω τὴν μετάνοιαν ἐπεδείκνυντο λέγοντες· «τίς οἶδεν, εἰ μετανοήσει, καὶ παρακληθήσεται ὁ Θεός, καὶ ἀποστρέψει ἀπὸ ὀργῆς θυμοῦ αὐτοῦ, καὶ οὐ μὴ ἀπολώμεθα; Καὶ εἶδεν ὁ Θεὸς τὰ ἔργα αὐτῶν, ὅτι ἀπέστρεψαν ἀπὸ τῶν ὁδῶν αὐτῶν τῶν πονηρῶν, καὶ μετενόησεν ὁ Θεὸς ἐπὶ τῇ

---

63. Ματθ. 10, 28.
64. Ἰω. 3, 4.

πρώτου ἔχει διασώσει καὶ τοῦτο. Αὐτὸ δὲ δηλώνων καὶ ὁ Χριστὸς ἔλεγε· «μὴ φοβηθῆτε ἀπὸ τοὺς φονεύοντας τὸ σῶμα, τὴν δὲ ψυχὴν μὴ δυναμένους νὰ φονεύσουν· φοβηθῆτε δὲ μᾶλλον τὸν δυνάμενον καὶ ψυχὴν καὶ σῶμα νὰ καταστρέψῃ εἰς τὴν γέενναν»[63].

Σὲ πείθω ἆρά γε ὅτι διὰ τὰ πάθη τῆς ψυχῆς δὲν πρέπει ποτὲ νὰ ἀπελπιζώμεθα, θεωροῦντες αὐτὰ ὡς ἀνίατα, ἢ μήπως θέλῃς πάλιν καὶ ἄλλους λόγους; Καὶ ἂν ἀκόμη ἀπείρους φορὰς περιέλθῃς εἰς ἀπόγνωσιν, ἐγὼ ποτὲ δὲν θὰ ἀπελπισθῶ διὰ σέ, οὔτε θὰ πάθω καὶ ἐγὼ αὐτὸ διὰ τὸ ὁποῖον κατηγορῶ τοὺς ἄλλους, μολονότι βεβαίως δὲν εἶναι τὸ ἴδιον πρᾶγμα νὰ ἀπελπίζεται κανεὶς μόνος του καὶ νὰ τὸν ἀπελπίζῃ ἄλλος. Διότι ὁ ἔχων δι' ἄλλον αὐτὴν κατηγορίαν, θὰ ἠδύνατο νὰ συγχωρηθῇ ταχέως, ἐνῷ ὁ ἔχων αὐτὴν διὰ τὸν ἑαυτόν του, ποτὲ δὲν συγχωρεῖται. Διατί; Διότι αὐτὸς δὲν εἶναι κύριος τῆς φροντίδος καὶ μετανοίας ἐκείνου, τῆς ἰδικῆς του ὅμως μετανοίας ἐξουσίαν ἔχει μόνος αὐτός. Ἀλλ' ὅμως οὔτε ἔτσι δὲν θὰ περιέλθω εἰς ἀπόγνωσιν διὰ σέ, καὶ ἂν ἀκόμη πάθῃς τοῦτο ἀπείρους φοράς, διότι ἴσως ὑπάρξῃ κάποια ἐπιστροφὴ πρὸς τὴν ἀρετὴν καὶ ἀποκατάστασις εἰς τὸν πρότερόν σου βίον.

Ἄκουε δὲ καὶ τὰ ἑξῆς. Οἱ Νινευῖται ὅταν ἤκουσαν τὸν προφήτην Ἰωνᾶν ἀπευθυνόμενον καὶ σαφῶς ἀπειλοῦντα αὐτούς, ὅτι «ἀκόμη τρεῖς ἡμέραι ὑπολείπονται καὶ ἡ Νινευῒ θὰ καταστραφῇ»[64], οὔτε τότε ἀπεγοητεύθησαν, ἀλλὰ μολονότι δὲν ἤλπιζαν ὅτι θὰ πείσουν τὸν Θεόν, μᾶλλον δὲ καὶ τὸ ἀντίθετον ὑπωπτεύοντο ἀπὸ τὴν προειδοποίησιν τοῦ προφήτου (διότι εἰς τοὺς λόγους ἐκείνου δὲν ὑπῆρχε προθεσμία, ἀλλ' ἦτο ἀπόφασις καθαρά), παρὰ ταῦτα ὅμως ἐδείκνυαν τὴν μετάνοιάν των λέγοντες· «τίς οἶδε, μήπως μετανοήσῃ καὶ παρακληθῇ ὁ Θεὸς καὶ ἐπιστρέψῃ ἀπὸ τὴν ὀργὴν τοῦ θυμοῦ αὐτοῦ καὶ καταστραφῶμεν; Καὶ εἶδεν ὁ Θεὸς τὰ ἔργα αὐτῶν, ὅτι ἐπέστρεψαν ἀπὸ τὰς πονηρὰς ὁδούς των καὶ μετενόησεν ὁ Θεὸς διὰ τὴν τιμωρίαν, τὴν ὁ-

κακίᾳ, ᾗ ἐλάλησε τοῦ ποιῆσαι αὐτοῖς, καὶ οὐκ ἐποίησεν». Εἰ δὲ ἄνθρωποι βάρβαροι καὶ ἀλόγιστοι τοσοῦτον ἠδυνήθησαν συνιδεῖν, πολλῷ μᾶλλον ἡμᾶς τοῦτο ποιεῖν χρή, τοὺς τὰ θεῖα δόγματα παιδευθέντας, καὶ τῶν τοιούτων παραδειγμά-
5 *των καὶ ἐν ῥήμασι καὶ ἐν πράγμασι πολὺ τὸ πλῆθος ἑωρακότας. «Οὐ γάρ εἰσιν», φησίν, «αἱ βουλαί μου ὥσπερ αἱ βουλαὶ ὑμῶν, οὐδὲ αἱ ὁδοί μου ὥσπερ αἱ ὁδοὶ ὑμῶν· ἀλλ' ὅσον ἀπέχει ὁ οὐρανὸς ἀπὸ τῆς γῆς, τοσοῦτον ἀπέχει τὰ διανοήματά μου ἀπὸ τῆς διανοίας ὑμῶν, καὶ αἱ βουλαί μου ἀπὸ*
10 *τῶν βουλῶν ὑμῶν».*

Εἰ δὲ ἡμεῖς τοὺς πολλάκις προσκεκρουκότας τῶν οἰκετῶν, ἐὰν ἐπαγγέλλωνται γίνεσθαι βελτίους, καὶ προσιέμεθα καὶ πάλιν ἐπὶ τῆς προτέρας ἄγομεν τιμῆς, πολλάκις δὲ καὶ πλείονος αὐτοῖς τῆς παρρησίας μεταδιδόαμεν, πολλῷ μᾶλλον
15 *αὐτός. Εἰ μὲν γὰρ διὰ τοῦτο ἐποίησεν ἡμᾶς, ἵνα κολάσῃ, καλῶς ἂν ἀπεγνώκεις καὶ ἠμφισβήτεις ὑπὲρ τῆς σωτηρίας τῆς ἑαυτοῦ· εἰ δὲ δι' οὐδὲν ἕτερον ἢ δι' ἀγαθότητα μόνην ἡμᾶς ἐδημιούργησε καὶ ἵνα τῶν αἰωνίων ἀπολαύσωμεν καλῶν, καὶ πάντα ὑπὲρ τούτου ποιεῖ καὶ πραγματεύεται ἐκ*
20 *πρώτης ἡμέρας εἰς τὸ παρόν, τί ποτέ ἐστι τὸ ποιοῦν ἐνδοιάζειν ἡμᾶς;*

Σφόδρα αὐτὸν παρωργίσαμεν, καὶ ὡς οὐδεὶς ἀνθρώπων ἕτερος; οὐκοῦν διὰ τοῦτο μάλιστα ἀποστῆναι δεῖ τῶν παρόντων καὶ μεταγνῶναι ἐπὶ τοῖς προγεγενημένοις καὶ πολ-
25 *λὴν ἐπιδείξασθαι τὴν μεταβολήν. Οὐδὲ γὰρ οὕτως αὐτὸν τὰ ἅπαξ τολμηθέντα ὑφ' ἡμῶν παροξῦναι δύναιτ' ἄν, ὡς τὸ μηδὲ θελῆσαι μεταβαλέσθαι λοιπόν. Τὸ μὲν γὰρ ἁμαρτεῖν ἴσως ἀνθρώπινον, τὸ δὲ ἐπιμεῖναι τοῖς αὐτοῖς, τοῦτο οὐκ ἀνθρώπινον λοιπόν, ἀλλ' ὅλον σατανικόν. Ὅρα γὰρ καὶ διὰ*
30 *τοῦ προφήτου, πῶς τοῦτο μᾶλλον ἐκείνου μέμφεται ὁ Θεός· «καὶ εἶπον γάρ», φησί, «μετὰ τὸ πορνεῦσαι αὐτὴν ταῦτα πάν-*

---

65. Ἰω. 3, 10.
66. Ἠσ. 55, 8-9.

ποίαν εἶπεν ὁ Θεὸς ὅτι θὰ κάμῃ εἰς αὐτοὺς καὶ δὲν ἔκαμεν»[65]. Ἐὰν δὲ βάρβαροι καὶ ἀστόχαστοι ἄνθρωποι τόσον πολὺ ἠμπόρεσαν νὰ συνετισθοῦν, πολὺ περισσότερον πρέπει νὰ κάμωμεν τοῦτο ἡμεῖς ποὺ ἔχομεν διαπαιδαγωγηθῆ μὲ θεῖα διδάγματα καὶ τοιαῦτα παραδείγματα ἔχομεν ἴδει πολλὰ καὶ εἰς τοὺς λόγους καὶ εἰς τὰ γεγονότα. «Διότι», λέγει, «αἱ βουλαί μου δὲν εἶναι ὡσὰν τὰς βουλὰς ὑμῶν, οὔτε αἱ ὁδοί μου ὡσὰν τὰς ὁδοὺς ὑμῶν· ἀλλ' ὅσον ἀπέχει ὁ οὐρανὸς ἀπὸ τῆς γῆς, τόσον ἀπέχουν τὰ διανοήματά μου ἀπὸ τῆς διανοίας ὑμῶν καὶ αἱ βουλαί μου ἀπὸ τῶν βουλῶν ὑμῶν»[66].

Ἐὰν δὲ ἡμεῖς τοὺς ὑπηρέτας μας ποὺ συχνὰ σφάλουν, ὅταν ὑποσχεθοῦν ὅτι θὰ γίνουν καλύτεροι, τοὺς δεχόμεθα καὶ τοὺς δίδομεν πάλιν τὴν προτέραν των τιμήν, πολλάκις μάλιστα τοὺς ἐπιτρέπομεν νὰ ἔχουν περισσότερον θάρρος ἀπὸ πρὶν εἰς τὰς σχέσεις των πρὸς ἡμᾶς, πολὺ περισσότερον τοῦτο θὰ κάμῃ ὁ Θεός. Διότι ἐὰν μᾶς ἔπλασε διὰ νὰ μᾶς κολάσῃ, θὰ ἔκαμνες καλὰ νὰ ἀπελπίζεσαι καὶ νὰ ἀμφισβητῇς τὴν σωτηρίαν σου· ἐὰν ὅμως μᾶς ἐδημιούργησε διὰ τίποτε ἄλλο παρὰ ἀπὸ μόνην τὴν ἀγαθότητά του, διὰ νὰ ἀπολαύσωμεν τὰ αἰώνια ἀγαθά, καὶ πράττῃ τὰ πάντα δι' αὐτὸ καὶ ἀσχολῆται ἀπὸ τὴν πρώτην ἡμέραν μὲ αὐτό, τί εἶναι λοιπὸν αὐτὸ ποὺ μᾶς κάμνει νὰ ἔχωμεν ἐνδοιασμούς;

Τὸν παρωργίσαμεν πολὺ καὶ ὅσον κανεὶς ἄλλος ἄνθρωπος; Διὰ τοῦτο πρέπει περισσότερον νὰ ἀπομακρυνθῇς ἀπὸ τὰ παρόντα καὶ νὰ μεταμεληθῇς διὰ τὰ προηγούμενα καὶ νὰ ἐπιδείξῃς μεγάλην μεταβολήν. Δὲν θὰ ἠδύναντο δηλαδὴ νὰ τὸν παροξύνουν τόσον τὰ ἅπαξ τολμηθέντα ἀπὸ ἡμᾶς, ὅσον τὸ νὰ μὴ θελήσωμεν νὰ βελτιωθῶμεν εἰς τὸ ἑξῆς. Καθότι τὸ νὰ ἁμαρτήσῃ κανεὶς ἴσως εἶναι ἀνθρώπινον, τὸ νὰ παραμένῃ ὅμως εἰς τὴν ἁμαρτίαν, τοῦτο δὲν εἶναι καθόλου ἀνθρώπινον ἀλλὰ ἐντελῶς σατανικόν. Βλέπε δὲ πῶς ὁ Θεὸς διὰ τοῦ προφήτου του τοῦτο μέμφεται περισσότερον ἀπὸ ἐκεῖνο. «Καὶ εἶπα», λέγει, «ἀφοῦ αὐτὴ ἔκαμεν

τα, πρός με ἀνάστρεψον, καὶ οὐκ ἀνέστρεψε». Καὶ ἑτέρωθι πάλιν τὴν πολλὴν ῥοπήν, ἣν ἔχει πρὸς τὴν σωτηρίαν τὴν ἡμετέραν, ἐπιδεῖξαι βουλόμενος, ἐπειδὴ μετὰ τὰς πολλὰς παρανομίας ἐπηγγείλαντο τὴν ὀρθὴν βαδίζειν ὁδόν, ἀκούσας
5 *εἶπε· «τίς δώσει εἶναι οὕτω τὴν καρδίαν αὐτῶν ἐν αὐτοῖς, ὥστε φοβεῖσθαί με καὶ φυλάσσεσθαι τὰς ἐντολάς μου πάσας τὰς ἡμέρας αὐτῶν, ἵνα εὖ ᾖ αὐτοῖς καὶ τοῖς υἱοῖς αὐτῶν δι' αἰῶνος;». Καὶ ὁ Μωϋσῆς δὲ διαλεγόμενος αὐτοῖς ἔλεγε· «καὶ νῦν, Ἰσραήλ, τί Κύριος ὁ Θεὸς αἰτεῖ παρὰ σοῦ, ἀλλ' ἢ*
10 *φοβεῖσθαι Κύριον τὸν Θεόν σου καὶ πορεύεσθαι ἐν πάσαις ταῖς ὁδοῖς αὐτοῦ καὶ ἀγαπᾶν αὐτόν;». Ὁ τοίνυν σπουδάζων φιλεῖσθαι παρ' ἡμῶν καὶ πάντα ὑπὲρ τούτου ποιῶν καὶ μηδὲ τοῦ Μονογενοῦς ὑπὲρ τῆς ἡμετέρας φεισάμενος φιλίας καὶ ὅτε δήποτε ἂν καταλλαγῶμεν αὐτῷ τὸ πρᾶγμα τιθέμενος ἀ-*
15 *γαπητόν, πῶς μετανοοῦντας οὐ δέξεται καὶ φιλήσει;*

Ἄκουε γοῦν καὶ διὰ τοῦ προφήτου τί φησι· «λέγε σὺ τὰς ἀνομίας σου πρῶτος, ἵνα δικαιωθῇς». Καὶ τοῦτο δὲ ὑπὲρ τοῦ σφοδρὰν γενέσθαι τὴν πρὸς αὐτὸν φιλίαν ἀπαιτεῖ παρ' ἡμῶν. Ὅταν γὰρ ὁ φιλῶν πολλὰ παρὰ τῶν φιλουμένων ὑ-
20 *βρισθεὶς μηδὲ οὕτω σβέσῃ τὸν πόθον, δι' οὐδὲν ἕτερον εἰς μέσον ἐνεχθῆναι σπουδάζει τὰς ὕβρεις ἐκείνας, ἀλλ' ἵνα, τὸ στερρὸν αὐτοῦ τῆς φιλίας ἐπιδειξάμενος, εἰς πλείονα καὶ συντονωτέραν ἐπισπάσηται ἀγάπην ἐκείνους. Εἰ δὲ τὸ ὁμολογῆσαι τὰ ἁμαρτήματα τοσαύτην ἔχει τὴν παραμυθίαν, πολ-*
25 *λῷ μᾶλλον τὸ διὰ τῶν ἔργων αὐτὰ ἀπονίψασθαι. Ἐπεὶ εἰ μὴ τοῦτο ἦν, ἀλλὰ τοὺς ἅπαξ τῆς εὐθείας παρατραπέντας ὁδοῦ ἐπὶ τὰ πρότερα πάλιν ἐκώλυεν ἐπανελθεῖν, οὐδεὶς ἂν τάχα, πλὴν ὀλίγων καὶ εὐαριθμήτων σφόδρα, εἰς τὴν τῶν οὐρανῶν βασιλείαν εἰσῆλθέ ποτε· νῦν δὲ τοὺς μάλιστα λάμ-*

---

657. Ἱερ. 3, 7.
68. Δευτ. 5, 29.
69. Δευτ. 10, 12.

ὅλας αὐτὰς τὰς πορνείας. Γύρισε πρὸς ἐμέ, καὶ δὲν ἐγύρισε»[67]. Καὶ ἀλλοῦ πάλιν, θέλων νὰ δείξῃ τὴν μεγάλην κλίσιν ποὺ ἔχει πρὸς τὴν σωτηρίαν μας, ἐπειδὴ μετὰ τὰς πολλὰς παρανομίας ὑπεσχέθησαν ὅτι θὰ βαδίζουν τὴν ὀρθὴν ὁδόν, ὅταν τοὺς ἤκουσεν, εἶπεν· «Ποῖος θὰ δώσῃ νὰ διατεθῇ ἡ καρδία των μέσα των οὕτως, ὥστε νὰ μὲ φοβοῦνται καὶ νὰ φυλάσσουν τὰς ἐντολάς μου ὅλας τὰς ἡμέρας των, διὰ νὰ εὐημεροῦν αὐτοὶ καὶ οἱ υἱοί των αἰωνίως;»[68]. Καὶ ὁ Μωϋσῆς συνομιλῶν πρὸς αὐτοὺς ἔλεγε· «Καὶ τώρα, Ἰσραήλ, τί Κύριος ὁ Θεὸς ζητεῖ παρὰ σοῦ, εἰμὴ νὰ φοβῆσαι Κύριον τὸν Θεόν σου καὶ νὰ ἀκολουθῇς ὅλας τὰς ὁδοὺς αὐτοῦ καὶ νὰ ἀγαπᾷς αὐτόν;»[69]. Αὐτὸς λοιπὸν ποὺ φροντίζει νὰ ἀγαπᾶται ἀπὸ ἡμᾶς καὶ κάμνει τὸ πᾶν πρὸς τοῦτο καὶ ποὺ οὔτε τὸν μονογενῆ του Υἱὸν δὲν ἐλυπήθη διὰ τὴν μεθ' ἡμῶν φιλίαν καὶ ποὺ ὁποτεδήποτε καὶ ἂν συμφιλιωθῶμεν μαζί του θεωρεῖ τὸ πρᾶγμα τοῦτο ἀγαπητόν, πῶς δὲν θὰ μᾶς δεχθῇ καὶ ἀγαπήσῃ ὅταν μετανοήσωμεν;

Ἄκουε ὅμως καὶ διὰ τοῦ προφήτου τί λέγει· «Λέγε σὺ τὰς ἀνομίας σου πρῶτος, διὰ νὰ δικαιωθῇς»[70]. Τοῦτο δὲ τὸ ἀπαιτεῖ ἀπὸ ἡμᾶς διὰ νὰ γίνῃ ἡ πρὸς αὐτὸν φιλία μας σφοδρά. Ὅταν δηλαδὴ ὁ ἀγαπῶν, παρ' ὅλον ὅτι ἔχει πολὺ ὑβρισθῇ ἀπὸ τοὺς ἀγαπημένους του, ἐν τούτοις δὲν ἔσβησεν οὔτε ἔτσι τὸν πόθον του δι' αὐτούς, διὰ κανένα ἄλλον λόγον δὲν φροντίζει νὰ κοινοποιηθοῦν αἱ ὕβρεις, εἰμὴ μόνον διὰ νὰ δείξῃ τὴν σταθεράν του φιλίαν καὶ προσελκύσῃ ἐκείνους εἰς μεγαλυτέραν καὶ ἐντονωτέραν ἀγάπην. Ἐὰν δὲ ἡ ἐξομολόγησις τῶν ἁμαρτημάτων δίδῃ τόσην ἀνακούφισιν, πολὺ περισσοτέραν δίδει τὸ νὰ ἐξαλείψωμεν αὐτὰ διὰ τῶν ἔργων. Ἐὰν δὲν ὑπῆρχεν αὐτό, καὶ ὁ Θεὸς ἠμπόδιζε τοὺς ἅπαξ ἐκτραπέντας ἀπὸ τὴν εὐθεῖαν ὁδὸν νὰ ἐπιστρέψουν πάλιν εἰς τὸν προηγούμενον βίον, κανεὶς ἴσως ἐκτὸς ἐλαχίστων δὲν θὰ εἰσήρχετο ποτὲ εἰς τὴν βασιλείαν τῶν οὐρα-

70. Ἡσ. 43, 26.

ψαντας ἀπὸ τῶν πτωμάτων εὑρήσομεν. Οἱ γὰρ πολλὴν ἐν τοῖς κακοῖς ἐπιδειξάμενοι τὴν σφοδρότητα, καὶ ἐν τοῖς ἀγαθοῖς τὴν αὐτὴν ἐπιδείξονται πάλιν, συνειδότες ὅσων ἑαυτοὺς ὀφλημάτων ὑπευθύνους κατέστησαν· ὅπερ οὖν καὶ ὁ 5 Χριστὸς ἐδήλωσεν, ὅτε τῷ Σίμωνι περὶ τῆς γυναικὸς ἔλεγε· «βλέπεις γάρ», φησί, «ταύτην τὴν γυναῖκα; Εἰσῆλθόν σου εἰς τὴν οἰκίαν, ὕδωρ ἐπὶ τοὺς πόδας μου οὐκ ἔδωκας· αὕτη δὲ τοῖς δάκρυσι τοὺς πόδας μου ἔβρεξε, καὶ ταῖς θριξὶν αὐτῆς ἐξέμαξε. Φίλημά μοι οὐκ ἔδωκας· αὕτη δὲ ἀφ' οὗ 10 εἰσῆλθον, οὐ διέλιπε καταφιλοῦσά μου τοὺς πόδας. Ἐλαίῳ οὐκ ἤλειψας τὴν κεφαλήν μου, αὕτη δὲ μύρῳ ἤλειψε τοὺς πόδας μου. Οὗ χάριν λέγω σοι, ἀφέωνται αἱ ἁμαρτίαι αὐτῆς αἱ πολλαί, ὅτι ἠγάπησε πολύ. Ὧ δὲ ὀλίγον ἀφίεται, ὀλίγον ἀγαπᾷ. Εἶπε δὲ αὐτῇ· ἀφέωνταί σου αἱ ἁμαρτίαι».

15 *16. Διὰ τοῦτο καὶ ὁ διάβολος εἰδώς, ὅτι οἱ τὰ μεγάλα ἐργασάμενοι κακά, ὅταν ἄρξωνται μετανοεῖν, μετὰ πολλοῦ τοῦ τόνου τοῦτο πράττουσιν, ἅτε εἰδότες τὰ πλημμεληθέντα αὐτοῖς, δέδοικε καὶ τρέμει μήποτε ἀρχήν τινα τοῦ πράγματος λάβωσι· μετὰ γὰρ τὸ λαβεῖν ἀκάθεκτοι λοιπόν εἰσι, καὶ πυρὸς 20 δίκην ὑπὸ τῆς μετανοίας ἀναζέσαντες, χρυσίου καθαροῦ καθαρωτέρας τὰς ἑαυτῶν ἀπεργάζονται ψυχάς, καθάπερ ὑπό τινος πνεύματος σφοδροῦ τοῦ συνειδότος καὶ τῆς μνήμης τῶν προτέρων ἁμαρτημάτων εἰς τὸν τῆς ἀρετῆς λιμένα ὠθούμενοι. Καὶ τοῦτό ἐστιν ὃ πλεονεκτοῦσι τῶν οὐδαμῶς καταπε-25 σόντων, ὅτι σφοδροτέρᾳ κέχρηνται τῇ προθυμίᾳ· μόνον, ὅπερ ἔφην, ἂν τῆς ἀρχῆς ἐπιλάβωνται. Τὸ γὰρ δυσχερὲς καὶ δυσκατόρθωτον τοῦτό ἐστι, τὸ δυνηθῆναι ἐπιβῆναι τῆς εἰσόδου καὶ τῶν προθύρων ἐφάψασθαι τῆς μετανοίας, καὶ τὸν ἐχθρὸν*

---

71. Λουκᾶ 7, 44-48.

νῶν. Ἐνῷ τώρα θὰ εὕρωμεν ὅτι οἱ περισσότερον δοξασθέντες εἶναι ἐκεῖνοι ποὺ μετενόησαν διὰ τὰ σφάλματά των. Διότι ἐκεῖνοι ποὺ ἐσημείωσαν μεγάλην ἐπίδοσιν εἰς τὸ κακόν, καὶ εἰς τὰ ἀγαθὰ τὴν ἰδίαν πάλιν θὰ ἐπιδείξουν, ἐπειδὴ γνωρίζουν καλῶς μὲ πόσον χρέος εἶναι χρεωμένοι, πρᾶγμα ποὺ ἐδήλωσε καὶ ὁ Χριστός, ὅταν ἔλεγε πρὸς Σίμωνα τὸν φαρισαῖον περὶ τῆς γυναικὸς ἐκείνης· «Βλέπεις, λέγει, ταύτην τὴν γυναῖκα; Εἰσῆλθον εἰς τὴν οἰκίαν σου, ὕδωρ εἰς τοὺς πόδας μου δὲν ἔδωσες· αὐτὴ δὲ μὲ τὰ δάκρυα τοὺς πόδας μου ἔβρεξε καὶ μὲ τὰς τρίχας αὐτῆς τοὺς ἐσπόγγισε. Φίλημα δὲν μοῦ ἔδωσες· αὐτὴ δὲ ἀφ᾽ ὅτου εἰσῆλθον δὲν ἔπαυσε νὰ καταφιλῇ τοὺς πόδας μου· μὲ ἔλαιον δὲν ἤλειψες τὴν κεφαλήν μου, αὐτὴ δὲ μὲ μῦρον ἤλειψε τοὺς πόδας μου. Διὰ τοῦτο σοῦ λέγω θὰ ἀφαιθοῦν αἱ ἁμαρτίαι αὐτῆς αἱ πολλαί, διότι ἠγάπησε πολύ. Εἰς ὅποιον δὲ ἀφήνεται ὀλίγον, ὀλίγον ἀγαπᾷ. Εἶπε δὲ εἰς αὐτήν, ἀφέωνταί σου αἱ ἁμαρτίαι»[71].

16. Διὰ τοῦτο καὶ ὁ διάβολος, ἐπειδὴ γνωρίζει ὅτι οἱ διαπράξαντες τὰ μεγάλα κακά, ὅταν ἀρχίζουν νὰ μετανοοῦν, πράττουν τοῦτο πολὺ ἔντονα, καθότι γνωρίζουν ὅσα ἐπλημμέλησαν οἱ ἴδιοι, φοβεῖται καὶ τρέμει μήπως ποτὲ κάμουν ἀρχὴν τῆς μετανοίας. Διότι ὅταν ἀρχίσουν, τότε προχωροῦν ἀκάθεκτοι καὶ ὑπὸ τῆς μετανοίας ἀναρριπιζόμενοι ὡσὰν πῦρ, ἐπεξεργάζονται τὰς ψυχάς των καθαροτέρας καὶ ἀπὸ τὸν καθαρὸν χρυσόν, ὡσὰν νὰ ὠθοῦνται ἀπὸ κάποιον ἄνεμον ἰσχυρόν, τῆς συνειδήσεως καὶ τῆς ἀναμνήσεως τῶν ἁμαρτημάτων, εἰς τὸν λιμένα τῆς ἀπαθείας. Καὶ εἰς τοῦτο εὑρίσκονται εἰς πλεονεκτικωτέραν θέσιν ἀπὸ τοὺς μὴ ἁμαρτήσαντας καθόλου, εἰς τὸ ὅτι ἔχουν περισσότερον ὁρμητικὴν τὴν προθυμίαν των. Ἀρκεῖ, ὅπως εἶπα καὶ πρίν, νὰ κάμουν ἀρχήν. Διότι τὸ δυσχερὲς καὶ δυσκατόρθωτον εἶναι τοῦτο, τὸ νὰ ἠμπορέσῃ κανεὶς νὰ σταθῇ εἰς τὴν εἴσοδον καὶ ἐγγίσῃ τὰ πρόθυρα τῆς μετανοίας καὶ νὰ απωθήσῃ καὶ νὰ καταβάλῃ τὸν ἐχθρὸν ποὺ κάθεται εἰς τὴν εἴσοδον καὶ

ἐκεῖ πολὺ πνέοντα καὶ ἐπικείμενον ἀπώσασθαι καὶ καταβαλεῖν. Μετὰ δὲ ταῦτα οὔτε ἐκεῖνος τοσαύτην ἐπιδείξεται τὴν μανίαν ἅπαξ ἡττηθείς, καὶ ἔνθα ἦν ἰσχυρὸς καταπεσών, ἡμεῖς δὲ μείζονα τὴν προθυμίαν ληψόμεθα, καὶ μετὰ πολλῆς
5 *τῆς εὐκολίας δραμούμεθα τὸν καλὸν ἀγῶνα τοῦτον.*

Ἐπιλαβώμεθα τοίνυν τῆς ἐπανόδου λοιπόν, ἀναδράμωμεν εἰς τὴν πόλιν τὴν ἐν τοῖς οὐρανοῖς, ἐν ᾗ καὶ ἀπεγράφημεν, ἐν ᾗ καὶ πολιτεύεσθαι προσιετάγμεθα. Τὸ γὰρ ἀπογινώσκειν ἑαυτῶν, οὐ τοῦτο μόνον ἔχει τὸ κακόν, ὅτι τὰς πύλας
10 *ἡμῖν ἀποκλείει τῆς πόλεως ἐκείνης, οὐδ' ὅτι εἰς μείζονα ῥαθυμίαν ἄγει καὶ καταφρόνησιν, ἀλλ' ὅτι καὶ εἰς ἀπόνοιαν ἐμβάλλει σατανικήν. Καὶ γὰρ καὶ ὁ διάβολος οὐδεμόθεν ἑτέρωθεν τοιοῦτος ἐγένετο, ἀλλ' ἢ ἀπὸ τοῦ πρότερον μὲν ἀπογνῶναι, ὕστερον δὲ ἐκ τῆς ἀπογνώσεως εἰς ἀπόνοιαν*
15 *ἐμπεσεῖν. Ψυχὴ γάρ, ἐπειδὰν ἅπαξ ἀπαγορεύσῃ τὴν σωτηρίαν τὴν ἑαυτῆς, οὐδὲ αἰσθήσεται λοιπὸν ὅπως κατακρημνίζεται, πάντα αἱρουμένη καὶ λέγειν καὶ ποιεῖν τὰ κατὰ τῆς σωτηρίας τῆς ἑαυτῆς. Καὶ καθάπερ οἱ μαινόμενοι, ἐπειδὰν ἅπαξ τῆς ὑγιοῦς ἐκπέσωσι καταστάσεως, οὐδὲν δεδοίκασιν,*
20 *οὐδὲ αἰσχύνονται, ἀλλ' ἀδεῶς ἅπαντα τολμῶσι, κἂν εἰς πῦρ μέλλωσιν ἐμπίπτειν κἂν εἰς πέλαγος κἂν εἰς κρημνόν· οὕτω καὶ οἱ τῇ τῆς ἀπογνώσεως παραφροσύνῃ ληφθέντες ἀφόρητοι λοιπόν εἰσι, πανταχοῦ τῆς κακίας διατρέχοντες, κἂν μὴ θάνατον αὐτοῖς ἐπελθὼν κωλύσῃ τῆς μανίας ἐκείνης*
25 *καὶ τῆς φορᾶς, μυρία ἑαυτοῖς ἐργάζονται δεινά.*

Διὰ τοῦτο παρακαλῶ πρὶν ἢ σφόδρα ὑπὸ ταύτης βαπτισθῆναί σε τῆς μέθης, ἀνανῆψαι καὶ διεγερθῆναι, καὶ τὴν σατανικὴν κραιπάλην ἀπώσασθαι, καὶ εἰ μὴ δυνατὸν ἀθρόως, ἀλλ' ἠρέμα καὶ κατὰ μικρόν. Ἐμοὶ μὲν γὰρ εὐκολώτερον
30 *εἶναι φαίνεται, τὸ πάντων ὁμοῦ τῶν κατεχόντων ἀποσπασθέντα σχοινίων, μεταθεῖναι ἑαυτὸν εἰς τὸ τῆς μετανοίας γυμνάσιον. Εἰ δέ σοι δύσκολον εἶναι τοῦτο δοκεῖ, ὡς ἂν ἐθέλῃς*

ἐκπέμπει πῦρ. Μετὰ δὲ τοῦτο, οὔτε ἐκεῖνος δὲν θὰ ἐπιδείξῃ τόσην μανίαν ἅπαξ καὶ ἡττηθῇ καὶ πέσῃ ἐκεῖ ὅπου ἦτο ἰσχυρός, ἡμεῖς δὲ θὰ ἀποκτήσωμεν μεγαλυτέραν προθυμίαν καὶ μὲ πολλὴν εὐκολίαν θὰ βαδίσωμεν τὸν καλὸν ἀγῶνα.

Ἂς ἀρχίσωμεν λοιπὸν τὴν ἐπιστροφὴν καὶ ἂς ἐπιστρέψωμεν ἀνατρέχοντες εἰς τὴν πόλιν τὴν ἐν τοῖς οὐρανοῖς, εἰς τὴν ὁποίαν καὶ ἐπολιτογραφήθημεν καὶ διετάχθημεν νὰ πολιτευώμεθα. Διότι τὸ νὰ περιέλθωμεν εἰς ἀπόγνωσιν, δὲν ἔχει μόνον τὸ κακὸν ὅτι μᾶς κλείει τὰς πύλας τῆς πόλεως ἐκείνης, οὔτε ὅτι μᾶς ὁδηγεῖ εἰς μεγαλυτέραν ρᾳθυμίαν καὶ καταφρόνησιν, ἀλλ' ὅτι μᾶς ἐμβάλλει καὶ εἰς ἀνοησίαν σατανικήν. Διότι καὶ ὁ διάβολος ἀπὸ οὐδὲν ἄλλο ἔγινε τοιοῦτος, παρὰ ἀπὸ τὸ ὅτι πρῶτον μὲν περιῆλθεν εἰς ἀπόγνωσιν, ἔπειτα δὲ ἐκ τῆς ἀπογνώσεως ἔπεσεν εἰς ἀνοησίαν. Καὶ ἡ ψυχὴ λοιπόν, ὅταν μίαν φορὰν ἐμποδίσῃ εἰς τὸν ἑαυτόν της τὴν σωτηρίαν, οὔτε θὰ αἰσθανθῇ εἰς τὸ ἑξῆς πῶς κατακρημνίζεται, προτιμῶσα νὰ λέγῃ καὶ κάμνῃ τὰ πάντα ἐναντίον τῆς σωτηρίας της. Καὶ ὅπως ἀκριβῶς οἱ μαινόμενοι, ὅταν κάποτε ἐκπέσουν τῆς ὑγιοῦς καταστάσεως, τίποτε δὲν φοβοῦνται οὔτε ἐντρέπονται, ἀλλὰ ἀφόβως τολμοῦν τὰ πάντα, ἀκόμη καὶ ἂν πρόκειται νὰ πέσουν εἰς τὸ πῦρ ἢ τὸν κρημνὸν ἢ τὸ πέλαγος, ἔτσι καὶ ὅσοι κατελήφθησαν ἀπὸ τὴν τρέλλαν τῆς ἀπογνώσεως εἶναι εἰς τὸ ἑξῆς ἀσυγκράτητοι· τρέχουν εἰς κάθε τομέα κακίας καὶ ἂν δὲν προλάβῃ ὁ θάνατος νὰ τοὺς ἐμποδίσῃ ἀπὸ ἐκείνην τὴν μανίαν καὶ τὴν φοράν, προξενοῦν εἰς τὸν ἑαυτόν των ἄπειρα κακά.

Διὰ τοῦτο σὲ παρακαλῶ, πρὶν ἀκόμη καταποντισθῇς βιαίως ὑπὸ τῆς μέθης αὐτῆς, νὰ ἀνανήψῃς καὶ ἐγερθῇς, καὶ νὰ ἐκδιώξῃς τὴν σατανικὴν κραιπάλην καὶ ἂν δὲν εἶναι δυνατὸν νὰ τὸ κάμῃς διὰ μιᾶς νὰ τὸ κάμῃς τοὐλάχιστον κατ' ὀλίγον καὶ μὲ ἤρεμον τρόπον. Εἰς ἐμὲ ὅμως φαίνεται εὐκολώτερον νὰ ἀποδεσμευθῇ κανεὶς ἀπὸ ὅλα μαζὶ τὰ περισφίγγοντα αὐτὸν σχοινία καὶ νὰ μετατεθῇ εἰς τὸν ἀγῶνα τῆς μετανοίας. Ἐὰν ὅμως τοῦτο σοῦ φαίνεται δύσκολον,

ἅψαι τῆς ὁδοῦ τῆς ἐπὶ τὰ κρείττω φερούσης, μόνον ἅψαι καὶ ἐπιλαβοῦ τῆς αἰωνίου ζωῆς. Ναί, δέομαι καὶ ἀντιβολῶ, πρὸς τῆς εὐδοκιμήσεως τῆς προτέρας, πρὸς τῆς παρρησίας ἐκείνης, οὕτω πάλιν σε ἐπὶ τῆς κορυφῆς καὶ τῆς καρτερίας ἴδωμεν
5 *τῆς αὐτῆς. Φεῖσαι τῶν σκανδαλιζομένων διὰ τὴν σὴν κεφαλήν, τῶν καταπιπτόντων, τῶν γινομένων ῥαθυμοτέρων, τῶν ἀπογινωσκόντων τὴν τῆς ἀρετῆς ὁδόν.*

Νῦν μὲν γὰρ κατήφεια τὸν τῶν ἀδελφῶν ἔχει χορόν, ἡδονὴ δὲ καὶ εὐθυμία τὰ τῶν ἀπίστων συνέδρια καὶ τὰ τῶν
10 *νέων τῶν ῥαθυμότερον διακειμένων. Ἂν δὲ ἐπανέλθῃς πάλιν ἐπ' ἐκείνην τοῦ βίου τὴν ἀκρίβειαν, τοὐναντίον γενήσεται, καὶ ἡ μὲν ἡμετέρα αἰσχύνη εἰς ἐκείνους μεταστήσεται, πᾶσα, ἡμεῖς δὲ ἐν παρρησίᾳ ἐσόμεθα πολλῇ, μετὰ πλείονος λαμπρότητος στεφανούμενόν σε καὶ ἀνακηρυττόμενον ὁρῶντες πά-*
15 *λιν. Μείζονα γὰρ αἱ τοιαῦται νῖκαι φέρουσι καὶ τὴν εὐδοκίμησιν καὶ τὴν ἡδονήν. Οὐδὲ γὰρ τῶν οἰκείων κατορθωμάτων μόνον λήψῃ τὸν μισθόν, ἀλλὰ καὶ τῆς ἑτέρων παρακλήσεως καὶ παραμυθίας, ὑπόδειγμα μέγιστον ἐγκείμενος, εἴ ποτέ τις τοῖς αὐτοῖς περιπέσοι κακοῖς πρὸς τὸ διαναστῆναι πάλιν καὶ*
20 *ἀνακτήσασθαι ἑαυτόν.*

Μὴ δὴ κέρδος παρίδῃς τοσοῦτο, μηδὲ καταγάγῃς εἰς ᾅδου μετὰ λύπης τὰς ἡμετέρας ψυχάς, ἀλλὰ δὸς ἡμῖν ἀναπνεῦσαι καὶ τὸ κατέχον ἡμᾶς διὰ σὲ τῆς ἀθυμίας ἀποσείσασθαι νέφος. Νῦν μὲν γὰρ τὰ οἰκεῖα παρέντες κακά, θρηνοῦ-
25 *μεν τὰς σὰς συμφοράς· ἐὰν δὲ θελήσῃς ἀνανῆψαι καὶ διαβλέψαι, καὶ τῆς στρατιᾶς ἐπιλαβέσθαι τῆς ἀγγελικῆς, καὶ τούτου τοῦ πένθους ἀπαλλάξεις ἡμᾶς, καὶ τῶν ἡμετέρων ἁμαρτημάτων τὸ πλέον ἀρεῖς. Ὅτι γὰρ ἔστι τοὺς ἐκ μετανοίας πάλιν ἐπανελθόντας λάμψαι μέγα καὶ φαιδρόν, καὶ*

ἀνάλαβε τὴν ὁδὸν ποὺ ὁδηγεῖ εἰς τὰ ἀνώτερα, ὅπως καὶ ἂν θελήσῃς, ἀλλὰ μόνον ἀνάλαβε καὶ φρόντισε διὰ τὴν αἰώνιον ζωήν. Ναί, σὲ παρακαλῶ καὶ σὲ ἱκετεύω ἐν ὀνόματι τῆς προτέρας σου εὐδοκιμήσεως καὶ παρρησίας, ἔτσι πάλιν ἂς σὲ ἴδωμεν ἐπάνω εἰς τὴν ἰδίαν κορυφὴν τῆς καρτερικότητος. Λυπήσου τοὺς σκανδαλιζομένους διὰ σέ, τοὺς πίπτοντας, ὅσους γίνονται ρᾳθυμότεροι καὶ ὅσους ἀπελπίζονται διὰ τὴν ὁδὸν τῆς ἀρετῆς.

Διότι τώρα ἔχει καταλάβει τὰς ὁμάδας τῶν ἀδελφῶν μας κατήφεια, ἡδονὴ δὲ καὶ εὐθυμία τὰς συντροφιὰς τῶν ἀπίστων καὶ τῶν νέων ἐκείνων ποὺ εὑρίσκονται εἰς ρᾳθυμοτέραν κατάστασιν. Ἐὰν ὅμως ἐπιστρέψῃς πάλιν εἰς τὴν προηγουμένην ὀρθότητα τοῦ βίου σου, θὰ συμβῇ τὸ ἀντίθετον, καὶ ἡ μὲν ἐντροπή μας θὰ μετατεθῇ εἰς ἐκείνους, ἡμεῖς δὲ θὰ ἐμφανιζώμεθα μὲ μεγάλην παρρησίαν, ἐπειδὴ θὰ σὲ βλέπωμεν νὰ στεφανώνεσαι μὲ περισσοτέραν λαμπρότητα καὶ νὰ ἐγκωμιάζεσαι πάλιν. Νίκαι αὐτοῦ τοῦ εἴδους προσφέρουν πράγματι μεγαλυτέραν εὐδοκίμησιν καὶ εὐχαρίστησιν. Διότι δὲν θὰ λάβῃς μόνον τὸν μισθὸν διὰ τὰ κατορθώματά σου, ἀλλὰ καὶ διὰ τὴν παρηγορίαν καὶ παραμυθίαν τῶν ἄλλων, καθιστάμενος μέγα ὑπόδειγμα, εἰς ὅποιον τυχὸν ἤθελε περιπέσει εἰς τὸ ἴδιον παράπτωμα, διὰ νὰ ἐγερθῇ ἐκ νέου καὶ ἐπανεύρῃ τὸν ἑαυτόν του.

Μὴ παραβλέψῃς λοιπὸν ἕνα τόσον μέγα κέρδος, καὶ μὴ κατεβάσῃς μέχρις Ἅδου τὰς ψυχάς μας ἀπὸ λύπην, ἀλλὰ δός μας τὴν δυνατότητα νὰ ἀναπνεύσωμεν καὶ νὰ ἀποτινάξωμεν τὸ νέφος τῆς ἀθυμίας ποὺ μᾶς κατέχει. Διότι τώρα, ἀφοῦ ἀφήσαμεν κατὰ μέρος τὰ ἰδικά μας δεινά, θρηνοῦμεν τὰς ἰδικά σου συμφοράς. Ἂν ὅμως θελήσῃς νὰ ἀνανήψῃς καὶ ἴδῃς καθαρῶς καὶ ἀναλάβῃς τὴν πραγματοποίησιν τῆς ἀγγελικῆς πολιτείας, καὶ ἀπὸ τὸ πένθος τοῦτο θὰ μᾶς ἀπαλλάξῃς καὶ τὸ περίσσευμα τῶν ἁμαρτημάτων μας θὰ ἄρῃς. Ὅτι δὲ εἶναι δυνατὸν οἱ ἐκ μετανοίας ἐπιστρέψαντες νὰ λάμψουν μεγάλως καὶ φαιδρῶς καὶ πολλάκις πε-

πλέον πολλάκις τῶν μηδὲ πεσόντων τὴν ἀρχήν, ἀπεδείξαμεν καὶ ἀπὸ τῶν θείων Γραφῶν. Οὕτω γοῦν καὶ οἱ τελῶναι καὶ αἱ πόρναι τὴν βασιλείαν τῶν οὐρανῶν κληρονομοῦσιν, οὕτω πολλοὶ τῶν ἐσχάτων τῶν πρώτων ἔμπροσθεν τίθενται.

5 *17. Ἐρῶ δέ σοι καὶ τὰ ἐφ' ἡμῶν γεγενημένα, καὶ ὧν δυνήσῃ γενέσθαι μάρτυς αὐτός. Οἶσθά που τὸν νέον ἐκεῖνον τὸν Οὐρβανοῦ παῖδα, τὸν Φοίνικα, τὸν ἐν ὀρφανίᾳ μὲν καταλειφθέντα ἀώρῳ, κύριον δὲ πολλῶν χρημάτων καὶ οἰκετῶν γενόμενον καὶ ἀγρῶν. Οὗτος τὸ μὲν πρῶτον ἐρρῶσθαι πολ-*
10 *λὰ ταῖς ἐν τοῖς μουσείοις διατριβαῖς εἰπών, καὶ τὴν λαμπρὰν ἐκείνην ἀμφίασιν ἀφεὶς καὶ τὸν τῦφον ἅπαντα τὸν βιωτικόν, ἐξαίφνης ἱμάτιον εὐτελὲς περιθέμενος, καὶ πρὸς τὴν ἐν τοῖς ὄρεσιν ἐρημίαν ἀναχωρήσας, πολλὴν ἐπεδείξατο τὴν φιλοσοφίαν, οὐ κατὰ τὴν ἡλικίαν μόνον, ἀλλ' ὅσην ἄν τις*
15 *τῶν μεγάλων καὶ θαυμαστῶν ἀνδρῶν. Μετὰ δὲ ταῦτα καὶ τῆς ἱερᾶς τῶν μυστηρίων τελετῆς ἀξιωθείς, πολλῷ μᾶλλον ἐπεδίδου πρὸς ἀρετήν. Καὶ πάντες ἔχαιρον, καὶ ἐδόξαζον τὸν Θεόν, ὅτι καὶ ἐν πλούτῳ τραφεὶς καὶ προγόνους ἔχων λαμπροὺς καὶ σφόδρα ἔτι νέος ὤν, ἐξαίφνης πᾶσαν τὴν φαν-*
20 *τασίαν τοῦ βίου καταπατήσας, πρὸς τὸ ὕψος ἀνέδραμε τὸ ἀληθινόν.*

Ἐν τούτῳ δὲ αὐτὸν ὄντα καὶ θαυμαζόμενον, φθόροι τινὲς ἄνδρες κατὰ τὸν τῆς συγγενείας ἐπισκοποῦντες νόμον, αὖθις ἐπὶ τὸν πρότερον κλύδωνα ἐπανήγαγον. Καὶ πάντα
25 *ῥίψας ἐκεῖνα, πάλιν ἀπὸ τῶν ὀρέων εἰς μέσην εὐθέως κατέβη τὴν ἀγορὰν καὶ ἵππῳ ὀχούμενος καὶ ἀκολούθους ἔχων πολλούς, οὕτω περιῄει τὴν πόλιν ἅπασαν καὶ οὐδὲ σωφρονεῖν λοιπὸν ἤθελεν. Ὑπὸ γὰρ τῆς πολλῆς ἐκκαιόμενος τρυφῆς, καὶ εἰς ἔρωτας ἀτόπους ἐμπίπτειν ἠναγκάζετο· καὶ οὐδεὶς*
30 *ἦν τῶν ἐν μέσῳ στρεφομένων, ὅστις τὴν σωτηρίαν οὐκ ἀπη-*

ρισσότερον ἀπὸ ἐκείνους ποὺ δὲν ἤρχισαν τὸν κατ' ἀρετὴν βίον μὲ μίαν πτῶσιν, τὸ ἀπεδείξαμεν ἤδη καὶ ἀπὸ τὴν ἁγίαν Γραφήν. Ἔτσι ἀκριβῶς κληρονομοῦν τὴν βασιλείαν τῶν οὐρανῶν καὶ οἱ τελῶναι καὶ αἱ πόρναι, ἔτσι πολλοὶ ἔσχατοι ἔρχονται ἔμπροσθεν ἀπὸ τοὺς πρώτους.

17. Καὶ τώρα θὰ σοῦ ἀναφέρω μερικὰ ἰδικά μας, τὰ ὁποῖα καὶ ἐσὺ ὁ ἴδιος θὰ ἠμποροῦσες νὰ βεβαιώσῃς. Γνωρίζεις ἐκεῖνον τὸν νέον, τὸν Φοίνικα, τὸν υἱὸν τοῦ Οὐρβανοῦ, ὁ ὁποῖος ἔμεινεν ὀρφανὸς ἀπὸ πολὺν μικρὰν ἡλικίαν, ἐκληρονόμησε δὲ πολλὰ χρήματα καὶ δούλους καὶ ἀγρούς. Αὐτὸς λοιπὸν κατ' ἀρχὴν ἀφοῦ ἀπεχαιρέτησε τὰς σπουδάς του εἰς τὰ σχολεῖα καὶ ἄφησε τὴν λαμπρὰν ἐκείνην ἀμφίεσιν καὶ ὅλην τὴν βιωτικὴν ὑπεροψίαν, αἴφνης, ἀφοῦ ἐνεδύθη εὐτελὲς ἱμάτιον καὶ ἀνεχώρησε πρὸς τὴν ἐρημίαν τῶν ὀρέων, ἐπέδειξε πολὺ φιλοσοφημένην ζωήν, ὄχι μόνον διὰ τὴν ἡλικίαν του, ἀλλ' ὅσην θὰ ἠδύνατο νὰ ἐπιδείξῃ κάποιος ἀπὸ τοὺς μεγάλους καὶ ἀξιοθαυμάστους ἐναρέτους ἄνδρας. Μετὰ ἀπὸ αὐτά, ἀφοῦ ἐβαπτίσθη, ἐπεδίδετο εἰς τὴν ἀρετὴν μὲ μεγαλυτέραν καρποφορίαν. Ὅλοι ἔχαιραν καὶ ἐδόξαζαν τὸν Θεόν, διότι καὶ παρ' ὅλον ὅτι ἀνετράφη μέσα εἰς πολὺν πλοῦτον καὶ εἶχεν ἐπιφανεῖς προγόνους καὶ ἦτο τόσον νέος, αἴφνης ἀφοῦ κατεπάτησε τὴν πολυτέλειαν τοῦ βίου, ἐξώρμησε πρὸς τὸ ἀληθινὸν ὕψος.

Ἐνῷ ὅμως εὑρίσκετο εἰς αὐτὴν τὴν κατάστασιν καὶ ἐθαυμάζετο, μερικοὶ διεφθαρμένοι ἄνδρες ποὺ τὸν ἐπεσκέπτοντο ὡς συγγενεῖς, κατώρθωσαν καὶ τὸν ἐπανέφεραν εἰς τὸ τρικυμιῶδες πέλαγος τῆς ζωῆς. Καὶ ἀφοῦ ἐγκατέλειψεν ὅλα ἐκεῖνα, ἀπὸ τὴν ἐρημίαν τῶν ὀρέων ἐπανέκαμψεν εἰς τὴν δημοσιότητα τῆς ἀγορᾶς, καὶ καθήμενος ἐπάνω εἰς ἵππον καὶ περιστοιχιζόμενος ἀπὸ πολλοὺς ἀκολούθους, περιήρχετο ἔτσι ὅλην τὴν πόλιν. Καὶ δὲν ἤθελε τώρα οὔτε νὰ σωφρονῇ. Διότι ἐρεθιζόμενος ἀπὸ τὴν πολλὴν τρυφήν, ἠναγκάζετο νὰ ἐπιδίδεται εἰς ἀτόπους ἔρωτας. Καὶ δὲν ὑπῆρχεν ἄνθρωπος ἀπὸ τὸ περιβάλλον του ποὺ νὰ μὴ εἶχεν ἀ-

γόρευσε τὴν ἐκείνου· τοσοῦτος αὐτὸν συνεῖχε κολάκων ἐσμός, καὶ προσῆν ὀρφανία καὶ νεότης καὶ πλοῦτος πολύς. Καὶ οἱ τὰ πάντα εὐκόλως μεμφόμενοι, τῶν ἐπὶ τοῦτο τὴν ἀρχὴν ἀγαγόντων αὐτὸν κατηγόρουν λέγοντες, ὅτι καὶ τῶν πνευματικῶν διήμαρτε καὶ οὐδὲ τοῖς αὐτοῦ πράγμασι χρήσιμος ἔσται λοιπόν, πρὸ ὥρας τῶν περὶ λόγους πόνων ἀποπηδήσας καὶ μηδὲν ἐκεῖθεν καρπώσασθαι δυνηθείς. Τούτων δὲ λεγομένων καὶ πολλῆς τῆς αἰσχύνης οὔσης, ἅγιοί τινες ἄνδρες καὶ πολλάκις τοιαύτης θήρας ἐπιτυχόντες καὶ διὰ τῆς πείρας μαθόντες καλῶς, ὅτι οὐδὲν τῶν τοιούτων ἀπογινώσκειν χρὴ ταῖς εἰς τὸν Θεὸν ὁπλιζομένους ἐλπίσι, παρατηροῦντες αὐτὸν συνεχῶς, εἴ ποτε εἶδον φανέντα ἐπὶ τῆς ἀγορᾶς, καὶ προσήεσαν καὶ ἠσπάζοντο. Καὶ τὸ μὲν πρῶτον ἄνωθεν αὐτοῖς ἐκεῖνος ἀπὸ τοῦ ἵππου παρακολουθοῦσιν ἐκ πλαγίων διελέγετο· τοσαύτη κατεῖχεν αὐτὸν ἀναισχυντία τὴν ἀρχήν.

Οἱ δὲ εὔσπλαγχνοι καὶ φιλόπαιδες ἐκεῖνοι τούτων μὲν ᾐσχύνοντο οὐδέν, εἰς ἓν δὲ μόνον ἑώρων, ὅπως τῶν λύκων τὸ ἀρνίον ἀποσπάσωσιν· ὅπερ οὖν διὰ τῆς καρτερίας καὶ ἤνυσαν. Ὕστερον γὰρ ὥσπερ ἔκ τινος παραπληξίας ἐν ἑαυτῷ γενόμενος ἐκεῖνος καὶ τὴν πολλὴν αὐτῶν προσεδρείαν ἐρυθριάσας, εἴ ποτε αὐτοὺς πόρρωθεν προσιόντας εἶδεν, ἀπεπήδα τε εὐθέως καὶ κάτω νεύων οὕτω μετὰ σιγῆς τὰ παρ' ἐκείνων ἤκουεν ἅπαντα καὶ προϊὼν πλείονα τὴν πρὸς αὐτοὺς αἰδῶ καὶ τιμὴν ἐπεδείκνυτο. Καὶ οὕτως αὐτὸν κατὰ μικρὸν τῇ τοῦ Θεοῦ χάριτι πάντων ἐκείνων ἐξελκύσαντες τῶν δικτύων, τῇ προτέρᾳ πάλιν ἐρημίᾳ καὶ φιλοσοφίᾳ παρέδωκαν.

Καὶ ἐπὶ τοσοῦτον ἔλαμψε νῦν, ὡς τὸν πρότερον αὐτοῦ βίον τῷ μετὰ τὴν ἔκπτωσιν παραβαλλόμενον μηδὲν εἶναι δοκεῖν. Συνιδὼν γὰρ ἀπὸ τῆς πείρας καλῶς τὸ δέλεαρ καὶ

ποκλείσει τὴν σωτηρίαν του· τόσον πλῆθος κολάκων τὸν περιεστοίχιζε καὶ μαζὶ ἡ ὀρφανία, ἡ νεότης καὶ ὁ πολὺς πλοῦτος. Καὶ οἱ μεμφόμενοι τὰ πάντα αὐτοὺς ποὺ τὸν εἶχαν ὁδηγήσει κατ' ἀρχὴν εἰς τὴν κατάστασιν αὐτήν, λέγοντες, ὅτι καὶ εἰς τὰ πνευματικὰ ἀπέτυχε καὶ εἰς τὰς ἰδικάς του ὑποθέσεις δὲν θὰ εἶναι πλέον χρήσιμος, ἐπειδὴ ἐγκατέλειψε προώρως τὰς σπουδὰς καὶ δὲν ἠδυνήθη νὰ πάρῃ κάτι χρήσιμον ἀπὸ αὐτάς. Ἐνῷ δὲ ἐλέγοντο ταῦτα καὶ ὑπῆρχε πολλὴ ἐντροπή, μερικοὶ ἅγιοι ἄνθρωποι, ποὺ πολλάκις εἶχαν ἐπιτύχει εἰς τέτοιου εἴδους κυνήγια καὶ ἀπὸ τὴν πεῖραν εἶχαν μάθει καλῶς, ὅτι διὰ τίποτε ἀπὸ αὐτὰ δὲν πρέπει νὰ ἀπελπίζεται ὅποιος εἶναι ὡπλισμένος μὲ τὰς εἰς Θεὸν ἐλπίδας του, ἀφοῦ τὸν παρηκολούθουν συνεχῶς, ὅταν τὸν συνήντουν εἰς τὴν ἀγοράν, τὸν ἐπλησίαζαν καὶ τὸν ἐχαιρέτων. Καὶ κατ' ἀρχὰς μὲν ἐκεῖνος ἀφ' ὑψηλοῦ καθήμενος ἐπὶ ἵππον, τοὺς συνεζήτει χωρὶς νὰ στρέφῃ πρὸς τὸ μέρος των τὴν κεφαλήν· τόση ἀναισχυντία τὸν διακατεῖχε κατ' ἀρχάς.

Οἱ εὔσπλαχνοι ὅμως καὶ φιλόπαιδες ἐκεῖνοι ἄνθρωποι διὰ τίποτε ἀπὸ αὐτὰ δὲν ἠσχύνοντο καὶ εἰς ἕνα μόνον ἀπέβλεπαν, πῶς θὰ ἁρπάξουν τὸ ἀρνίον ἀπὸ τὸ στόμα τῶν λύκων, πρᾶγμα ποὺ ἐπέτυχαν διὰ τῆς ὑπομονῆς. Κατόπιν ἐκεῖνος ὡς νὰ συνῆλθεν ἀπὸ κάποιαν παραφροσύνην καὶ ἐντραπεὶς ἀπὸ τὴν τακτικήν των παρουσίαν, ὁσάκις τοὺς ἔβλεπεν ἀπὸ μακρυὰ νὰ πλησιάζουν, ἐπήδα ἀμέσως ἀπὸ τὸν ἵππον του καὶ κύπτων τὴν κεφαλήν, ἤκουε σιωπηλῶς ἀπὸ αὐτοὺς ὅλα, προοδεύων συνεχῶς εἰς τὸν ἀπέναντί των σεβασμὸν καὶ τοὺς ἐτίμα. Τοιουτοτρόπως δὲ ἀφοῦ τὸν ἀπεμάκρυναν ὀλίγον κατ' ὀλίγον ἀπὸ τὰ δίκτυα ἐκείνων, τὸν παρέδωσαν εἰς τὴν προηγουμένην πάλιν ἐρημίαν καὶ φιλοσοφίαν.

Τόσον δὲ ἔλαμψε τώρα, ὥστε ὁ πρότερός του βίος, παραβαλλόμενος μὲ ἐκεῖνον ποὺ ἤρχισε μετὰ τὴν πτῶσιν του, νὰ θεωρῆται ἀνύπαρκτος. Διότι κατανοήσας καλῶς μὲ τὴν

πάντα εἰς τοὺς δεομένους ἀναλώσας τὸν πλοῦτον καὶ τῶν φροντίδων ἀπολύσας ἑαυτὸν ἐκείνων, πᾶσαν τοῖς βουλομένοις ἐπιβουλεύειν ἐξέκοψε τὴν πρόφασιν· καὶ νῦν τὴν ἐπὶ τὸν οὐρανὸν βαδίζων ὁδόν, πρὸς αὐτὸ λοιπὸν τὸ τέλος ἔφθασε
5 *τῆς ἀρετῆς.*

Ἀλλ' οὗτος μὲν ἔτι νέος ὢν καὶ κατέπεσε καὶ ἀνέστη· ἕτερος δέ τις μετὰ τοὺς πολλοὺς ἱδρῶτας, οὓς ἐν ταῖς ἐρημίαις διατρίβων ἤνεγκεν, ἕνα σύνοικον ἔχων μόνον, καὶ ἀγγελικὸν βίον βιούς, καὶ πρὸς γῆρας ἐλαύνων λοιπόν, οὐκ
10 *οἶδ' ὅπως ὑπὸ σατανικῆς τινος περιστάσεως καὶ τοῦ ἀπονυστάξαι μικρὸν πάροδον δοὺς τῷ πονηρῷ, εἰς ἐπιθυμίαν τῆς πρὸς γυναῖκας ὁμιλίας ἐνέπεσεν, ὁ μηδέποτε γυναῖκα ἰδὼν ἐξ οὗ πρὸς τὸν τῶν μοναχῶν βίον μετέθηκεν ἑαυτόν. Καὶ πρῶτον μὲν ἠξίου τὸν σύνοικον κρέα καὶ οἶνον αὐτῷ παρα-*
15 *σχεῖν, καὶ ἠπείλει, εἰ μὴ λάβοι, κατελεύσεσθαι εἰς τὴν ἀγοράν. Ταῦτα δὲ οὐχ οὕτω κρεῶν ἐπιθυμῶν ἔλεγεν, ἀλλ' ὡς ἀφορμήν τινα καὶ πρόφασιν βουλόμενος λαβεῖν τῆς εἰς τὴν πόλιν καθόδου. Ἐπὶ τούτοις ἐκεῖνος ἀπορούμενος καὶ δεδοικώς, μὴ τοῦτο κωλύσας ἐπὶ μέγα αὐτὸν ὤσῃ κακόν,*
20 *δίδωσιν ἐμφορηθῆναι τῆς ἐπιθυμίας αὐτῷ.*

Ὡς δὲ ἔγνω τὸ σοφὸν τοῦτο ἕωλον γεγονός, φανερῶς ἀναισχυντήσας λοιπόν, ἀπεκάλυψε τὴν ὑπόκρισιν, καὶ δεῖν ἔλεγε πάντως εἰς τὴν πόλιν αὐτὸν κατελθεῖν. Ὡς δὲ οὐδὲν ἴσχυε κωλύων ἐκεῖνος, τέλος ἀφῆκε καὶ πόρρωθεν ἀκολου-
25 *θῶν ἐπετήρει τί ποτε ἄρα αὐτῷ βούλεται αὕτη ἡ κάθοδος. Ἰδὼν δὲ εἰς χαμαιτυπεῖον εἰσελθόντα καὶ γνοὺς ὅτι πόρνῃ συγγέγονε γυναικί, περιμείνας μετὰ τὸ πληρῶσαι τὴν ἄτοπον ἐπιθυμίαν ἐκείνην, ἐξελθόντα ὑπτίαις δέχεται ταῖς χερ-*

πεῖραν του τὸ δόλωμα καὶ διαμοιράσας τὸν πλοῦτόν του εἰς τοὺς πτωχοὺς καὶ ἐλευθερώσας τὸν ἑαυτόν του ἀπὸ τὰς φροντίδας, ἔκοψε διὰ παντὸς κάθε πρόθεσιν ἐκείνων ποὺ θὰ ἤθελαν εἰς τὸ ἑξῆς νὰ ἐπιβουλευθοῦν τὴν ἡσυχίαν του. Καὶ τώρα βαδίζων πρὸς αὐτὸν τὸν οὐρανόν, ἔφθασε λοιπὸν εἰς αὐτὸ τὸ τέρμα τῆς ἀρετῆς.

Καὶ αὐτὸς βεβαίως καὶ ἔπεσε καὶ ἠγέρθη, ἐνῷ ἦτο ἀκόμη νέος. Κάποιος ἄλλος ὅμως, ἔπειτα ἀπὸ πολλοὺς ἀσκητικοὺς ἱδρῶτας, τοὺς ὁποίους ἔχυσε ζῶν εἰς τὴν ἔρημον, ἔχων μόνον ἕνα συνασκητὴν καὶ ζήσας ἀγγελικὸν βίον καὶ πρὸς τὸ γῆρας κατευθυνόμενος, δὲν ἠξεύρω πῶς, ἀπὸ κάποιον σατανικὸν συμβὰν καὶ νυσταγμὸν τῆς ψυχῆς, ἀφήσας μικρὰν δίοδον εἰς τὸν πονηρόν, περιέπεσεν εἰς τὴν ἐπιθυμίαν νὰ ἔλθῃ εἰς σχέσιν μετὰ γυναικός, αὐτὸς ποὺ ποτὲ δὲν εἶδε γυναῖκα ἀπὸ τότε ποὺ ἀφιερώθη εἰς τὸν μοναχικὸν βίον. Κατ' ἀρχὰς εἶχεν ἀξίωσιν ἀπὸ τὸν συνασκητήν του νὰ τοῦ δίδῃ κρέας καὶ οἶνον καὶ τὸν ἠπείλει, ὅ,τι ἐὰν δὲν τὰ λάβῃ, θὰ κατέλθῃ εἰς τὴν ἀγοράν. Ἔλεγε δὲ αὐτὰ ὄχι διότι ἐπεθύμει κρέας νὰ φάγῃ, ἀλλ' ἐπειδὴ ἤθελε νὰ εὕρῃ κάποιαν ἀφορμὴν καὶ πρόφασιν νὰ κατεβῇ εἰς τὴν πόλιν. Ἐκεῖνος ἀποροῦσε δι' αὐτὰ καὶ ἐπειδὴ ἐφοβήθη μήπως διὰ τῆς ἀπαγορεύσεως τὸν ὠθήσῃ εἰς μεγαλύτερον κακόν, τοῦ δίδει νὰ ἱκανοποιήσῃ αὐτὴν τὴν ἐπιθυμίαν του.

Ὅταν ὅμως εἶδε ὅτι τὸ τέχνασμα τοῦτο ἀπέτυχε τότε ἔδειξε φανερὰ τὴν ἀναισχυντίαν του καὶ ἀπεκάλυψε τὴν ὑπόκρισίν του καὶ ἔλεγεν ὅτι πρέπει νὰ κατεβῇ εἰς τὴν πόλιν αὐτὸς ὁπωσδήποτε. Ἐπειδὴ δὲ δὲν κατώρθωσεν ὁ ἄλλος νὰ τὸν ἐμποδίσῃ, τέλος τὸν ἄφησε καὶ παρακολουθῶν ἀπὸ μακράν, παρετήρει διατί τάχα κατήρχετο εἰς τὴν πόλιν. Ὅταν τὸν εἶδε νὰ εἰσέρχεται εἰς κακόφημον οἶκον καὶ ἀντιληφθεὶς ὅτι ἦλθεν εἰς σχέσιν μετὰ πόρνης γυναικός, ἐπερίμενεν ἔξω, καὶ ἀφοῦ ἱκανοποίησεν ἐκεῖνος τὴν ἄτοπον ἐπιθυμίαν του, ὅταν ἐξῆλθε, τὸν ἐδέχθη μὲ ἀνοικτὰς τὰς χεῖρας καὶ ἐρρίφθη εἰς τὸν λαιμόν του καὶ ἀφοῦ τὸν

σὶ καὶ περιχυθεὶς καὶ καταφιλήσας θερμῶς, καὶ ὑπὲρ τῶν γεγενημένων ἐγκαλέσας οὐδέν, παρεκάλει μόνον, ἐπειδὴ τὴν ἐπιθυμίαν ἐπλήρωσε τὴν ἑαυτοῦ, πάλιν ἐπὶ τὸ τῆς ἐρημίας οἰκητήριον ἐπανελθεῖν. Ὁ δὲ τὴν πολλὴν ἐπιείκειαν αὐτοῦ 5 *αἰσχυνθείς, ἐπλήγη τε εὐθέως τὴν ψυχήν, καὶ κατανυγεὶς ἐπὶ τοῖς τολμηθεῖσιν, εἵπετο πρὸς τὸ ὄρος αὐτῷ· καὶ γενόμενος ἐκεῖ δεῖται τοῦ ἀνδρός, ἐν οἰκίσκῳ τε αὐτὸν καθεῖρξαι ἑτέρῳ καὶ τὰς θύρας ἀποκλείσαντα τοῦ δωματίου ἄρτον αὐτῷ παρέχειν καὶ ὕδωρ δι' ἡμερῶν καὶ τοῖς ἐπιζητοῦσιν* 10 *αὐτὸν ἠξίου λέγειν, ὅτι κεκοίμηται. Καὶ ταῦτα εἰπὼν καὶ πείσας καθεῖρξεν ἑαυτόν, καὶ ἦν ἐκεῖ διαπαντός, νηστείαις καὶ δεήσεσι καὶ δάκρυσι τὸν τῆς ἁμαρτίας ῥύπον ἀποσμήχων τῆς ψυχῆς.*

Χρόνου δὲ παρελθόντος οὐ πολλοῦ, καὶ αὐχμοῦ τὴν 15 *πλησίον χώραν καταλαβόντος, καὶ τῶν ἐν τῇ χώρᾳ πάντων ὀδυρομένων, ἐκελεύσθη τις δι' ὀνείρατος ἀπελθεῖν καὶ τὸν ἄνδρα ἐκεῖνον παρακαλέσαι τὸν καθειρμένον, ὥστε εὔξασθαι καὶ λῦσαι τὸν αὐχμόν. Ὡς δὲ ἀπῆλθεν ἑταίρους παραλαβών, τὸν συνοικοῦντα αὐτῷ πρότερον μόνον εὗρον ἐκεῖ· περὶ ἐ-* 20 *κείνου δὲ ἐρωτῶντες ἐμάνθανον ὅτι τέθνηκε. Νομίσαντες δὲ ἠπατῆσθαι εἰς προσευχὰς αὖθις ἐτρέποντο, καὶ πάλιν διὰ τῆς αὐτῆς ὄψεως τὰ αὐτὰ τοῖς προτέροις ἤκουον. Καὶ τότε τὸν ἀληθῶς ἀπατήσαντα περιστάντες, παρεκάλουν ἐπιδεῖξαι τὸν ἄνδρα αὐτοῖς· οὐδὲ γὰρ τεθνηκέναι αὐτὸν ἔλεγον,* 25 *ἀλλὰ ζῆν. Ταῦτα ἀκούσας ἐκεῖνος, καὶ τὰς συνθήκας ἐξεληλεγμένας ἰδών, ἀπάγει αὐτοὺς πρὸς τὸν ἅγιον ἐκεῖνον· καὶ διελόντες τὸν τοῖχον (καὶ γὰρ καὶ τὴν εἴσοδον ἔτυχεν ἀποφράξας) καὶ ἐπεισελθόντες ἅπαντες, τῶν ποδῶν αὐτοῦ προκυλινδούμενοι καὶ τὰ γεγενημένα ἀπαγγέλλοντες, παρεκά-* 30 *λουν αὐτὸν ἐπαμῦναι τῷ λιμῷ. Ἐκεῖνος δὲ τὸ μὲν πρῶτον ἀντέτεινε, πόρρω ταύτης λέγων ἑαυτὸν εἶναι τῆς παρρησίας. Καὶ γὰρ ὡς εὐθέως γεγενημένην τὴν ἁμαρτίαν, οὕτω πρὸ*

κατεφίλησε θερμῶς, χωρὶς νὰ τὸν κατηγορήσῃ καθόλου δι' αὐτὸ ποὺ συνέβη, τὸν παρεκάλεσε μόνον, ἀφοῦ πλέον ἱκανοποίησε τὴν ἐπιθυμίαν του, νὰ ἐπιστρέψουν εἰς τὸ ἐρημητήριόν των. Ἐκεῖνος δὲ αἰσχυνθεὶς ἀπὸ τὴν μεγάλην ἐπιείκειαν τοῦ ἀδελφοῦ του, ἐπληγώθη κατ' εὐθεῖαν εἰς τὴν ψυχὴν καὶ κατανυγεὶς διὰ τὰ τολμήματά του, τὸν ἠκολούθησεν εἰς τὸ ὄρος. Καὶ ὅταν ἔφθασαν ἐκεῖ ἐζήτησεν ἀπὸ αὐτὸν νὰ τὸν ἐγκλείσῃ εἰς μικρὸν κελλὶ καὶ ἀφοῦ κλείσῃ τὰς θύρας, νὰ τοῦ δίδῃ ἄρτον καὶ ὕδωρ κατὰ διαστήματα ἡμερῶν καὶ τὸν παρεκάλεσε νὰ λέγῃ εἰς ὅσους τὸν ζητοῦν ὅτι ἀπέθανε. Καὶ ὅταν τοῦ εἶπεν αὐτὰ καὶ τὸν ἔπεισε νὰ τὸν ἐγκλείσῃ, ἔμεινεν ἐκεῖ διὰ παντὸς μὲ νηστείας καὶ δεήσεις καὶ δάκρυα ἀποπλύνων τὸν ρύπον τῆς ἁμαρτίας ἀπὸ τὴν ψυχήν του.

Μετὰ ἀπὸ ὀλίγον καιρόν, ἐπειδὴ ἐμάστιζε τὴν γειτονικὴν χώραν ξηρασία καὶ ἐνῷ ἐθρήνουν ὅλοι οἱ κάτοικοί της, προετράπη κάποιος μὲ ὄνειρον νὰ ὑπάγῃ καὶ νὰ παρακαλέσῃ τὸν ἔγκλειστον ἐκεῖνον ἄνθρωπον, νὰ προσευχηθῇ καὶ νὰ παύσῃ τὴν ξηρασίαν. Ἀφοῦ ὅμως ἐπῆγεν ἐκεῖ, συντροφευόμενος καὶ ἀπὸ ἄλλους, εὑρῆκεν ἐκεῖ μόνον τὸν συνασκητήν του. Ὅταν δὲ ἠρώτησαν δι' ἐκεῖνον, ἔμαθον ὅτι ἀπέθανεν. Ἐπειδὴ ὅμως ἀντελήφθησαν ὅτι ἀπατῶνται, ἤρχισαν καὶ πάλιν νὰ προσεύχωνται καὶ μὲ τὸ ἴδιον ὅραμα ἤκουαν τὸ ἴδιο πρᾶγμα, ὅπως καὶ πρότερον. Καὶ τότε, ἀφοῦ ἐκύκλωσαν ἐκεῖνον ποὺ πράγματι τοὺς ἠπάτησε, τὸν παρεκάλουν νὰ τοὺς φανερώσῃ τὸν ἄνθρωπον. Διότι διϊσχυρίζοντο ὅτι δὲν ἀπέθανεν, ἀλλὰ ζῇ. Ἀφοῦ ἤκουσεν αὐτὰ ἐκεῖνος καὶ εἶδεν ὅτι ἀπεκαλύφθη τὸ μυστικόν, τοὺς ὁδηγεῖ πρὸς τὸν ἅγιον. Ἀφοῦ δὲ ἐχάλασαν τὸν τοῖχον (διότι εἶχε φράξει καὶ αὐτὴν τὴν εἴσοδον) ὅταν ἦλθαν ὅλοι μέσα, ἔπεσαν πρὸ τῶν ποδῶν του καὶ ἀναφέροντες τὰ γεγονότα, τὸν παρεκάλουν νὰ τοὺς βοηθήσῃ κατὰ τῆς πείνης. Ἐκεῖνος ὅμως κατ' ἀρχὰς ἀντετίθετο ἰσχυριζόμενος ὅτι δὲν ἔχει καμμίαν τοιαύτην παρρησίαν πρὸς τὸν Θεόν, καθότι εἶχε

τῶν ὀφθαλμῶν εἶχεν ἀεί· ὡς δὲ τὰ συμβάντα αὐτοῖς ἅπαντα διηγήσαντο, τότε ἔπεισαν εὔξασθαι, καὶ εὐξάμενος ἔλυσε τὸν αὐχμόν.

Τὰ δὲ κατὰ τὸν νέον ἐκεῖνον, τὸν πρότερον μὲν Ἰωάννου γενόμενον μαθητήν, ὕστερον δὲ ἐπὶ πολὺν λῃσταρχήσαντα χρόνον, καὶ πάλιν ὑπὸ τῶν ἁγίων τοῦ μακαρίου θηρευθέντα χειρῶν, ἀπὸ τῶν καταδύσεων τῶν λῃστρικῶν καὶ σπηλαίων καὶ ἐπὶ τὴν προτέραν ἐπανελθόντα ἀρετήν, οὐδὲ αὐτὸς ἀγνοεῖς, ἀλλ' οἶσθα ἡμῶν οὐχ ἧττον ἅπαντα ἀκριβῶς· καὶ σοῦ πολλάκις ἤκουσα θαυμάζοντος τὴν συγκατάβασιν τὴν πολλήν, καὶ ὅτι τὴν αἱμαχθεῖσαν πρῶτον ἐφίλησε δεξιὰν τῷ νέῳ περιχυθείς, καὶ οὕτως αὐτὸν ἐπὶ τὰ πρότερα ἐπανήγαγε.

18. Καὶ ὁ μακάριος δὲ Παῦλος τὸν Ὀνήσιμον, τὸν ἄχρηστον, τὸν δραπέτην, τὸν κλέπτην, τοῦτον οὐ μόνον αὐτὸς περιπλέκεται, ἐπειδὴ μετεβάλλετο, ἀλλὰ καὶ τὸν δεσπότην ἀξιοῖ ἐν ἴσῃ τοῦ διδασκάλου τὸν μετανοήσαντα ἀγαγεῖν τιμῇ, οὑτωσὶ λέγων· «παρακαλῶ σε», φησί, «περὶ τοῦ ἐμοῦ τέκνου, ὃν ἐγέννησα ἐν τοῖς δεσμοῖς μου Ὀνήσιμον, τόν ποτέ σοι ἄχρηστον, νῦν δέ σοι καὶ ἐμοὶ εὔχρηστον, ὃν ἀνέπεμψα· σὺ δὲ αὐτόν, τουτέστι τὰ ἐμὰ σπλάγχνα, προσλαβοῦ. Ὃν ἐγὼ ἐβουλόμην πρὸς ἐμαυτὸν κατέχειν, ἵνα ὑπὲρ σοῦ διακονῇ μοι ἐν τοῖς δεσμοῖς τοῦ εὐαγγελίου· χωρὶς δὲ τῆς σῆς γνώμης οὐδὲν ἠθέλησα ποιῆσαι, ἵνα μὴ ὡς κατ' ἀνάγκην τὸ ἀγαθόν σου ᾖ, ἀλλὰ κατὰ ἑκούσιον. Τάχα γὰρ διὰ τοῦτο ἐχωρίσθη πρὸς ὥραν, ἵνα αἰώνιον αὐτὸν ἀπέχῃς, οὐκέτι ὡς δοῦλον, ἀλλ' ὑπὲρ δοῦλον καὶ ἀδελφὸν ἀγαπητὸν μάλιστα ἐμοί· πόσῳ δὲ μᾶλλον σοί, καὶ ἐν σαρκὶ καὶ ἐν Κυρίῳ; Εἰ μὲν οὖν με ἔχεις κοινωνόν, προσλαβοῦ αὐτὸν ὡς ἐμέ». Καὶ Κορινθίοις δὲ ἐπιστέλλων ὁ αὐτὸς ἔλεγε· «μήπως ἐλθὼν πενθήσω πολ-

---

72. Τὸ ἐπεισόδιον παραθέτει Κλήμης ὁ Ἀλεξανδρεὺς εἰς τὸν λόγον του, Τίς ὁ σῳζόμενος πλούσιος, ἀπὸ ἐκεῖ δὲ τὸ παρέλαβε καὶ ὁ Εὐσέβιος (Ἐκκλ. Ἱστορία, 3, 23).
73. Φιλήμ. 10-18.

πάντοτε πρὸ τῶν ὀφθαλμῶν τὴν ἁμαρτίαν τόσον ζωηρῶς, ὅπως ὅταν τὴν εἶχε διαπράξει. Ὅταν δὲ τοῦ διηγήθησαν ὅλα τὰ συμβάντα, τότε τὸν ἔπεισαν νὰ προσευχηθῇ καὶ ἀφοῦ προσηυχήθη ἔλυσε τὴν ξηρασίαν.

Τὰ σχετικὰ δὲ μὲ τὸν νεανίσκον[72] ἐκεῖνον, ὁ ὁποῖος προηγουμένως ἦτο μαθητὴς τοῦ εὐαγγελιστοῦ Ἰωάννου, ἔπειτα δὲ ἐπὶ πολὺν χρόνον διετέλεσε λῃστὴς καὶ πάλιν ὑπὸ τῶν ἁγίων χειρῶν τοῦ μακαρίου ἀπηλευθερώθη ἀπὸ τὰ λῃστρικὰ κρυσφύγετα καὶ τὰς φυλακὰς καὶ εἰς τὴν προτέραν του ἐπανῆλθεν ἀρετήν, δὲν ἀγνοεῖς καθόλου, ἀλλὰ τὰ γνωρίζεις καλύτερον καὶ ἀπὸ ἡμᾶς· πολλάκις δὲ καὶ σὲ ἤκουσα νὰ θαυμάζῃς τὴν συγκατάβασιν τοῦ εὐαγγελιστοῦ καὶ τὴν μεγάλην του ἐπιείκειαν καὶ ὅτι ἀφοῦ πρῶτον ἐφίλησε τὴν αἱματωθεῖσαν δεξιὰν χεῖρα καὶ ἐνηγκαλίσθη τὸν τράχηλον τοῦ νέου, ἐπανέφερεν αὐτὸν εἰς τὰ πρότερα.

18. Ἔτσι καὶ ὁ μακάριος Παῦλος τὸν Ὀνήσιμον, ἐκεῖνον τὸν ἄχρηστον, τὸν δραπέτην, τὸν κλέπτην, ὄχι μόνον ἐναγκαλίζεται, ἀφοῦ μετενόησεν, ἀλλὰ ἔχει τὴν ἀξίωσιν ἀπὸ τὸν οἰκοδεσπότην Φιλήμονα νὰ τιμᾷ ἐξ ἴσου μὲ αὐτὸν τὸν μετανοήσαντα, λέγων τὰ ἑξῆς· «Σὲ παρακαλῶ», λέγει, «περὶ τοῦ τέκνου μου τὸ ὁποῖον ἐγέννησα εἰς τὰ δεσμά μου, τὸν Ὀνήσιμον, τὸν κάποτε ἄχρηστον εἰς σέ, τώρα δὲ καὶ εἰς σὲ καὶ εἰς ἐμὲ χρήσιμον, τὸν ὁποῖον σοῦ ἔστειλα ὀπίσω· σὺ δὲ αὐτόν, δηλαδὴ τὰ σπλάγχνα μου, δέξου. Ἐγὼ ἤθελα νὰ τὸν κρατήσω διὰ νὰ μὲ ὑπηρετῇ εἰς τὴν θέσιν σου εἰς τὰ δεσμὰ τοῦ εὐαγγελίου· χωρὶς δὲ τὴν γνώμην σου δὲν ἠθέλησα νὰ κάμω τίποτε, διὰ νὰ μὴ εἶναι ἀναγκαστικὴ ἡ εὐεργεσία σου, ἀλλὰ ἑκουσία. Ἴσως μάλιστα διὰ τοῦτο ἐχωρίσθη προσωρινῶς, διὰ νὰ τὸν ἔχῃς αἰωνίως, ὄχι ὡς δοῦλον ἀλλὰ κάτι παραπάνω ἀπὸ δοῦλον, ὡς ἀδελφὸν πολὺ ἀγαπητὸν εἰς ἐμέ, πόσῳ δὲ περισσότερον εἰς σὲ καὶ κατὰ σάρκα καὶ κατὰ τὸν Κύριον. Ἐὰν λοιπὸν μὲ ἔχῃς κοινωνὸν δέξου αὐτόν, ὡσὰν ἐμέ»[73]. Γράφων δὲ καὶ πρὸς τοὺς Κορινθίους, ἔλεγε· «μήπως ἐλθὼν πενθήσω πολλοὺς τῶν προα-

λοὺς τῶν προημαρτηκότων, καὶ μὴ μετανοησάντων». Καὶ πάλιν· «ὥς προείρηκα, καὶ πάλιν προλέγω, ὅτι ἐὰν ἔλθω εἰς τὸ πάλιν, οὐ φείσομαι».

*Ὁρᾷς τίνας πενθεῖ καὶ τίνων οὐ φείδεται; Οὐ τῶν
5 ἡμαρτηκότων, ἀλλὰ τῶν μὴ μετανοησάντων, καὶ οὐχ ἁπλῶς τῶν μὴ μετανοησάντων, ἀλλὰ τῶν καὶ ἅπαξ καὶ δεύτερον ἐπὶ τοῦτο παρακληθέντων καὶ πεισθῆναι μὴ βουληθέντων. Τὸ γὰρ προείρηκα καὶ προλέγω, ὡς παρὼν τὸ δεύτερον καὶ ἀπὼν γράφω, οὐδὲν ἕτερον ἢ τοῦτο αἰνίττεται, ὅπερ δέος μὴ
10 καὶ ἐφ' ἡμῶν γένηται νῦν. Εἰ γὰρ καὶ μὴ Παῦλος πάρεστιν, ὁ τότε Κορινθίοις ἀπειλῶν, ἀλλ' ὁ Χριστὸς πάρεστιν, ὁ τότε δι' ἐκείνου λαλῶν· κἂν ἐπιμείνωμεν ἀνενδότως ἔχοντες, οὐ φείσεται ἡμῶν, ἀλλὰ πατάξαι πληγῇ μεγάλῃ καὶ ἐνταῦθα καὶ ἐκεῖ. «Προφθάσωμεν οὖν τὸ πρόσω-
15 πον αὐτοῦ ἐν ἐξομολογήσει», ἐκχέωμεν ἐνώπιον αὐτοῦ τὰς καρδίας ἡμῶν. «Ἥμαρτες γάρ», φησί· «μὴ προσθῇς μηκέτι, καὶ περὶ τῶν προτέρων σου δεήθητι». Καὶ πάλιν, «δίκαιος ἑαυτοῦ κατήγορος ἐν πρωτολογίᾳ». Μὴ τοίνυν περιμείνωμεν τὸν κατήγορον, ἀλλὰ τὴν ἐκείνου προαρπάσωμεν τάξιν, καὶ
20 οὕτως ἡμερώτερον διὰ τῆς εὐγνωμοσύνης καταστήσωμεν τὸν κριτήν.*

*Σὺ δὲ ὅτι μὲν ὁμολογεῖς τὰ ἁμαρτήματά σου καὶ ταλανίζεις σεαυτὸν ὑπὲρ τὸ μέτρον, οἶδα σαφῶς· ἀλλ' οὐ τοῦτο βούλομαι μόνον, ἀλλ' ὅτι σε καὶ δικαιῶσαι τὸ πρᾶγμα δύνα-
25 ται, πεισθῆναι ἐπιθυμῶ. Ἕως γὰρ ἐὰν μὴ ἐπικερδῆ ποιῇς τὴν ἐξομολόγησιν ταύτην, κἂν κατηγορῇς σεαυτοῦ, οὐδὲ ἀποστῆναι δυνήσῃ τῶν ἁμαρτημάτων τῶν ἑξῆς. Οὐδὲν γὰρ*

---

74. Β' Κορ. 12, 21.
75. Β' Κορ. 13, 2.
76. Ψαλμ. 94, 2.
77. Ψαλμ. 141, 3.
78. Σοφ. Σειρὰχ 21, 1.

μαρτησάντων καὶ μὴ μετανοησάντων»[74]. Καὶ πάλιν· «Ὅπως ἔχω προείπει καὶ πάλιν λέγω, ὅτι ἐὰν ἔλθω πάλιν δὲν θὰ λυπηθῶ»[75].

Βλέπεις διὰ ποίους πενθεῖ καὶ ποίους δὲν λυπεῖται; Ὄχι τοὺς μετανοήσαντας, ἀλλὰ τοὺς μὴ μετανοήσαντας, καὶ ὄχι ἁπλῶς τοὺς μὴ μετανοήσαντας, ἀλλ' ἐκείνους ποὺ καὶ μίαν καὶ δύο φορὰς τοὺς παρεκάλεσε πρὸς τοῦτο καὶ δὲν ἠθέλησαν. Διότι τὸ «ὅπως ἔχω προείπει καὶ πάλιν λέγω, ὡς παρὼν διὰ δευτέραν φορὰν καὶ ἀπὼν γράφω», τίποτε ἄλλο δὲν ἐννοεῖ, παρὰ τοῦτο, αὐτὸ ποὺ ὑπάρχει φόβος μήπως συμβῇ καὶ εἰς ἡμᾶς τώρα. Τώρα δὲ ἂν καὶ δὲν εἶναι παρὼν ὁ Παῦλος, ὁ ὁποῖος ἠπείλει τότε τοὺς Κορινθίους, ὅμως εἶναι παρὼν ὁ Χριστός, ὁ ὁποῖος καὶ τότε διὰ τοῦ στόματος ἐκείνου ὡμίλει. Καὶ ἂν ἐπιμείνωμεν κατὰ τρόπον ἀνένδοτον, δὲν θὰ μᾶς λυπηθῇ, ἀλλὰ θὰ μᾶς τιμωρήσῃ φοβερὰ καὶ ἐδῶ καὶ εἰς τὴν μέλλουσαν ζωήν. «Ἂς φθάσωμεν λοιπὸν ἐνώπιόν του ἐξομολογούμενοι»[76]. Ἂς κενώσωμεν ἐνώπιόν του τὰς καρδίας ἡμῶν[77]. Διότι», λέγει, «ἡμάρτησες· μὴ συνεχίσῃς πλέον καὶ προσευχίσου διὰ τὰς προηγουμένας ἁμαρτίας σου»[78]. Καὶ πάλιν· «ὁ δίκαιος αὐτοκατηγορεῖται μὲ τὸν πρῶτον λόγον»[79]. Ἂς μὴ ἀναμένωμεν λοιπὸν τὸν κατήγορον, ἀλλὰ ἂς πάρωμεν ἡμεῖς τὴν θέσιν του ἐνωρίτερον καὶ ἔτσι μὲ τὴν εὐγνωμοσύνην μας ἂς καταστήσωμεν ἠπιώτερον ἀπέναντί μας τὸν κριτήν.

Γνωρίζω ὅμως καλῶς, ὅτι ἐσὺ μὲν ὁμολογεῖς τὰ ἁμαρτήματά σου καὶ ταλανίζεις τὸν ἑαυτόν σου ὑπέρμετρα, ὅμως ἐγὼ δὲν θέλω μόνον τοῦτο, ἀλλὰ νὰ πεισθῇς ὅτι ἠμπορεῖ τοῦτο νὰ σὲ δικαιώσῃ. Μέχρις ὅτου λοιπὸν δὲ κάμῃς τὴν ἐξομολόγησιν αὐτὴν ἐπικερδῆ, καὶ ἂν ἀκόμη κατηγορῇς τὸν ἑαυτόν σου, δὲν θὰ ἠμπορέσῃς οὔτε ἀπὸ τὰ ἁμαρτήματά σου νὰ ἀπομακρυνθῇς εἰς τὸ ἑξῆς. Διότι κανεὶς δὲν θὰ ἠμπορέσῃ μὲ προθυμίαν καὶ τὴν ἀπαιτουμένην ἐνέργει-

79. Παρμ. 18, 17.

οὐδεὶς μετὰ προθυμίας καὶ τοῦ προσήκοντος θεσμοῦ δυνήσεται ποιεῖν, ὅταν μὴ πρότερον πεπεικὼς ἑαυτόν ᾖ, ὅτι ἐπ' ὠφελείᾳ τοῦτο ποιεῖ. Καὶ γὰρ ὁ σπείρων μετὰ τὸ ῥῖψαι τὰ σπέρματα, ἂν μὴ προσδέχηται τὸν ἀμητόν, οὐκ ἀμήσει ποτέ.
5 *Τίς γὰρ ἂν ἕλοιτο μάτην κόπτεσθαι, μηδὲν ἀπὸ τοῦ πονεῖν κερδανῶν ἀγαθόν; Οὕτως οὖν καὶ ὁ ῥήματα σπείρων καὶ δάκρυα καὶ ἐξομολόγησιν, ἂν μὴ μετ' ἐλπίδος ποιῇ τοῦτο χρηστῆς, οὐδὲ ἀποστῆναι τοῦ ἁμαρτάνειν δυνήσεται, ἔτι τῷ τῆς ἀπογνώσεως κατεχόμενος κακῷ· ἀλλ' ὥσπερ ὁ γεωρ-*
10 *γὸς ἐκεῖνος ὁ τῆς τῶν καρπῶν φορᾶς ἀπογνούς, οὐδὲν τῶν λυμαινομένων τοῖς σπέρμασι κωλύσει λοιπόν, οὕτω καὶ οὗτος ὁ σπείρων μὲν τὴν διὰ τῶν δακρύων ἐξομολόγησιν, οὐδὲν δὲ ἀπὸ ταύτης προσδεχόμενος κέρδος, οὐδὲ ἀνατρέψαι δυνήσεται τὰ διαφθείροντα τὴν μετάνοιαν. Διαφθείρει δὲ τὴν*
15 *μετάνοιαν τὸν πάλιν τοῖς αὐτοῖς ἐνέχεσθαι κακοῖς. «Εἷς γάρ», φησίν, «οἰκοδομῶν καὶ εἷς καθαιρῶν, τί ὠφέλησαν πλέον ἢ κόπον; Βαπτιζόμενος ἀπὸ νεκροῦ, καὶ πάλιν ἁπτόμενος αὐτοῦ, τί ὠφέλησεν ἐν τῷ λουτρῷ αὐτοῦ»; Οὕτως ἄνθρωπος νηστεύων ἀπὸ τῶν ἁμαρτιῶν αὐτοῦ, καὶ πάλιν πορευόμενος,*
20 *καὶ τὰ αὐτὰ ποιῶν, τῆς προσευχῆς αὐτοῦ τίς εἰσακούσεται;». Καὶ πάλιν, «ἐπανάγων», φησίν, «ἀπὸ δικαιοσύνης ἐπὶ ἁμαρτίαν, ὁ Κύριος ἑτοιμάσει εἰς ῥομφαίαν αὐτῷ». Καί, «ὥσπερ κύων, ὅταν ἐπανέλθῃ ἐπὶ τὸν ἑαυτοῦ ἐμετόν, καὶ μισητὸς γένηται, οὕτως ἄφρων ἀναστρέψας ἐπὶ τὴν ἑαυτοῦ ἁμαρτίαν».*

25 *19. Μὴ τοίνυν ὡς κατηγορῶν σαυτοῦ μόνον τὴν ἁμαρτίαν ἐκπόμπευε, ἀλλὰ καὶ ὡς δικαιωθῆναι ὀφείλων διὰ τοῦ τρόπου τῆς μετανοίας· οὕτω γὰρ δυνήσῃ καὶ τὴν ἐξομολογουμένην ψυχὴν ἐντρέψαι, μηκέτι τοῖς αὐτοῖς περιπίπτειν. Τὸ μὲν γὰρ σφόδρα καταδικάζειν ἑαυτοὺς καὶ ἁμαρτωλοὺς κα-*
30 *λεῖν, κοινὸν ὡς εἰπεῖν καὶ τοῖς ἀπίστοις ἐστί. Πολλοὶ γοῦν*

---

80. Σοφ. Σειρὰχ 34, 23-25.
81. Σοφ. Σειρὰχ 26, 28.
82. Παρμ. 26, 11.

αν νὰ κάμῃ κάτι, ἐὰν προηγουμένως δὲν πείσῃ τὸν ἑαυτόν του, ὅτι κάμνει τοῦτο ἐπ' ὠφελείᾳ. Καθότι καὶ ὁ γεωργός, ἐὰν μετὰ τὴν σπορὰν δὲν ἀναμείνῃ τὸν θερισμόν, ποτὲ δὲν θὰ θερίσῃ. Ποῖος λοιπὸν θὰ προετίμα νὰ κοπιάζῃ ματαίως, ἐὰν δὲν ἐλπίζῃ ὅτι θὰ κερδίσῃ ἀγαθὰ ἐκ τῶν πόνων του; Ἔτσι λοιπὸν καὶ ἐκεῖνος ποὺ σπείρει λόγους καὶ δάκρυα καὶ ἐξομολόγησιν, ἐὰν δὲν πράττῃ τοῦτο μὲ καλὴν ἐλπίδα, δὲν θὰ ἠμπορέσῃ νὰ ἀπομακρυνθῇ ἀπὸ τοῦ νὰ ἁμαρτάνῃ διότι θὰ διακατέχεται ἀπὸ τὸ κακὸν τῆς ἀπογνώσεως. Ἀλλ' ὅπως ὁ γεωργὸς ἐκεῖνος ποὺ ἔχει ἀπελπισθῇ διὰ τὴν συγκομιδὴν τῶν καρπῶν του, δὲν θὰ ἐμποδίσῃ τίποτε ἀπὸ ὅσα βλάπτουν τὴν σποράν, ἔτσι καὶ ὁ ἄνθρωπος ποὺ σπείρει τὴν ἐξομολόγησιν μὲ τὰ δάκρυα καὶ δὲν ἀναμένει ἐξ αὐτῆς κανένα κέρδος, δὲν θὰ ἠμπορέσῃ νὰ ματαιώσῃ τὴν καταστρεπτικὴν δύναμιν ἐκείνων ποὺ τοῦ καταστρέφουν τὴν μετάνοιαν. Διαφθείρει δὲ τὴν μετάνοιαν τὸ νὰ πέσῃ κανεὶς πάλιν εἰς τὰ ἴδια ἁμαρτήματα. «Ὅταν εἷς, λέγει, οἰκοδομῇ καὶ ἄλλος καθαιρῇ, τί προσφέρουν ἐκτὸς ἀπὸ κόπον; Ὅταν κανεὶς καθαρίζεται ἀπὸ νεκρὸν καὶ πάλιν τὸν ἐγγίζῃ, τί ὠφελήθη ἀπὸ τὸ λουτρόν του;»[80]. Τὸ ἴδιο εἶναι καὶ ὁ ἄνθρωπος ποὺ ἀπέχει μὲν ἀπὸ τὰς ἁμαρτίας του πρὸς στιγμὴν καὶ ἔπειτα κάμνει πάλιν τὰ ἴδια· ποῖος θὰ ἀκούσῃ τὴν προσευχήν του; Καὶ πάλιν· «Ὅταν ἐπιστρέψῃ κανεὶς ἀπὸ τὴν δικαιοσύνην εἰς τὴν ἁμαρτίαν, ὁ Κύριος θὰ τοῦ ἑτοιμάσῃ ρομφαίαν»[81]. Καί, «Ὅπως ὁ κύων, ὅταν ἐπανέλθῃ ἐπὶ τὸν ἐμετόν του καὶ γίνῃ μισητός, τοιοῦτος εἶναι ὁ ἄφρων ὁ ὁποῖος ἐπιστρέφει εἰς τὴν ἁμαρτίαν του»[82].

19. Μὴ δημοσίευε τὴν ἁμαρτίαν σου μὲ μόνον τὸν σκοπὸν νὰ κατηγορήσῃς τὸν ἑαυτόν σου, ἀλλὰ καὶ μὲ σκοπὸν νὰ δικαιωθῇς διὰ τῆς μετανοίας. Διότι ἔτσι θὰ ἠμπορέσῃς νὰ παρακινήσῃς τὴν ἐξομολογουμένην ψυχήν σου νὰ μὴ περιπέσῃ πλέον εἰς τὰ ἴδια σφάλματα. Τὸ νὰ καταδικάζῃ κανεὶς μὲ δριμύτητα τὸν ἑαυτόν του καὶ νὰ τὸν ἀποκαλῇ ἁμαρτωλόν, εἶναι σύνηθες θὰ ἐλέγαμεν καὶ εἰς τοὺς ἀπί-

καὶ τῶν ἀπὸ τῆς σκηνῆς καὶ ἄνδρες καὶ γυναῖκες, οἱ μάλιστα ἀναισχυντίαν μελετῶντες, ταλανίζουσιν ἑαυτούς, ἀλλ' οὐ μετὰ σκοποῦ τοῦ προσήκοντος. Διόπερ οὐδ' ἂν εἴποιμι τοῦτο ἐξομολόγησιν ἐγώ· οὐ γὰρ μετὰ τοῦ κατανύξαι τὴν ψυχήν,
5 *οὐδὲ μετὰ τοῦ δακρῦσαι πικρόν, οὐδὲ μετὰ τοῦ μεταβαλέσθαι, τὰς ἁμαρτίας οὕτως ἐξαγγέλλουσι τὰς αὐτῶν, ἀλλ' αὐτὸ τοῦτο οἱ μὲν δόξαν παρὰ τῶν ἀκουόντων ἐπὶ τῇ τῶν λόγων εὐγνωμοσύνῃ θηρώμενοι. (Οὐδὲ γὰρ ὁμοίως φαίνεται τὰ ἁμαρτήματα χαλεπά, ὅταν ἕτερός τις αὐτὰ ἀπαγγέλλῃ, καὶ ὅταν*
10 *αὐτὸς ὁ τετολμηκώς). Οἱ δὲ ὑπὸ τῆς σφοδρᾶς ἀπογνώσεως εἰς ἀναλγησίαν ἐκπεσόντες, καὶ τῆς τῶν ἀνθρώπων δόξης καταφρονήσαντες, μετὰ πολλῆς τῆς ἀδείας λοιπὸν ὥσπερ ἀλλότρια τὰ οἰκεῖα ἅπασιν ἐξαγορεύουσι κακά. Ἀλλά σε τούτων οὐδένα εἶναι βούλομαι, οὐδὲ ἐξ ἀπογνώσεως ἐπὶ τὴν*
15 *ἐξομολόγησιν ἄρχεσθαι, ἀλλὰ μετὰ προσδοκίας ἀγαθῆς, καὶ τῆς ἀπογνώσεως τὴν ῥίζαν ἐκκόψαντα πᾶσαν τὴν ἐναντίαν ἐπιδείκνυσθαι σπουδήν.*

Τίς δὲ ἡ ταύτης ῥίζα ἐστί; ἡ ῥᾳθυμία· μᾶλλον δὲ οὐκ ἄν τις ῥίζαν καλέσειεν αὐτὴν μόνον, ἀλλὰ καὶ τροφὸν καὶ
20 *μητέρα. Καθάπερ γὰρ ἐπὶ τῶν ἐρίων τίκτει μὲν τοὺς σῆτας ἡ φθορά, αὔξεται δὲ πάλιν ὑπ' αὐτῶν, οὕτω καὶ ἐνταῦθα τίκτει μὲν ἡ ῥᾳθυμία τὴν ἀπόγνωσιν, τρέφεται δὲ πάλιν ὑπὸ τῆς ἀπογνώσεως αὐτή, καὶ ἀλλήλαις τὴν ἐπάρατον ταύτην παρέχουσαι ἀντίδοσιν δύναμιν οὐ μικρὰν προσλαμβάνουσιν.*
25 *Ἂν οὖν ἑτέραν τις ἀποτέμῃ καὶ διακόψῃ, δυνήσεται καὶ τῆς λειπομένης περιγενέσθαι εὐκόλως. Οὔτε γὰρ ὁ μὴ ῥᾳθυμῶν εἰς ἀπόγνωσιν ἐν ἐμπέσοι ποτέ, οὔτε ὁ τρεφόμενος ἐλπίσι χρησταῖς, καὶ μὴ ἀπογινώσκων ἑαυτοῦ, εἰς ῥᾳθυμίαν δυνήσεται ἐμπεσεῖν.*

30 *Ταύτην οὖν μοι τὴν ξυνωρίδα διάσπασον καὶ τὸν ζυγὸν*

στους. Πολλοὶ μάλιστα καὶ ἀπὸ τοὺς ἀνθρώπους τοῦ θεάτρου, ἄνδρες καὶ γυναῖκες, οἱ κατ' ἐξοχὴν τὴν ἀναισχυντίαν ἔχοντες ὡς ἔργον, ταλανίζουν τοὺς ἑαυτούς των, ἀλλὰ χωρὶς τὸν ἁρμόζοντα σκοπόν. Διὰ τοῦτο ἀκριβῶς ἐγὼ ποτὲ δὲν θὰ ὠνόμαζον τοῦτο ἐξομολόγησιν. Διότι δὲν ἐξομολογοῦνται τὰς ἁμαρτίας των μὲ ψυχὴν πλήρη κατανύξεως, οὔτε μετὰ πικρὰ δάκρυα, οὔτε μετὰ μετάνοιαν, ἀλλὰ διότι θηρεύουν δόξαν ἀπὸ τοὺς ἀκροατὰς διὰ τὸ θάρρος τῶν λόγων των. (Διότι δὲν φαίνονται τόσον φοβερὰ τὰ ἁμαρτήματα, ὅταν κάποιος ἄλλος τὰ καταγγέλλῃ, ὅσον ὅταν τὰ καταγγέλῃ αὐτὸς ποὺ τὰ ἔχῃ διαπράξει). Αὐτοὶ ὅμως ἐπειδὴ ἔχουν περιπέσει εἰς ἀναλγησίαν λόγῳ τῆς μεγάλης των ἀπογνώσεως καὶ δὲν ὑπολογίζουν τὴν γνώμην τῶν ἀνθρώπων, διακηρύσσουν μὲ πολλὴν εὐχέρειαν τὰ ἰδικά των ἁμαρτήματα ὡσὰν νὰ ἦσαν ξένα. Δὲν θέλω ὅμως ἐσὺ νὰ εἶσαι εἷς ἐξ αὐτῶν, οὔτε ἐξ ἀπογνώσεως ὠθούμενος νὰ προβῇς εἰς τὴν ἐξομολόγησιν, ἀλλὰ μὲ προσδοκίαν ἀγαθὴν καὶ ἀφοῦ κόψῃς τὴν ρίζαν τῆς ἀπογνώσεως, νὰ ἐπιδείξῃς τὴν ἀντίθετον πρὸς τὴν ἁμαρτίαν φροντίδα.

Ποία ὅμως εἶναι ἡ ρίζα τῆς ἀπογνώσεως; Ἡ ρᾳθυμία. Μᾶλλον ὅμως ὄχι μόνον ρίζαν θὰ τὴν ὠνόμαζε κανείς, ἀλλὰ καὶ τροφὸν καὶ μητέρα. Ὅπως εἰς τὰ ἔρια, γεννᾷ μὲν τὸν σκόρον ἡ φθορά, αὐξάνεται ὅμως αὐτὴ πάλιν ἀπὸ τοὺς σκόρους, ἔτσι καὶ ἐδῶ. Γεννᾷ μὲν ἡ ρᾳθυμία τὴν ἀπόγνωσιν, τρέφεται ὅμως αὕτη πάλιν ἀπὸ τὴν ἀπόγνωσιν, καὶ μὲ τὸ νὰ παρέχουν ἡ μία εἰς τὴν ἄλλην τὴν καταραμένην αὐτὴν ἀλληλοεξυπηρέτησιν προσλαμβάνουν δύναμιν μεγάλην. Ἂν λοιπὸν κανεὶς κόψῃ τὴν μίαν ἐκ τῶν δύο, θὰ ἠμπορέσῃ νὰ νικήσῃ καὶ τὴν ἄλλην. Διότι οὔτε ὁ μὴ ρᾳθυμῶν θὰ ἠμποροῦσε νὰ περιέλθῃ ποτὲ εἰς ἀπόγνωσιν, οὔτε αὐτὸς ποὺ τρέφεται μὲ χρηστὰς ἐλπίδας καὶ δὲν ἀπελπίζεται διὰ τὸν ἑαυτόν του δὲν θὰ ἠμποροῦσε νὰ ὑποπέσῃ ποτὲ εἰς ρᾳθυμίαν.

Αὐτὴν λοιπὸν τὴν δυάδα διάλυσέ την καὶ θραῦσε τὸν

σύγκλασον, τὸν λογισμὸν λέγω τὸν ποικίλον καὶ βαρύν· οὐ γὰρ μονοειδὴς ὁ ταῦτα συνέχων ἐστίν, ἀλλὰ πολυειδὴς καὶ παντοδαπός. Τίς δὲ οὗτός ἐστι; Συμβαίνει τινὰ μεταγνόντα κατορθῶσαι πολλὰ καὶ μεγάλα, μεταξὺ δὲ καὶ ἁμαρτεῖν πάλιν
5 *τῶν κατορθωμάτων ἐκείνων ἁμαρτίαν ἀντίρροπον· καὶ τοῦτο μάλιστα ἱκανὸν εἰς ἀπόγνωσιν ἐμβαλεῖν, ὡς τῶν οἰκοδομηθέντων καθαιρεθέντων καὶ πάντων ἐκείνων μάτην καὶ εἰς κενὸν πονηθέντων αὐτῷ. Δεῖ δὲ ἐκεῖνο λογίζεσθαι καὶ τοῦτο ἐκκρούειν τὸν λογισμόν, ὅτι, εἰ μὴ φθάσαντες κατορθωμάτων*
10 *μέτρον ἀντίρροπον τοῖς μετὰ ταῦτα γενομένοις ἁμαρτήμασιν ἀπεθέμεθα, οὐδὲν ἂν ἡμᾶς σφόδρα καὶ ὁλοσχερῶς καταδῦναι ἐκώλυσε. Νυνὶ δὲ καθάπερ τις θώραξ ἰσχυρὸς βέλος ὀξὺ καὶ πικρὸν οὐκ ἀφῆκεν ἐργάσασθαι τὸ ἑαυτοῦ, ἀλλ' αὐτὸς διατμηθεὶς τὸν πολὺν ἤμυνε τῷ σώματι κίνδυνον.*

15 *Ὁ μὲν γὰρ μετὰ πολλῶν ἔργων καὶ ἀγαθῶν καὶ πονηρῶν ἀπερχόμενος ἐκεῖ, ἕξει τινὰ παραμυθίαν ἐπὶ τῇ κολάσει καὶ τοῖς βασανιστηρίοις ἐκείνοις· ὁ δὲ τούτων μὲν ἔρημος, ἐκεῖνα δὲ μόνον ἐπάγων, οὐδὲ ἔνεστιν εἰπεῖν ὅσα πείσεται πρὸς τὴν ἀθάνατον παραπεμπόμενος κόλασιν. Καὶ γὰρ*
20 *ἀντίστασις ἔσται ἐκεῖ καὶ τῶν πονηρῶν πράξεων, καὶ τῶν οὐ τοιούτων· κἂν μὲν αὗται καθελκύσωσι τὸν ζυγόν, ἔσωσαν οὐ μικρῶς τὸν ἐργάτην τὸν ἑαυτῶν, καὶ οὐ τοσοῦτον ἴσχυσεν ἡ τῆς τῶν πονηρῶν πράξεων ἐργασίας βλάβη, ὅσον κατασπάσαι τῆς πρώτης χώρας αὐτόν· ἂν δὲ ἐκεῖναι περιγένωνται,*
25 *εἰς τὸ τῆς γεέννης ἀπάγουσι πῦρ, διὰ τὸ μὴ τοσοῦτον εἶναι τὸ πλῆθος τῶν κατορθωμάτων, ὡς καὶ δυνηθῆναι στῆναι πρὸς τὸν βίαιον ἐκεῖνον ὠθισμόν. Καὶ ταῦτα οὐχ ὁ ἡμέτερος μόνον ὑποβάλλει λογισμός, ἀλλὰ καὶ τὰ θεῖα λόγια. «Αὐτός γάρ»,*

ζυγόν της, δηλαδὴ τὸν ποικίλον καὶ βαρὺν λογισμόν. Διότι δὲν εἶναι μιᾶς μορφῆς ὁ λογισμὸς ὁ συνδέων τὴν δυάδα ταύτην, ἀλλὰ πολυειδὴς καὶ ποικίλος. Καὶ ποῖος εἶναι αὐτός; Συμβαίνει κάποιος νὰ μετανοήσῃ καὶ νὰ κατορθώσῃ πολλὰ καὶ μεγάλα ἔργα ἀρετῆς καὶ ἐν τῷ μεταξὺ νὰ διαπράξῃ ἄλλην ἁμαρτίαν ποὺ ἐξισορροπεῖ ἐκεῖνα τὰ κατορθώματα. Τοῦτο λοιπὸν εἶναι ἀρκετὰ ἱκανὸν νὰ ὁδηγήσῃ κάποιον εἰς ἀπόγνωσιν, ὥστε ὅσα ᾠκοδομήθησαν νὰ κατεδαφισθοῦν καὶ ὅλα ἐκεῖνα ματαίως καὶ χωρὶς καμμίαν ἀμοιβὴν νὰ ἔχουν ἐπιτευχθῆ ὑπ' αὐτοῦ. Πρέπει λοιπὸν τοῦτο νὰ σκέπτεται κανεὶς καὶ νὰ ἀποκρούῃ τοῦτον τὸν λογισμόν, ὅτι ἐὰν δὲν εἴχομεν δημιουργήσει ἀντίβαρον κατορθωμάτων ἀρετῆς διὰ τὰ μετέπειτα ἁμαρτήματά μας, τίποτε δὲν θὰ μᾶς ἠμπόδιζε νὰ καταποντισθῶμεν ταχέως καὶ ὁλοσχερῶς. Τώρα ὅμως τοῦτο, ὡς ἰσχυρὸς θώραξ, δὲν ἐπιτρέπει ἕνα ὀξὺ καὶ φαρμακερὸν βέλος νὰ ἐπιτύχῃ τοῦ σκοποῦ του, ἀλλὰ θραυόμενος ὁ ἴδιος μειώνει τὸν μεγάλον κίνδυνον ποὺ διέτρεχε τὸ σῶμα.

Ὁ μεταβαίνων λοιπὸν εἰς τὴν ἄλλην ζωὴν μὲ πολλὰ ἔργα, καὶ ἀγαθὰ καὶ πονηρά, θὰ ἔχῃ ὁπωσδήποτε κάποιαν παρηγορίαν εἰς τὴν κόλασιν καὶ εἰς τὰ βασανιστήρια ἐκεῖνα. Ὁ στερούμενος ὅμως ἀγαθῶν ἔργων, ἀλλὰ μεταβαίνων μόνον μὲ τὰ πονηρά, δὲν εἶναι δυνατὸν νὰ εἴπωμεν «ὅσα θὰ πάθῃ παραπεμπόμενος εἰς τὴν ἀθάνατον κόλασιν. Καθότι θὰ ζυγισθοῦν ἐκεῖ αἱ πονηραὶ μὲ τὰς ἀγαθὰς πράξεις. Καὶ ἂν μὲν μὲ τὸ βάρος των πρὸς τὸ μέρος των, αἱ τελευταῖαι κατεβάσουν τὴν πλάστιγγα, θὰ σώσουν ἀσφαλῶς τὸν διαπράξαντα αὐτὰς καὶ ἡ διάπραξις τῶν πονηρῶν πράξεων τόσην μόνον βλάβην θὰ προξενήσῃ, ὅσον νὰ τὸν κατεβάσῃ ὀλίγον ἀπὸ τὴν πρώτην του θέσιν. Ἐὰν ὅμως νικήσουν, ὁδηγοῦν εἰς τὸ πῦρ τῆς γεέννης, ἐπειδὴ δὲν εἶναι τόσα πολλὰ τὰ κατορθώματα, ὥστε νὰ ἠμπορέσουν νὰ ἀντισταθοῦν πρὸς τὴν βιαίαν ἐκείνην ὤθησιν. Καὶ αὐτὰ ὄχι μόνον μᾶς τὰ ὑπαγορεύει τὸ λογικόν μας, ἀλλὰ καὶ ἡ ἁγία Γρα-

φησίν, «ἀποδώσει ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ». Καὶ οὐκ ἐν τῇ γεέννῃ μόνον, ἀλλὰ καὶ ἐν τῇ βασιλείᾳ πολλὰς ἂν εὕροι τις τὰς διαφοράς· «μοναὶ γάρ», φησί, «πολλαί εἰσι παρὰ τῷ πατρί μου»· καί, «ἄλλη δόξα ἡλίου, καὶ ἄλλη δόξα σελήνης».
5 *Καὶ τί θαυμαστόν, εἰ μέχρι τοσούτων ἠκριβολογήσατο, ὅπου γε καὶ τὴν ἀστέρος πρὸς ἀστέρα διαφορὰν εἶναί φησιν ἐκεῖ;*

Ταῦτα οὖν ἅπαντα εἰδότες, μηδέποτε τῆς τῶν ἀγαθῶν ἐργασίας ἀποστῶμεν, μηδὲ ἀποκάμωμεν, μηδέ, ἐπειδὰν εἰς τὴν τοῦ ἡλίου τάξιν ἢ τῆς σελήνης ἐλθεῖν μὴ δυνηθῶμεν,
10 *καὶ τῆς τῶν ἀστέρων καταφρονήσωμεν. Ἕως ἂν τοσαύτην γοῦν ἀρετὴν ἐπιδειξώμεθα, δυνησόμεθα εἶναι ἐν τῷ οὐρανῷ. Κἂν χρυσὸς κἂν λίθος τίμιος μὴ γενώμεθα, τὴν γοῦν τοῦ ἀργύρου τάξιν ἐπέχοντες ἐν τῷ θεμελίῳ μενοῦμεν· μόνον μὴ πρὸς ἐκείνην πάλιν τὴν ὕλην παλινδρομήσωμεν, ἣν εὐχερῶς*
15 *καταφλέγει τὸ πῦρ, μηδέ, ὅταν μεγάλα κατορθῶσαι μὴ δυνηθῶμεν, καὶ τῶν μικρῶν ἀποσχώμεθα· ἐσχάτης γὰρ ταῦτα ἀνοίας ἐστίν. Ὅπερ μὴ πάθωμεν.*

Ὥσπερ γὰρ ὁ πλοῦτος ὁ σωματικὸς αὔξεται τῷ μηδὲ τῶν ἐλαχίστων κερδῶν καταφρονεῖν τοὺς ἐραστὰς τοὺς ἐ-
20 *κείνου, οὕτω καὶ ὁ πνευματικός. Καὶ γὰρ ἄτοπον τὸν μὲν κριτὴν μηδὲ ψυχροῦ ποτηρίου μισθὸν παρορᾶν, ἡμᾶς δέ, εἰ μὴ πάνυ μεγάλα εἴη τὰ κατορθώματα, καὶ τῆς τῶν μικρῶν ἐργασίας ἀμελεῖν. Ὁ μὲν γὰρ τῶν ἐλαττόνων μὴ καταφρονῶν, πολλῇ καὶ περὶ τὰ μέγιστα χρήσεται σπουδῇ· ὁ δὲ ταῦτα*
25 *παρορῶν, καὶ ἐκείνων ἀποστήσεταί ποτε· ὅπερ ἵνα μὴ γένηται, καὶ τούτων μεγάλους τοὺς μισθοὺς ὥρισεν ὁ Χριστός. Τί γὰρ τοῦ ἐπισκέπτεσθαι τοὺς κάμνοντας εὐκολώτερον; ἀλλ' ὅμως καὶ τούτου μεγάλην ἡμῖν ἀποδίδωσι τὴν ἀμοιβήν.*

83. Ρωμ. 2, 6.
84. Ἰω. 14, 2.
85. Α' Κορ. 15, 41.

φή. Διότι λέγει· «Αὐτὸς θὰ ἀποδώσῃ εἰς ἕκαστον κατὰ τὰ ἔργα αὐτοῦ»[83]. Ὄχι δὲ μόνον εἰς τὴν κόλασιν, ἀλλὰ καὶ εἰς τὴν βασιλείαν τῶν οὐρανῶν θὰ εὕρῃ κανεὶς πολλὰς διαφοράς. «Μοναί, λέγει, πολλοὶ ὑπάρχουν πλησίον τοῦ Πατρός μου»[84]. Καί, «ἄλλη δόξα ἡλίου καὶ ἄλλη δόξα σελήνης»[85]. Καὶ τί τὸ περίεργον ἐὰν μὲ τόσην ἀκρίβειαν μᾶς τὰ εἶπεν, ἀφοῦ δὲν ἐδίστασε νὰ μᾶς εἴπῃ καὶ διὰ τὴν διαφορὰν τοῦ ἑνὸς ἀστέρος πρὸς ἄλλον ποὺ θὰ ὑπάρχῃ ἐκεῖ;

Γνωρίζοντες λοιπὸν ὅλα αὐτά, ἂς μὴ παύσωμεν νὰ πράττωμεν τὰ ἀγαθά, μήτε δέ, ἐπειδὴ δὲν ἠμποροῦμεν νὰ ἀνέλθωμεν εἰς τὴν τάξιν τοῦ ἡλίου ἢ τῆς σελήνης, νὰ περιφρονήσωμεν καὶ τὴν τῶν ἀστέρων. Ἐν ὅσῳ θὰ ἐπιδείξωμεν τόσην ἀρετήν, θὰ ἠμπορέσωμεν νὰ εὑρεθῶμεν εἰς τὸν οὐρανόν. Καὶ ἂν δὲν γίνωμεν χρυσὸς ἢ πολύτιμος λίθος, τοὐλάχιστον ἂς μείνωμεν εἰς τὸ θεμέλιον ὡς ἄργυρος, μόνον νὰ μὴ ἐπιστρέψωμεν εἰς ἐκείνην τὴν ὕλην, τὴν ὁποίαν εὐχερῶς καίει τὸ πῦρ, οὔτε, ὅταν δὲν ἠμπορέσωμεν νὰ ἐπιτελέσωμεν μεγάλα πράγματα, νὰ ἀπόσχωμεν καὶ ἀπὸ τὰ μικρά. Διότι ὅλα αὐτὰ σημαίνουν ἔλλειψιν νοός, πρᾶγμα ποὺ εἴθε νὰ μὴ πάθωμεν.

Ὅπως δὲ τὰ ὑλικὰ πλούτη αὐξάνονται μὲ τὸ να μὴ περιφρονοῦν οἱ μανιώδεις ἐργάται του οὔτε καὶ τὰ πλέον μικρὰ κέρδη, ἔτσι καὶ ὁ πνευματικὸς πλοῦτος. Διότι ἄτοπον εἶναι τὸ γεγονὸς ὅτι ὁ μὲν Χριστὸς δὲν παραβλέπει τὴν ἀξίαν οὔτε ἑνὸς ποτηρίου ψυχροῦ ὕδατος, ἐνῷ ἡμεῖς, ἐὰν δὲν εἶναι πολὺ μεγάλα τὰ κατορθώματα, ἀμελοῦμεν τὴν ἐκτέλεσιν καὶ τῶν μικρῶν. Ὅποιος δὲ δὲν περιφρονεῖ τὰ ἐλάχιστα, δεικνύει μεγάλην φροντίδα καὶ διὰ τὰ πολὺ μεγάλα. Ἐκεῖνος ὅμως ποὺ παραβλέπει αὐτὰ καὶ διὰ τὰ μεγάλα τίποτε δὲν πράττει. Διὰ νὰ μὴ συμβῇ δὲ τοῦτο, ὁ Χριστὸς ὥρισε μεγάλας ἀμοιβὰς καὶ διὰ τὰ μικρὰ κατορθώματα. Διότι, τί εἶναι εὐκολώτερον ἀπὸ τοῦ νὰ ἐπισκεφθῇ κανεὶς τοὺς ἀσθενεῖς; Ὅμως καὶ δι' αὐτὸ τὸ ἁπλοῦν πρᾶγμα μᾶς ἀμείβει μὲ μεγάλας ἀμοιβάς.

Ἐπιλαβοῦ τοίνυν τῆς αἰωνίου ζωῆς, κατατρύφησον τοῦ Κυρίου, καὶ ἱκέτευσον αὐτόν· πάλιν τὸν ζυγὸν ἀνάδεξαι τὸν χρηστόν, ὕπελθε τὸ φορτίον τὸ ἐλαφρόν, ἐπίθες ἄξιον τῆς ἀρχῆς τὸ τέλος· μὴ δὴ παρίδῃς τοσοῦτον διαρρυέντα πλοῦτον. Ἂν μὲν γὰρ ἐπιμένῃς παροξύνων τὸν Θεὸν δι' ὧν ποιεῖς, σαυτὸν ἀπολεῖς· ἂν δὲ πρὶν ἢ πολλὴν γενέσθαι τὴν ζημίαν καὶ πᾶν ἐπικλυσθῆναι τὸ γεώργιον, ἀποφράξῃς τῆς κακίας τοὺς ὀχετούς, καὶ τὰ διαφθαρέντα ἀνακτήσασθαι δυνήσῃ πάλιν καὶ ἑτέραν αὐτοῖς προσθεῖναι φορὰν οὐ μικράν. Ἅπερ ἅπαντα λογισάμενος ἀποτινάξαι τὸν χοῦν, ἀνάστηθι ἀπὸ τῆς γῆς, καὶ φοβερὸς ἔσῃ τῷ ἀνταγωνιστῇ· αὐτὸς μὲν γάρ σε κατέβαλεν, ὡς οὐκ ἀναστησόμενον λοιπόν, ἂν δὲ ἴδῃ πάλιν τὰς χεῖρας ἀνταίροντα, τῷ ἀπροσδοκήτῳ πληγείς, ὀκνηρότερος ἔσται πρὸς τὸ ὑποσκελίσαι σε πάλιν, αὐτὸς δὲ ἀσφαλέστερος ἔσῃ πρὸς τὸ μηκέτι τραῦμα τοιοῦτον λαβεῖν. Εἰ γὰρ αἱ τῶν ἄλλων ἡμᾶς ἱκαναὶ παιδεῦσαι συμφοραί, πολλῷ μᾶλλον ἃς ὑπεμείναμεν αὐτοί. Ὅπερ καὶ ἐπὶ τῆς σῆς προσδοκῶ ταχέως ὄψεσθαι κεφαλῆς, καὶ πάλιν τῇ τοῦ Θεοῦ ῥοπῇ φαιδρότερόν σε γενέσθαι καὶ τοσαύτην ἐπιδείξασθαι τὴν ἀρετήν, ὡς καὶ ἑτέρων προστῆναι ἐκεῖ. Μόνον μὴ ἀπογνῷς, μηδὲ ἀναπέσῃς.

Τοῦτο γάρ σοι καὶ παρὰ πάντα τὸν λόγον, καὶ ὅπου δ' ἂν ἴω καὶ ὅπου δ' ἂν ἀπίω, καὶ δι' ἑτέρων οὐ παύσομαι ἐπιλέγων· κἂν τούτου ἀκούσῃς, οὐκέτι δεήσῃ φαρμάκων ἑτέρων.

Διὰ τοῦτο λοιπὸν ἐπιδίωξε τὴν αἰώνιον ζωήν, κατατρύφησε τοῦ Κυρίου καὶ ἱκέτευσέ τον. Δέξου καὶ πάλιν τὸν χρηστὸν ζυγόν, ἀνάλαβε εἰς τοὺς ὤμους σου τὸ ἐλαφρὸν φορτίον, θέσε ἀντάξιον τέλος εἰς τὴν καλὴν ἀρχὴν τῆς μοναχικῆς σου ζωῆς, μὴ παραβλέψῃς τόσον πνευματικὸν πλοῦτον ποὺ διελύθη μὲ αὐτήν σου τὴν πτῶσιν. Διότι ἐὰν ἐπιμένῃς νὰ παροξύνῃς τὸν Θεὸν μὲ τὰ ὅσα κάμνεις, θὰ καταστρέψῃς τὸν ἑαυτόν σου. Ἂν ὅμως πρὶν ἀκόμη γίνῃ μεγάλη ἡ ζημία καὶ πλημμυρισθῇ ὅλη ἡ καλλιέργεια, φράξῃς τοὺς ὀχετοὺς τῆς κακίας, καὶ τὰ καταστραφέντα θὰ ἠμπορέσῃς νὰ διορθώσῃς καὶ νέαν δύναμιν θὰ προσθέσῃς εἰς αὐτά, καὶ μάλιστα μεγάλην. Ἀναλογιζόμενος λοιπὸν ὅλα αὐτὰ ἀποτίναξε τὸν κονιορτὸν ἀπὸ τὸν νοῦν σου, σήκω ἐπάνω καὶ θὰ γίνῃς φοβερὸς εἰς τὸν ἀντίπαλόν σου. Διότι αὐτὸς σὲ ἔρριψε κάτω μὲ τὸν σκοπὸν νὰ μὴ ἐγερθῇς πλέον· ἂν ὅμως σὲ ἴδῃ ἐκ νέου νὰ σηκώνῃς χέρι ἐναντίον του, μετὰ τὸ ἀπροσδόκητον αὐτὸ κτύπημα ποὺ θὰ πάθῃ, θὰ εἶναι ὀκνηρότερος εἰς τὸ νὰ σὲ ὑποσκελίσῃ πάλιν. Καὶ ἐσὺ θὰ εἶσαι περισσότερον ἀσφαλισμένος διὰ νὰ μὴ ξαναδεχθῇς παρόμοιον τραῦμα. Διότι ἐὰν εἶναι ἀρκεταὶ νὰ μᾶς διδάξουν αἱ συμφοραὶ τῶν ἄλλων, πολὺ περισσότερον αἱ ἰδικαί μας συμφοραὶ ἔχουν τοῦτο τὸ προνόμιον, πρᾶγμα ποὺ ἀναμένω νὰ ἴδω νὰ γίνεται καὶ μὲ ἐσὲ καὶ πάλιν μὲ τὴν χάριν τοῦ Θεοῦ νὰ γίνῃς περισσότερον χαρούμενος καὶ τόσην ἀρετὴν νὰ ἐπιδείξῃς, ὥστε νὰ τεθῇς ἐπικεφαλῆς καὶ ἄλλων ἐκεῖ· μόνον μὴ ἀπελπισθῇς καὶ μὴ χάσῃς τὸ θάρρος σου.

Τοῦτο δὲ περισσότερον ἀπὸ κάθε ἄλλην μου συμβουλὴν καὶ ὅπου καὶ ἂν σὲ ἴδω ὁ ἴδιος καὶ μὲ ἄλλους δὲν θὰ παύσω νὰ σοῦ ἐπαναλαμβάνω. Καὶ ἂν ἀκούσῃς αὐτό, δὲν θὰ χρειασθῇς πλέον ἄλλα φάρμακα.

ΕΥΡΕΤΗΡΙΑ

— Διὰ τὰ χωρία καὶ τὰ ὀνόματα τοῦ κειμένου οἱ ἀριθμοὶ παραπέμουν εἰς σελίδας.
— Διὰ τὰ χωρία καὶ τὰ ὀνόματα τῆς εἰσαγωγῆς καὶ τῶν σχολίων οἱ ἀριθμοὶ παραπέμπουν εἰς σελίδας· εὑρίσκονται δὲ ἐντὸς παρενθέσεων.

1. *Εὑρετήριον χωρίων τῆς Γραφῆς*

2. Εὑρετήριον ὀνομάτων καὶ πραγμάτων

Α

Β

Γ

Ζ

Η

Θ

Ι

Κ

Λ

Μ

N

Ο

Π

Φ

Χ

Ψ

Ω

ΠΙΝΑΞ ΠΕΡΙΕΧΟΜΕΝΩΝ

Στοιχειοθεσία, Ἐκτύπωσις:

TYPO EXPRESS

Βελισσαρίου 35 ☎ 841.623

Βιβλιοδεσία:
Ἀφοὶ ΒΑΡΟΥΣΙΑΔΗ

Κεντρικὴ πώλησις:
Βιβλιοπωλεῖον «BYZANTION»
ΕΛΕΥΘΕΡΙΟΥ ΜΕΡΕΤΑΚΗ
Ἀρμενοπούλου 19 — Θεσσαλονίκη — Τηλ. 205-965